

3 1761 05726661 1


SIC CURRE UT CAPIAS
George Currey. D.D.



Percival Apps,
1925

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΕΚ ΤΗΣ ΠΑΛΑΙΑΣ ΔΙΑΘΗΚΗΣ

ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ

ΔΙΕΡΜΗΝΕΥΟΜΕΝΗ


ΤΟΜ. II.

ΑΠΟ ΤΩΝ ΓΡΑΦΩΝ ΔΙΑΝΟΙΓΩΝ ΚΑΙ ΠΑΡΑΤΙΘΕΜΕΝΟΣ.

Act. Apost. xvii. 3.

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ


ΕΚ ΤΗΣ ΠΑΛΑΙΑΣ ΔΙΑΘΗΚΗΣ
ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ
ΔΙΕΡΜΗΝΕΥΟΜΕΝΗ



NOVUM TESTAMENTUM GRÆCUM

EDITIO HELLENISTICA





LONDINI
GULIELMUS PICKERING
1843



IMPRIMEBAT CAROLUS WHITTINGHAM CHISWICK.



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.







ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ, δουλος Ιησου Χριστου, κλητος αποστολος, αφωρισμενος εις Ευαγγελιον Θεου,

Conf. Jos. i. 1, 2. 2 *Cor. xii.* 11. 1 *Tim. i.* 11. *Num. viii.* 11. Ιωναθαν αρχιερευς, και ἡ γερουσια του εθνους—Σπαρτιαταις τοις αδελφοις, χαιρειν. 1 *Mac. xii.* 6. *x.* 18. 2 *Mac.* 1-6. ὁ δουλος του Θεου του ζωντος. *Dan. vi.* 20. οἱ κλητοι αυτου. 3 *Reg. i.* 41. αναπαυσις κλητη ἁγια τῳ Κυριῳ. *Lev. xxiii.* 3. *Exod. iii.* 4. αφωρισμενους τῳ ἁγιασμῳ αυτων. *Ezech. xlv.* 4. ὁ αφορισας ὑμας απο παντων των εθνων ειναι μοι. *Lev. xx.* 26. ανηρ ευαγγελιας. (ευαγγελιων. *Ald.* ευαγγελισμου. *C.*) 2 *Reg. xviii.* 20. Μωϋση δουλου Κυριου. *Jos. i.* 1. *MS. Ox. Ald.*

2 (Ὁ προεπηγγειλατο δια των προφητων αὑτου εν γραφαις ἁγιαις,)

και τα επερχομενα προ του ελθειν αναγγειλατωσαν ὑμιν. *Esa. xliv.* 7. παντα εν γραφῃ χειρος Κυριου εδωκε. 1 *Par. xxviii.* 19. κατα την γραφην βιβλου Μωυση. *Esd. vi.* 18. [εν γραφῃ ἁγιᾳ Ενωχ. *Test. XII Patr. p.* 667.] *Conf. Tit. i.* 2. *Gen. iii.* 15. *xxvi.* 4. *xlix.* 10. *Deut. xviii.* 15. [εν τοις ἱεροις γραμμασι. *Jos. Ant. x.* 10. 4. εν ταις ἱεραις βιβλιοις. *ii.* 16. 5.]

3 Περι του υἱου αὑτου, (του γενομενου εκ σπερματος Δαβιδ κατα σαρκα,

ἑως του αιωνος ἑτοιμασω το σπερμα μου. *Ps. lxxxviii.* 4. υἱος μου ει συ, κ. τ. λ. *Ps. ii.* 7. σαρξ ἡμων εστι. *Gen. xxxvii.* 27. γενομενον εκ γυναικος. *Gal. iv.* 4. *Gen. iii.* 15. γεννητος γυναικος. *Job. xiv.* 1. ωμοσε Κυριος τῳ Δαυιδ αληθειαν, και ου μη αθετησει αυτην, Εκ καρπου της κοιλιας σου, θησομαι επι του θρονου σου. *Ps. cxxxi.* 11. *Marc. x.* 47. *Luc. i.* 32. *Act. ii.* 30. 1 *Pet. i.* 11. και διαθηκην τῳ Δαβιδ υἱῳ εκ φυλης Ιουδα, κ. τ. λ. *Sir. xlv.* 25, 26.

4 Του ὁρισθεντος υἱου Θεου εν δυναμει, κατα Πνευμα ἁγιω-

συνης, εξ αναστασεως νεκρων,) Ιησου Χριστου του Κυριου ἡμων,

ἁγαιωσυνης. *Ps. xcv.* 6. *xcvi.* 12. *cxliv.* 5. αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. *Sophon. iii.* 8. *Conf. Act. xvii.* 31. *Heb. i.* 5. *Joan. i.* 34. ὁριζειν (ὁρος, *terminus, limes*). *Num. xxxiv.* 6. *Jos. xiii.* 27. *Heb. iv.* 7. [εις τον ὡρισμενον καιρον. *Jos. Ant. vi.* 5. 3. ὁρισθεντος, αποδειχθεντος, αποφανθεντος. *Zonar. Lex. c.* 1473.] και ὁριεις ῥημα, και σταθησεται σοι. *Job. xxii.* 28. *Theod.*

5 (Δι' οὑ ελαβομεν χαριν και αποστολην, εις ὑπακοην πιστεως
εν πασι τοις εθνεσιν ὑπερ του ονοματος αυτου,

ἡ ὑπακοη σου επληθυνε με. 2 *Reg. xxii.* 36. ἑνεκεν του ονοματος αυτου. *Ps. cv.* 8. *Conf. Rom. xii.* 3. 1 *Cor. xv.* 10. *Ephes. iii.* 8. 2 *Tim. i.* 9. απο ανατολων ἡλιου και ἑως δυσμων το ονομα μου δεδοξασται εν τοις εθνεσι, κ. τ. λ. *Mal. i.* 11. χαριν και αποστολην, *i. e.* χαριν της αποστολης. = ελπιδος και σωτηριας, *i. e.* ελπιδος της σωτηριας. 2 *Mac. iii.* 29.

6 Εν οἱς εστε και ὑμεις, κλητοι Ιησου Χριστου·)

και εξεστησαν παντες οἱ κλητοι του Αδωνιου. 3 *Reg. i.* 49. *Conf. Joel. ii.* 32. και (*etiam*). *Judith. viii.* 25. ἡ ἡμερα ἡ ἑβδομη κλητη ἁγια εσται ὑμιν. *Exod. xii.* 16. *Conf. Jud. xiv.* 11.

7 Πασι τοις ουσιν εν Ῥωμῃ αγαπητοις Θεου, κλητοις ἁγιοις·
Χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου Ιησου
Χριστου.

τοις αδελφοις τοις κατ' Αιγυπτον Ιουδαιοις χαιρειν. 2 *Mac. i.* 1. και ποιησω και ειρηνην και πιστιν. *Jer. xl.* 6. ὁταν δῳ τοις αγαπητοις αυτου ὑπνον. *Ps. cxxvi.* 2. ειρηνη, ειρηνη σοι, και ειρηνη τοις βοηθοις σου, ὁτι εβοηθησε σοι ὁ Θεος σου. 1 *Par. xii.* 18. *Conf. Esa. ix.* 6. *liii.* 5. *Nah. i.* 15. εσεσθε μοι—και εθνος ἁγιον. *Exod. xix.* 6. εγω ειμι Κυριος ὁ Θεος πασης της γης. *Exod. viii.* 22. ἁγιοι κληθησονται παντες οἱ γραφεντες εις ζωην. *Esa. iv.* 3. και γνωτωσαν ὁτι ονομα σου, Κυριος· συ μονος ὑψιστος επι πασαν την γην. *Ps. lxxxii.* 18. εγω προς Κυριον λαλησω. *Job. xiii.* 3. εγω ειμι Κυριος κυριευων πασης της γης. *Exod. viii.* 22. *Ald.* κατελιπες τον Θεον τον σωτηρα σου, και Κυριου του βοηθου σου ουκ εμνησθης. *Esa. xvii.* 10. *Conf. Keuchen. in loc.* και αυτος ληψεται αρετην, και καθιειται—και εσται ἱερευς εκ δεξιων αυτου, κ. τ. λ. *Zach. vi.* 13.

8 Πρωτον μεν ευχαριστω τῳ Θεῳ μου δια Ιησου Χριστου ὑπερ
παντων ὑμων, ὁτι ἡ πιστις ὑμων καταγγελλεται εν ὁλῳ τῳ
κοσμῳ·

παρα ταυτα παντα ευχαριστησωμεν Κυριῳ. Judith. viii. 25. 2 Mac. i. 11. ὑπερ νεκρων προσευχεσθαι. xii. 44. επυνθανετο—ὑπερ των σωρων. 2 Par. xxxi. 9. και τον ὁλον κοσμον εν ἑνι νευματι καταβαλειν. 2 Mac. viii. 18. αναγγειλατε εις Μαγδωλον, κ. τ. λ. Jer. xxvi. 14. καταγγελλειν. Ps. xxxix. 6. Sym.

9 Μαρτυς γαρ μου εστιν ὁ Θεος, ᾡ λατρευω εν τῳ πνευματι μου εν τῳ ευαγγελιῳ του υἱου αυτου, ὡς αδιαλειπτως μνειαν ὑμων ποιουμαι,

Θεος μαρτυς. Gen. xxxi. 50. 1 Reg. xii. 5. Ps. xxxix. 9. Esa. xliii. 10. εστι γαρ Θεος ἡμων—ᾡ λατρευομεν. Dan. iii. 17. αδειαλειπτως πεποιθως. 2 Mac. xv. 7. μνειαν εποιησατο των θαυμασιων. Ps. cx. 4. Conf. cap. ix. 1. 2 Cor. i. 23. Gal. i. 20. 1 Thess. ii. 5. 13. και νυν ιδου εν ουρανοις ὁ μαρτυς μου, ὁ δε συνιστωρ μου εν ὑψιστοις. Job. xvi. 20. Joan. iv. 23. Act. xxiv. 14. Phil. iii. 3. 2 Tim. i. 3. 1 Mac. xii. 11. και εμοι μηδαμως του ἁμαρτανειν τῳ Κυριῳ ανιεναι του προσευχεσθαι περι ὑμων, κ. τ. λ. 1 Reg. xii. 23. ὡς αγαθος ὁ Θεος τῳ Ισραηλ. Ps. lxxii. 1. Sir. xxxiv. 19.

10 Παντοτε επι των προσευχων μου δεομενος, ειπως ηδη ποτε ευοδωθησομαι, εν τῳ θεληματι του Θεου ελθειν προς ὑμας·

και εδεηθη ὁ λαος Κυριου ὑψιστου εν προσευχῃ. Sir. l. 19. ειπως. 4 Reg. xix. 4. εμε τε ευωδωκε Κυριος εις οικον του αδελφου. Gen. xxiv. 27. 56. κατα την δοθεισαν αυτοις ευοδιαν παρα του Κυριου. 1 Esd. viii. 6. ἑτοιμος γινου προς την ὁδον, και ευοδωθειητε. Tob. v. 16. Prov. xvii. 8. 1 Thess. iii. 10. Sir. xxxviii. 14. εν θεληματι αυτου πνευσεται νοτος. Sir. xliii. 16. Alex. Jac. iv. 13-15.

11 Επιποθω γαρ ιδειν ὑμας, ἱνα τι μεταδω χαρισμα ὑμιν πνευματικον, εις το στηριχθηναι ὑμας·

επιποθει—ἡ ψυχη μου. Ps. lxxxiii. 2. ποθουσα το σον προσωπον. Prov. vii. 15. ευλογια δε εις κεφαλην του μεταδιδοντος. Prov. xi. 26. πνευματι ἡγεμονικῳ στηριξον με. Ps. l. 12. εις το στηριχθηναι = εις το ειναι τα παντα. Sap. i. 14.

12 Τουτο δε εστι, συμπαρακληθηναι εν ὑμιν δια της εν αλληλοις πιστεως ὑμων τε και εμου.

και γονατα παραλελυμενα παρακαλεσετε. Esa. xxxv. 3. Deut. iii. 28. Job. iv. 3. εθηκεν αυτα αντιπροσωπα αλληλοις. Gen. xv. 10. 2 Reg. ii. 13. C. Conf. 3 Joan. 2. 2 Par. xx. 20.

13 Ου θελω δε ὑμας αγνοειν, αδελφοι, ὁτι πολλακις προεθεμην

ελθειν προς ὑμας, (και εκωλυθην αχρι του δευρο,) ἱνα καρπον τινα σχω και εν ὑμιν, καθως και εν τοις λοιποις εθνεσιν.

παν ξυλον, ὁ εχει εν ἑαυτῳ καρπον. *Gen. i.* 29. και εμπλησθησεται ἡ οικουμενη του καρπου αυτου. *Esa. xxvii.* 6. απο καρπου των εργων σου χορτασθησεται. *Ps. ciii.* 13. ὁς πειραζει ἡμας καθα και τους πατερας ἡμων. *Judith. viii.* 25. *Conf.* 1 *Thess. ii.* 18. *Joan. xv.* 8. *Phil. iv.* 17. [ου δει δε αγνοειν. *Philo de Abrah. p.* 354. χρη μηδ' εκεινο αγνοειν. *Ib.* 357.] [ου γαρ αγνου τους ὁρκους. *Jos. Ant. vii.* 9. μεχρι δευρο. *vii.* 9. 5.]

14 Ἑλλησι τε και βαρβαροις, σοφοις τε και ανοητοις οφειλετης ειμι·

Conf. Col. iii. 11. υἱοι Ἑλληνων. *Joel. iii.* 6. βασιλευς Ἑλληνων. *Dan. viii.* 21. και βαρβαροις εθνεσι παραδιδοσθαι. 2 *Mac. x.* 4. *Conf.* 1 *Cor. ix.* 16. 2 *Cor. xi.* 28. *Act. ix.* 15. [Ἑλληνες ὁμου και Βαρβαροι. *Philo de Abrah. p.* 387.] [τοις τε Ἑλλησι και τοις Βαρβαροις. *Jos. Ant. xv.* 5. 3. *p.* 674.] *Conf. Krebs. et Loesner.*

15 Οὑτω το κατ' εμε προθυμον και ὑμιν τοις εν Ῥωμῃ ευαγγελισασθαι.

ὑποδεικνυων το προθυμον του βασιλεως εν ἑτοιμῳ ειναι. 3 *Mac. v.* 26. [το κατ' εμε, *quod me attinet.* κατ' εμαυτον, *quantum ad me. Jos. Bell. Jud. iv.* 4. 3. *Bretschn.*] ὑψωσον—φωνην σου ὁ ευαγγελιζομενος Ἱερουσαλημ. *Esa. xl.* 9. ευηγγελισαμην δικαιοσυνην εν εκκλησιᾳ μεγαλῃ, ιδου τα χειλη μου ου μη κωλυσω. *Ps. xxxix.* 9.

16 Ου γαρ επαισχυνομαι το ευαγγελιον του Χριστου· δυναμις γαρ Θεου εστιν εις σωτηριαν παντι τῳ πιστευοντι, Ιουδαιῳ τε πρωτον και Ἑλληνι.

και επαισχυνθησονται επι τοις κηποις αυτων ἁ επεθυμησαν. *Esa. i.* 29. *Alex.* ασεβης αισχυνεται, και ουκ ἑξει παρρησιαν. *Prov. xiii.* 5. και την δυναμιν σου απαγγελουσι. *Ps. cxliv.* 4. ὁτι ἡ δυναμις του Κυριου ισχυρα εστι. *Jos. iv.* 24. δεδωκα σε—του ειναι εις σωτηριαν ἑως εσχατου της γης. *Esa. xlix.* 6. *Conf. Act. xiii.* 47. *Esa. lx.* 6. *Ps. xxxix.* 10. 2 *Tim. i.* 8. 1 *Cor. i.* 18. *xv.* 2. μη περι τουτων αισχυνθῃς—περι νομου Ὑψιστου και διαθηκης, και περι κριματος δικαιωσαι τον ασεβη. *Sir. xlii.* 1, 2. εστι γαρ αισχυνη επαγουσα ἁμαρτιαν, και εστιν αισχυνη δοξα και χαρις. *iv.* 21. [Ἑλληνες, *omnes incolæ in Græciâ et in Asiâ Minori Græce loquentes, Græcosque mores habentes. Bretschn. Conf.* 1 *Mac. viii.* 18. 2 *Mac. iv.* 36.] εχρισε με ευαγγελισασθαι πτωχοις. *Esa. lxi.* 1. και ελαλουν εν τοις μαρτυριοις σου εναντιον βασιλεων, και ουκ ησχυνο-

μην. *Ps. cxviii.* 46. και ὁ βραχιων Κυριου τινι απεκαλυφθη; *Esa. liii.* 1. ὁ πιστευων ου μη καταισχυνθῃ. *xxviii.* 16.

17 Δικαιοσυνη γαρ Θεου εν αυτῳ αποκαλυπτεται εκ πιστεως εις πιστιν, καθως γεγραπται, Ὁ δε δικαιος εκ πιστεως ζησεται.

ἑως αν εξελθῃ ὡς φως ἡ δικαιοσυνη. *Esa. lxii.* 1. *lvi.* 1. αλλ' εστι Θεος εν ουρανῳ ὁ αποκαλυπτων μυστηρια. *Dan. ii.* 28. *Alex. Ald. Comp.* εναντιον των εθνων απεκαλυψε την δικαιοσυνην. *Ps. xcvii.* 2. *Ose. vii.* 1. εκ δυναμεως εις δυναμιν. *Ps. lxxxiii.* 7. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab. ii.* 4. *Conf. Heb. x.* 38. *Col. iii.* 11. *Joan. iii.* 16. *Phil. iii.* 9. *Luc. ii.* 10. δικαιοσυνη γαρ αθανατος εστι. *Soph. i.* 15. *Esa. xlv.* 24, 25. καθα γεγραπται. *Jos. viii.* 31. [μονον ουν αψευδες και βεβαιον αγαθον πιστις, ἡ προς τον Θεον πιστις, παρηγορημα βιου, πληρωμα χρηστων ελπιδων. *Philo de Abrah. p.* 387.] *CITAT.* 137.

18 Αποκαλυπτεται γαρ οργη Θεου απ' ουρανου επι πασαν ασεβειαν και αδικιαν ανθρωπων των την αληθειαν εν αδικιᾳ κατεχοντων.

και αποκαλυψει Κυριος τον βραχιονα τον ἁγιον. *Esa. lii.* 10. κατεχονται. *Gen. xxxix.* 20. *xxii.* 13. εξηλθε γαρ οργη απο προσωπου Κυριου. *Num. xvi.* 46. *Conf. Act. xvii.* 30. *Deut. xxvii.* 26.

19 Διοτι το γνωστον του Θεου φανερον εστιν εν αυτοις· ὁ γαρ Θεος αυτοις εφανερωσε·

γνωστον καλου και πονηρου. *Gen. ii.* 9. ὡς δε φανερον εγενηθη το πραγμα. 2 *Mac. i.* 33. και φανερωσω αυτοις—ειρηνην και πιστιν. *Jer. xl.* 6. *Conf. Sap. xii.* 27. *Act. xiv.* 16. *xvii.* 24. *Ps. xviii.* 1-6.

20 Τα γαρ αορατα αυτου απο κτισεως κοσμου τοις ποιημασι νοουμενα καθοραται, ἡτε αϊδιος αυτου δυναμις και θειοτης, εις το ειναι αυτους αναπολογητους.

θησαυρους—αορατους ανοιξω σοι. *Esa. xlv.* 3. και κτισασα τον κοσμον εξ αμορφου ὑλης. *Sap. xi.* 17. και ειδον συμπαντα τα ποιηματα του Θεου. *Eccles. viii.* 17. απαυγασμα γαρ εστι φωτος αϊδιου. *Sap. vii.* 26. και εικονα της ιδιας αϊδιοτητος. *ii.* 23. ιδε τα ποιηματα του Θεου. *Eccles. vii.* 14. *Ps. cxlii.* 5. εκ γαρ μεγεθους καλλονης κτισματων αναλογως ὁ γενεσιουργος αυτων θεωρειται. *Sap. xiii.* 5. θειοτης. *xviii.* 9. νοησατωσαν απ' αυτων. *xiii.* 4. απο καταβολης κοσμου. *Matt. xiii.* 25. *Joan. xvii.* 24. εις το ειναι τα παντα. *Sap. i.* 14. ου καθορων το του—Θεου κρατος. 3 *Mac. iii.* 11. *Job. x.* 4. *Num. xxiv.* 2. *Conf. Sap. xiii.* 1. *Ps. cxlvii.* 14-17.

Esa. xl. 26. *Jer. x.* 10-13. *Job. xxxi.* 26-28. προ του ὀρη γενηθηναι και πλασθηναι την γην και την οικουμενην, και απο του αιωνος ἑως του αιωνος, Συ Ει. *Ps. lxxxix.* 2. *Conf. Job. xii.* 7-9. και οὑτως εμβλεψον εις τα παντα τα εργα του ὑψιστου, δυο δυο ἑν κατεναντι του ἑνος. *Sir. xxxvi.* 15. παντα δισσα ἑν κατεναντι του ἑνος, και ουκ εποιησεν ουδεν εκλειπον. *xlii.* 24.

21 Διοτι γνοντες τον Θεον, ουχ ὡς Θεον εδοξασαν, η ευχαριστησαν, αλλ᾽ εματαιωθησαν εν τοις διαλογισμοις αὑτων, και εσκοτισθη ἡ ασυνετος αυτων καρδια·

και επορευθησαν οπισω των ματαιων, και εματαιωθησαν. *Jer. ii.* 5. 4 *Reg. xvii.* 15. εταραχθησαν παντες οἱ ασυνετοι τῃ καρδιᾳ. *Ps. lxxv.* 5. σκοτισθητωσαν οἱ οφθαλμοι αυτων. *lxviii.* 23. *Esa. xliv.* 20. [σκοτιζων τον νουν απο της αληθειας. *Test. XII Patr. p.* 524.] *Deut. xxviii.* 29. *Ephes. iv.* 17. 1 *Cor. iii.* 20. 1 *Thess. iv.* 5. *Sap. xi.* 15. ειπεν αφρων εν καρδιᾳ αυτου, Ουκ εστι Θεος, κ.τ.λ. *Ps. xiii.* 1-3. ταυτα εποιησας, και εσιγησα, ὑπελαβες ανομιαν, ὁτι εσομαι σοι ὁμοιος· κ. τ. λ. *xlix.* 21. *Conf. Sap. ii.* 20-24.

22 Φασκοντες ειναι σοφοι, εμωρανθησαν,

οἱ σοφοι συμβουλοι—ἡ βουλη αυτων μωρανθησεται. *Esa. xix.* 11. ὁ καταλαμβανων σοφους εν τῃ φρονησει. *Job. v.* 13. ουαι οἱ συνετοι εν ἑαυτοις. *v.* 21. *Conf. Jer. x.* 14. 1 *Cor. i.* 19. [κενης δοξης εισι δουλοι—φασκοντες ουκ ελευθεροι μονον, αλλα και πολλων αλλων ἡγεμονες ειναι. *Philo de Somn. p.* 1116.]

23 Και ηλλαξαν την δοξαν του αφθαρτου Θεου εν ὁμοιωματι εικονος φθαρτου ανθρωπου και πετεινων και τετραποδων και ἑρπετων.

και ηλλαξαντο την δοξαν αυτων εν ὁμοιωματι μοσχου εσθιοντος χορτον. *Ps. cv.* 20. το γαρ αφθαρτον σου πνευμα. *Sap. xii.* 1. φθαρτος ων. 2 *Mac. vii.* 16. τετραποδα και ἑρπετα. *Gen. i.* 24. *Conf. Gen. vii.* 21. *Esa. xviii.* 6. κατ᾽ εικονα—και καθ᾽ ὁμοιωσιν. *Gen. i.* 26. *Conf. Deut. iv.* 15. 4 *Reg. xvii.* 29. *Sap. xii.* 23. *Esa. xl.* 17, 18. 1 *Cor. xii.* 2. 1 *Thess. i.* 9. 1 *Pet. iv.* 3. ὁ δε λαος μου ηλλαξατο την δοξαν αυτου, εξ ἡς ουκ ωφεληθησονται. *Jer. ii.* 11.

24 Διο και παρεδωκεν αυτους ὁ Θεος εν ταις επιθυμιαις των καρδιων αυτων εις ακαθαρσιαν, του ατιμαζεσθαι τα σωματα αυτων εν ἑαυτοις.

ψυχῃ αναιδει μη παραδῳς με. *Sir. xxiii.* 6. παρεδωκε γαρ με ὁ Κυριος εις χειρας ασεβων. *Job. xvi.* 12. εξολλυει δε αυτου σωμα ὁ ανελεημων. *Prov. xi.* 17. εν επιθυμιαις καρδιας σου. *Sir. v.* 2.

Susan. 56. *Prov. xxi.* 25, 26. *Lev. xviii.* 22, 23. σωσω ὑμας απο πασων των ακαθαρσιων. *Ezech. xxxvi.* 29. *Conf. Ps. lxxx.* 12. *Act. xiv.* 16. *xvii.* 29. 2 *Thess. ii.* 11. 1 *Cor. vi.* 18. *Ephes. iv.* 18. μετοχος ειδωλων Εφραϊμ εθηκεν ἑαυτῳ σκανδαλα, κ. τ. λ. *Ose. iv.* 17-20. ὁθεν και τους εν αφροσυνῃ ζωης βιωσαντας αδικους, δια των ιδιων εβασανισας βδελυγματων. *Sap. xii.* 23. ἱνα γνωσιν ὁτι δι' ὡν τις ἁμαρτανει, δια τουτων κολαζεται. *xi.* 16.

25 Οἵτινες μετηλλαξαν την αληθειαν του Θεου εν τῳ ψευδει, και εσεβασθησαν και ελατρευσαν τῃ κτισει παρα τον κτισαντα, ὁς εστιν ευλογητος εις τους αιωνας. αμην.

Ιδετε, ουκ ερειτε, ὁτι ψευδος εν τῃ δεξιᾳ μου. *Esa. xliv.* 20. οἱτινες. Θεον αληθη. *Exod. xxxii.* 9. *Conf. Sap. xii.* 27. ἡ αληθεια. *Conf.* 1 *Esd. iv.* 36. παντες ποιουσι ψευδος. *Jer. viii.* 10. *Comp. iii.* 25. *Ps. iv.* 2. οἱ πεποιθοτες ματην ψευδει. *Esa. xxviii.* 17. και ηλπισας επι ψευδεσι. *Jer. xiii.* 25. και τον κτισαντα αυτην ουκ ειδετε. *Esa. xxii.* 11. οιδα σε παρα παντας. *Exod. xxxiii.* 12. 17. ευλογητος Κυριος εις τον αιωνα. *Ps. lxxxviii.* 52. ευλογητος ὁ Θεος της αληθειας. 1 *Esd. iv.* 40. Αμην. *Neh. v.* 13. ευλογητος ὁ ῥυστης Ισραηλ εις τους αει χρονους. Αμην. 3 *Mac. vii.* 23. *Conf. Gen. ix.* 26. *xiv.* 20. *xxiv.* 27. χωνευμα φαντασιαν ψευδη. *Hab. ii.* 18. ὁδηγησον με επι την αληθειαν σου. *Ps. xxiv.* 5. *lvi.* 11. και Εσθηρ οὐ μετηλλαξε την αγωγην αυτης. *Est. ii.* 20. *Conf.* 1 *Joan. v.* 20. *Esa. xxviii.* 15. 2 *Cor. xi.* 31. ματαιοι μεν γαρ παντες ανθρωποι φυσει, οἱς παρην Θεου αγνωσια, και εκ των ὁρωμενων αγαθων ουκ ισχυσαν ειδεναι τον οντα, ουτε τοις εργοις προσχοντες επεγνωσαν τον τεχνιτην. κ. τ. λ. *Sap. xiii.* 1-19. *xiv.* 1-31. [τινες τον κοσμον μαλλον η τον κοσμοποιον θαυμασαντες. *Philo de Mund. Opific. p.* 2.] [εσεβασθησαν· σεβασμασι προσεκυνησαν. *Hesych.*] *Conf. Act. xvii.* 23.

26 Δια τουτο παρεδωκεν αυτους ὁ Θεος εις παθη ατιμιας· αἱ τε γαρ θηλειαι αυτων μετηλλαξαν την φυσικην χρησιν εις την παρα φυσιν,

δια τουτο. *Mich. iii.* 12. τῳ αρσενι η τῃ θηλειᾳ. *Lev. xvi.* 33. και χρασθε αυταις (θυγατρασι) καθα αν αρεσκοι ὑμιν. *Gen. xix.* 8. [μη γενησθε ὡς Σιδομα, ἡτις ενηλλαξε ταξιν φυσεως αὐτης. *Test. XII Patr. p.* 666.] *Conf. Gen. xix.* 5. *Lev. xviii.* 21, 23. *Ephes. v.* 11. *Juda.* 10. μη παραδῳς με τοις αδικουσι με. *Ps. cxviii.* 121. μετεωρισμον οφθαλμων μη δῳς μοι. *Sir. xxiii.* 4. αφηκα ουν αυτους τῃ αρεσκειᾳ της καρδιας αυτων, ὁδευειν ταις βουλαις αυτων. *Ps. lxxx.* 12. *Sym.* [παρα δικην. *Jos. Ant. iv.* 13. 2.]

27 Ὁμοιως τε και οἱ αρρενες, αφεντες την φυσικην χρησιν της

θηλειας, εξεκαυθησαν εν τῃ ορεξει αὑτων εις αλληλους, αρσενες εν αρσεσι την ασχημοσυνην κατεργαζομενοι, και την αντιμισθιαν ἡν εδει της πλανης αυτων εν ἑαυτοις απολαμβανοντες.

ψυχη θερμη ὡς πυρ καιομενον. *Sir. xxiii.* 16. κοιλιας ορεξις και συνουσιασμος. *xxiii.* 6. ἱνα μη εν τῃ ασχημοσυνῃ σου προσκοψῃ. *xxx.* 13. αἱ πλαναι ἡμων και αἱ ανομιαι ἡμων εφ᾽ ἡμιν εισι. *Ezech. xxxiii.* 10. *Conf. Lev. xviii.* 22. 2 *Mac. vi.* 4. *Ps. cxl.* 4.

28 *Και καθως ουκ εδοκιμασαν τον Θεον εχειν εν επιγνωσει, παρεδωκεν αὑτους ὁ Θεος εις αδοκιμον νουν, ποιειν τα μη καθηκοντα,*

εδοκιμασαν. *Sir. xxxiv.* 26. 2 *Mac. iv.* 3. ουκ εστιν ὁ Θεος ενωπιον αυτου. *Ps. ix.* 24. την ὁδον εχειν. *Job. xvii.* 9. οἱ επιλανθανομενοι του Θεου. *Ps. xlix.* 22. αδοκιμον αργυριον. *Prov. xxv.* 4. *Esa. i.* 22. και διεστρεψαν τον ἑαυτων νουν. *Susan.* 9. 56. παρεδωκε γαρ με ὁ Κυριος εις χειρας αδικων. *Job. xvi.* 12. τα μη καθηκοντα. 2 *Mac. vi.* 4. χαριν αδιαφορου πολλοι ἡμαρτον. *Sir. xxvii.* 1. ὁτι ασχημον εποιησε. *Gen. xxxiv.* 7. *Sap. xiv.* 22. *Prov. xx.* 23. *Conf. Eph. v.* 3. εις δε τον μεγιστον Θεον τα μη καθηκοντα λαλων. 3 *Mac. iv.* 16. [πας αφρων, λογοις και βουλαις και πραξεσιν αδοκιμοις και πεφορημεναις χρωμενος. *Philo de Confus. Lang. extr.*]

29 *Πεπληρωμενους πασῃ αδικιᾳ, πορνειᾳ, πονηριᾳ, πλεονεξιᾳ, κακιᾳ· μεστους φθονου, φονου, εριδος, δολου, κακοηθειας·*

και γε καρδια υἱων του ανθροπου επληρωθη πονηρου. *Eccles. ix.* 3. *Act. ix.* 36. γενναιῳ πεπληρωμενη φρονηματι. 2 *Mac. vii.* 21. μεστος γαρ ζηλου θυμος ανδρος. *Prov. vi.* 34. φθονος. *Sap. ii.* 24. 1 *Mac. viii.* 16. ερις. *Sir. xl.* 5. 9. *xxviii.* 11. δολος. *Ps. xxxiv.* 20. κακοηθεια. *Additt. Est. viii.* 16. 3 *Mac. iii.* 22. *vii.* 3. παντας δ᾽ επιμιξ εχει αἱμα και φονος, κλοπη και δολος, φθορα, απιστια, ταραχη, επιορκια, κ. τ. λ. *Sap. xiv.* 25-30. *Conf. Gen. vi.* 5.

30 *Ψιθυριστας, καταλαλους, θεοστυγεις, ὑβριστας, ὑπερηφανους, αλαζονας, εφευρετας κακων, γονευσιν απειθεις,*

μη κληθῃς ψιθυρος. *Sir. v.* 14. *xxi.* 28. πασης κακιας εὑρετης γενομενος. 2 *Mac. vii.* 31. ψυχη κακοτεχνος. *Sap. i.* 4. και εσομαι εναντιον αυτου ὡς καταφρονων. *Gen. xxvii.* 12. παντα ὑβριστην και ὑπερηφανον. *Esa. ii.* 12. θρασυς και αυθαδης και αλαζων λοιμος καλειται. *Prov. xxi.* 24. οφθαλμον καταγελωντα πατρος, κ. τ. λ. *Prov. xxx.* 17. [εις τε ανθρωπους ὑβρισται, και προς το θειον ασεβεις. *Jos. Ant. i.* 11. 1.] [κακων εὑρεται. *Philo in Flac. p.* 968.] γονεις. *Judith. v.* 8. *Tob. x.* 13. πασης κακιας εὑρετης. 2 *Mac. vii.* 31.

31 Ασυνετους, ασυνθετους, αστοργους, ασπονδους, ανελεημονας·

Conf. Sap. xiv. 24-26. ασυνθετοι. *Jer. iii.* 7. 10. ανελεημων. *Prov. v.* 9. ασυνθετοι—εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. [εχθρους ασπονδους. *Jos. Ant. iv.* 8. 24.]

32 Οἵτινες το δικαιωμα του Θεου επιγνοντες, (ὁτι οἱ τα τοιαυτα πρασσοντες αξιοι θανατου εισιν,) ου μονον αυτα ποιουσιν, αλλα και συνευδοκουσι τοις πρασσουσι.

εκλινα την καρδιαν μου του ποιησαι τα δικαιωματα σου. *Ps. cxviii.* 112. *et pass.* οἵτινες. *Conf. Ps. lxxxii.* 12. *Jon. iv.* 11. αξιοι μεν γαρ εκεινοι στερηθηναι φωτος. *Sap. xviii.* 4. *xiii.* 15. ει τις συνευδοκει τῳ νομῳ. 1 *Mac. i.* 57. θανατου. *Ezech. xviii.* 32. *Conf. Ose. vii.* 3. ει εθεωρεις κλεπτην, συνετρεχες αυτῳ, και μετα μοιχων την μεριδα σου ετιθεις. *Ps. xlix.* 18. και ειπε Δαυιδ προς Ναθαν, Ζῃ Κυριος, ὁτι υἱος θανατου ὁ ανηρ ὁ ποιησας τουτο—και ειπε—Συ ει ὁ ανηρ ὁ ποιησας τουτο. 2 *Reg. xii.* 5-7.

Κεφ. β. 2.

ΔΙΟ αναπολογητος ει, ω ανθρωπε, πας ὁ κρινων· εν ᾧ γαρ κρινεις τον ἑτερον, σεαυτον κατακρινεις· τα γαρ αυτα πρασσεις ὁ κρινων.

εν ᾧ γαρ κριματι κρινετε κριθησεσθε. *Matt. vii.* 2. *Luc. vi.* 37. *Joan. viii.* 7-9. *Conf.* 2 *Reg. xii.* 5. 1 *Cor. iv.* 5. *Jac. iii.* 1. *iv.* 11. [αναπολογητος εστι ὁ μη πιστευσας. *Clem. Alex. Strom. vii.* 2.]

2 Οιδαμεν δε ὁτι το κριμα του Θεου εστι κατα αληθειαν επι τους τα τοιαυτα πρασσοντας.

τα κριματα Κυριου αληθινα. *Ps. xviii.* 9. *cxviii.* 86. *Prov. xxix.* 14. *Cant. Tr. Lib.* 3, 4. επαποστελω θανατον εφ' ὑμας. *Lev. xxvi.* 25. *al.* ανδρα κατα τα εργα αυτου κρινει. *Sir. xvi.* 12. κριμα θανατου. *Deut. xxi.* 22. *Conf. Prov. xvii.* 15. ιδε συ τον μισουντα ανομα, και τον ολλυντα τους πονηρους, οντα αιωνιον δικαιον. *Job. xxxiv.* 17.

3 Λογιζῃ δε τουτο, ω ανθρωπε, ὁ κρινων τους τα τοιαυτα πρασσοντας, και ποιων αυτα, ὁτι συ εκφευξῃ το κριμα του Θεου;

ειπον γαρ ἑαυτοις λογισαμενοι ουκ ορθως. *Sap. ii.* 1. ουπω γαρ την του παντοκρατορος εποπτου Θεου κρισιν εκπεφευγας. 2 *Mac. vii.* 35. *Sir. xvi.* 13-17. *Conf. Jac. ii.* 13. ταυτα εποιησας, και εσιγησα, ὑπελαβες ανομιαν, ὁτι εσομαι σοι ὁμοιος, κ. τ. λ. P.

xlix. χειρι χειρας εμβαλων αδικως ουκ ατιμωρητος εσται, κ.τ.λ. *Prov. xi.* 21. *Conf. Gen. xviii.* 25. *Ps. ix.* 4. *Dan. iv.* 34.

4 Η του πλουτου της χρηστοτητος αυτου και της ανοχης και της μακροθυμιας καταφρονεις, αγνοων ὁτι το χρηστον του Θεου εις μετανοιαν σε αγει;

του πληθους του ελεους σου. *Ps. cv.* 7. [τους νεους—εις μετανοιαν απαγειν ὡν επραττον. *Jos. Ant. iv.* 6. 10.] ἡ φωνη του κλαυθμου μου. *Ps. vi.* 8. περι εξιλασμου μου μη αφοβος γινου προσθειναι ἁμαρτιαν εφ᾽ ἁμαρτιαις. *Sir. v.* 5. χρηστος και ευθυς ὁ Κυριος, δια τουτο νομοθετησει ἁμαρτανοντας εν ὁδῳ. *Ps. xxiv.* 8. εσται μακροθυμος τοις παραπτωμασι σου. *Dan. iv.* 24. ηγνοουν δε αυτην γενετιν ειναι τουτων. *Sap. vii.* 12. και παροράς ἁμαρτηματα ανθρωπων εις μετανοιαν, κ.τ.λ. *xi.* 23. και γαρ ὁ Κυριος δωσει χρηστοτητα. *Ps. lxxxiv.* 12. και εν τῃ χρηστοτητι σου διδαξον με τα δικαιωματα σου. *cxviii.* 68. συ δε ὁ Θεος ἡμων χρηστος και αληθης. *Sap. xv.* 1. *Conf. Esa. xxx.* 18. 1 *Pet. iii.* 9. 15. ἑνεκεν τινος παρωξυνεν ὁ ασεβης τον Θεον; ειπε γαρ εν καρδιᾳ αυτου, Ου ζητησει. *Ps. ix.* 13. *Eccles. viii.* 11-13. [την ὑπερβολην του πλουτου και της αγαθοτητος αυτου. *Philo.* 1. *Alleg. p.* 46.]

5 Κατα δε την σκληροτητα σου και αμετανοητον καρδιαν θησαυριζεις σεαυτῳ οργην εν ἡμερᾳ οργης και αποκαλυψεως δικαιοκρισιας του Θεου,

μη επιβλεψης επι την σκληροτητα του λαου. *Deut. ix.* 27. κατα, *propter.* 2 *Mac. vi.* 11. *Sir. xxix.* 9. θησαυριζουσιν ἑαυτοις κακα. *Prov. i.* 18. *Amos. iii.* 10. τις σκληρος γενομενος εναντιον αυτου ὑπεμεινε; *Job. ix.* 4. ἡμερα οργης, ἡ ἡμερα εκεινη. *Sophon. i.* 15. δικαιοκρισια. *Ose. vi.* 5. *alii.* παντες ουν ευλογησαντες του δικαιοκριτου Κυριου του τα κεκρυμμενα φανερα ποιουντος. 2 *Mac. xii.* 41, 42. *Conf. Prov. xvi.* 27. *Deut. xxxii.* 34, 35. *Cap. ix.* 22. *Jac. v.* 3. *Esa. xlviii.* 4. *Ez. iii.* 7. *Mich. vi.* 10. καρδια σκληρα βαρυνθησεται πονοις, και ὁ ἁμαρτωλος προσθησει ἁμαρτιαν εφ᾽ ἁμαρτιαις. *Sir. iii.* 27. ὁτι εις ἡμεραν απωλειας κουφιζεται ὁ πονηρος, εις ἡμεραν οργης αυτου απαχθησονται. *Job. xxi.* 30. και εν συντελειᾳ ανθρωπου αποκαλυψις εργων αυτου. *Sir. xi.* 27. *Conf.* 2 *Thess. i.* 5. [εν τῃ δικαιοκρισιᾳ του Θεου. *Test. XII Patr. p.* 547. αμετανοητῳ τηρει εις αιωνα την κολασιν. *p.* 685.] [ὡσπερ αγαθων, οὑτω και κακων παρα τῳ Θεῳ θησαυροι. *Philo.* 2 *Alleg. p.* 80. ὡς εν μεγαλῃ φησιν, ᾠδῃ, [*Deut. xxxii.* 33.] Ουκ ιδου ταυτα συνηκται παρ᾽ εμοι, και εσφραγισται εν τοις θησαυροις μου; εν ἡμερᾳ εκδικησεως, ὁταν σφαλῃ ὁ πους αυτων. *Philo. de Decal. pp.* 758, 990.] *Conf. Sir. xi.* 25.

6 Ὁς αποδωσει ἑκαστῳ κατα τα εργα αυτου·

συ αποδωσεις ἑκαστῳ κατα τα εργα αυτου. Ps. lxi. 12. Job. xxxiv. 11. Jer. xvii. 10. Rom. xiv. 12. Conf. Prov. xxiv. 12. Sir. xvi. 12. xxxii. (al. xxxv.) 19. Matt. xvi. 27.

7 Τοις μεν καθ' ὑπομονην εργου αγαθου, δοξαν και τιμην και αφθαρσιαν ζητουσι, ζωην αιωνιον·

τῃ κατ' ευσεβειαν διδασκαλιᾳ. 1 Tim. vi. 3. τοις μεν—τοις δε. Conf. Sturz. pp. 206, 207. οἱ δε ζητουντες τον Κυριον συνησουσιν εν παντι. Prov. xxviii. 5. και του ζητησαι σοφιαν και ψηφον. Eccles. vii. 26. οὑτοι εις ζωην αιωνιον. Dan. xii. 2. 4 Mac. 15. ὁ Θεος εκτισε τον ανθρωπον επ' αφθαρσιᾳ. Sap. ii. 23. ὁτι εστιν αθανασια εν συγγενειᾳ σοφιας. viii. 17. vi. 19, 20.

8 Τοις δε εξ εριθειας, και απειθουσι μεν τῃ αληθειᾳ, πειθομενοις δε τῃ αδικιᾳ, θυμος και οργη,

οἱ μεν εξ εριθειας. Phil. i. 16. αποθει πονηριᾳ, εκλεξασθαι το αγαθον. Esa. vii. 16. ὁτι μεγας ὁ θυμος και ἡ οργη Κυριου. Jer. xliii. 7. Gen. xxvii. 44. Ezech. v. 13. μη αντιλεγε τῃ αληθειᾳ. Sir. iv. 25. 1 Cor. xiii. 6. ὁτι ηπειθησαν τῳ ῥηματι του στοματος μου. Judith. ii. 6. Conf. Job. xxiv. 13. Ose. iv. 4. 2 Thess. i. 8. Gal. v. 12. Conf. Sir. xxviii. 11-13.

9 Θλιψις και στενοχωρια, επι πασαν ψυχην ανθρωπου του κατεργαζομενου το κακον, Ιουδαιου τε πρωτον και Ἑλληνος·

δια στενοχωριαν πνευματος στεναζοντες. Sap. v. 3. καιρος στενοχωριας σου. Sir. x. 26. εν τῃ στενοχωριᾳ σου, και εν τῃ θλιψει σου. Deut. xxviii. 53. Esa. viii. 22. xxx. 6. πασαι αἱ ψυχαι, υἱοι και θυγατερες. Gen. xlvi. 15. Conf. Amos. iii. 2.

10 Δοξα δε και τιμη και ειρηνη παντι τῳ εργαζομενῳ το αγαθον, Ιουδαιῳ τε πρωτον και Ἑλληνι·

και εργαζομενος δικαιοσυνην. Ps. xiv. 2. Soph. ii. 3. Conf. Ps. xxxvi. 37. Ιουδαιῳ—και Ἑλληνι. Conf. cap. i. 16.

11 Ου γαρ εστι προσωποληψια παρα τῳ Θεῳ.

Θεος—ου θαυμαζει προσωπον. Deut. x. 17. 2 Par. xix. 7. ου ληψεται προσωπον. Sir. xxxii. (al. xxxv.) 13. παντα τα εργα του ταπεινου φανερα παρα τῳ Θεῳ. Prov. xvi. 33. Conf. Act. x. 34. Job. xxxiv. 19. Gal. ii. 6. Ephes. vi. 9.

12 Ὁσοι γαρ ανομως ἡμαρτον, ανομως και απολουνται· και ὁσοι εν νομῳ ἡμαρτον, δια νομου κριθησονται·

Ζω εγω, λεγει Κυριος, ει πεποιηκε Σοδομα αὑτη και αἱ θυγατερες αυτης, ὁν τροπον εποιησας συ και αἱ θυγατερες σου. Ezech. xvi. 48.

13 (Ου γαρ οἱ ακροαται του νομου δικαιοι παρα τῳ Θεῳ, αλλ' οἱ ποιηται του νομου δικαιωθησονται.

ὁ πιστευων νομῳ, προσεχει εντολαις. *Sir.* xxxv. 24. προσαξατε προς ὑμας παντας τους ποιητας του νομου. 1 *Mac.* ii. 67. απο Κυριου δικαιωθησονται. *Esa.* xlv. 25. πως γαρ εσται δικαιος βροτος παρα Κυριῳ; *Job.* ix. 2. *Conf. Matt.* vii. 21. *Jac.* i. 22-25. 1 *Joan.* iii. 7. *Deut.* iv. 1. ὁσα ποιησει αυτα ανθρωπος, και ζησεται εν αυτοις. *Ezech.* xx. 11. [ουκ ηξιουμεν ὑμας πειρᾳ της του Θεου γνωμης εντος γεγενημενους, και νομων, ὡν αυτος ἡμιν δεδωκεν, ακροατας ὑπαρχοντας—ληθην λαβειν αυτου. *Jos. Ant.* v. 1. 26. *Conf.* v. 2. 7. *Krebs.*]

14 Ὁταν γαρ εθνη τα μη νομον εχοντα φυσει τα του νομου ποιῃ, οὑτοι νομον μη εχοντες, ἑαυτοις εισι νομος·

τα εθνη. *Lev.* xviii. 24. xxvi. 33. ματαιοι μεν γαρ παντες ανθρωποι φυσει. *Sap.* xiii. 1. αλλα πνευμα εστιν εν βροτοις· πνοη δε παντοκρατορος εστιν ἡ διδασκουσα. *Job.* xxxii. 8.

15 Οἱτινες ενδεικνυνται το εργον του νομου γραπτον εν ταις καρδιαις αὑτων, συμμαρτυρουσης αυτων της συνειδησεως, και μεταξυ αλληλων των λογισμων κατηγορουντων η και απολογουμενων,)

ἡ πονηρια—συνεχομενη τῃ συνειδησει. *Sap.* xvii. 11. καρδια. *Conf.* 1 *Reg.* iii. 20, 21. 2 *Reg.* xxiv. 10. *Jud.* i. 7. *Gen.* xx. 5. *Dan.* ii. 47. και ηκουσαν της φωνης Κυριου—και εκρυβησαν, κ.τ.λ. *Gen.* iii. 8-11. δικαιοσυνῃ δε προσεχων ου μην προωμαι, ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. *Job.* xxvii. 6. και επι καρδιας αυτων γραψω αυτους (νομους). *Jer.* xxxviii. 33. *Conf. Prov.* vii. 3. [αφ' ἡς οἱ μετα ταυτα ανθρωποι γραψαμενοι ταις ἑαυτων ψυχαις —τεχνην τῳ βιῳ παρεδοκαν. *Philo de opific.* p. 17. αυτος ἑκαστος αυτῳ το συνειδος εχων μαρτυρόυν, κ. τ. λ. *Jos. c. Ap.* ii. 30.]

16 Εν ἡμερᾳ ὁτε κρινει ὁ Θεος τα κρυπτα των ανθρωπων, κατα το ευαγγελιον μου, δια Ιησου Χριστου.

και αποκαλυψει Κυριος τα κρυπτα σου. *Sir.* i. 30. *Conf. Matt.* xxv. 31. *Act.* xvii. 31. 1 *Cor.* iv. 5. 2 *Tim.* iv. 1. 8. και αυτος κρινει την οικουμενην εν δικαιοσυνῃ, κρινει λαους εν ευθυτητι. *Ps.* ix. 8. συν τον δικαιον συν τον ασεβη κρινει. *Eccles.* iii. 17.

17 Ιδε, συ Ιουδαιος επονομαζῃ, και επαναπαυῃ τῳ νομῳ, και καυχασαι εν Θεῳ,

εξελεξατο Κυριος επονομασαι το ονομα. 2 *Par.* xii. 13. *Deut.*

xii. 5. επαναπαυσεται επι της χειρος μου. 4 *Reg. v.* 18. εν νομῳ διαθηκης Κυριου καυχησεται. *Sir. xxxix.* 8. *Conf. Rom. ix.* 4. *Joan. viii.* 33. *Esa. xlv.* 25. *Mich. iii.* 11. ακουσατε ταυτα οικος Ιακωβ, οἱ κεκλημενοι επι τῳ ονοματι Ισραηλ, κ.τ.λ. *Esa. xlviii.* 1, 2. πας ὁ ζηλων τῳ νομῳ κ.τ.λ. 1 *Mac. ii.* 27.

18 Και γινωσκεις το θελημα, και δοκιμαζεις τα διαφεροντα, κατηχουμενος εκ του νομου·

εγνωρισε—τοις υἱοις Ισραηλ τα θεληματα αυτου. *Ps. cii.* 7. και δοξῃ διαφεροντα. 2 *Mac. xv.* 13. ἡ εντολη Κυριου τηλαυγης φωτιζουσα οφθαλμους. *Ps. xviii.* 8. *Conf. Phil. i.* 10. *Matt. iii.* 9. *Joan. viii.* 33. *Deut. iv.* 8. *Mich. iii.* 11. *Neh. ix.* 13. [σε πολλα κατηχησω των αγνοουμενων. *Jos. Vit.* § 65.]

19 Πεποιθας τε σεαυτον ὁδηγον ειναι τυφλων, φως των εν σκοτει,

της σοφιας ὁδηγος (*Deus*). *Sap. vii.* 15. και αξω τυφλους εν ὁδῳ ἡ ουκ εγνωσαν. *Esa. xlii.* 16. ὁ λαος ὁ πορευομενος εν σκοτει, ιδετε φως μεγα. *ix.* 2. *xlix.* 6. *Deut. xxviii.* 29. *Conf. Matt. v.* 14. *Esa. xlii.* 19. οἱ τιθεντες το σκοτος φως, και το φως σκοτος. *Esa. v.* 20.

20 Παιδευτην αφρονων, διδασκαλον νηπιων, εχοντα την μορφωσιν της γνωσεως και της αληθειας εν τῳ νομῳ.

ανηρ πανουργος και πολλων παιδευτης. *Sir. xxxvii.* 19. 4 *Mac.* 5. διδασκαλος. 2 *Mac. i.* 10. μορφωματα. *Gen. xxxi.* 19. *Aq. Conf. Esa. xxxiii.* 18. της γνωσεως της αληθειας = ελπιδος της σωτηριας. 2 *Mac. iii.* 29. *Conf.* 2 *Tim. iii.* 5.

21 Ὁ ουν διδασκων ἑτερον, σεαυτον ου διδασκεις; ὁ κηρυσσων μη κλεπτειν, κλεπτεις;

Conf. Mich. iii. 11. [illegible] 4-6.

22 Ὁ λεγων μη μοιχευειν, μοιχευεις; ὁ βδελυσσομενος τα ειδωλα, ἱεροσυλεις;

ει δε ὑμεις πεποιθατε επι λογοις ψευδεσιν, ὁθεν ουκ ωφεληθησεσθε, και φονευετε, και μοιχασθε, κ.τ.λ. *Jer. vii.* 8, 9. [ου τα κρυπτα μεν των ἁμαρτηματων ηδοξηκατε, κλοπας λεγω, και ενεδρας, και μοιχειας· ἁρπαγαις δ' εριζετε και φονοις, κ.τ.λ. *Jos. Bell. v.* 4. *p.* 1243.] τῳ δε ἁμαρτωλῳ ειπεν ὁ Θεος, Ἱνατι συ διηγῃ τα δικαιωματα μου και αναλαμβανεις την διαθηκην μου δια στοματος σου;—ει εθεωρεις κλεπτην συνετρεχες αυτῳ, και μετα μοιχων την μεριδα σου ετιθεις. *Ps. xlix.* 16-18. αδικιαν εμισησα και εβδελυξαμην. *Ps. cxviii.* 163. *Conf. Matt. xxiii.* 1 *Mac. vii.* 18.

Mal. i. 8. 14. *iii.* 8. *Marc. xi.* 17. αυτον δε τον ἱεροσυλον παρα το γαζοφυλακιον εχειρωσαντο. 2 *Mac. iv.* 42.

23 Ὃς εν νομῳ καυχασαι, δια της παραβασεως του νομου τον Θεον ατιμαζεις;

ποιουντας παραβασεις εμισησα. *Ps. c.* 3. και ητιμωσεν ὁρκωμοσιαν του παραβηναι διαθηκην. *Ezech. xvii.* 18. *Conf. Luc. x.* 26-29. *Matt. xxiii.* 3. *xix.* 17. πως ερειτε, Ὅτι σοφοι εσμεν ἡμεις, και νομος Κυριου μεθ' ἡμων εστι; κ. τ. λ. *Jer. viii.* 8, 9.

24 Το γαρ ονομα του Θεου δι' ὑμας βλασφημειται εν τοις εθνεσι, καθως γεγραπται.

δι' ὑμας διαπαντος το ονομα μου βλασφημειται εν τοις εθνεσι. *Esa. lii.* 5. *Conf.* 2 *Reg. xii.* 14. *Ezech. xx.* 5-10. 41. *xxxvi.* 20-23. καθως γεγραπται. 2 *Par. xxv.* 4. *Neh. x.* 34. [τι δε σιγαται παρ' ὑμιν, η τι κρυπτεται, τι δ' ουχι και τοις εχθροις φανερον γεγονε; πομπευετε γαρ παρανομουντες, και καθ' ἡμεραν εριζετε, κ. τ. λ. *Jos. Bell. Jud. v.* 4. *p.* 1244.] *CITAT.* 138.

25 Περιτομη μεν γαρ ωφελει, εαν νομον πρασσῃς· εαν δε παραβατης νομου ῃς, ἡ περιτομη σου ακροβυστια γεγονεν.

περιτομῃ περιτμηθησεται ὁ οικογενεης. *Gen. xvii.* 13. ψυχας γαρ των αυτῳ χρωμενων ωφελει. *Prov. xxv.* 13. περιετεμε την ακροβυστιαν του υἱου αυτης. *Exod. iv.* 25. πρασσειν τα δικαια. *Prov. xxi.* 7. *Conf. Lev. xxvi.* 41. *Act. vii.* 51.

26 Εαν ουν ἡ ακροβυστια τα δικαιωματα του νομου φυλασσῃ, ουχι ἡ ακροβυστια αυτου εις περιτομην λογισθησεται,

και φυλαξῃς παντα τα δικαιωματα αυτου. *Exod. xv.* 26. φυλασσε νομους πατρος σου. *Prov. vi.* 20. και ελογισθη αυτῳ εις δικαιοσυνην. *Gen. xv.* 6. και λογισθησεται τῳ ανθρωπῳ εκεινῳ αἱμα. *Lev. xvii.* 4. 1 *Reg. i.* 13. *Conf. Matt. viii.* 10. *Act. x.* 34. *Deut. xxx.* 6. και περιτεμεσθε την σκληροκαρδιαν ὑμων ανδρες Ιουδα, κ. τ. λ. *Jer. iv.* 4. ιδου ἡμεραι ερχονται, λεγει Κυριος, και επισκεψομαι επι παντας περιτετμημενους ακροβυστιας αυτων. *ix.* 25. επιστευσε τῳ Θεῳ σφοδρα, και περιετμετο την σαρκα της ακροβυστιας αυτου, και προσετεθη προς τον οικον Ισραηλ. *Judith. xiv.* 10. απεριτμητα ωτα. *Jer. vi.* 10. *Conf. Judith. xv.* 18. απεριτμητος και ακαθαρτος. *Esa. lii.* 1. 1 *Mac. i.* 48.

27 Και κρινει ἡ εκ φυσεως ακροβυστια, τον νομον τελουσα, σε τον δια γραμματος και περιτομης παραβατην νομου;

του τελεσθηναι λογον Κυριου. *Esd. i.* 1. *Conf. Matt. xii.* 41. 2 *Cor.*

iii. 6. Ezech. xvi. 48. ταδε λεγει Κυριος τοις ευνουχοις, ὁσοι αν φυλαξωνται τα σαββατα μου, κ. τ. λ. *Esa. lvi. 4-7.*

28 Ου γαρ ὁ εν τῳ φανερῳ Ιουδαιος εστιν, ουδε ἡ εν τῳ φανερῳ εν σαρκι περιτομη·

απεριτμητος καρδιᾳ και απεριτμητος σαρκι. *Ezech. xliv. 9.* και εν σαρκι αυτου εστησε διαθηκην. *Sir. xliv. 20. Conf. Joan. viii. 39. Rom. ix. 7. Apoc. ii. 9. Ps. l. 6.* ὡς αγαθος ὁ Θεος τῳ Ισραηλ, τοις ευθεσι καρδιᾳ. *Ps. lxxii. 1.* αποπλυνε απο κακιας την καρδιαν σου Ἱερουσαλημ, ἱνα σωθῃς. *Jer. iv. 14.*

29 Αλλ' ὁ εν τῳ κρυπτῳ Ιουδαιος, και περιτομη καρδιας εν πνευματι, ου γραμματι· οὑ ὁ επαινος ουκ εξ ανθρωπων, αλλ' εκ του Θεου.

ακροβυστιαν της καρδιας. *Deut. xviii. 16. Aq.* και περιτεμεισθαι την σκληροκαρδιαν ὑμων. *Deut. x. 16. Orat. Manass. 11.* λεγοντων ἑαυτους Ιουδαιους ειναι, και ουκ εισι. *Apoc. iii. 9.* [περιτεμνεσθε τας σκληροκαρδιας· το δε εστι, τας περιττας φυσεις του ἡγεμονικου—μετα σπουδης αποκειρασθε. *Philo. de Victim. p. 661. Edit. Col.*] ανθρωπος οψεται εις προσωπον, ὁ δε Θεος οψεται εις καρδιαν. *1 Reg. xvi. 7. Sap. xv. 19.*

ΚΕΦ. γ. 3.

ΤΙ ουν το περισσον του Ιουδαιου, η τις ἡ ωφελεια της περιτομης;

τις ωφελεια εν τῳ αἱματι μου; *Ps. xxix. 11. Job. xxi. 15. Conf. Eccles. i. 3. Dan. v. 14.* ὁτι πνευμα περισσον εν αυτῳ. *vi. 3.*

2 Πολυ, κατα παντα τροπον. πρωτον μεν γαρ ὁτι επιστευθησαν τα λογια του Θεου.

πολυ. *Dan. vi. 14.* κατα παντα γαρ Κυριε εμεγαλυνας τον λαον σου. *Sap. xix. 22.* του μελεταν τα λογια σου. *Ps. cxviii. 148.* τα λογια Κυριου λογια ἁγνα. *xi. 6.* [νομοι και τα χρησθεντα λογια. *Philo Vit. Mos. p. 668.*] κατα παντα τροπον. *Num. xviii. 7. Conf. Deut. vii. 7. Ps. cxlvii. 19, 20. Ephes. ii. 12. Neh. ix. 13, 14.* [πυλη, ἡν αυτος επιστευετο. *Jos. Bell. Jud. v. 13. 7.*] ταυτα παντα βιβλος διαθηκης Θεου ὑψιστου, νομον ὁν ενετειλατο Μωϋσης, κληρονομιαν συναγωγαις Ιακωβ. *Sir. xxiv. 23.* [λογια θεοχρηστα. *Philo. Leg. ad Cai. p. 1022.*]

3 Τι γαρ, ει ηπιστησαν τινες; μη ἡ απιστια αυτων την πιστιν του Θεου καταργησει;

απιστουντες την του Θεου δικην. 2 Mac. viii. 13. απιστια. Sap. xiv. 25. φυτευμα απιστον. Esa. xvii. 10. και νυν θετε γνωμην καταργησαι τους ανδρας. Esd. iv. 21. v. 5. vi. 8. Conf. Num. xxiii. 19. Esa. liv. 9, 10. Cap. ix. 6. 2 Tim. ii. 13. Heb. iv. 2.

4 Μη γενοιτο· γινεσθω δε ὁ Θεος αληθης, Πας δε ανθρωπος ψευστης, καθως γεγραπται, Ὁπως αν δικαιωθῃς εν τοις λογοις σου, και νικησῃς εν τῳ κρινεσθαι σε.

μη γενοιτο τοις παισι σου ποιησαι κατα το ῥημα τουτο. Gen. xliv. vii. 17. 1 Mac. ix. 10. εγω δε ειπα—Πας ανθρωπος ψευστης. Ps. cxv. 11. CITAT. 139. Κυριος μονος δικαιωθησεται. Sir. xviii. 2. Thren. iii. 36. Ps. cvii. 6. lxi. 9. Conf. Joan. iii. 33. Job. xl. 8. καθως γεγραπται. Tob. i. 16. [Sturz. p. 74.] ὁπως αν δικαιωθῃς εν τοις λογοις σου, και νικησῃς εν τῳ κρινεσθαι σε. Ps. l. 4. CITAT. 140.

5 Ει δε ἡ αδικια ἡμων Θεου δικαιοσυνην συνιστησι, τι ερουμεν; μη αδικος ὁ Θεος ὁ επιφερων την οργην; (κατα ανθρωπον λεγω·)

ὁ Θεος ευ συνεστησεν αυτης τον ὁδον. Job. xxviii. 23. τι ουν ερουμεν προς ταυτα; Cap. viii. 31. 1 Esd. viii. 82. εγω επιφερω την χειρα μου επ᾽ αυτους. Zach. ii. 9. Conf. Ps. vii. 11. 1 Cor. ix. 8. Gal. iii. 15. την οργην μου εις εθνος ανομον αποστελω, κ. τ. λ. Esa. x. 6. ανθρωπινον λεγω. Cap. vi. 19. Conf. 2 Reg. vii. 14. Loesner. p. 331.

6 Μη γενοιτο· επει πως κρινει ὁ Θεος τον κοσμον;

ὁ κρινων πασαν την γην ου ποιησεις κρισιν; Gen. xviii. 25. Job. viii. 3. xxxiv. 17. Ps. ix. 8. xi. 5-7. xlix. 6. xcv. 13.

7 Ει γαρ ἡ αληθεια του Θεου εν τῳ εμῳ ψευσματι επερισσευσεν εις την δοξαν αυτου, τι ετι καγω ὡς ἁμαρτωλος κρινομαι;

ἡνικα αν ψευσησθε Κυριῳ τῳ Θεῳ μου. Jos. xxiv. 27. Jer. v. 12. Esa. lvii. 11. Job. viii. 18. ψευσμα. Job. xiii. 4. Ps. lxi. 5. Sym. Prov. xxiii. 3. Aq. Theod. και εσομαι εναντιον αυτου ὡς καταφρονων. Gen. xxvii. 12. ἁμαρτωλος. Ps. xlix. 16. Num. xvi. 38.

8 Και μη, (καθως βλασφημουμεθα, και καθως φασι τινες ἡμας λεγειν,) ὁτι, Ποιησωμεν τα κακα ἱνα ελθῃ τα αγαθα; ὡν το κριμα ενδικον εστι.

ἱνα. 2 Mac. vi. 24. [ενδικον· αληθες, δικαιον, αξιον. Hesych.]

9 Τι ουν προεχομεθα; ου παντως· προῃτιασαμεθα γαρ Ιουδαιους τε και Ἑλληνας παντας ὑφ᾽ ἁμαρτιαν ειναι,

προεχει δε ὁ γοργευσαμενος εις σοφιαν. Eccles. x. 10. Sym. οἱ ὑπ᾽

αυτον. 1 *Esd. iii.* 1. οὑτοι ὑπο σε εισι. *Deut. xxxiii.* 3. μνησθητι ὁτι παντες εσμεν εν επιτιμιοις. *Sir. viii.* 5. *Conf. Gal. iii.* 22. παντως. *Tob. xiv.* 8. οἱ λεγοντες, Πορρω απ' εμου, μη εγγισῃς μοι, ὁτι καθαρος ειμι, κ.τ.λ. *Esa. lxv.* 5. *Sap. xiii.* 1.

10 Καθως γεγραπται, ὁτι, Ουκ εστι δικαιος ουδε εἱς·

11 Ουκ εστιν ὁ συνιων, ουκ εστιν ὁ εκζητων τον Θεον·

12 Παντες εξεκλιναν, ἁμα ηχρειωθησαν. ουκ εστι ποιων χρηστοτητα, ουκ εστιν ἑως ἑνος.

13 Ταφος ανεῳγμενος ὁ λαρυγξ αυτων, ταις γλωσσαις αὑτων εδολιουσαν· ιος ασπιδων ὑπο τα χειλη αυτων·

14 Ὡν το στομα αρας και πικριας γεμει.

15 Οξεις οἱ ποδες αυτων εκχεαι αἱμα·

16 Συντριμμα και ταλαιπωρια εν ταις ὁδοις αυτων·

17 Και ὁδον ειρηνης ουκ εγνωσαν.

18 Ουκ εστι φοβος Θεου απεναντι των οφθαλμων αυτων.

10-18.] καθως γεγραπται εν τῳ νομῳ. *Dan. ix.* 13. ουκ εστι ποιων χρηστοτητα, ουκ εστιν ἑως ἑνος. Κυριος εκ του ουρανου διεκυψεν επι τους υἱους των ανθρωπων του ιδειν ει εστι συνιων η εκζητων τον Θεον. Παντες εξεκλιναν, ἁμα ηχρειωθησαν, ουκ εστι ποιων χρηστοτητα, ουκ εστιν ἑως ἑνος, κ. τ. λ. *Ps. xiii.* 1-3. *Esa. lii.* 2, 3. ιδων Κυριος ὁ Θεος ὁτι επληθυνθησαν αἱ κακιαι των ανθρωπων επι της γης, και πας τις διανοειται εν τῃ καρδιᾳ επιμελως επι τα πονηρα πασας τας ἡμερας, κ. τ. λ. *Gen. vi.* 5, 6. *apud Philonem, p.* 231. 253. *Edit. Col.* *CITAT.* 141.

19 Οιδαμεν δε ὁτι ὁσα ὁ νομος λεγει, τοις εν τῳ νομῳ λαλει· ἱνα παν στομα φραγῃ, και ὑποδικος γενηται πας ὁ κοσμος τῳ Θεῳ.

φραξεις δε παν στομα αδικον. 2 *Mac. xiv.* 36. *Ald.* τι γαρ; μη καθαρος εσται βροτος εναντιον του Κυριου; η απο των εργων αυτου αμεμπτος ανηρ; *Job. iv.* 17. *xi.* 4. φρασσει τα ωτα αυτου του μη επακουσαι. *Prov. xxi.* 13. *Conf. Ezech. xvi.* 63. *Prov. xx.* 8. 1 *Reg. ii.* 2. [ὑποδικος τῃ του βασιλεως κρισει. *Act. Thom. c.* 5.] [το στομα αποφρασσειν. *Philo. de Leg. p.* 788.] ὁπως μνησθῃς και αισχυνθῃς, και μη ᾐ σοι ετι ανοιξαι το στομα σου απο προσωπου της ατιμιας σου, εν τῳ εξιλασκεσθαι με σοι κατα παντα ὁσα εποιησας, λεγει Κυριος. *Ezech. xvi.* 63. ει εισι σοι λογοι,

αποκριθητι μοι· λαλησον, θελω γαρ δικαιωθηναι σε. Ει μη, συ ακουσον μου, κωφευσον και διδαξω σε. Job. xxxiii. 32, 33.

20 Διοτι εξ εργων νομου ου δικαιωθησεται πασα σαρξ ενωπιον
αυτου· δια γαρ νομου επιγνωσις ἁμαρτιας.

ου δικαιωθησεται ἐνωπιον σου πας ζων. Ps. cxlii. 2. *ὁ αγαπων χρυσιον ου δικαιωθησεται. Sir. xxxiv.* 5. *πως γαρ εσται δικαιος βροτος παρα* Κυριου; *Job. ix.* 2. *xi.* 4. *xxv.* 4. *ὁτι κατεφθειρε πασα σαρξ την ὁδον αυτου επι της γης. Gen. vi.* 12. *ου πασα σαρξ, nemo mortalium. Sir. xxx.* 20. *Gen. ix.* 11. *xi.* 6. *Exod. x.* 15. *επιγνωσις Θεου. Ose. iv.* 1. 6. *vi.* 6. *μη γαρ λεγε, ὁτι καθαρος ειμι τοις εργοις και αμεμπτος εναντιον αυτου. Job. xi.* 4. *Conf. Gal. ii.* 16. *Tit. iii.* 5. *Act. xiii.* 39.

21 Νυνι δε χωρις νομου δικαιοσυνη Θεου πεφανερωται, μαρτυ-
ρουμενη ὑπο του νομου και των προφητων,

νυνι δε. Gen. xxxii. 10. *Exod. xxxii.* 34. *επιστευσεν* Ἁβραμ *τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. Gen. xv.* 6. *Ps. xxxi.* 2. *τας ανομιας των πατερων αυτων διαμαρτυραι αυτοις. Ezech. xx.* 4. *δια του νομου και των προφητων. Prol. Sir. Conf. Joan. v.* 46. *Act. xv.* 11. *Cap. i.* 17. *Luc. xxiv.* 27. *Apoc. xix.* 10.

22 Δικαιοσυνη δε Θεου δια πιστεως Ιησου Χριστου, εις παντας
και επι παντας τους πιστευοντας· ου γαρ εστι διαστολη·

και δωσω διαστολην ανα μεσον του εμου λαου. Exod. viii. 23. *ὁ πιστευων ου μη καταισχυνθῃ. Esa. xxviii.* 16. *Col. iii.* 11. *Cap. i.* 17.

23 Παντες γαρ ἡμαρτον, και ὑστερουνται της δοξης του Θεου,

εσταθη εν ζυγῳ, και εὑρεθη ὑστερουσα. Dan. v. 27. *Conf. Sir. xxv.* 24. *Sap. xiii.* 1. *Gen. iii.* 19. *vi.* 5. *Eccles. vii.* 21. *Ps. l.* 5. *ουκ εστιν ανθρωπος ὁς ουχ ἁμαρτησεται.* 3 *Reg. viii.* 46. *πας ανθρωπος εκ νεοτητος επι τα πονηρα, κ. τ. λ. Sir. xvii.* 16. *Comp.*

24 Δικαιουμενοι δωρεαν τῃ αυτου χαριτι, δια της απολυτρω-
σεως της εν Χριστῳ Ιησου,

δωρεαν ανευ αργυριου. Exod. xxi. 11. *Esa. lv.* 1. *Ose. xiv.* 4. *λυτρωσιν απεστειλε τῳ λαῳ αυτου. Ps. cx.* 9. *διοτι λυτρωσομαι αυτους. Zach. x.* 8. Κυριε βοηθε μου, και λυτρωτα μου. *Ps. xviii.* 14. *Conf. Esa. liii.* 4. 11. *Matt. xx.* 28. *Ephes. i.* 7. 1 *Pet. i.* 18.

25 Ὁν προεθετο ὁ Θεος ἱλαστηριον δια της πιστεως εν τῳ αυ-
του αἱματι, εις ενδειξιν της δικαιοσυνης αὑτου δια την παρεσιν
των προγεγονοτων ἁμαρτηματων

και επιθησεις το ἱλαστηριον επι την κιβωτον. *Exod. xxv.* 17-21. και του αγαγειν δικαιοσυνην αιωνιον. *Dan. ix.* 24. *Ps. cv.* 31. και ου μη παρῃ τα ἁμαρτηματα αυτων. *Sir. xxiii.* 2. [επιθεμα το προσαγορευομενον ἱλαστηριον. *Philo.* 3. *Vit. Mos. p.* 668. λυσιν ἁμαρτηματων. *Ibid. p.* 669. παρεσιν τε και εκλυσιν. *Ibid.*] *Conf.* 2 *Reg. xxiv.* 10. [παρεσιν· αφεσιν. *Hesych.*] δια του αἱματος των ευσεβων εκεινων, και του ἱλαστηριου του θανατου αυτων κ. τ. λ. 4 *Mac.* 18. προγενομενος αρχιερευς. 2 *Mac. xiv.* 3. εις ενδειξιν. *Conf. Sir. l.* 21. και αναγγελουσι την δικαιοσυνην αυτου λαῳ τῳ τεχθησομενῳ, ὁν εποιησεν ὁ Κυριος. *Ps. xxii.* 31. τις Θεος ὡσπερ συ, εξαιρων ανομιας, και ὑπερβαινων ασεβειας; *Mich. vii.* 18, 19.

26 Εν τῃ ανοχῃ του Θεου, προς ενδειξιν της δικαιοσυνης αυτου εν τῳ νυν καιρῳ, εις το ειναι αυτον δικαιον και δικαιουντα τον εκ πιστεως Ιησου.

ου γαρ εδωκεν αυτοις ανοχην. 1 *Mac. xii.* 25. εν τῳ νυν καιρῳ. *Gen. xxx.* 20. νομον και δικαιωματα. 1 *Mac. ii.* 21. *Conf. Act. xiii.* 39. 1 *Cor. iii.* 11. *Joan. iii.* 36. *vi.* 47. μη—αισχυνθης—περι κριματος δικαιωσαι τον ασεβη. *Sir. xlii.* 1. Κυριος ὁ Θεος εβουλευσατο ἱνα δικαιωθῃ, και μεγαλυνῃ αινεσιν. *Esa. xlii.* 21. ελεος και αληθεια συνηντησαν, δικαιοσυνη και ειρηνη κατεφιλησαν, κ. τ. λ. *Ps. lxxxiv.* 10. 11. *Conf.* 2 *Mac. i.* 24-26. *Zach. ix.* 9.

27 Που ουν ἡ καυχησις; Εξεκλεισθη· δια ποιου νομου; των εργων; ουχι, αλλα δια νομου πιστεως.

καυχησις. *Conf. Jer. ix.* 23, 24. αισχυνθητε απο καυχησεως ὑμων. *Jer. xii.* 13. νομος εργων. *Conf. Num. iv.* 16. *viii.* 15. και κατεληφθη και εξεκλεισθη. 2 *Mac. xiii.* 21. *Ald.* [ουκ ετι χωραν εχει. *Theod.*] τις καυχησεται ἁγνην εχειν την καρδιαν, η τις παρρησιασεται καθαρος ειναι απο ἁμαρτιων; *Prov. xx.* 9. *Conf.* 1 *Cor. i.* 31. *Ephes. ii.* 9. *Sophon. iii.* 11, 12.

28 Λογιζομεθα ουν, πιστει δικαιουσθαι ανθρωπον, χωρις εργων νομου.

μνησθησομαι της δικαιοσυνης σου μονου. *Ps. lxx.* 16. σωτηρια δε των δικαιων παρα Κυριου. *xxxvi.* 39. *Act. xiii.* 38. *Gal. ii.* 16.

29 Η Ιουδαιων ὁ Θεος μονον; ουχι δε και εθνων; Ναι και εθνων.

καταστησεις με εις κεφαλην εθνων. *Ps. xvii.* 43. εβασιλευσεν ὁ Θεος επι τα εθνη. *xlvi.* 8. ὁ παιδευων εθνη. *xciii.* 10. *Conf. Gen. xvii.* 5. *xxii.* 18. παντα τα εθνη ὁσα εποιησας ἡξουσι, και προσκυνησουσιν ενωπιον σου Κυριε, και δοξασουσι το ονομα σου. *Ps. lxxxv.* 9.

30 Επειπερ εἱς ὁ Θεος, ὁς δικαιωσει περιτομην εκ πιστεως και ακροβυστιαν δια της πιστεως.

δικαιος και σωτηρ, ουκ εστι παρεξ εμου. *Esa. xlv.* 21. δικαιωσις μια εσται τῳ προσηλυτῳ και τῳ εγχωριῳ, κ. τ. λ. *Lev. xxiv.* 22. *Conf. Jer. viii.* 8. *Zach. xiv.* 9.

31 Νομον ουν καταργουμεν δια της πιστεως; μη γενοιτο· αλλα νομον ἱστωμεν.

και εστησα την διαθηκην μου προς αυτους. *Exod. vi.* 4. *Conf. Gal. iii.* 24. στησω τον ὁρκον μου. *Gen. xxvi.* 3. *Dan. ix.* 12. του ποιησαι το θελημα σου ὁ Θεος μου εβουληθην, και τον νομον σου εν μεσῳ της καρδιας μου. *Ps. xxxix.* 8. Κυριος ὁ Θεος εβουλευσατο ἱνα δικαιωθῃ. *Esa. xlii.* 21. *Conf. Jer. xxxviii.* 33. ὁτι νομος παρ' εμου εξελευσεται, και ἡ κρισις μου εις φως εθνων. *Esa. li.* 4. *viii.* 20.

ΚΕΦ. δ. 4.

ΤΙ ουν ερουμεν Αβρααμ τον πατερα ἡμων εὑρηκεναι κατα σαρκα;

εμβλεψατε εις Ἁβρααμ τον πατερα ὑμων, κ. τ. λ. *Esa. li.* 2. Νωε δε εὑρε χαριν εναντιον του Κυριου του Θεου. *Gen. vi.* 8. *xviii.* 3. *xix.* 19. *Luc. i.* 30. απεριτμητος καρδιᾳ, και απεριτμητος σαρκι. *Ezech. xliv.* 9. *Sir. xxiii.* 16. και νυν τι ερουμεν; 1 *Esd. viii.* 82.

2 Ει γαρ Αβρααμ εξ εργων εδικαιωθη, εχει καυχημα. Αλλ' ου προς τον Θεον·

σωσον με και σωθησομαι, ὁτι καυχημα μου συ ει. *Jer. xvii.* 14. το καυχημα αυτων φοβος Κυριου. *Sir. x.* 22. *Conf. Ephes. ii.* 8. *Jer. ix.* 23, 24. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab. ii.* 4.

3 Τι γαρ ἡ γραφη λεγει; Επιστευσε δε Αβρααμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην.

και επιστευσεν Ἁβραμ κ. τ. λ. *Gen. xv.* 6. *Ps. cv.* 31. Ἁβρααμ ουχι εν πειρασμῳ εὑρεθη πιστος, και ελογισθη αυτῳ εις δικαιοσυνην; 1 *Mac. ii.* 52. [*citat. Philo. p.* 309. Αβρααμ γε τοι επιστευσε τῳ Θεῳ, και δικαιος ενομισθη. *Alleg. Lib.* 2 *p.* 79.] *Conf. Gal. iii.* 6. *Jac. ii.* 23. *Heb. xi.* 17. *Sir. xliv.* 19. δικαιοσυνη δικαιου ου μη εξελειται αυτον, εν ᾗ αν ἡμερᾳ πλανηθῃ, κ. τ. λ. *Ezech. xxxiii.* 12. *Conf. Gen. xii.* 11-16. *Jos. xxiv.* 3. *Eccles. vii.* 21. *CITAT.* 142.

4 Τῳ δε εργαζομενῳ ὁ μισθος ου λογιζεται κατα χαριν, αλλα κατα το οφειλημα·

ὁτι εστι μισθος τῃ εργασιᾳ ὑμων. 2 *Par. xv.* 7. ὁτι εστι μισθος

τοις σοις εργοις. *Jer xxxviii.* 16. ανοητῳ επερωτησαντι σοφιαν σοφια λογισθησεται. *Prov. xvii.* 28. *Conf. Matt. xx.* 14.

5 Τῳ δε μη εργαζομενῳ, πιστευοντι δε επι τον δικαιουντα τον ασεβη, λογιζεται ἡ πιστις αυτου εις δικαιοσυνην.

πιστευσωσιν επι σε. *Sap. xii.* 2. εν ουρανοις ὁ μαρτυς μου, κ. τ. λ. *Job. xvi.* 20. εαν ωσιν αἱ ἁμαρτιαι ὑμων ὡς φοινικουν, ὡς χιονα λευκανω, κ. τ. λ. *Esa. i.* 18. μη περι τουτων αισχυνθῃς—περι νομου ὑψιστου και διαθηκης, και περι κριματος δικαιωσαι τον ασεβη. *Sir. xlii.* 1, 2. μνησθησομαι της δικαιοσυνης σου μονου. *Ps. lxx.* 16.

6 Καθαπερ και Δαβιδ λεγει τον μακαρισμον του ανθρωπου, ᾡ ὁ Θεος λογιζεται δικαιοσυνην χωρις εργων,

και λογισθησεται τῳ ανθρωπῳ εκεινῳ αἱμα. *Lev. xvii.* 4.

7 Μακαριοι, ὡν αφεθησαν αἱ ανομιαι, και ὡν επεκαλυφθησαν αἱ ἁμαρτιαι.

8 Μακαριος ανηρ, ᾡ ου μη λογισηται Κυριος ἁμαρτιαν.

7, 8.] Μακαριοι ὡν αφεθησαν αἱ ανομιαι, κ. τ. λ. *Ps. xxxi.* 1, 2. *Conf. Ps. lxxxiv.* 2. *CITAT.* 143.

9 Ὁ μακαρισμος ουν οὑτος επι την περιτομην, η και επι την ακροβυστιαν; λεγομεν γαρ ὁτι ελογισθη τῳ Αβρααμ ἡ πιστις εις δικαιοσυνην·

επι την περιτομην, (*i. e.* μονον.) *Ita, Gen. xlv.* 8. *Exod. xvi.* 8. *Prov. viii.* 10. *Joel. ii.* 13. επισκεψομαι επι παντας περιτετμημενους ακροβυστιας αυτων. *Jer. ix.* 25. *Gen. xxvii.* 13. πεποιθως δε επι Κυριῳ μακαριστος. *Prov. xvi.* 20. *Alex.*

4-9.] [οὑτος ὁ μακαρισμος εγενετο επι τους εκλελεγμενους ὑπο του Θεου δια Ιησου Χριστου, κ. τ. λ. *Clem. Rom. i.* 50.]

10 Πως ουν ελογισθη; εν περιτομῃ οντι, η εν ακροβυστιᾳ; ουκ εν περιτομῃ, αλλ᾽ εν ακροβυστιᾳ·

επιστευσεν Ἀβραμ κ. τ. λ. *Gen. xv.* 6. και περιτμηθησεσθε την σαρκα. *xvii.* 11. Κυριε ανταποδωσεις ὑπερ εμου. *Ps. cxxxvii.* 8.

11 Και σημειον ελαβε περιτομης, σφραγιδα της δικαιοσυνης της πιστεως της εν τῃ ακροβυστιᾳ· εις το ειναι αυτον πατερα παντων των πιστευοντων δι᾽ ακροβυστιας, εις το λογισθηναι και αυτοις την δικαιοσυνην,

και εσται εις σημειον διαθηκης αναμεσον εμου και ὑμων. *Gen. xvii.* 11. *Exod. xii.* 13. *xxxi.* 13. *Ezech. xx.* 12-20. ὁτι κατεσφρα-

γισθη, και ουδεις αναστρεφει. Sap. ii. 5. Ἀβρααμ μεγας πατηρ πληθους εθνων. Sir. xliv. 19. θησομαι σε ὡς σφραγιδα. Agg. ii. 24. ὁτι πατερα πολλων εθνων τεθεικα σε. Gen. xvii. 5. Conf. Luc. xix. 9. εις το ειναι τα παντα. Sap. i. 14. Φινεες ὁ πατηρ ἡμων. 1 Mac. ii. 54. Conf. Gal. iii. 7. Deut. xxx. 6.

12 Και πατερα περιτομης τοις ουκ εκ περιτομης μονον, αλλα και τοις στοιχουσι τοις ιχνεσι της εν τῃ ακροβυστιᾳ πιστεως του πατρος ἡμων Αβρααμ.

συ γαρ ει πατηρ ἡμων, ὁτι Ἀβρααμ ουκ εγνω ἡμας. Esa. lxiii. 16. πατηρ του μελλοντος αιωνος. Esa. ix. 6. τας ὁδους σου Κυριε γνωρισον μοι, και τας τριβους σου διδαξον με. Ps. xxiv. 4. Esa. ii. 3. και προσκυνουσι τα ιχνη των ποδων σου. Esa. lx. 14. Comp. ου γινωσκεις ποιον στοιχησει. Eccles. xi. 16. Prov. ii. 20.

13 Ου γαρ δια νομου ἡ επαγγελια τῳ Αβρααμ η τῳ σπερματι αυτου, το κληρονομον αυτον ειναι του κοσμου, αλλα δια δικαιοσυνης πιστεως.

το σπερμα αυτου κληρονομησει γην. Ps. xxiv. 13. Gen. xii. 3. κληρονομησουσι οἱ εκλεκτοι μου. Esa. lxv. 8. εσῃ πατηρ πληθους εθνων. Gen. xvii. 4. ἑως τους κληρονομους αγαγωσι. Mich. i. 15. Conf. Gal. iii. 18. [ανηκε παντα τον κοσμον, ὡς κληρονομῳ κτησιν ἁρμοζουσαν. Philo. 1 Vit. Mos. p. 626.] Conf. Sap. x. 1.

14 Ει γαρ οἱ εκ νομου, κληρονομοι, κεκενωται ἡ πιστις, και κατηργηται ἡ επαγγελια·

ου μη αποστραφῃ προς με κενον. Esa. lv. 11. Ald. Comp.

15 Ὁ γαρ νομος οργην κατεργαζεται· οὑ γαρ ουκ εστι νομος, ουδε παραβασις.

παραβαινετε την διαθηκην μου. Ezech. xliv. 7. et pass. οἱ παραβαινοντες εντολας. Sir. x. 23. Comp. παραβαινειν τους πατριους νομους. 2 Mac. vii. 2. επικαταρατος πας ανθρωπος ὁς ουκ εμμενει εν πασι τοις λογοις του νομου τουτου, κ. τ. λ. Deut. xxvii. 15-26.

16 Δια τουτο εκ πιστεως, ἱνα κατα χαριν, εις το ειναι βεβαιαν την επαγγελιαν παντι τῳ σπερματι, ου τῳ εκ του νομου μονον, αλλα και τῳ εκ πιστεως Αβρααμ, ὁς εστι πατηρ παντων ἡμων,

και πληθυνων πληθυνω το σπερμα σου, κ. τ. λ. Gen. xxii. 17, 18. εμβλεψατε εις Ἀβρααμ τον πατερα ὑμων. Esa. li. 2. Ps. lxxxiv. 10.

17 (Καθως γεγραπται, ὁτι, Πατερα πολλων εθνων τεθεικα

σε,) κατεναντι ου επιστευσε Θεου, του ζωοποιουντος τους νεκρους, και καλουντος τα μη οντα ὡς οντα.

και εδεηθη Μωυσης κατεναντι του Θεου αυτου. *Exod. xxxii.* 11. *Alex.* θυμιαν κατεναντι αυτου. 2 *Par. ii.* 6. μη Θεος εγω του ζωοποιησαι, η του θανατωσαι; 4 *Reg. v.* 7. *Ald.* ὁ καλων αυτην απο γενεων αρχης. *Esa. xli.* 4. *Ps. civ.* 16. 4 *Reg. viii.* 1. *Sap. xi.* 25. τα μη οντα. 2 *Mac. vii.* 28. *et Grot. in loc. Conf. Heb. xi.* 12. ὁτι πατερα πολλων εθνων τεθεικα σε. *Gen. xvii.* 5. τις ὡσπερ εγω —στητω, και καλεσατω, και αναγγειλατω, και ἑτοιμασατω μοι αφ' οὑ εποιησα ανθρωπον, κ. τ. λ. *Esa. xliv.* 7. [τα γαρ μη οντα εκαλεσεν εις το ειναι. *Phil. de Cherub. p.* 728. εκ του μη οντος εις το ειναι. *Ib. p.* 693. εκ του μη οντος εις το ειναι το τελειοτατον εργον τον κοσμον ανεφυνε. *De Creat. p.* 728. *Coll. Loesner.*] [τους νεκρους—ζωοποιησαι. *Test. XII Patr. p.* 679.] *CITAT.* 144.

18 Ὁς παρ' ελπιδα επ' ελπιδι επιστευσεν, εις το γενεσθαι αυτον πατερα πολλων εθνων, κατα το ειρημενον, Οὑτως εσται το σπερμα σου·

ἡ σαρξ μου κατασκηνωσει επ' ελπιδι. *Ps. xv.* 9. οὑτως εσται το σπερμα σου. *Gen. xv.* 5. [*laudat Philo. p.* 485. *Mangey. De Abrah. p.* 58. *Edit. Col.*] *CITAT.* 145.

19 Και μη ασθενησας τῃ πιστει, ου κατενοησε το ἑαυτου σωμα ηδη νενεκρωμενον, ἑκατονταετης που ὑπαρχων, και την νεκρωσιν της μητρας Σαῤῥας·

ουδεις κατανοει. *Esa. lvii.* 1. ησθενησαν ταις διανοιαις. 1 *Mac. xi.* 49. και ησθενησατε πολλους εν νομῳ. *Mal. ii.* 8. νενεκρωμενος. *Heb. xi.* 12. και ουδεις ενδεχεται τῃ καρδιᾳ—και ουδεις κατανοει. *Esa. lvii.* 1. ει τῳ ἑκατονταετει γενησεται υἱος; *Gen. xvii.* 17. *xviii.* 11. *Heb. xi.* 8-12. *Sap. xii.* 16. 7.

20 Εις δε την επαγγελιαν του Θεου ου διεκριθη τῃ απιστιᾳ, αλλ' ενεδυναμωθη τῃ πιστει, δους δοξαν τῳ Θεῳ,

εμελετων εις σε. *Ps. lxii.* 6. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. επαγγελια. *Est. iv.* 7. 1 *Mac. x.* 15. δοτε δοξαν αινεσει αυτου. *Ps. lxv.* 1. δοτε δοξαν Κυριῳ τῳ Θεῳ. 2 *Par. xxx.* 8. και ενεδυναμωθη επι τῃ ματαιοτητι αυτου. *Ps. li.* 7. *Heb. xi.* 8. και εν πειρασμῳ εὑρεθη πιστος. *Sir. xliv.* 20.

21 Και πληροφορηθεις ὁτι ὁ επηγγελται, δυνατος εστι και ποιησαι.

μη αδυνατησει παρα τῳ Θεῳ ῥημα; *Gen. xviii.* 14. *Conf. Ps. cxvi.* 2. *Luc. i.* 37. πληροφορεισθαι. *Conf. Eccles. viii.* 11. παρεστι

γαρ σοι ὁταν θελῃς το δυνασθαι. Sap. xii. 18. *Cap. xiv.* 5. *Heb. vi.* 11. *x.* 22. 2 *Tim. i.* 12.

22 Διο και ελογισθη αυτῳ εις δικαιοσυνην.

Gen. xv. 6. *και επιστευσε—και ελογισθη αυτῳ εις δικαιοσυνην.* [*Philo. p.* 385. *Edit. Col.*]

23 Ουκ εγραφη δε δι' αυτον μονον, ὁτι—ελογισθη αυτῳ,—

Conf. 1 *Cor. vi.* 11. [*ὁτι. Hoogev. pp.* 582, 583.]

24 Αλλα και δι' ἡμας, οἱς μελλει λογιζεσθαι, τοις πιστευουσιν
επι τον εγειραντα Ιησουν τον Κυριον ἡμων εκ νεκρων,

ὁ εγειρας νεκρον εκ θανατου και εξ ᾀδου. Sir. xlviii. 5. *ὁ πιστευων επ' αυτῳ ου μη καταισχυνθῃ. Esa. xxviii.* 16. *B. Ald. Comp. Conf.* 1 *Pet. i.* 21. *Sap. xii.* 2. *Act. ii.* 24. *Esa. liii.* 5. *εμπιστευσατε εν Κυριῳ—και εμπιστευθησεσθε· εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε.* 2 *Par. xx.* 20. *Conf. Sophon. iii.* 8. *Ps. xv.* 10.

25 Ὁς παρεδοθη δια τα παραπτωματα ἡμων, και ηγερθη δια
την δικαιωσιν ἡμων.

δια τας ανομιας αυτων παρεδοθη. Esa. liii. 12. *Dan. ix.* 29. *Zach. xiii.* 1. *εγερθησονται οἱ εν τοις μνημειοις. Esa. xxvi.* 19. *Ose. vi.* 3. *Conf.* 1 *Joan. i.* 7. *Cap. viii.* 32. 1 *Cor. xv.* 17. 2 *Cor. v.* 21. *Dan. ix.* 24-26. *Zach. xiii.* 7. *δικαιωσαι δικαιον ευ δουλευοντα πολλοις. Esa. liii.* 11.

ΚΕΦ. ε. 5.

ΔΙΚΑΙΩΘΕΝΤΕΣ ουν εκ πιστεως, ειρηνην εχομεν προς τον Θεον δια του Κυριου ἡμων Ιησου Χριστου,

απο Κυριου δικαιωθησονται. Esa. xlv. 26. *ὁ δε δικαιος εκ πιστεως μου ζησεται. Hab. ii.* 4. *και ποιησω και ειρηνην και πιστιν. Jer. xl.* 6. *παιδεια ειρηνης ἡμων επ' αυτον. Esa. liii.* 5. *Conf. Ephes. ii.* 13. *γινου συ τῳ λαῳ τα προς τον Θεον. Exod. xviii.* 19. [*και Μωϋσην διδασκαλον της προς Θεον ευσεβειας πεποιημενον παρα τοις Ἑβραιοις. Jos. Ant. iii.* 2. 3.] [*και ἡμεις ουν δια θεληματος αυτου εν Χριστου Ιησου κληθεντες, ου δι' ἑαυτων δικαιουμεθα—αλλα δια της πιστεως, δι' ἡς παντας τους απ' αιωνος ὁ παντοκρατωρ Θεος εδικαιωσε, κ. τ. λ. Clem. Rom. Epist. i.* 32.] *Κυριε ανταποδωσεις ὑπερ εμου. Ps. cxxxvii.* 8. *Ιδου επι τα ορη οἱ ποδες ευαγγελιζομενου, και απαγγελλοντος ειρηνην. Nah. i.* 15.

2 Δι' οὑ και την προσαγωγην εσχηκαμεν τῃ πιστει εις την χα-

ριν ταυτην, εν ᾗ ἑστηκαμεν· και καυχωμεθα επ' ελπιδι της δοξης του Θεου.

και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 *Reg.* *xxiii.* 3. προσαγωγην εχομεν προς τον πατερα. *Ephes.* *ii.* 18. οὑτοι προσαξουσι προς με, του λειτουργειν μοι. *Ezech.* *xliv.* 15. προσαγαγετε εθνη. *Esa.* *xxxi.* 1. *xlviii.* 16. επ' αυτῳ καυχησεται. *Sir.* *xxx.* 2. *Jud.* *vii.* 2. *Prov.* *xxv.* 14. και κατοικιω σε επ' ελπιδι. *Ose.* *ii.* 18. [Κασσιος—αμφοτερους προσαγεται (*utrumque sibi conciliat*). *Jos.* *Ant.* *xiv.* 11. 2.]

3 Ου μονον δε, αλλα και καυχωμεθα εν ταις θλιψεσιν, ειδοτες ὁτι ἡ θλιψις ὑπομονην κατεργαζεται,

ου μονον—αλλα και. 3 *Mac.* *iii.* 23. ὁσας εδειξας μοι θλιψεις πολλας και κακας; *Ps.* *lxx.* 20. πολλαι αἱ θλιψεις των δικαιων. *xxxiii.* 19. και νυν τις ἡ ὑπομονη μου; ουχι ὁ Κυριος; *xxxviii.* 7. συ ει ἡ ὑπομονη μου, Κυριε. *lxx.* 5. ουαι ὑμιν τοις απολωλεκοσι την ὑπομονην. *Sir.* *ii.* 14. και ουκ αισχυνθησονται οἱ ὑπομενοντες με. *Esa.* *xlix.* 23. δυναμωσον ὁ Θεος τουτο, ὁ κατειργασω εν ἡμιν. *Ps.* *lxvii.* 28. *Ald.* *Comp.*

4 Ἡ δε ὑπομονη δοκιμην, ἡ δε δοκιμη ελπιδα,

θαρρει τοιγαρουν, ω μητερ ιεοψυχε, την ελπιδα της ὑπομονης εχουσα βεβαιαν προς τον Θεον, κ. τ. λ. 4 *Mac.* § 17. *Conf.* *Sir.* *xlii.* 8. εδοκιμασας με, και εγνως με. *Ps.* *cxxxviii.* 1. δοκιμασον με ὁ Θεος και γνωθι την καρδιαν μου. *v.* 23. *Conf.* *Jac.* *i.* 3. *Joan.* *xvi.* 20. εαν επαναστῃ επ' εμε πολεμος, εν ταυτῃ εγω ελπιζω. *Ps.* *xxvi.* 3.

5 Ἡ δε ελπις ου καταισχυνει· ὁτι ἡ αγαπη του Θεου εκκεχυται εν ταις καρδιαις ἡμων δια Πνευματος ἁγιου του δοθεντος ἡμιν.

ὁ πιστευων ου μη καταισχυνθῃ. *Esa.* *xxviii.* 16. *Joel.* *ii.* 26. *Sir.* *ii.* 10. 2 *Cor.* *i.* 22. *Ephes.* *i.* 14. και καινιει σε εν τῃ αγαπησει αυτου. *Sophon.* *iii.* 17. και αγαπᾳν το ονομα Κυριου. *Esa.* *l.* 6. και εγω σε ηγαπησα. *xliii.* 4. οἱ αγαπωντες το σωτηριον σου. *Ps.* *xxxix.* 16. αγαπᾳ Κυριος ὁσιας καρδιας. *Prov.* *xxii.* 11. επι σοι ηλπισαν, και ου κατῃσχυνθησαν. *Ps.* *xxi.* 5. και εκχεω επι τον οικον Δαυιδ—πνευμα χαριτος και οικτιρμου. *Zach.* *xii.* 10. *Esa.* *xliv.* 3-5. *Ezech.* *xxxvi.* 26, 27. *Tit.* *iii.* 6.

6 Ετι γαρ Χριστος οντων ἡμων ασθενων κατα καιρον ὑπερ ασεβων απεθανε.

ησθενησαν, και ουκ ην ὁ βοηθων. *Ps.* *cvi.* 12. τα γονατα μου ησθενησαν. *civ.* 24. εγω Κυριος, κατα καιρον συναξω αυτους. *Esa.* *lx.* 22. *Job.* *v.* 26. *Joan.* *v.* 4. *Ephes.* *ii.* 1. *Col.* *ii.* 13. 1 *Pet.* *iii.* 18.

και αναστησονται οἱ εκλεκτοι αυτου, και ουκ εσται ισχυς του στηναι. *Dan. xi.* 15. του σφραγισαι ἁμαρτιας, και απολειψαι τας αδικιας, κ. τ. λ. *ix.* 24-26. *Ezech. xvi.* 6. και επορευοντο εν ουκ ισχυϊ. *Thren. i.* 6. *Heb. vii.* 18. *Gal. iv.* 3, 4.

7 Μολις γαρ ὑπερ δικαιου τις αποθανειται· ὑπερ γαρ του αγαθου ταχα τις και τολμᾳ αποθανειν·

μη ποιησει καρπωσιν ὑπερ ὑμων. *Job. xlii.* 8. [και ει δεον θνησκειν ὑπερ αυτων (νομων) προθυμως αποθανουσιν κ. τ. λ. *Jos. c. Ap. ii.* 30.] ει δω πρωτοτοκα μου ὑπερ ασεβειας, καρπον κοιλιας μου ὑπερ ἁμαρτιας ψυχης μου; *Mich. vi.* 7. ὁ φιλος ὁ ισος τῃ ψυχῃ σου. *Deut. xiii.* 6. *Alex.* πραγματα τολμησαντες εξαλλοιωσαι. 3 *Mac. iii.* 21. τις δωῃ τον θανατον μου αντι σου; εγω αντι σου Αβεσσαλωμ; υἱε μου, υἱε μου. 2 *Reg. xviii.* 33. *Conf. Joan. xv.* 13. 1 *Joan. iii.* 16. ελεος ανθρωπου επι τον πλησιον αυτου, ελεος δε Κυριου επι πασαν σαρκα. *Sir. xviii.* 13. μη περι τουτων αισχυνθῃς—περι νομων ὑψιστου και διαθηκης και περι κριματος δικαιωσαι τον ασεβη. *xlii.* 2.

8 Συνιστησι δε την ἑαυτου αγαπην εις ἡμας ὁ Θεος, ὁτι ετι ἁμαρτωλων οντων ἡμων Χριστος ὑπερ ἡμων απεθανε.

ευνοιαν εις εμε. 2 *Mac. ix.* 26. αγαπησω αυτους ὁμολογως. *Ose. xiv.* 5. προς Θεον εστειλαντο φιλιαν δια τας εκ παιδειας δωρεας συσταθεντες. *Sap. vii.* 14. ὁ Θεος ευ συνεστησεν αυτης την ὁδον. *Job. xxviii.* 23. προσδεξαι την θυσιαν ὑπερ παντος του λαου. 2 *Mac. i.* 26. *Conf. Dan. ix.* 25. *Heb. ix.* 15. 1 *Pet. iii.* 18. εν ταις ἁμαρτιαις σου προεστης μου, και εν ταις αδικιαις σου, κ. τ. λ. *Esa. xliii.* 24, 25. *Conf. Sir. xiii.* 1, 3. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. ιδον σε πεφυρμενην εν τῳ αἱματι σου. *Ezech. xvi.* 6. 22. και Κυριος παρεδωκεν αυτον ταις ἁμαρτιαις ἡμων. *Esa. liii.* 6.

9 Πολλῳ ουν μαλλον, δικαιωθεντες νυν εν τῳ αἱματι αυτου, σωθησομεθα δι' αυτου απο της οργης.

πολλῳ μαλλον. *Prol. Sir.* δικαιωσαι δικαιον ευ δουλευοντα πολλοις. *Esa. liii.* 11. και συ εν αἱματι διαθηκης σου εξαπεστειλας. *Zach. ix.* 11. ἡ ψυχη πασης σαρκος αἱμα αυτου εστι. *Lev. xvii.* 14. *Citat Philo. p.* 382. *Edit. Col.* και σωσω ὑμας εκ πασων των ακαθαρσιων. *Ezech. xxxvi.* 29. Ιδου ὁ Θεος ἡμων, εφ' ᾡ ηλπιζομεν, και σωσει ἡμας. *Esa. xxv.* 9. 1 *Thess. i.* 10. *Exod. xii.* 13.

10 Ει γαρ εχθροι οντες κατηλλαγημεν τῳ Θεῳ δια του θανα-

του του υἱου αυτου, πολλῳ μαλλον καταλλαγεντες σωθησομεθα εν τῃ ζωῃ αυτου·

και καταλλαγειη ὑμιν. 2 *Mac. i.* 5-7. *xxxiii.* 8. 29. εν τῃ του μεγαλου δεσποτου καταλλαγῃ. *v.* 20. *viii.* 29. εν τῃ δικαιοσυνῃ αυτου —ζησεται. *Ezech. xviii.* 22. *Conf.* 2 *Cor. v.* 18. *Col. i.* 21. ὑγιασει ἡμας μετα δυο ἡμερας. εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, και ζησομεθα ενωπιον αυτου. *Ose. vi.* 3. *Ps. xxxv.* 9. *Sir. xlviii.* 14.

11 Ου μονον δε, αλλα και καυχωμενοι εν τῳ Θεῳ δια του Κυριου ἡμων Ιησου Χριστου, δι' οὑ νυν την καταλλαγην ελαβομεν.

και καυχησονται εν σοι παντες οἱ αγαπωντες το ονομα σου. *Ps. v.* 11. ευφρανθητε επι Κυριον και αγαλλιασθε δικαιοι, κ. τ. λ. *Ps. xxxi.* 11. ελεος και αληθεια συνηντησαν, κ. τ. λ. *lxxxiv.* 10.

12 Δια τουτο ὡσπερ δι' ἑνος ανθρωπου ἡ ἁμαρτια εις τον κοσμον εισηλθε, και δια της ἁμαρτιας ὁ θανατος, και οὑτως εις παντας ανθρωπους ὁ θανατος διηλθεν, εφ' ᾡ παντες ἡμαρτον.

απο γυναικος αρχη ἁμαρτιας, και δι' αυτην αποθνησκομεν παντες. *Sir. xxv.* 24. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον. *Sap. ii.* 24. κενοδοξιᾳ γαρ ανθρωπων εισηλθεν εις κοσμον. *Sap. xiv.* 14. θανατῳ αποθανεισθε. *Gen. ii.* 17. ἡμαρτομεν μετα των πατερων ἡμων. *Ps. cv.* 6. *Esa. xliii.* 27. εφ' ᾡ. 3 *Mac. iii.* 28. (*propterea quòd.*) ὁτι ανθρωπος ουκ εστι δικαιος εν τῃ γῃ, ὁς ποιησει αγαθον και ουχ ἁμαρτησεται. *Eccles. vii.* 21.

13 Αχρι γαρ νομου ἁμαρτια ἠν εν κοσμῳ· ἁμαρτια δε ουκ ελλογειται, μη οντος νομου·

μακαριος ανηρ ᾡ ου μη λογισηται Κυριος ἁμαρτιαν. *Ps. xxxi.* 2. [ουκ ελλογισω με μετα των ἁμαρτωλων εις απωλειαν. *Psalt. Sal. xvi.* 5.] *Conf. Philem.* 18.

14 Αλλ' εβασιλευσεν ὁ θανατος απο Αδαμ μεχρι Μωσεως και επι τους μη ἁμαρτησαντας επι τῳ ὁμοιωματι της παραβασεως Αδαμ, ὁς εστι τυπος του μελλοντος.

ᾳδου βασιλειον επι γης. *Sap. i.* 14. κατα τον τυπον. *Exod. xxv.* 40. [εις απομιμνησιν και διατυπωσιν των ὁλων. *Jos. Ant. iii.* 7. 7.] και εγεννησε κατα την ιδεαν αυτου, και κατα την εικονα αυτου. *Gen. v.* 3. επι, *secundum. Sap. i.* 13. *Conf.* 1 *Cor. xv.* 21, 22. οἱ πατερες ὑμων πρωτοι, και οἱ αρχοντες ὑμων ηνομησαν εις εμε. *Esa. xliii.* 27. ὁ εποιησεν ὁ Θεος συν τον ανθρωπον ευθη· και αυτοι εζητησαν λογισμους πολλους. *Eccles. vii.* 30. εικων του μελλοντος—σκοτους. *Sap. xvii.* 21. *Conf. Gen. iv.* 8. *v.* 5. 31. *vii.* 22. *xix.* 25. *Exod. i.* 6.

15 Αλλ' ουχ ὡς το παραπτωμα, οὑτω και το χαρισμα. ει

γαρ τῳ του ἑνος παραπτωματι οἱ πολλοι απεθανον, πολλῳ
μαλλον ἡ χαρις του Θεου και ἡ δωρεα εν χαριτι τῃ του ἑνος
ανθρωπου Ιησου Χριστου εις τους πολλους επερισσευσε.

και εξειλατο αυτον (Αδαμ) εκ παραπτωματος ιδιου. *Sap. x.* 1. οἱ πολλοι (*omnes.*) και αυτος ἁμαρτιας πολλων ανηνεγκε. *Esa. liii.* 12. αλλ' ουχ ὡς. *Ps. cxviii.* 85. *xxiv.* 11. *Conf. Esa. ix.* 6. ὡς—οὑτως. *Eccles. xi.* 5. *Dan. xii.* 2. *Joan. iv.* 10. *i.* 16. *Ephes. i.* 6.

16 Και ουχ ὡς δι' ἑνος ἁμαρτησαντος, το δωρημα· το μεν γαρ
κριμα εξ ἑνος εις κατακριμα, το δε χαρισμα εκ πολλων πα-
ραπτωματων εις δικαιωμα.

ὁτι εξεκλιναν εκ νομου Θεου, δικαιωματα δε αυτου ουκ επεγνωσαν. *Job. xxxiv.* 27. *Gen. iii.* 6-19. κατακριμα. *Sir. xliii.* 12. *A. C.*

17 Ει γαρ τῳ του ἑνος παραπτωματι ὁ θανατος εβασιλευσε
δια του ἑνος, πολλῳ μαλλον οἱ την περισσειαν της χαριτος και
της δωρεας της δικαιοσυνης λαμβανοντες, εν ζωῃ βασιλευσουσι
δια του ἑνος Ιησου Χριστου.

και ειδον εγω ὁτι εστι περισσεια τῃ σοφιᾳ ὑπερ την αφροσυνην ὡς περισσεια του φωτος ὑπερ το σκοτος. *Eccles. ii.* 13. δωρεα της οικιας. *Dan. v.* 17. κατευοδου, και βασιλευε· ἑνεκεν αληθειας και πραϋτητος και δικαιοσυνης. *Ps. xliv.* 4. *Esa. i.* 18.

18 Αρα ουν ὡς δι' ἑνος παραπτωματος, εις παντας ανθρωπους,
εις κατακριμα, οὑτω και δι' ἑνος δικαιωματος, εις παντας αν-
θρωπους, εις δικαιωσιν ζωης.

εις παντας ανθρωπους (εγενετο). *Ita*, εγενετο—εις ψυχην ζωσαν. 1 *Cor. xv.* 45. δικαιωσις. *Lev. xxiv.* 22. δικαιωμα. *Bar. ii.* 17. 19 εσονται—εις σαρκα μιαν. *Gen. ii.* 25. καθαρσιον ποιησαι το εμον αἱμα, και αντι ψυχων αυτων λαβε την εμην ψυχην. 4 *Mac.* 6.

19 Ὡσπερ γαρ δια της παρακοης του ἑνος ανθρωπου ἁμαρτω-
λοι κατεσταθησαν οἱ πολλοι, οὑτω και δια της ὑπακοης του
ἑνος δικαιοι κατασταθησονται οἱ πολλοι.

ὡσπερ γαρ—οὑτως και. *Eccles. v.* 15. ἁπασιν ανθρωποις ευδοκιμοι καθειστηκεισαν. 3 *Mac. iii.* 5. και ὑμεις εσεσθε μοι δικαιοι, λεγει Κυριος. *Esa. liv.* 17. παρακοης—ὑπακοης (*paronomasia*). = *Susan.* 54, 55. ὑπο σχινον—σχισει σε μεσον. [*Winer.* § 62.] *Conf. Phil. ii.* 8. [τον Θεον αυτοις ευμενη καταστησαι. *Jos. Ant. vi.* 5, 6.] [αποθνησκομεν τῃ του ανθρωπου παρακοῃ. *Just. Mart. de Resur.*] εαν δωτε περι ἁμαρτιας, ἡ ψυχη ὑμων οψεται σπερμα μακροβιον. κ. τ. λ. *Esa. liii.* 10-12. *Dan. ix.* 24. *Sir. xlii.* 1, 2.

20 Νομος δε παρεισηλθεν, ἱνα πλεοναση το παραπτωμα. οὑ δε
επλεονασεν ἡ ἁμαρτια, ὑπερεπερισσευσεν ἡ χαρις·

ἁμαρτιαι ἡμων επλεονασαν ὑπερ τας κεφαλας. 1 *Esd. viii.* 75. ὑπερπλεοναζειν. 1 *Tim. i.* 14. *Conf. Luc. vii.* 47. *Cap. iv.* 15. *Gal. iii.* 19. 23. [γινεται μεθη, και παρεισερχεται ἡ αναισχυντια. *Test. XII Patr. p.* 608.] ἑνεκα του ονοματος σου Κυριε, και ἱλαση τη ἁμαρτια μου, πολλη γαρ εστι. *Ps. xxiv.* 11. *Esa. i.* 18. *xliii.* 25. *xliv.* 22. *Jer. iii.* 8-14. *Ezech. xxxiii.* 14-16.

21 Ἱνα ὡσπερ εβασιλευσεν ἡ ἁμαρτια εν τῳ θανατῳ, οὑτω και
ἡ χαρις βασιλευση δια δικαιοσυνης εις ζωην αιωνιον δια Ιησου
Χριστου του Κυριου ἡμων.

δικαιωσαι δικαιον ευ δουλευοντα πολλοις. *Esa. liii.* 11. σωζειν εις ζωην αιωνιον. 4 *Mac.* 15. και οἱ συνιεντες λαμψουσιν ὡς ἡ λαμπροτης του στερεωματος, και απο των δικαιων των πολλων ὡς οἱ αστερες εις τους αιωνας, και ετι. *Dan. xii.* 3.

ΚΕΦ. ϛ. 6.

ΤΙ ουν ερουμεν; επιμενουμεν τη ἁμαρτιᾳ, ἱνα ἡ χαρις πλεοναση;

τι ουν ερουμεν προς ταυτα; *Cap. viii.* 31. και αἱ ἁμαρτιαι μου πλεονασωσι. *Sir. xxiii.* 3. και ουκ ενετειλατο ουδενι ασεβειν, και ουκ εδωκεν ανεσιν ουδενι ἁμαρτανειν. *xv.* 20. *Gal. v.* 13. *Ephes. iv.* 22. μη ειπης, ἡμαρτον, και τι μοι εγενετο; ὁ γαρ Κυριος εστι μακροθυμος· περι εξιλασμου μη αφοβος γινου προσθειναι ἁμαρτιαν εφ᾽ ἁμαρτιαις, κ. τ. λ. *Sir. v.* 4-9. εαν μη επιστραφητε, την ῥομφαιαν αυτου στιλβωσει, το τοξον αυτου ενετεινε, και ἡτοιμασεν αυτο. *Ps. vii.* 12. [τι ουν λεκτεον; *Philo.* 1 *Alleg. p.* 48, 49. τι ουν χρη λεγειν; *p.* 51.] χαρις. *Zach. xii.* 10.

2 Μη γενοιτο. οἱτινες απεθανομεν τη ἁμαρτιᾳ, πως ετι ζη-
σομεν εν αυτη;

μη γενοιτο. *Gen. xliv.* 7. 17. ζωσιν αδικως. *Sap. xiv.* 28. *Conf. Gen. xx.* 3-5. *Gal. vi.* 14. *Col. iii.* 3. 1 *Pet. ii.* 24. και πως ποιησω το ῥημα το πονηρον τουτο, και ἁμαρτησομαι εναντιον του Θεου; *Gen. xxxix.* 9. *Ps. cxix.* 4. ει ζησεται τα οστεα ταυτα; *Ezech. xxxvii.* 3. οἱτινες. *Ps. lxxxii.* 12.

1, 2.] [τι ουν ποιησωμεν, αδελφοι; αργασωμεν απο της αγαθοποιιας, και εγκαταλειπωμεν την αγαθην; μηδαμως—αλλα σπευδωμεν μετα εκτενειας, κ. τ. λ. *Clem. Rom. i.* 33.]

3 Η αγνοειτε ὁτι ὁσοι εβαπτισθημεν εις Χριστον Ιησουν, εις τον θανατον αυτου εβαπτισθημεν;

βαπτιζειν εις ονομα τινος. *Matt. xxviii.* 19. εις τον Μωσην. 1 *Cor. x.* 2. εις μετανοιαν. *Matt. iii.* 11. *Conf. Gal. iii.* 27.

4 Συνεταφημεν ουν αυτῳ δια του βαπτισματος εις τον θανατον· ἱνα ὡσπερ ηγερθη Χριστος εκ νεκρων δια της δοξης του πατρος, οὑτω και ἡμεις εν καινοτητι ζωης περιπατησωμεν.

και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. ὁ εγειρας νεκρον εκ θανατου και εξ ᾳδου εν λογῳ Ὑψιστου. *Sir. xlviii.* 5. εν ὁδοις δικαιοσυνης περιπατω. *Prov. viii.* 20. 4 *Reg. xx.* 3. *Eccles. xi.* 9. καρδια καινη. *Ezech. xviii.* 31. εν τῳ φωτι του προσωπου σου πορευσονται. *Ps. lxxxviii.* 15.

5 Ει γαρ συμφυτοι γεγοναμεν τῳ ὁμοιωματι του θανατου αυτου, αλλα και της αναστασεως εσομεθα·

αναστησαι το δερμα μου. *Job. xix.* 26. αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. ὁ δρυμος ὁ συμφυτος. *Zach. xi.* 2. *Sap. xiii.* 13. *Conf. cap. viii.* 11. *Phil. iii.* 10. 11. εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου, χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. *Ps. xvi.* 15. πεφυτευμενοι εν τῳ οικῳ Κυριου, εν ταις αυλαις του Θεου ἡμων εξανθησουσι. *Ps. xci.* 13. [τα συμφυτα κακα του γενους ἡμων. *Philo. p.* 519. *Loesner.*] αλλα και. 1 *Reg. xvi.* 6.

6 Τουτο γινωσκοντες, ὁτι ὁ παλαιος ἡμων ανθρωπος συνεσταυρωθη, ἱνα καταργηθῃ το σωμα της ἁμαρτιας, του μηκετι δουλευειν ἡμας τῃ ἁμαρτιᾳ·

και καινιει σε εν τῃ αγαπησει αυτου. *Soph. iii.* 17. ὁτι εκτισε Κυριος σωτηριαν εις καταφυτευσιν καινην. *Jer. xxxviii.* 22. πνευμα καινον δωσω εν ὑμιν. *Ezech. xxxvi.* 26. και κατηργησαν αυτους. *Esd. iv.* 23. ακουσεσθε και αυτῳ δουλευσετε. *Deut. xiii.* 4. *Alex. Ald. Comp.* απελιπε του μηκετι οικοδομειν, κ. τ. λ. 2 *Par. xvi.* 5. *Jos. xxii.* 33. και εδουλευσατε θεοις ἑτεροις. *Jud. x.* 13. *Conf. Ephes. iii.* 16. *iv.* 22. *Col. iii.* 9. *Gal. ii.* 20. *v.* 24. Κυριε ὁ Θεος ἡμων, κτησαι ἡμας. Κυριε εκτος σου αλλον ουκ οιδαμεν. το ονομα σου ονομαζομεν. *Esa. xxvi.* 13.

7 Ὁ γαρ αποθανων δεδικαιωται απο της ἁμαρτιας.

και ου δικαιωσεις τον ασεβη ἑνεκεν δωρων. *Exod. xxiii.* 7. *Esa. v.* 23. ου δικαιωθησεται καπηλος απο ἁμαρτιας. *Sir. xxvi.* 32. ὁ παθων εν σαρκι πεπαυται ἁμαρτιας. 1 *Pet. iv.* 1.

8 Ει δε απεθανομεν συν Χριστῳ, πιστευομεν ὁτι και συζησομεν αυτῳ,

και εσομεθα παρα Θεῳ δι' ὁν και πασχομεν. 4 Mac. 9.

9 Ειδοτες ὁτι Χριστος εγερθεις εκ νεκρων ουκ ετι αποθνησκει· θανατος αυτου ουκ ετι κυριευει.

δουλοι εκυριευσαν ἡμων. Thren. v. 8. Apoc. i. 18. Conf. Dan. iii. 27. vi. 24. ὁτι ουκ εγκαταλειψεις την ψυχην μου εις ᾁδην, ουδε δωσεις τον ὁσιον σου ιδειν διαφθοραν, κ. τ. λ. Ps. xv. 10. 11.

10 Ὁ γαρ απεθανε, τῃ ἁμαρτιᾳ απεθανεν εφαπαξ· ὁ δε ζῃ, ζῃ τῳ Θεῳ.

τερπνοτητες εν τῃ δεξιᾳ σου εις τελος. Ps. xv. 11. Conf. Luc. xx. 38. Heb. ix. 27, 28. 1 Pet. iv. 6. ὁ pro καθ' ὁ. Schleus. ειδοτες ὁτι οἱ δια τον Θεον αποθνησκοντες ζωσι τῳ Θεῳ. 4 Mac. 17. την σωζουσαν εις αιωνιον ζωην κατα Θεον. 15.

11 Οὑτω και ὑμεις λογιζεσθε ἑαυτους νεκρους μεν ειναι τῃ ἁμαρτιᾳ, ζωντας δε τῳ Θεῳ, εν Χριστῳ Ιησου τῳ Κυριῳ ἡμων.

ειπον γαρ ἑαυτοις λογισαμενοι. Sap. ii. 1. ελογισθημεν ὡς προβατα σφαγης. Ps. xliii. 22. Amos. vi. 5. Conf. Gal. ii. 19.

12 Μη ουν βασιλευετω ἡ ἁμαρτια εν τῳ θνητῳ ὑμων σωματι, εις το ὑπακουειν αυτῃ εν ταις επιθυμιαις αυτου·

και απο αλλοτριων φεισαι του δουλου σου· εαν μη μου κατακυριευσωσι, κ. τ. λ. Ps. xviii. 13. μη δη συμπεσετω καρδια του κυριου μου επ' αυτον. 1 Reg. xvii. 32. ᾁδου βασιλειον επι γης. Sap. i. 14. ειμι μεν καγω θνητος ανθρωπος. vii. 1. Esa. li. 12. εις το ειναι τα παντα. Sap. i. 14. επιθυμιαι ασεβων κακαι. Prov. xii. 12. Jer. ii. 24. μη κατακυριωσατο—ανομια. Ps. cxviii. 133.

13 Μηδε παριστανετε τα μελη ὑμων ὁπλα αδικιας τῃ ἁμαρτιᾳ· αλλα παραστησατε ἑαυτους τῳ Θεῳ, ὡς εκ νεκρων ζωντας, και τα μελη ὑμων ὁπλα δικαιοσυνης τῳ Θεῳ.

και παραστησω κατα προσωπον σου τας ἁμαρτιας. Ps. xlix. 21. Ald. Comp. Lev. xvi. 7. Ald. Comp. ὁπλα δε αισθησεως χειλη σοφα. Prov. xiv. 7. το πρωϊ παραστησομαι σοι. Ps. v. 3. Κυριε, ὡς ὁπλῳ ευδοκιας εστεφανωσας ἡμας. Ps. v. 12. ὁπλῳ κυκλωσει σε ἡ αληθεια αυτου. xc. 4. Luc. i. 74. Rom. xii. 1. Heb. ix. 14. στομα δικαιου μελετησει σοφιαν, και ἡ γλωσσα αυτου λαλησει κρισιν. Ps. xxxvi. 30. μελος. 3 Reg. xii. 10. Sym.

14 Ἁμαρτια γαρ ὑμων ου κυριευσει· ου γαρ εστε ὑπο νομον, αλλ᾽ ὑπο χαριν.

καταδυσει τας αδικιας, και απορριψονται εις τα βαθη κ. τ. λ. *Mich. vii.* 19. και εξοισω τον λιθον της κληρονομιας, ισοτητα χαριτος χαριτα αυτης. *Zach. iv.* 7. *Conf. cap. v.* 21.

15 Τι ουν; ἁμαρτησομεν, ὁτι ουκ εσμεν ὑπο νομον, αλλ᾽ ὑπο χαριν; μη γενοιτο.

μη γενοιτο. *Gen. xliv.* 7. 17. *Conf.* 1 *Cor. ix.* 21. *Gal. ii.* 18. *v.* 18. λυτρωσεται εκ πασων των ἁμαρτιων αυτου. *Ps. cxxix.* 8.

16 Ουκ οιδατε ὁτι ᾧ παριστανετε ἑαυτους δουλους εις ὑπακοην, δουλοι εστε ᾧ ὑπακουετε, ητοι ἁμαρτιας εις θανατον, η ὑπακοης εις δικαιοσυνην;

ουκ αγνοων ὁτι. *Sap. xii.* 10. εις θανατον. *Esa. liii.* 12. *Jer. xviii.* 23. ιδου δουλοι ἡμεις εσομεθα σοι, ὁτι συ Κυριος. *Jer. iii.* 22. ουκ οιδατε ὁτι, κ. τ. λ. *Gen. xliv.* 15. *Conf. Joan. viii.* 34. 2 *Pet. ii.* 19. *Matt. vi.* 24. *Jos. xxiv.* 15. 3 *Reg. xviii.* 21.

17 Χαρις δε τῳ Θεῳ, ὁτι ητε δουλοι της ἁμαρτιας, ὑπηκουσατε δε εκ καρδιας εις ὁν παρεδοθητε τυπον διδαχης.

εξ ὁλης της καρδιας σου. *Deut. iv.* 29. *vi.* 5. κατα τυπον. *Exod. xxv.* 40. *Conf.* 2 *Cor. iii.* 18. 2 *Tim. i.* 13. Κυριε ὁ Θεος ἡμων, κτησαι ἡμας, κ. τ. λ. *Esa. xxvi.* 13, 14. *Cant. i.* 4.

18 Ελευθερωθεντες δε απο της ἁμαρτιας, εδουλωθητε τῃ δικαιοσυνῃ.

ελευθερους του μη δουλευειν ετι εν αυτοις. *Jer. xli.* 9. *Comp.* ελευθερωσον τους δουλευοντας. 2 *Mac. i.* 27. *Conf. Joan. viii.* 32. 1 *Pet. ii.* 16. 1 *Cor. vii.* 22. ω Κυριε εγω δουλος σου—διερρηξας τους δεσμους μου. *Ps. cxvi.* 16. *Esa. xiv.* 3. *Ose. xi.* 4.

19 Ανθρωπινον λεγω δια την ασθενειαν της σαρκος ὑμων. ὡσπερ γαρ παρεστησατε τα μελη ὑμων δουλα τῃ ακαθαρσιᾳ και τῃ ανομιᾳ εις την ανομιαν, οὑτω νυν παραστησατε τα μελη ὑμων δουλα τῃ δικαιοσυνῃ εις ἁγιασμον.

γενεσθω ἡ ασθενεια αυτων εναντιον σου. *Jer. xviii.* 23. σαρξ ὑμων. *Conf.* 1 *Cor. vii.* 5. ὡσπερ γαρ—οὑτως και. *Eccles. v.* 15. εσται σοι εις ἁγιασμα. *Esa. viii.* 14. *Ezech. xlv.* 4. ἁγιε παντος ἁγιασμου Κυριε. 2 *Mac. xiv.* 36. δουλα. *Sap. xv.* 7. ανθρωπινον λεγω. *Conf. Esa. viii.* 1. 2 *Reg. vii.* 14. [ανθρωπινον εστι το συμβεβηκος. *Jos. Ant. vii.* 7. 1.] *Conf. Jos. xxiv.* 14.

20 Ὁτε γαρ δουλοι ητε της ἁμαρτιας, ελευθεροι ητε τῃ δικαιοσυνῃ.

εν νεκροις ελευθερος. (destitutus vitâ. Bretschn.) Ps. lxxxvii. 5. [Winer. xxxi. 3.] Conf. Joan. viii. 34. Jac. i. 25. Ps. cxviii. 45.

21 Τινα ουν καρπον ειχετε τοτε, εφ᾽ οἱς νυν επαισχυνεσθε; το γαρ τελος εκεινων, θανατος.

τρυγησατε εἱς καρπον ζωης. Ose. x. 12. και ησχυνθησαν επι τοις κηποις, ἁ επεθυμησαν. Esa. i. 29. εστεναξα εφ᾽ ἡμερας αισχυνης, κ. τ. λ. Jer. xxxviii. 19. ᾑ δ᾽ αν ἡμερᾳ φαγητε απ᾽ αυτου θανατῳ αποθανεισθε. Gen. ii. 17. εφ᾽ οἱς. Sap. xii. 27. τουτο τελος παντος ανθρωπου. Eccles. vii. 3. τα δε τελευταια αυτης ερχεται εις πυθμενα ᾁδου. Prov. xiv. 12. xvi. 25. εθετο παρα τῳ θανατῳ τον οικον αυτης, κ. τ. λ. ii. 18. εις τα ταμιεια του θανατου. vii. 27. γενεας γαρ αδικου χαλεπα τα τελη. Sap. iii. 19. θανατος. Ezech. xviii. 32. Conf. 2 Cor. xi. 15. Phil. iii. 19. 1 Pet. i. 9. μη ζηλουτε θανατον εν πλανῃ ζωης ὑμων, μηδε επισπασθε ολεθρον εργοις χειρων ὑμων, ὁτι ὁ Θεος θανατον ουκ εποιησεν, ουδε τερπεται επ᾽ απωλειᾳ ζωντων, κ. τ. λ. Sap. i. 12, 13. οἱ δε ἁμαρτανοντες εις εμε ασεβουσιν εις τας ἑαυτων ψυχας, και οἱ μισουντες με αγαπωσι θανατον. Prov. viii. 36. [ὡν τα τελη βαρυτατα ζημιαι σωματος τε και ψυχης. Philo de Charit. p. 717.] εργα δικαιων ζωην ποιει, καρποι δε ασεβων ἁμαρτιας. Prov. x. 16.

22 Νυνι δε ελευθερωθεντες απο της ἁμαρτιας, δουλωθεντες δε τῳ Θεῳ, εχετε τον καρπον ὑμων εις ἁγιασμον· το δε τελος, ζωην αιωνιον.

δουλευσατε τῳ Κυριῳ εν φοβῳ. Ps. ii. 11. οὑτος εις ζωην αιωνιον. Dan. xii. 2. 4 Mac. xv. 2. δενδρον γαρ ζωης, επιθυμια αγαθη. Prov. xiii. 12. Joan. viii. 35, 36. Ps. i. 3.

23 Τα γαρ οψωνια της ἁμαρτιας, θανατος· το δε χαρισμα του Θεου, ζωη αιωνιος, εν Χριστῳ Ιησου τῳ Κυριῳ ἡμων.

και εδωκεν αυτοις οψωνια. 1 Mac. xiv. 32. Luc. iii. 14. 1 Cor. ix. 7. δομα Θεου εστι. Eccles. iii. 13. Conf. Gen. iii. 19. Cap. v. 12. 1 Cor. xv. 21. Jac. i. 15. 1 Pet. i. 3. 1 Joan. v. 11. 20. εἱλοντο τον θανατον η την ζωην. Jer. viii. 3. [οψωνιον· δαπανη, κερδος. Hesych.] ουαι τῳ ανομῳ, πονηρα κατα τα εργα των χειρων αυτου συμβησεται αυτῳ. Esa. iii. 11. ἡ ψυχη ἡ ἁμαρτανουσα, αὑτη αποθανειται. Ezech. xviii. 4. σωτηρια δε των δικαιων παρα Κυριου. κ. τ. λ. Ps. xxxvii. 39. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. Hab. ii. 4. αγαπησω αυτους ὁμολογως. Ose. xiv. 5.

ΚΕΦ. ζ. 7.

Η ΑΓΝΟΕΙΤΕ, αδελφοι, (γινωσκουσι γαρ νομον λαλω,) οτι ὁ νομος κυριευει του ανθρωπου εφ' ὁσον χρονον ζῃ;

ουκ αγνοων ὁτι. Sap. xii. 10. παντα τον χρονον ὁσον αν ζῃς. Deut. xii. 19. πασι τοις ειδοσι νομον. Esd. vii. 25. Prov. vi. 23.

2 Ἡ γαρ ὑπανδρος γυνη τῳ ζωντι ανδρι δεδεται νομῳ· εαν δε αποθανῃ ὁ ανηρ, κατηργηται απο του νομου του ανδρος.

ἡ γυνη ὑπανδρος ουσα. Num. v. 29. Sir. ix. 9. ὁ ανηρ. Sir. iv. 10. κυριευει. Cap. vi. 9. 14. Conf. 1 Cor. vii. 2. 10. 39. Gen. ii. 23, 24. Num. xxx. 7. 1 Tim. v. 9.

3 Αρα ουν ζωντος του ανδρος μοιχαλις χρηματισει, εαν γενηται ανδρι ἑτερῳ· εαν δε αποθανῃ ὁ ανηρ, ελευθερα εστιν απο του νομου, του μη ειναι αυτην μοιχαλιδα, γενομενην ανδρι ἑτερῳ.

τοιαυτη ὁδος γυναικος μοιχαλιδος. Prov. xxx. 20. Ezech. xvi. 37. Ose. iii. 1. Mal. iii. 5. χρηματισει. Act. xi. 36. [Αριστοβουλος— χρηματισας μεν Φιλελλην. Jos. Ant. xiii. 11. 3.] εξαποστελεις αυτην ελευθεραν. Deut. xxi. 14. και απελθουσα γενηται ανδρι ἑτερῳ. xxiv. 2. και γενηται ανδρι ἑτερῳ. Jer. iii. 1. εαν γενηται ανδρι αλλογενει. Lev. xxii. 12. Ephes. v. 31, 32. Matt. v. 32. Conf. 1 Reg. xxv. 39-42.

4 Ὡστε, αδελφοι μου, και ὑμεις εθανατωθητε τῳ νομῳ δια του σωματος του Χριστου, εις το γενεσθαι ὑμας ἑτερῳ, τῳ εκ νεκρων εγερθεντι, ἱνα καρποφορησωμεν τῳ Θεῳ.

ὡστε. Sap. vi. 25. εις το γενεσθαι. i. 14. καρποφορησωμεν. Hab. iii. 17. Ps. xci. 14. Sym. Conf. cap. viii. 2. Gal. ii. 19. v. 18. 22. θυσιαν και προσφοραν ουκ ηθελησας, σωμα δε κατηρτισω μοι. Ps. xxxix. 6. και μνηστευσομαι σε εμαυτῳ εις τον αιωνα—και μνηστευσομαι σε εμαυτῳ εν πιστει, και επιγνωσῃ τον Κυριον. Ose. ii. 19, 20. Conf. Esa. liv. 5. lxii. 5. Ps. xliv. 9-16.

5 Ὁτε γαρ ημεν εν τῃ σαρκι, τα παθηματα των ἁμαρτιων τα δια του νομου ενηργειτο εν τοις μελεσιν ἡμων, εις το καρποφορησαι τῳ θανατῳ·

τοις εν Χριστῳ. Cap. viii. 1. xvi. 11. οἱ μεμενηκοτες εν τῳ Ιουδαϊσμῳ. 2 Mac. viii. 1. θανατῳ. Ezech. xviii. 32. Conf. cap. vi. 21. Gal. v. 19. Phil. iii. 3. Jac. i. 15. Lev. xix. 23, 24.

6 Νυνι δε κατηργηθημεν απο του νομου, αποθανοντες, εν ᾡ κατειχομεθα, ὡστε δουλευειν ἡμας εν καινοτητι πνευματος, και ου παλαιοτητι γραμματος.

κατεχομενος εν φυτῳ. *Gen. xxii.* 13. *xxxix.* 20. και πνευμα καινον δωσω αυτοις. *Ezech. xi.* 19. *xviii.* 31. *xxxvi.* 26. και πνευμα ευθες εγκαινισον εν τοις εγκατοις μου. *Ps. l.* 10. ὡστε. *Conf. Num. viii.* 11. και καινιει σε εν τῃ αγαπησει αυτου. *Sophon. iii.* 17. δουλευσει δε αφρων φρονιμῳ. *Prov. xi.* 29. *Cap. ii.* 19. 27-29.

7 Τι ουν ερουμεν; ὁ νομος ἁμαρτια; μη γενοιτο· αλλα την ἁμαρτιαν ουκ εγνων, ει μη δια νομου· την τε γαρ επιθυμιαν ουκ ῃδειν, ει μη ὁ νομος ελεγεν, Ουκ επιθυμησεις·

ὁ νομος Κυριου αμωμος, επιστρεφων ψυχας, κ. τ. λ. *Ps. xix.* 7. *cxviii.* 96. μη γενοιτο. *Gen. xliv.* 7. 17. παντα γαρ ταυτα χαριν εντολης. *Sir. xxxii.* 5. ουκ επιθυμησεις την γυναικα του πλησιον σου, κ. τ. λ. *Exod. xx.* 17. *Deut. v.* 21. λεγει γουν ὁ νομος, Ουκ επιθυμησεις κ. τ. λ.—και τοι ὁτε μηδ᾽ επιθυμειν ἡμας ειρηκεν ὁ νομος, πολυ πλεον πεισειεν αν ἡμας, ὁτι των επιθυμιων κρατειν δυναιτ᾽ αν ὁ λογισμος, κ. τ. λ. 4 *Mac.* 3. νομος γαρ εις βοηθειαν εδωκεν, κ. τ. λ. *Esa. viii.* 20. *Conf.* 1 *Joan. ii.* 16. *CITAT.* 146.

8 Αφορμην δε λαβουσα ἡ ἁμαρτια, δια της εντολης κατειργασατο εν εμοι πασαν επιθυμιαν· χωρις γαρ νομου ἁμαρτια νεκρα.

αφορμης διδομενης. 3 *Mac. iii.* 2. *Conf. Joan. xv.* 22. *Rom. iv.* 15. *Gal. iii.* 19. *Jac. i.* 14. 1 *Cor. xv.* 56.

9 Εγω δε εζων χωρις νομου ποτε· ελθουσης δε της εντολης, ἡ ἁμαρτια ανεζησεν,

10 Εγω δε απεθανον· και εὑρεθη μοι ἡ εντολη ἡ εις ζωην, αὑτη εις θανατον.

δικαιοσυνη τα μαρτυρια σου εις τον αιωνα· συνετισον με, και ζησομαι. *Ps. cxviii.* 144. ουχ εὑρεθη βοηθος. *Gen. ii.* 20. του θεμενου την ψυχην μου εις ζωην. *Ps. lxv.* 9. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. την ὁδον της ζωης, και την ὁδον του θανατου. *Jer. xxi.* 8. ἁ ποιησας αυτα ανθρωπος, ζησεται εν αυτοις. *Lev. xviii.* 5. *Ps. cxviii.* 116. *Ezech. xx.* 11.

11 Ἡ γαρ ἁμαρτια αφορμην λαβουσα, δια της εντολης εξηπατησε με, και δι᾽ αυτης απεκτεινεν.

ὁ οφις ηπατησε με, και εφαγον. *Gen. iii.* 13. ὁτι γη ει, και εις γην απελευσῃ. 19. εξηπατησε. *Conf. Exod. viii.* 29. *Susan.* 56. *Heb.*

iii. 13. γνωθι ὁτι σποδος ἡ καρδια αυτων, και πλανωνται, και ουδεις δυναται εξελεσθαι την ψυχην αυτου. *Esa. xliv.* 20. *Gen. iii.* 13.

12 Ὡστε ὁ μεν νομος ἁγιος, και ἡ εντολη ἁγια και δικαια και αγαθη.

πασαι αἱ εντολαι σου αληθεια. *Ps. cxviii.* 86. πασαι αἱ εντολαι σου δικαιοσυνη. *v.* 172. πισται πασαι αἱ εντολαι αυτου. *cx.* 7. *Conf. Ps. xix.* 7. 1 *Tim. i.* 8. πασης συντελειας ειδον περας, πλατεια ἡ εντολη σου σφοδρα. *Ps. cxviii.* 96. 140-149.

13 Το ουν αγαθον, εμοι γεγονε θανατος; μη γενοιτο· αλλα ἡ ἁμαρτια· ἱνα φανῃ ἁμαρτια δια του αγαθου μοι κατεργαζομενη θανατον, ἱνα γενηται καθ' ὑπερβολην ἁμαρτωλος ἡ ἁμαρτια δια της εντολης.

καθ' ὑπερβολην. *i. e.* ὑπερβαλλοντως. *Conf. Job. xv.* 11. ποσαι εισιν αἱ ἁμαρτιαι μου και ανομιαι μου;—διδαξον με τινες εισι. *xiii.* 23. του μεν γηρως αξιος φανησομαι. 2 *Mac. vi.* 27. εν πληθει φανουμαι αγαθος. *Sap. viii.* 15. [κατα την του παθους ὑπερβολην. *Jos. Ant. ii.* 4. 3.] *Conf. Ps. cxviii.* 104. *l.* 3.

14 Οιδαμεν γαρ ὁτι ὁ νομος πνευματικος εστιν· εγω δε σαρκικος ειμι, πεπραμενος ὑπο την ἁμαρτιαν.

μετα αυτου βραχιονες σαρκινοι, (σαρκινοι. *Comp.*) μεθ' ἡμων δε Κυριος ὁ Θεος. 2 *Par. xxxii.* 8. 1 *Pet. ii.* 11. και επραθησαν του ποιησαι το πονηρον. 1 *Mac. i.* 15. 3 *Reg. xx.* 25. εις δουλον επραθη Ιωσηφ. *Ps. civ.* 17. ιδου ταις ἁμαρτιαις ὑμων επραθητε, κ. τ. λ. *Esa. l.* 1. αγαπησεις Κυριον τον Θεον σου εξ ὁλης της διανοιας σου, κ. τ. λ. *Deut. vi.* 5, 6. ου μη καταμεινῃ το πνευμα μου—δια το ειναι αυτους σαρκας. *Gen. vi.* 3. διο εφαυλισα εμαυτον, και ετακην· ἡγημαι δε εμαυτον γην και σποδον. *Job. xlii.* 6.

15 Ὁ γαρ κατεργαζομαι, ου γινωσκω· ου γαρ ὁ θελω, τουτο πρασσω· αλλ' ὁ μισω, τουτο ποιω.

ου γινωσκω, (*non approbo.*) Παρα Θεῳ γινωσκεται, και παρα ανθρωποις. *Sap. iv.* 1. *Ps. i.* 6. *Conf. Gal. v.* 17. *Sir. xviii.* 28. *Matt. vii.* 23. 2 *Tim. ii.* 19. παραπτωματα τις συνησει; εκ των κρυφιων μου καθαρισον με. *Ps. xviii.* 12. του ποιησαι το θελημα σου—ηβουληθην—κατελαβον με αἱ ανομιαι μου. *xxxix.* 8-12.

16 Ει δε ὁ ου θελω, τουτο ποιω, συμφημι τῳ νομῳ ὁτι καλος.

δια τουτο προς πασας εντολας σου κατωρθουμην, πασαν ὁδον αδικον εμισησα. *Ps. cxviii.* 128.

17 Νυνι δε ουκ ετι εγω κατεργαζομαι αυτο, αλλ' ἡ οικουσα εν εμοι ἁμαρτια.

νυν δε. Job. xxx. i. 9. οἱ αγαπωντες τον Κυριον, μισειτε πονηρον. *Ps. xcvii.* 10. το μεν πνευμα προθυμον, κ. τ. λ. *Matt. xxvi.* 41.

18 Οιδα γαρ ὁτι ουκ οικει εν εμοι, (τουτεστιν εν τῃ σαρκι μου,) αγαθον. το γαρ θελειν παρακειται μοι, το δε κατεργαζεσθαι το καλον ουχ εὑρισκω.

τουτεστιν. Job. xl. 19. παρακεινται προ προσωπου σου. *Judith. iii.* 3. ουχ εὑρισκον το τι ποιησωσιν. *Luc. xix.* 48. *Act. iv.* 21. ουκ εστιν ιασις εν τῃ σαρκι μου, κ. τ. λ. *Ps. xxxvii.* 3, 4. 7. δυναμωσον ὁ Θεος τουτο, ὁ κατειργασω εν ἡμιν. *lxvii.* 28. *Ald.* Ιδου γαρ εν ανομιαις συνεληφθην, κ. τ. λ. *Ps. l.* 5.

19 Ου γαρ ὁ θελω, ποιω αγαθον· αλλ' ὁ ου θελω κακον, τουτο πρασσω.

20 Ει δε ὁ ου θελω εγω, τουτο ποιω, ουκ ετι εγω κατεργαζομαι αυτο, αλλ' ἡ οικουσα εν εμοι ἁμαρτια.

αποστρεψον τους οφθαλμους μου του μη ιδειν ματαιοτητα, κ. τ. λ. *Ps. cxviii.* 37. ελεησον με Κυριε, ὁτι ασθενης ειμι. *vi.* 2. *Job. ix.* 2. *Sap. xiii.* 1. *Jer. xiv.* 20.

21 Εὑρισκω αρα τον νομον τῳ θελοντι εμοι ποιειν το καλον, ὁτι εμοι το κακον παρακειται.

αρα. *Sap. vi.* 20. *Conf. Ps. xviii.* 13. *lxxii.* 2. *Eccles. viii.* 8.

22 Συνηδομαι γαρ τῳ νομῳ του Θεου κατα τον εσω ανθρωπον· ου συνθελησεις αυτῳ. *Deut. xiii.* 8. ἑταιρος φιλου εν ευφροσυνῃ ἡδεται. *Sir. xxxvii.* 4. εν ταις εντολαις αυτου θελησει σφοδρα. *Ps. cxi.* 1. οφελον κατευθυνθειησαν αἱ ὁδοι μου, του φυλαξασθαι τα δικαιωματα σου. *cxviii.* 5. 47. 97. εν δε κολπῳ μου εκρυψα ῥηματα αυτου. *Job. xxiii.* 12. [ὁ εν ἑκαστῳ ἡμων ανθρωπος. *Philo de Profug. p.* 360. ὁ προς αληθειαν ανθρωπος. *Ibid. p.* 366.] [κατα τουτο, *quod attinet ad hoc. Jos. Bell. Jud. vii.* 30. 3.] το εσω του οικου. 3 *Reg. vi.* 15. *Ephes. iii.* 16. *Ps. i.* 2. 2 *Cor. iv.* 16. *Col. iii.* 9.

23 Βλεπω δε ἑτερον νομον εν τοις μελεσι μου αντιστρατευομενον τῳ νομῳ του νοος μου, και αιχμαλωτιζοντα με τῳ νομῳ της ἁμαρτιας τῳ οντι εν τοις μελεσι μου.

κηρυξαι αιχμαλωτοις αφεσιν. *Esa. lxi.* 1. ὁτι ανθρωπος ουκ εστι δικαιος εν τῃ γῃ, κ. τ. λ. *Eccles. vii.* 21. κατα τον νουν αυτου. *Jos. xiv.* 7. ῃχμαλωτευσας αιχμαλωσιαν. *Ps. lxvii.* 18.

24 Ταλαιπωρος εγω ανθρωπος· τις με ῥυσεται εκ του σωματος του θανατου τουτου;

ω ταλας εγω, κ. τ. λ. Esa. vi. 5. *θυγατηρ Βαβυλωνος ἡ ταλαιπωρος.* Ps. cxxxvi. 8. *τις δωσει κεφαλῃ μου ὑδωρ;—και κλαυσομαι τον λαον μου τουτον.* Jer. ix. 1. *ῥυσεται με εξ εχθρων μου δυνατων.* Ps. xvii. 17. *εκακωθην και εταπεινωθην ἑως σφοδρα, ωρυομην απο στεναγμου της καρδιας μου. κ. τ. λ.* Ps. xxxvii. 8. *πνευμα πεπληγμενον τις βαστασει αυτο;* Prov. xviii. 14. Theod.

25 Ευχαριστω τῳ Θεῳ δια Ιησου Χριστου του Κυριου ἡμων. αρα ουν αυτος εγω τῳ μεν νοϊ δουλευω νομῳ Θεου, τῃ δε σαρκι, νομῳ ἁμαρτιας.

αυτος. Luc. xxiv. 39. *εξομολογησασθωσιν τῳ Κυριῳ τα ελεη αυτου, κ. τ. λ.* Ps. cvi. 15. *ω Κυριε εγω δουλος σος—διεῤῥηξας τους δεσμους μου.* cxv. 16.

Κεφ. η. 8.

ΟΥΔΕΝ αρα νυν κατακριμα τοις εν Χριστῳ Ιησου, μη κατα σαρκα περιπατουσιν, αλλα κατα πνευμα.

οἱ μεμενηκοτες εν τῳ Ιουδαϊσμῳ. 2 Mac. viii. 1. *εν ὁδοις δικαιοσυνης περιπατω.* Prov. viii. 20. Gen. v. 22. xvii. 1. *κατα το ῥημα ἱερεων.* Esd. vi. 9. 2 Par. xxiii. 7. Conf. Gal. v. 16. 25. [*ευλογιας αυτοις διδωσι (Μωυσης), και καταρας επι τους μη κατα τους νομους ζησομενους.* Jos. Ant. iv. 8. 44.] Conf. Esa. liv. 17.

2 Ὁ γαρ νομος του πνευματος της ζωης εν Χριστῳ Ιησου ηλευθερωσε με απο του νομου της ἁμαρτιας και του θανατου.

πνευματι ἡγεμονικῳ στηριξον με. Ps. l. 12. *πνοην ζωης.* Gen. ii. 7. Conf. Joan. viii. 36. Gal. v. 1. 1 Cor. xv. 45. Esa. xlii. 7.

3 Το γαρ αδυνατον του νομου, εν ᾡ ησθενει δια της σαρκος, ὁ Θεος τον ἑαυτου υἱον πεμψας εν ὁμοιωματι σαρκος ἁμαρτιας και περι ἁμαρτιας κατεκρινε την ἁμαρτιαν εν τῃ σαρκι,

κατ' εικονα ἡμετεραν και καθ' ὁμοιωσιν. Gen. i. 26. *ὡς ὁμοιωσις υἱου ανθρωπου.* Dan. x. 16. *και εν τοις ανομοις ελογισθη.* Esa. liii. 12. *περι ἁμαρτιας.* Gen. xii. 17. *και προσεφερε—και μοσχον ἑνα περι ἁμαρτιας, περι των ψυχων αυτων.* Job. i. 5. *εαν δωται περι ἁμαρτιας ἡ ψυχη.* Esa. liii. 10. Ald. Just. Mart. *εν σωματι σαρκος.* Sir. xxiii. 16. *ὁ αδυνατος λεγετω, ὁτι, Ισχυω εγω.* Joel.

iii. 10. *Ezech. xxiv.* 24. *Ps. xxxix.* 6-9. περι ἁμαρτιας. (*subaud.* θυσιαν). *Ita, Lev. vi.* 30. *Num. viii.* 8.

4 Ἱνα το δικαιωμα του νομου πληρωθῃ εν ἡμιν, τοις μη κατα σαρκα περιπατουσιν, αλλα κατα πνευμα.

ταυτα τα δικαιωματα ὁσα ενετειλατο Κυριος. *Num. xxx.* 17. και τι εστι μοι ετι δικαιωμα; 2 *Reg. xix.* 28. *Conf. Luc. x.* 28. *Deut. iv.* 1. *Ezech. xx.* 11. *Esa. ii.* 3. *xlii.* 4.

5 Οἱ γαρ κατα σαρκα οντες, τα της σαρκος φρονουσιν· οἱ δε κατα πνευμα, τα του πνευματος.

και φρονειν τα ἡμων, και συντηρειν φιλιαν. 1 *Mac. x.* 20. αλλοτρια φρονειν των πραγματων. 2 *Mac. xiv.* 26. *Conf. Matt. xvi.* 23. 1 *Cor. ii.* 14. *Joan. iii.* 6. *Ps. xvi.* 14, 15. *lxxii.* 25.

6 Το γαρ φρονημα της σαρκος, θανατος· το δε φρονημα του πνευματος, ζωη και ειρηνη.

εν ὁδοις δικαιοσυνης ζωη, ὁδοι δε μνησικακων εις θανατον. *Prov. xii.* 28. *Conf. cap. vi.* 21. *Gal. vi.* 8. 2 *Par. xix.* 2. εἱλοντο τον θανατον η την ζωην. *Jer. viii.* 3. εμφυτος η κακια. *Sap. xii.* 10. [φρονηματος ελευθεριου μεστος. *Jos. Bell. Jud. iv.* 6. 1. ὁ Θεος—— κακοις το των Αιγυπτιων δαμασας φρονημα, *sc. in damnum Judæorum. Ant. iii.* 5. 3. *Bretschn.*] [φρονημα· βουλημα, θελημα. *Hesych.*] πασαι αἱ τριβοι αυτης εν ειρηνῃ. *Prov. iii.* 17.

7 Διοτι το φρονημα της σαρκος, εχθρα εις Θεον· τῳ γαρ νομῳ του Θεου ουχ ὑποτασσεται, ουδε γαρ δυναται·

ει αλλαξεται Αιθιοψ το δερμα αυτου, κ. τ. λ. *Jer. xiii.* 23. δικαιον ὑποτασσεσθαι τῳ Θεῳ. 2 *Mac. ix.* 12. ουχ ὑπεταγη τῳ δογματι σου. *Dan. vi.* 13. *Conf. Jac. iv.* 4. *Sir. i.* 24. των επιτηδευματων σου, ὡν ησεβησας εις εμε. *Sophon. iii.* 11. 2 *Mac. vii.* 31.

8 Οἱ δε εν σαρκι οντες, Θεῳ αρεσαι ου δυνανται.

και αρεσει τῳ Θεῳ. *Ps. lxviii.* 31. *Conf.* 1 *Cor. ii.* 14. *Gal. iv.* 29. *Joan. iii.* 6. και ενεθυμηθη ὁ Θεος, ὁτι εποιησε τον ανθρωπον επι της γης· και διενοηθη. *Gen. vi.* 6.

9 Ὑμεις δε ουκ εστε εν σαρκι, αλλ᾽ εν πνευματι, ειπερ Πνευμα Θεου οικει εν ὑμιν. ει δε τις Πνευμα Χριστου ουκ εχει, οὑτος ουκ εστιν αυτου.

διοτι λαος ἁγιος εν Σιων οικησει. *Esa. xxx.* 19. εστιν ανηρ εν τῃ βασιλειᾳ σου, εν ᾡ πνευμα Θεου. *Dan. v.* 11. 14. *Conf. Ezech. xxxviii.* 11. ὁς εχει πνευμα Θεου εν αυτῳ. *Gen. xli.* 38. αναπαυσεται επ᾽ αυτον πνευμα κ. τ. λ. *Esa. xi.* 21.

10 Ει δε Χριστος εν ὑμιν, το μεν σωμα νεκρον δι᾽ ἁμαρτιαν, το δε πνευμα ζωη δια δικαιοσυνην.

και δωσω πνευμα μου εφ᾽ ὑμας, και ζησεσθε. *Ezech. xxxvii.* 6. 14. *Alex. Ald.* ιδου εγω φερω εφ᾽ ὑμας πνευμα ζωης. *xxxvii.* 5. *Conf.* 1 *Cor. xv.* 45. *Gal. iv.* 19. *Ezech. xi.* 20. *xxxvi.* 26.

11 Ει δε το Πνευμα του εγειραντος Ιησουν εκ νεκρων οικει εν ὑμιν, ὁ εγειρας τον Χριστον εκ νεκρων ζωοποιησει και τα θνητα σωματα ὑμων, δια το ενοικουν αυτου Πνευμα εν ὑμιν.

ὁ εγειρας νεκρον εκ θανατου. *Sir. xlviii.* 5. Μη Θεος εγω του ζωοποιησαι η του θανατωσαι; 4·*Reg.* 5. *Ald.* και ειπον τῳ Πνευματι—ελθε και εμφυσησον εις τους νεκρους τουτους, και ζησατωσαν. *Ezech. xxxvii.* 9. *Conf. Ose. vi.* 2. *Dan. xii.* 13. *Job. xix.* 25-27. *xlii.* 17. *Ephes. ii.* 5. *Col. ii.* 12. και εμπεριπατησω εν ὑμιν. *Lev. xxvi.* 12. *Conf.* 2 *Cor. vi.* 16. *Esa. xxvi.* 19. *lx.* 1. υἱε ανθρωπου, ει ζησεται τα οστεα ταυτα; και ειπα, Κυριε, Κυριε, συ επιστῃ ταυτα, κ. τ. λ. *Ezech. xxxvii.* 3-14.

12 Αρα ουν, αδελφοι, οφειλεται εσμεν ου τῃ σαρκι, του κατα σαρκα ζην·

1 *Pet. iii.* 18. οφειλομενους θανατῳ. *Sap. xii.* 20.

13 Ει γαρ κατα σαρκα ζητε, μελλετε αποθνησκειν· ει δε πνευματι τας πραξεις του σωματος θανατουτε, ζησεσθε.

ὑμεις δε οἱ προσκειμενοι Κυριῳ—ζητε παντες εν τῃ σημερον. *Deut. iv.* 4. *Conf. Ephes. iv.* 22. *Col. iii.* 5, 6. *Ezech. xviii.* 4. [μη κατα τους νομους ζησομενους. *Jos. Ant. iv.* 8. 44.]

14 Ὁσοι γαρ Πνευματι Θεου αγονται, οὑτοι εισιν υἱοι Θεου.

πως κατελογισθη εν υἱοις Θεου, και εν ἁγιοις ὁ κληρος αυτου εστι; *Sap. v.* 5. υἱος πρωτοτοκος μου Ισραηλ. *Exod. iv.* 22. και εσῃ υἱος Ὑψιστου, και αγαπησει σε μαλλον η μητηρ σου. *Sir. iv.* 10. ὡμολογησαν Θεου υἱον λαον ειναι. *Sap. xviii.* 13. *Conf. Luc. iv.* 1. υἱοι εστε Κυριου του Θεου ὑμων. *Deut. xiv.* 1. [*Citat Philo. p.* 662. *Edit. Col.*] *Ose. i.* 10. *Gal. v.* 18. 1 *Joan. iii.* 1. *Luc. xx.* 36. διδαξον με του ποιειν το θελημα σου—το πνευμα σου το αγαθον ὁδηγησει με εν τῃ ευθειᾳ, κ. τ. λ. *Ps. cxlii.* 10, 11. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxvi.* 9. Κυριος—και το πνευμα αυτου. *Esa. xlviii.* 16.

15 Ου γαρ ελαβετε πνευμα δουλειας παλιν εις φοβον, αλλ᾽ ελαβετε πνευμα υἱοθεσιας, εν ᾧ κραζομεν, Αββα ὁ πατηρ.

σὺ γαρ ει πατηρ ἡμων, ὁτι Ἀβρααμ ουκ εγνω. *Esa. lxiii.* 16. πνευμα σοφιας και αισθησεως. *Exod. xxviii.* 3. ζηλωσεως. *Num.*

v. 14. πορνειας. *Ose. v.* 4. Κυριε, ὁ Κυριος ἡμων. *Ps. viii.* 1. και ακουσας Ιησους της φωνης του λαου κραζοντων. *Exod. xxxii.* 17. προς σε Κυριε εκεκραξα. *Ps. xxvii.* 1. *Esa. viii.* 18. *Conf.* 1 *Cor. ii.* 12. *iv.* 21. 2 *Tim. i.* 7. *Esa. xiv.* 3. *lvi.* 5. *Gal. iii.* 26. *Heb. ii.* 15. [υἱοθεσια· ὁταν τις θετον υἱον λαμβανει. *Hesych.*]

16 Αυτο το πνευμα συμμαρτυρει τῳ πνευματι ἡμων, ὁτι εσμεν τεκνα Θεου.

και επεμαρτυρω αυτοις εν πνευματι σου. *Neh. ix.* 30. ουχ ὁ λαος μου; τεκνα ου μη αθετησωσι; *Esa. lxiii.* 8. ὁτι ταξω σε εις τεκνα, και δωσω σοι γην εκλεκτην—και ειπα, πατερα καλεσετε με. *Jer. iii.* 19. *Job. xxxii.* 8. *Prov. xx.* 27. *Ps. xlii.* 3. *Sap. ix.* 10.

17 Ει δε τεκνα, και κληρονομοι· κληρονομοι μεν Θεου, συγκληρονομοι δε Χριστου· ειπερ συμπασχομεν, ἱνα και συνδοξασθωμεν·

κληρονομιαν Θεου. *Jer. iii.* 19. *Esa. lxv.* 8. κληρονομια Ιακωβ. *Sir. xxiii.* 13. συγκληρονομειν. *xxii.* 23. ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 2 *Mac. vii.* 32. εσομεθα παρα Θεῳ, δι' ὁν και πασχομεν. 4 *Mac.* 10.

18 Λογιζομαι γαρ ὁτι ουκ αξια τα παθηματα του νυν καιρου προς την μελλουσαν δοξαν αποκαλυφθηναι εις ἡμας.

παν δε τιμιον ουκ αξιον αυτης (σοφιας) εστι. *Prov. viii.* 11. 1 *Par. xxi.* 22. εν τῳ νυν καιρῳ. *Gen. xxx.* 20. παντες ὡσπερ επ' αθανασιας ὁδον τρεχοντες, επι τον δια των βασανων θανατον, κ.τ.λ. 4 *Mac.* 14. εις ἡμας, *i. e.* εν ἡμιν. *Esa. lxvi.* 17. *Est. i.* 5. τι το αχυρον προς τον σιτον; *Jer. xxiii.* 28. εσται γαρ ὁ ουρανος καινος—και ου μη μνησθωσι των προτερων, ουδ' ου μη επελθῃ αυτων επι την καρδιαν. *Esa. lxv.* 17.

19 Ἡ γαρ αποκαραδοκια της κτισεως την αποκαλυψιν των υἱων του Θεου απεκδεχεται.

αποκαραδοκειν. *Ps. xxxvi.* 7. *cxxix.* 5. *Aq.* [*Conf. Sturz. de voc. Alex. p.* 148.] εν συντελειᾳ ανθρωπου αποκαλυψις εργων αυτου. *Sir. xi.* 27. κτισις. *Sap. ii.* 6. *v.* 17. *xvi.* 24. *Judith. ix.* 12. *Conf. Act. iii.* 21. 1 *Pet. iii.* 13. *Esa. lxv.* 17. *lxvi.* 22. και αυτος προσδοκια εθνων. *Gen. xlix.* 10. ει γαρ δωη και ελθοι μου ἡ αιτησις, και την ελπιδα μου δωη ὁ Κυριος. *Job. vi.* 8. *xix.* 23-26. ειθε ην ὁ μεσιτης ἡμων, και ελεγχων, και διακουων αναμεσον αμφοτερων. *ix.* 33. προσεδοκων το σωτηριον σου Κυριε. *cxviii.* 166. χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. *xvi.* 15. *xli.* 2. *lxxxiii.* 2. πως κατελογισθη εν υἱοις Θεου; κ. τ. λ. *Sap. v.* 5.

20 Τῃ γαρ ματαιοτητι ἡ κτισις ὑπεταγη, ουχ ἑκουσα, αλλα δια τον ὑποταξαντα, επ' ελπιδι

ὁτι Θεος εκτισε ανθρωπον επ' αφθαρσια, κ. τ. λ. *Sap. ii.* 23. ἡ σαρξ μου κατασκηνωσει επ' ελπιδι. *Ps. xv.* 9. τα παντα ματαιοτης. *Eccles. i.* 2. ἡ κτισις ανθρωπινη. 1 *Pet. ii.* 13. μνησθητι τις ἡ ὑποστασις μου· μη γαρ ματαιως εκτισας παντας τους υἱους ανθρωπων. *Ps. lxxxviii.* 47. *xxxviii.* 5. 11. *cxliii.* 4. *Conf.* 2 *Pet. iii.* 10. *Gen. iii.* 17. *Esa. xxiv.* 5, 6. *Ose. iv.* 3. εα δε, ανθρωπος σαπρια, και υἱος ανθρωπου σκωληξ. *Job. xxv.* 6. *Conf. Job. xii.* 6-10. *Jer. xii.* 4. *Joel. i.* 18.

21 Ὁτι και αυτη ἡ κτισις ελευθερωθησεται απο της δουλειας της φθορας εις την ελευθεριαν της δοξης των τεκνων του Θεου.

σοι δουλευσατο πασα ἡ κτισις σου. *Judith. xvi.* 14. αυτη. *Conf.* 2 *Mac. iv.* 12. τον λυτρουμενον εκ φθορας την ζωην σου. *Ps. cii.* 4. ἡ ελπις αυτων αθανασιας πληρης. *Sap. iii.* 4.

22 Οιδαμεν γαρ ὁτι πασα ἡ κτισις συστεναζει και συνωδινει αχρι του νυν·

ἑως του νυν. *Gen. xviii.* 12. *Conf. Jer. xii.* 11. [παντι ανθρωπῳ οδυνωμενῳ συνεστεναξα. *Test. XII Patr. p.* 629.] λεγοντα τοις εν δεσμοις, Εξελθατε, και τοις εν τῳ σκοτει, ανακαλυφθηναι. *Esa. xlix.* 9. τρομος επελαβετο αυτων· εκει ωδινες ὡς τικτουσης. *Ps. xlvii.* 6. *Gen. iv.* 1. *xlix.* 10. *Job. v.* 6. δια στενοχωριαν πνευματος στεναζοντες. *Sap. v.* 3.

23 Ου μονον δε, αλλα και αυτοι την απαρχην του Πνευματος εχοντες, και ἡμεις αυτοι εν ἑαυτοις στεναζομεν, υἱοθεσιαν απεκδεχομενοι, την απολυτρωσιν του σωματος ἡμων.

ου μονον—αλλα και. 3 *Mac. iii.* 23. και στεναξουσιν οἱ ἁλιεις. *Esa. xix.* 8. εις τας απαρχας του ἁγιου. *Exod. xxxvi.* 6. 2 *Par. xxx.* 24. *Ezech. xlviii.* 8. 21. πασα απαρχη ελαιου. *Num. xviii.* 12. απο παντων των απαρχων το ἡγιασμενον. 29. ὁ χρονος της απολυτρωσεως ελθῃ. *Dan. iv.* 32. *LXX.* [ταυτ' ακουων ὁ Βαλακης ωδινεν εν ἑαυτῳ. *Philo de Vit. Mos. p.* 645.] φθαρτον γαρ σωμα βαρυνει ψυχην, και βριθει το γεωδες σκηνος νουν πολυφροντιδα. *Sap. ix.* 15. *Conf. Luc. xx.* 36. *xxi.* 28. 1 *Joan. iii.* 2. 2 *Cor. v.* 2. 4. *Ephes. i.* 14. την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18.

24 Τῃ γαρ ελπιδι εσωθημεν. ελπις δε βλεπομενη, ουκ εστιν ελπις· ὁ γαρ βλεπει τις, τι και ελπιζει;

πιστις—πραγματων ελεγχος ου βλεπομενων. *Heb. xi.* 1. εφ' ᾧ ηλ-

πιζομεν, και σωσει ἡμας. Esa. xxv. 9. ου μη πλημμελησουσι παντες οἱ ελπιζοντες επ' αυτον. Ps. xxxiii. 22.

25 Ει δε ὁ ου βλεπομεν, ελπιζομεν, δι' ὑπομονης απεκδεχομεθα.

ουαι τοις απολωλεκοσι την ὑπομονην. Sir. ii. 15. ὁ σωζων τους ελπιζοντας επι σε. Ps. xvi. 7. Conf. 2 Cor. iv. 18. Heb. xi. 1. οὑτος (Ενως) ηλπισεν επικαλεισθαι το ονομα του Θεου. Gen. iv. 26.

26 Ὡσαυτως δε και το Πνευμα συναντιλαμβανεται ταις ασθενειαις ἡμων. το γαρ τι προσευξωμεθα καθο δει, ουκ οιδαμεν, αλλ' αυτο το Πνευμα ὑπερεντυγχανει ὑπερ ἡμων στεναγμοις αλαλητοις·

ὡσαυτως και. 2 Mac. ii. 12. 14. Κυριε κατα το πληθος των οδυνων μου εν τῃ καρδιᾳ μου, αἱ παρακλησεις σου ηγαπησαν (ηυφραναν, Alex.) την ψυχην μου. Ps. xciii. 19. ἡ γαρ χειρ μου συναντιληψεται αυτῳ. lxxxviii. 21. Zach. xii. 10. ελεησον με, Κυριε, ὁτι ασθενης ειμι. Ps. vi. 2. Conf. Matt. xx. 22. Jac. iv. 3. Exod. ii. 23, 24. [βουλεται γαρ ὁ των ὁλων ἡγεμων καν αφορητα αδικουντες τινες μελλωσι κολαζεσθαι, παραιτητας εχειν τους εντευξομενους ὑπερ αυτων, κ. τ. λ. Philo de Nom. Mutat. p. 1064. Loesner. in loc. εμου εντυγχανοντος ὑπερ αυτων. Jos. Ant. xiv. 10. 13.] παρα Κυριου ευθυνεται τα διαβηματα ανδρι, θνητος δε πως αν νοησαι τας ὁδους αυτου; Prov. xx. 24.

27 Ὁ δε ερευνων τας καρδιας οιδε τι το φρονημα του πνευματος, ὁτι κατα Θεον εντυγχανει ὑπερ ἁγιων.

ὁς ερευνα ταμεια κοιλιας. Prov. xx. 27. εταζων καρδιας και νεφρους. Ps. vii. 9. Jer. xi. 20. γενναιῳ πεπληρωμενη φρονηματι. 2 Mac. vii. 21. xiii. 9. ενετυχον τῳ Κυριῳ και εδεηθην αυτου. Sap. viii. 21. xvi. 28. εντυχων κατα σου. 1 Mac. viii. 32. x. 61. 63. ὑπερ νεκρων προσευχεσθαι. 2 Mac. xii. 44. Conf. 1 Par. xxviii. 9. Ps. vii. 9. Jer. xvii. 10. Act. i. 24. και εναντιον σου πασα ἡ επιθυμια μου, και ὁ στεναγμος μου ουκ απεκρυβη απο σου. Ps. xxxvii. 9. αδικιαν ει εθεωρουν εν καρδιᾳ μου, μη εισακουσατω Κυριος. lxv. 18. φυλασσει Κυριος τας ψυχας των ὁσιων αυτου. xcvi. 10.

28 Οιδαμεν δε ὁτι τοις αγαπωσι τον Θεον παντα συνεργει εις αγαθον, τοις κατα προθεσιν κλητοις ουσιν.

πλατυνει δε καυχησις τοις αγαπωσιν αυτον. Sir. i. 18. Comp. Conf. Gen. xx. 6. οἱ αγαπωντες τον Κυριον μισειτε πονηρον. Ps. xcvi. 10. ὁ καιρος αυτῳ συνεργει. 1 Mac. xii. 1. [ὁ Θεος συνεργει

τη ἁπλοτητι μου. *Test. XII Patr. p.* 624.] την του βασιλεως προθεσιν επιτελεσων. 2 *Mac. iii.* 8.' [ὑπο του Θεου συνεργουμενους. *Jos. Bell. Jud. vi.* 1. 5.] τῳ φοβουμενῳ τον Κυριον ευ εσται επ' εσχατων, και εν ἡμερᾳ τελευτης αυτου εὑρησει χαριν. *Sir. i.* 13. και ουκ εστιν ειπειν, Τουτο τουτου πονηροτερον, παντα γαρ εν καιρῳ ευδοκιμηθησεται. *xxxix.* 34. ταδε λεγει Κυριος σαβαωθ, Ὁν τροπον ειρηκα, οὑτως εσται, και ὁν τροπον βεβουλευμαι, οὑτως μενει. *Esa. xiv.* 24. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32. πλατυνει δε καυχησις τοις αγαπωσιν αυτον. *Sir. i.* 18. *Comp.*

29 Ὁτι οὑς προεγνω, και προωρισε συμμορφους της εικονος του υἱου αὐτου, εις το ειναι αυτον πρωτοτοκον εν πολλοις αδελφοις·

πασαι γαρ αἱ ὁδοι σου ἑτοιμοι, και ἡ κρισις σου εν προγνωσει. *Judith. ix.* 6. προῃδει γαρ αυτων και τα μελλοντα. *Sap. xix.* 1. *vi.* 13. καγω πρωτοτοκον θησομαι αυτον. *Ps. lxxxviii.* 27. *Gen. iv.* 22. απαρχαι παντων, και πρωτοτοκα παντων. *Ezech. xliv.* 30. *Conf. Jer. i.* 5. [δοξα τῳ πρωτοτοκῳ των πολλων αδελφων. *Act. Thom. c.* 57.] προ του με πλασαι σε εν κοιλιᾳ, επισταμαι σε, κ. τ. λ. *Jer. i.* 5. εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου. *Ps. xvi.* 15. και ὁριεις ῥημα, και σταθησεται σοι. *Job. xxii.* 28. *Theod.*

30 Οὑς δε προωρισε, τουτους και εκαλεσε. και οὑς εκαλεσε, τουτους και εδικαιωσεν· οὑς δε εδικαιωσε, τουτους και εδοξασε.

εγω Κυριος ὁ Θεος εκαλεσα σε εν δικαιοσυνῃ. *Esa. xlii.* 6. απο Κυριου δικαιωθησονται. *xlv.* 26. εδοξασεν αυτον. *Sir. xlv.* 3. Κυριος ὁ Θεος εβουλευσατο ἱνα δικαιωθῃ. *Esa. xlii.* 21. εν τῃ βουλῃ σου ὡδηγησας με, και μετα δοξης προσελαβου με. *Ps. lxxii.* 24. ὑπομενω ἑως αν ελθῃ ἡ ἁγια φυσις μου. *Job. xiv.* 14. *Sym.* μη φοβου, ὁτι ελυτρωσαμην σε, εκαλεσα σε, κ. τ. λ. *Esa. xliii.* 1.

31 Τι ουν ερουμεν προς ταυτα; ει ὁ Θεος ὑπερ ἡμων, τις καθ' ἡμων;

μη φοβου, ὁτι πλειους οἱ μεθ' ἡμων ὑπερ τους μετ' αυτων. 4 *Reg. vi.* 16. μεθ' ἡμων ὁ Θεος. *Esa. viii.* 8. αρα ὑπερ του Θεου λαλειτε; *Job. xiii.* 7. *Sym.* *Num. xiv.* 8. *Ps. lv.* 11. Ιδου Κυριος Κυριος βοηθησει μοι· τις κακωσει με; *Esa. l.* 9. ὑμεις εσεσθε μοι δικαιοι. *liv.* 17.

32 Ὁς γε του ιδιου υἱου ουκ εφεισατο, αλλ' ὑπερ ἡμων παντων παρεδωκεν αυτον, πως ουχι και συν αυτῳ τα παντα ἡμιν χαρισεται;

οἱ ιδιοι οικογονεις αυτου. *Gen. xiv.* 14. και ουκ εφεισω του ὑιου σου του αγαπητου. *Gen. xxii.* 12. 16. *Thren. ii.* 27. Κυριος ουχ ὑστερησει τα αγαθα κ. τ. λ. *Ps. lxxxiii.* 11. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. 4 *Mac.* 6. 18. ἡ θυσια ὑπερ παντος του λαου. 2 *Mac. i.* 26. *iii.* 32. *iv.* 11. παντα τα ὑπαρχοντα—εδωκα και εχαρισαμην σοι. *Est. viii.* 7. πως ουχι και; *Prov. xv.* 11. και Κυριος παρεδωκεν αυτον ταις ἁμαρτιαις ἡμων. *Esa. liii.* 6.

33 Τις εγκαλεσει κατα εκλεκτων Θεου; Θεος ὁ δικαιων;

οἱ δε λαοι ιδοντες και μη νοησαντες, μηδε θεντες επι διανοιᾳ το τοιουτο, ὁτι χαρις και ελεος εν τοις εκλεκτοις αυτου, και επισκοπη εν τοις ὁσιοις αυτου. *Sap. iv.* 15. εστι κληρονομια τοις θεραπευουσι Κυριον· και ὑμεις εσεσθε μοι δικαιοι, λεγει Κυριος. *Esa. liv.* 17.

34 Τις ὁ κατακρινων; Χριστος ὁ αποθανων, μαλλον δε και εγερθεις, ὁς και εστιν εν δεξιᾳ του Θεου, ὁς και εντυγχανει ὑπερ ἡμων;

ενετυχον τῳ Κυριῳ, και εδεηθην αυτου. *Sap. viii.* 21. *Conf.* 1 *Mac. viii.* 32. *x.* 61-64. *xi.* 25. ὁ δε εγκαλων αδικως ου διαφευξεται. *Prov. xix.* 5. τις δε εγκαλεσει σοι κατα εθνων απολωλοτων; *Sap. xii.* 12. απο Κυριου δικαιωθησονται. *Esa. xlv.* 26. ὁτι εγγιζει ὁ δικαιωσας με· τις ὁ κρινομενος μοι; κ. τ. λ. *l.* 8. 9. και αυτος ἡσυχιαν παρεξει, και τις καταδικασεται; *Job. xxxiv.* 29. καθου εκ δεξιων μου. *Ps. cix.* 1. *Conf. Gal. ii.* 15. *Heb. ix.* 24. *Act. xxv.* 24.

35 Τις ἡμας χωρισει απο της αγαπης του Χριστου; θλιψις, η στενοχωρια, η διωγμος, η λιμος, η γυμνοτης, η κινδυνος, η μαχαιρα;

σκολιοι γαρ λογισμοι χωριζουσιν απο Θεου. *Sap. i.* 3. οἱ χωρισθεντες απο των βδελυγματων. 1 *Esd. vii.* 13. *Matt. xix.* 6. *Marc. x.* 9. θλιψις και στενοχωρια. *Esa. viii.* 22. εκ μεγαλων κινδυνων ὑπο του Θεου σεσωσμενοι. 2 *Mac. i.* 11. γυμνοτης. *Deut. xxviii.* 48. *Conf.* 3 *Reg. xxii.* 27. Εγω Ειμι, Εγω Ειμι ὁ παρακαλων σε, κ. τ. λ. *Esa. li.* 12, 13. *liv.* 9, 10. αγαπησιν αιωνιον ηγαπησα σε· διατουτο εἱλκυσα σε εις οικτειρημα. *Jer. xxxviii.* 3. και σκεπασει σε Θεου αρχη, κ. τ. λ. *Deut. xxxiii.* 27.

36 (Καθως γεγραπται, ὁτι, Ἑνεκα σου θανατουμεθα ὁλην την ἡμεραν· ελογισθημεν ὡς προβατα σφαγης.)

καθως γεγραπται. 2 *Par. xxv.* 4. ἑνεκα σου κ. τ. λ. *Ps. xliii.* 22. τους υἱους των τεθανατωμενων. *ci.* 20. κατανοει ὁ ἁμαρτωλος τον δικαιον, και ζητει του θανατωσαι αυτον. *xxxvi.* 32. *CITAT.* 147.

37 Αλλ᾽ εν τουτοις πασιν ὑπερνικωμεν δια του αγαπησαντος ἡμας.

Conf. Ps. xlii. 1. κρινον—και δικασον. ὑπερδικησον. *Sym.* ὑπερνικησον. *Agellius.* κατεπιεν ὁ θανατος ισχυσας, κ. τ. λ. *Esa.* xxv. 8-10. ὑπερ δε παντα νικᾳ ἡ αληθεια. 1 *Esd.* iii. 12.

38 Πεπεισμαι γαρ ὁτι ουτε θανατος, ουτε ζωη, ουτε αγγελοι, ουτε αρχαι, ουτε δυναμεις, ουτε ενεστωτα ουτε μελλοντα,

πεπεισμαι γαρ. 2 *Mac.* ix. 27. ενεστωτα. 1 *Esd.* ix. 6. τα ενοντα. *Job.* xxxiv. 13. τα μελλοντα. *Sap.* xix. 1. και πασαι αἱ αρχαι αυτῳ δουλευσουσι. *Dan.* vii. 27. ευλογειτε τον Κυριον πασαι αἱ δυναμεις. *Ps.* cii. 21. cxlviii. 2. ευλογειτε τον Κυριον παντες αγγελοι. cii. 20. αγαθα και κακα, ζωη και θανατος, πτωχεια και πλουτος, παρα Κυριου εστι. *Sir.* xi. 14. εν γαρ χειρι αυτου και ἡμεις και οἱ λοιποι ἡμων, κ. τ. λ. *Sap.* vii. 17-21. εν χειρι αυτου ψυχη παντων ζωντων και πνευμα παντος ανθρωπου. *Job.* xii. 10.

39 Ουτε ὑψωμα ουτε βαθος, ουτε τις κτισις ἑτερα δυνησεται ἡμας χωρισαι απο της αγαπης του Θεου, της εν Χριστῳ Ιησου τῳ Κυριῳ ἡμων.

ουρανος ὑψηλος, γη δε βαθεια. *Prov.* xxv. 3. εις βαθος, ἡ εις ὑψος. *Esa.* vii. 11. θες με ὡς σφραγιδα επι την καρδιαν σου—ὁτι κραταια ὡς θανατος αγαπη—ὑδωρ πολυ ου δυνησεται σβεσαι την αγαπην, κ. τ. λ. *Cant.* viii. 6, 7. εαν αναβω εις τον ουρανον, κ. τ. λ. *Ps.* cxxxviii. 8-12.

ΚΕΦ. θ. 9.

ΑΛΗΘΕΙΑΝ λεγω εν Χριστῳ, ου ψευδομαι, (συμμαρτυρουσης μοι της συνειδησεως μου εν Πνευματι ἁγιῳ,)

και νυν αληθειαν αναγγελλω σοι. *Dan.* xi. 2. ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. *Job.* xxvii. 6. ου ψευσομαι. *Job.* vi. 28. *Conf. Joan.* i. 20. 1 *Tim.* ii. 7. *Cap.* i. 9. [αυτος ἑκαστος αυτῳ το συνειδος εχων μαρτυρουν. *Jos. c. Ap.* ii. 30.] πονηρια—συνεχομενη τῃ συνειδησει. *Sap.* xvii. 11. *Conf. cap.* viii. 16.

2 Ὁτι λυπη μοι εστι μεγαλη, και αδιαλειπτος οδυνη τῃ καρδιᾳ μου·

μετ᾽ οδυνης καρδιας. *Jer.* viii. 18. θησομαι—οδυνας εν καρδιᾳ μου ἡμερας και νυκτος. *Ps.* xii. 2. xciii. 19. *Conf. cap.* x. 1. και ελυπηθη Ιωνας λυπην μεγαλην. *Jon.* iv. 1. και κλαυσομαι τον λαον μου τουτον ἡμερας και νυκτος, τους τετραυματισμενους θυγα-

τρος λαου μου. Jer. ix. 1. *αδιαλειπτως.* 1 *Mac. xii.* 11.

3 Ηυχομην γαρ αυτος εγω αναθεμα ειναι απο του Χριστου ὑπερ των αδελφων μου, των συγγενων μου κατα σαρκα·

εν καιρῳ οργης εγενετο ανταλλαγμα. Sir. xliv. 17. *ὑπερ των αδελφων μου. Conf. Deut. xv.* 2, 3. [*αναθεμα· επαρατος, ακοινωνητος. Hesych.*] *γενεα σαρκος και αἱματος. Sir. xiv.* 18. *Conf. Jos. vii.* 25. 4 *Mac.* 17. *ουκ εισοισεις βδελυγμα εις τον οικον σου, και αναθεμα εσῃ ὡσπερ τουτο. προσοχθισματι προσοχθιεις και βδελυγματι βδελυξῃ, ὁτι αναθεμα εστι. Deut. vii.* 26. *ἑνεκα των αδελφων μου και των πλησιον μου. Ps. cxxi.* 8. *Conf.* 4 *Reg. v.* 1. *Exod. xxxii.* 32. 1 *Cor. xii.* 3. *Gal. i.* 8. *φιλον σου η φιλον πατρῳον μη καταλιπῃς, κ. τ. λ. Prov. xxvii.* 10. *και νυν ει μεν αφεις αυτοις την ἁμαρτιαν αυτων, αφες· ει δε μη, εξαλειψον με εκ της βιβλου σου, ἡς εγραψας. Exod. xxxii.* 32. *και νυν ὡς σαρξ αδελφων ἡμων, σαρξ ἡμων· ὡς υἱοι αυτων, υἱοι ἡμων. Neh. v.* 5-8.

4 Οἱτινες εισιν Ισραηλιται, ὡν ἡ υἱοθεσια, και ἡ δοξα, και αἱ διαθηκαι, και ἡ νομοθεσια, και ἡ λατρεια, και αἱ επαγγελιαι,

υἱοι εστε Κυριου του Θεου ὑμων. Deut. xiv. 1. *Conf. Deut. vii.* 6. *Exod. iv.* 22. *Osc. xi.* 1. *της ἁγιας και θεοκτιστου νομοθεσιας.* 2 *Mac. vi.* 23. 4 *Mac.* 5. *απῳκισται δοξα Ισραηλ εν τῳ ληφθηναι την κιβωτον Κυριου.* 1 *Reg. iv.* 22. *φυλαξασθε την λατρειαν ταυτην. Exod. xii.* 25. *και ωφθη ἡ δοξα Κυριου. Lev. ix.* 6. 23. *αποστηναι—απο λατρειας πατερων αυτου.* 1 *Mac. ii.* 19. *διαθηκαι. Sir. xlii.* 2. *xliv.* 11. 2 *Mac. viii.* 15. *Exod. xxiv.* 8. *Gen. xvii.* 10-19. *επαγγελια. Ps. lv.* 8. *ὁτι τον Ιακωβ εξελεξατο ἑαυτῳ ὁ Κυριος, Ισραηλ εις περιουσιασμον ἑαυτῳ. Ps. cxxxiv.* 4.

5 Ὡν οἱ πατερες, και εξ ὡν ὁ Χριστος το κατα σαρκα, ὁ Ων επι παντων, Θεος ευλογητος εις τους αιωνας. αμην.

ευλογητος Κυριος εις τον αιωνα. Ps. lxxxviii. 15. *et pass. Sir. l.* 39. *Edit. Drusii.* 3 *Mac. vii.* 22. *και ωφθην προς Ἁβρααμ, και Ισαακ, και Ιακωβ, Θεος ων αυτων, και το ονομα μου Κυριος ουκ εδηλωσα αυτοις. Exod. vi.* 3. *Conf.* 3 *Mac. vii.* 23. *Matt. i.* 1. *Joan. i.* 1. [*ὁ Ων est vocis* יהוה *explicatio. Cappel. Crit. Sac. p.* 704.] *ὁτι συ ει, Κυριε, ὁ ὑψιστος επι πασαν την γην, σφοδρα ὑπερυψωθης ὑπερ παντας τους θεους. Ps. xcvi.* 9. *ὁ Ων—Εγω Ειμι ὁ Ων. Exod. iii.* 14. *ὁ ανωθεν ερχομενος επανω παντων εστι. Joan. iii.* 31. [*Conf. Phil. de Abrah.* Πατηρ μεν των ὁλων ὁ μεσος, ὁς εν ταις ἱεραις γραφαις Κυριῳ ονοματι καλειται ὁ Ων. *p.* 287. *Edit. Col.*] *ὁ Ων απεσταλκε με—τουτο μου εστιν ονομα αιωνιον, κ. τ. λ. Exod. iii.* 13-15. *Conf. Joan. i.* 18. *vi.* 46. 2 *Cor. xi.* 31. *Heb. i.* 3. *xiii.* 8. *Apoc. i.* 18. *xi.* 17.

[πως δε παλιν ουκ ετι σοι δοκει ὁ Χριστος ειναι εκ της παρθενου, αλλ' ὁ επι παντων Θεος, ὁ Ων, ὁ Παντοκρατωρ; *Ignat. ad Philip. p.* 104. *Edit. Voss.*] Αμην. *Neh. viii.* 6.

6 Ουχ οἷον δε ὁτι εκπεπτωκεν ὁ λογος του Θεου. ου γαρ παντες οἱ εξ Ισραηλ, οὗτοι Ισραηλ·

και μη παραπεσατω σου λογος. *Est. vi.* 10. 1 *Reg. iii.* 19. 4 *Reg. x.* 10. ου διεπεσεν απο παντων των ῥηματων των καλων ὧν ελαλησε Κυριος. *Jos. xxi.* 43. *Judith. vi.* 9. ουχ ὡς. *Num. xxiii.* 19. *Joan. viii.* 39. *Rom. ii.* 28. *Gal. vi.* 16. οὕτως εσται το ῥημα μου ὁ εαν εξελθῃ εκ του στοματος μου, ου μη αποστραφῃ, ἑως αν τελεσθῃ ὁσα αν ηθελησα, κ. τ. λ. *Esa. lv.* 11. *Conf. Ezech. xliv.* 10. παντα τα εθνη απεριτμητα σαρκι, και πας οικος Ισραηλ απεριτμητοι καρδιας αυτων. *Jer. ix.* 26. *Esa. i.* 9.

7 Ουδ' ὁτι εισι σπερμα Αβρααμ, παντες τεκνα, αλλ', Εν Ισαακ κληθησεται σοι σπερμα.

ὁτι εν Ισαακ κληθησεται σοι σπερμα. *Gen. xxi.* 12. [*Conf. Jos. Ant. i.* 13.] οὐ γαρ μη κληρονομησει ὁ υἱος της παιδισκης, κ. τ. λ. *Gen. xxi.* 10. *Conf. Gal. iv.* 23. *Heb. xi.* 18. *CITAT.* 148.

8 Τουτεστιν, ου τα τεκνα της σαρκος, ταυτα τεκνα του Θεου· αλλα τα τεκνα της επαγγελιας λογιζεται εις σπερμα.

τεκνα πορνειας. *Ose. i.* 2. *ii.* 4. *Conf. Esa. i.* 4. υἱοι εστε Κυριου του Θεου ὑμων. *Deut. xiv.* 1. τι αλλο η σπερμα ζητει ὁ Θεος; *Mal. ii.* 15. κληθησονται και αυτοι υἱοι Θεου ζωντος. *Ose. i.* 10. ελογισθη εις δικαιοσυνην. *Gen. xv.* 6. και εσονται οἱ δυο εις σαρκα μιαν. *ii.* 24. εις δρυμον λογισθησεται; *Esa. xxix.* 17. *Conf. Gal. iv.* 28. εαν εγκαταλιπωσιν οἱ υἱοι αυτου τον νομον μου—επισκεψομαι εν ῥαβδῳ τας ανομιας αυτων—το δε ελεος μου ου μη διασκεδωσω κ. τ. λ. *Ps. lxxxviii.* 30-36.

9 Επαγγελιας γαρ ὁ λογος οὗτος, Κατα τον καιρον τουτον ελευσομαι, και εσται τῃ Σαῤῥᾳ υἱος.

επαναστρεφων ἡξω προς σε κατα τον καιρον τουτον εις ὡρας, και ἑξει υἱον Σαῤῥα ἡ γυνη σου. *Gen. xviii.* 10. *Num. xxiii.* 23. επαγγελια. *Est. iv.* 7. [ιδου Σαῤῥα ἡ γυνη σου τεξεται υἱον. *Philo de Nom. Mutat. p.* 839. *de Alleg. p.* 58. *Edit. Col.*] *CITAT.* 149.

10 Ου μονον δε, αλλα και Ῥεβεκκα εξ ἑνος κοιτην εχουσα, Ισαακ του πατρος ἡμων·

κοιτην σπερματος. *Lev. xv.* 18. *xviii.* 20. 23. *Conf. Gen. xxv.* 21. εδωκε τις την κοιτην αυτου εν σοι. *Num. v.* 20. ου μονον δε—αλλα και. 3 *Mac. iii.* 23. Ῥεβεκκα (*ad Rebeccam quod attinet.*) = ὁ γαρ

Μωυσης ουτος κ. τ. λ. Exod. xxxii. 1. και εν τῳ Ισαακ εστησεν ουτως δια Ἀβρααμ τον πατερα αυτου ευλογιαν παντων ανθρωπων και διαθηκην. Sir. xliv. 22.

11 Μηπω γαρ γεννηθεντων, μηδε πραξαντων τι αγαθον η κακον, ἱνα ἡ κατ' εκλογην του Θεου προθεσις μενῃ, ουκ εξ εργων, αλλ' εκ του καλουντος,

την του βασιλεως προθεσιν επιτελεσων. 2 Mac. iii. 8. ακουε μου Ιακωβ και Ισραηλ ὁν εγω καλω. Esa. xlviii. 12. xliv. 1, 2. μη γαρ λεγε, ὁτι καθαρος ειμι τοις εργοις, κ. τ. λ. Job. xi. 4. τους πατερας ὑμων προειλετο Κυριος αγαπᾳν αυτους, κ. τ. λ. Deut. x. 15. Conf. Deut. vii. 6-11. εκ γαστρος προ Ἑωσφορου εγεννησα σε. Ps. cix. 3. [τα εργα ἡμων εν εκλογῃ και εξουσιᾳ της ψυχης ἡμων. Psalt. Sal. p. 945.] [φασι δε (Σαδδουκαιοι) επ' ανθρωπων εκλογῃ, το τε καλον και το κακον προκεισθαι, και το κατα γνωμην ἑκαστῳ τουτων ἑκατερῳ προσιεναι. Jos. Bell. Jud. ii. 8. 14.]

12 Ερρεθη αυτῃ, ὁτι, Ὁ μειζων δουλευσει τῳ ελασσονι·

και ερρεθη προς Ἀβραμ. Gen. xv. 13. και ὁ μειζων κ. τ. λ. Gen. xxv. 23. ὁτι. Gen. xxix. 33. Jos. ii. 24 [του μειζονος προτερησειν το δοκουν ελασσον ειναι. Jos. Ant. i. 18. 1.] CITAT. 150.

13 Καθως γεγραπται, Τον Ιακωβ ηγαπησα, τον δε Ησαυ εμισησα.

και ηγαπησα τον Ιακωβ. Τον δε Ησαυ εμισησα, και εταξα τα ὁρια κ. τ. λ. Mal. i. 2, 3. ηγαπησα δε Ῥαχηλ μαλλον η Λειαν— ὁτι εμισειτο Λεια. Gen. xxix. 30-33. ὁ φιλων πατερα η μητερα ὑπερ εμε κ. τ. λ. Matt. x. 37. και ου μισει τον πατερα ἑαυτου και την μητερα. Luc. xiv. 26. Conf. Deut. xxi. 15. Prov. xiii. 24. Matt. vi. 24. Joan. xii. 25. CITAT. 151.

14 Τι ουν ερουμεν; μη αδικια παρα τῳ Θεῳ; Μη γενοιτο.

και ουκ εστιν αδικια εν αυτῳ. Ps. xci. 15. μη γενοιτο. Gen. xliv. 7. 17. παρ' αυτῳ σοφια και δυναμις. Job. xii. 13. Conf. Gen. xviii. 25. Deut. xxxii. 4. 2 Par. xix. 7. Job. viii. 3. Esa. xlv. 9.

15 Τῳ γαρ Μωσῃ λεγει, Ελεησω ὁν αν ελεω, και οικτειρησω ὁν αν οικτειρω.

και ελεησω κ. τ. λ. Exod. xxxiii. 19. Ose. i. 6, 7. CITAT. 152.

16 Αρα ουν ου του θελοντος, ουδε του τρεχοντος, αλλα του ελεουντος Θεου.

ὁδον εντολων σου εδραμον. Ps. cxviii. 32. ου γαρ λαος εστιν εχων συνεσιν, διατουτο ου μη οικτειρησῃ ὁ ποιησας αυτους, κ. τ. λ. Esa. xxvii. 11. 2 Mac. ix. 13. Mich. vii. 18. εμφανης εγενηθην τοις εμε

μη επερωτωσιν, κ. τ. λ. Esa. lxv. 1. *ου τοις κουφοις ὁ δρομος, και ου τοις δυνατοις ὁ πολεμος, κ. τ. λ. Eccles. ix.* 11. *Conf. Gen. xxi.* 11. *xxvii.* 1-14.

17 Λεγει γαρ ἡ γραφη τῳ Φαραω, ὁτι, Εις αυτο τουτο εξηγειρα σε, ὁπως ενδειξωμαι εν σοι την δυναμιν μου, και ὁπως διαγγελῃ το ονομα μου εν παση τῃ γῃ.

και ἑνεκεν τουτου διετηρηθης, ἱνα ενδειξωμαι εν σοι την ισχυν μου, και ὁπως διαγγελῃ το ονομα μου εν πασῃ τῃ γῃ. Exod. ix. 16. *εν χειρι αυτου ψυχη παντων ζωντων και πνευμα παντος ανθρωπου. Job. xii.* 10. *ελεος γαρ και οργη παρ' αυτου· δυναστης εξιλασμων και εκχεων οργην. Sir. xvi.* 11. *Edit. Drusii. Conf. Ps. cxiii.* 7, 8. *Jos. ii.* 9-11. [*ὁτι, nimirum. Hoogev. p.* 582.] *CITAT.* 153.

18 Αρα ουν ὁν θελει, ελεει· ὁν δε θελει, σκληρυνει.

παντα τα εργα του Κυριου μετα δικαιοσυνης, φυλασσεται δε ὁ ασεβης εις ἡμεραν κακην. Prov. xvi. 5. *Conf. Gen. xlix.* 7. *Jud. iv.* 24. 2 *Par. x.* 4. [*ὁ Φαραων κατ' Αιγυπτιους βασιλεα σημαινει. Jos. Ant. viii.* 6. 2.] *σκληρυνε Κυριος την καρδιαν Φαραω. Exod. xiv.* 4. *Esa. lxiii.* 17. *Deut. ii.* 30. *Κυριος εσκληρυνε Φαραω μη ειδεναι αυτον, ὁπως αν γνωσθῃ ενεργηματα αυτου τῃ ὑπ' ουρανον. Sir. xvi.* 14. *Comp. ὡς αν θελῃς. Est. iii.* 11. *Comp. ὡς βουλει. Bos. εγω ὁ κατασκευασας φως, και ποιησας σκοτος, ὁ ποιων ειρηνην, και κτιζων κακα. Esa. xlv.* 7. *Job. xxiii.* 13. *Conf. Est. iii.* 11. *Comp.*

19 Ερεις ουν μοι, Τι ετι μεμφεται; τῳ γαρ βουληματι αυτου τις ανθεστηκε;

πριν εξετασης μη μεμψῃ. Sir. xi. 7. *και τις αντιστησεται μοι; Jer. xxix.* 19. *xxvii.* 44. *τις ουν κριματι αυτου αντιστησεται; Job. ix.* 19. *ουκ εστι προς σε αντιστηναι.* 2 *Par. xx.* 6. *και κρατει βραχιονος σου τις αντιστησεται; Sap. xi.* 21. *Conf. Gen. l.* 19. *Esa. xlvi.* 10.

20 Μενουνγε, ω ανθρωπε, συ τις ει ὁ ανταποκρινομενος τῳ Θεῳ; μη ερει το πλασμα τῳ πλασαντι, Τι με εποιησας οὑτως;

ουκ ην τῳ Ιωβ ελεγχων ανταποκρινομενος. Job. xxxii. 12. *εαν δε καταστρεψῃ τα παντα, τις ερει αυτῳ, Τι εποιησας; xi.* 10. *μη ερει ὁ πηλος τῳ κεραμει, Τι ποιεις ὁτι ουκ εργαζῃ—μη αποκριθησεται το πλασμα προς τον πλασαντα αυτο; Esa. xlv.* 9. *οὑτως. Ps. i.* 4. *Conf. Jer. vi.* 30. *xii.* 1. *Job. ix.* 12, 32. *xi.* 19. *Dan. iv.* 34. *και τις εγω, και τις ὁ λαος μου, κ. τ. λ.* 1 *Par. xxix.* 14. *πως γαρ λεγεις, Δικαιος ειμι, και ουκ επακηκοε μου; αιωνιος γαρ εστιν ὁ επανω βροτων, κ. τ. λ. Job. xxxiii.* 12-14. *τις γαρ ερει, Τι*

εποιησας; η τις αντιστησεται τῳ κριματι σου; τις δε εγκαλεσει σοι, κ. τ. λ. *Sap. xii.* 12-18. εγω αποκτεινω, και ζῃν ποιησω· παταξω, καγω ιασομαι. *Deut. xxxii.* 39. [*Philo de Somn. p.* 887. *Edit. Col.*] *CITAT.* 154.

21 Η ουκ εχει εξουσιαν ὁ κεραμευς του πηλου, εκ του αυτου φυραματος ποιησαι ὁ μεν εις τιμην σκευος, ὁ δε εις ατιμιαν;

φυραμα. *Exod. viii.* 3. και γαρ κεραμευς ἁπαλην γην θλιβων επιμοχθον πλασσει προς ὑπηρεσιαν ἡμων ἑκαστον, αλλ' εκ του αυτου πηλου ανεπλασατο τα τε των καθαρων εργων δουλα σκευη, τα τε εναντια, κ. τ. λ. *Sap. xv.* 7. [ὁ μεν—ὁ δε. *Conf. Sturz. p.* 205, 306.] *Conf. Esa. lxiv.* 8. 2 *Tim. ii.* 20. *Prov. xvi.* 33. *Jer. xviii.* 6. ὡς πηλος κεραμεως εν χειρι αυτου, πασαι αἱ ὁδοι αυτου κατα την ευδοκιαν αυτου· οὑτως ανθρωποι εν χειρι του ποιησαντος αυτους. *Sir. xxxvi.* 13. και ὡς κεραμευς καταπατων τον πηλον. *Esa. xli.* 25. [καθαπερ οιδεν ὁ κεραμευς ἑνος ἑκαστου την χρησιν ὡς ἱκανει, οὑτως και ὁ Κυριος οιδε το σωμα, ἑως τινος διαρκεσει εν αγαθῳ. *Test. XII Patr. p.* 663.]

22 Ει δε θελων ὁ Θεος ενδειξασθαι την οργην, και γνωρισαι το δυνατον αὑτου, ηνεγκεν εν πολλῃ μακροθυμιᾳ σκευη οργης κατηρτισμενα εις απωλειαν·

ἱνα ενεδειξωμαι εν σοι την ισχυν μου. *Exod. ix.* 16. οὑτως δε ηθελησεν ὁ βασιλευς, και επεταξε. *Est. i.* 8. του γνωρισαι παντα τα μεγαλεια σου. 1 *Par. xvii.* 19. *Ald. Conf. Col. i.* 27. και συ Κυριε, ὁ Θεος—μακροθυμος και πολυελεος. *Ps. lxxxvi.* 15. θυμος πολυς. *xxxvi.* 6. σοφια πολλη. *Dan. xi.* 44. και εξηνεγκε τα σκευη οργης αυτου. *Jer. xxvii.* 25. ουχ ὑμεις εστε τεκνα απωλειας; *Esa. lvii.* 4. εσονται—εις απωλειαν. *Jer. li.* 12. *xlix.* 2. *Esa. xxxiii.* 2. *Gen. xlix.* 5. *Aq.* ἡ σεληνη κατηρτισμενη εις τον αιωνα. *Ps. lxxxviii.* 37. *viii.* 3. τα σκευη οργης. *Jer. xxvii.* 25. σκευη θανατου. *Ps. vii.* 13. *Conf. Ps. ii.* 9. σκευη αδικιας. *Gen. xlix.* 5. *Aq.* ὡς σκευος οὑ ουκ εστι χρεια αυτου. *Jer. xxii.* 28. ὡσει σκευος απολωλος. *Ps. xxx.* 12. 2 *Mac. vi.* 14. το δυνατον = την δυναμιν. *Conf. Prov. xxi.* 29. *Ald. Alex.*

23 Και ἱνα γνωρισῃ την πλουτον της δοξης αὑτου, επι σκευη ελεους, ἁ προητοιμασεν εις δοξαν,

εγνωρισας εν τοις λαοις την δυναμιν σου. *Ps. lxxvi.* 14. σκηνης ἁγιας ἡν προητοιμασας απ' αρχης. *Sap. ix.* 8. *Conf.* 1 *Par. xxix.* 17-19. *Esa. lxvi.* 19. *Mal. iii.* 17, 18. [ὁ Θεος τα εν κοσμῳ παντα προητοιμασατο—εις ερωτα και ποθον αὑτου. *Philo de Opific. Mund. p.* 17.] εις δοξαν. *Conf. Jer. xiii.* 11.

24 Ους και εκαλεσεν ἡμας ου μονον εξ Ιουδαιων, αλλα και εξ
εθνων·

25 Ὡς και εν τῳ Ωσηε λεγει, Καλεσω τον ου λαον μου, λαον
μου· και την ουκ ηγαπημενην, ηγαπημενην.

και αγαπησω την ουκ ηγαπημενην, και ερω τῳ ου λαῳ μου, λαος μου ει συ. *Ose. ii.* 1. 23. *Conf. Esa. lxv.* 1. *Ezech. xvi.* 8. 1 *Pet. ii.* 10. *Cap. iv.* 17. *CITAT.* 155.

26 Και εσται εν τῳ τοπῳ οὑ εῤῥηθη αυτοις, Ου λαος μου ὑμεις,
εκει κληθησονται υἱοι Θεου ζωντος.

και εσται κ. τ. λ. κληθησονται και αυτοι, κ. τ. λ. *Ose. i.* 10. εκει. *Alex. Comp. CITAT.* 156.

27 Ησαϊας δε κραζει ὑπερ του Ισραηλ, Εαν ῃ ὁ αριθμος των
υἱων Ισραηλ ὡς ἡ αμμος της θαλασσης, το καταλειμμα σω-
θησεται·

28 Λογον γαρ συντελων και συντεμνων εν δικαιοσυνῃ· ὁτι λογον
συντετμημενον ποιησει Κυριος επι της γης.

εσωσε Κυριος τον λαον αυτου, το καταλοιπον του Ισραηλ. *Jer. xxxviii.* 7. και εσται το ὑπολειφθεν εν Σιων, και το καταλειφθεν εν Ἱερουσαλημ, ἁγιοι κληθησονται παντες οἱ γραφεντες εις ζωην εν Ἱερουσαλημ. *Esa. iv.* 3. ὑπερ Αβεσσαλωμ. *Conf.* 2 *Reg. xviii.* 5. ὁτι εξ Ἱερουσαλημ εξελευσεται καταλειμμα, και ανασωζομενος εξ ορους Σιων, κ. τ. λ. 4 *Reg. xix.* 31. *Mich. v.* 5-8. και εαν γενηται ὁ λαος Ισραηλ κ. τ. λ. Κυριος ποιησει εν τῃ οικουμενῃ ὁλῃ. *Esa. x.* 22, 23. *Rom. xi.* 5. *Jer. xv.* 16. *CITAT.* 157.

29 Και καθως προειρηκεν Ησαϊας, Ει μη Κυριος Σαβαωθ εγ-
κατελιπεν ἡμιν σπερμα, ὡς Σοδομα αν εγενηθημεν, και ὡς
Γομοῤῥα αν ὡμοιωθημεν.

ει μη κ. τ. λ. *Esa. i.* 9. *Conf. Esa. iv.* 2, 3. [Σοδομα. *Jos. Ant. i.* 11.] Κυριος Σαβαωθ. יהוה צבאות 1 *Reg. xv.* 2. *Conf. Gen. xix.* 24. *Jer. xxvii.* 40. *xlix.* 18. *Thren. iii.* 22. *Ezech. xvi.* 46. *Amos. iv.* 11. *Sophon. ii.* 9. *Jac. v.* 4. *CITAT.* 158.

30 Τι ουν ερουμεν; ὁτι, Εθνη τα μη διωκοντα δικαιοσυνην, κα-
τελαβε δικαιοσυνην, δικαιοσυνην δε την εκ πιστεως·

31 Ισραηλ δε διωκων νομον δικαιοσυνης, εις νομον δικαιοσυνης
ουκ εφθασε·

δικαιως το δικαιον διωξῃ. *Deut. xvi.* 20. διωκοντας δικαιοσυνην

αγαπᾳ. *Prov. xv.* 9. και μη καταλαβῃ αυτους δικαιοσυνη. *Esa. lix.* 9. εαν διωκῃς το δικαιον, καταληψῃ. *Sir. xxvii.* 8. *Conf. cap. iv.* 11. *x.* 20. ὁτι. *nimirum. Gen. xxix.* 33. *Jos. ii.* 24. μακαριος ὁ ὑπομενων και φθασας, εις ἡμερας χιλιας. *Dan. xii.* 12. φθανει επ' αυτους. *Eccles. viii.* 14. *xii.* 1. *Conf. Matt. xii.* 28. 2 *Cor. x.* 14. *Cap. x.* 2. *xi.* 7. ακουσατε μου οἱ διωκοντες το δικαιον—εμβλεψατε εις Ἁβρααμ τον πατερα ὑμων, κ. τ. λ. *Esa. li.* 1, 2, 7, 8.

32 Διατι; ὁτι ουκ εκ πιστεως, αλλ' ὡς εξ εργων νομου. προσεκοψαν γαρ τῳ λιθῳ του προσκομματος,

και ουχ ὡς λιθου προσκομματι συναντησεσθε, ουδε ὡς πετρας πτωματι. *Esa. viii.* 14. και εις λιθον προσκομματος. *Theod.* και εις στερεον σκανδαλου. *Aq.* συναντησασθαι αυτῳ. *Alex.* υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. και εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. *CITAT.* 159.

33 Καθως γεγραπται, Ιδου, τιθημι εν Σιων λιθον προσκομματος, και πετραν σκανδαλου· και πας ὁ πιστευων επ' αυτῳ ου καταισχυνθησεται.

Ιδου εγω εμβαλλω εις τα θεμελια Σιων λιθον πολυτελη, εκλεκτον, ακρογωναιον, εντιμον, εις τα θεμελια αυτης, και ὁ πιστευων ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. ου καταισχυνθησονται εν καιρῳ πονηρῳ. *Ps. xxxvi.* 19. και ουκ αισχυνθησονται οἱ ὑμομενοντες με. *Esa. xlix.* 23. *CITAT.* 160.

ΚΕΦ. ι. 10.

ΑΔΕΛΦΟΙ, ἡ μεν ευδοκια της εμης καρδιας, και ἡ δεησις ἡ προς τον Θεον ὑπερ του Ισραηλ εστιν εις σωτηριαν.

εαν χορηγησῃς τῃ ψυχῃ σου ευδοκιαν επιθυμιας. *Sir. xviii.* 31. προσχες προς την δεησιν μου. *Ps. cxli.* 6. προς τον Θεον μου δεηθησομαι. *xxix.* 8. ὑπερ θανατου ῥυσεως εδεηθην. *Sir. li.* 9. *Conf. Exod. xxxii.* 10-17. και ελυσε την ἁμαρτιαν αυτοις δια Ιωβ. *Job. xlii.* 9. και εμοι μηδαμως του ἁμαρτειν τῳ Κυριῳ ανιεναι του προσευχεσθαι περι ὑμων. κ. τ. λ. 1 *Reg. xii.* 23. *Jer. xviii.* 20.

2 Μαρτυρω γαρ αυτοις ὁτι ζηλον Θεου εχουσιν, αλλ' ου κατ' επιγνωσιν.

ζηλον νομου. 1 *Mac. ii.* 58. ζηλος του οικου σου. *Ps. lxviii.* 9. επιγνωσιν. *Conf. Act. xxi.* 20. *Cap. ix.* 31. *Gal. i.* 14. *Joan. xvi.* 2. [τοις ζηλωταις—τουτο γαρ αυτους εκαλεσαν, ὡς επ' αγαθοις

επιτηδευμασιν, αλλ' ζηλωσαντες τα κακιστα των εργων, κ. τ. λ. Jos. Bell. Jud. iv. 8. Cont. Ap. ii. 32.] *δευρο μετ' εμου, και ιδε εν τω ζηλωσαι με τω Κυριω. κ. τ. λ.* 4 *Reg. x.* 16.

3 Αγνοουντες γαρ την του Θεου δικαιοσυνην, και την ιδιαν δικαιοσυνην ζητουντες στησαι, τη δικαιοσυνη του Θεου ουχ ὑπεταγησαν.

στησω τον ὁρκον μου. Gen. xxvi. 3. *ουχι τω Θεω ὑποταγησεται ἡ ψυχη μου. Ps. lxi.* 1. *Δανιηλ—ουχ ὑπεταγη τω δογματι σου. Dan. vi.* 13. *Conf. cap. ix.* 30. *Phil. iii.* 9. *το στομα μου εξαγγελει την δικαιοσυνην σου, κ. τ. λ. Ps. lxx.* 15. *Esa. li.* 6. *Dan. ix.* 24. *ὡς ῥακος αποκαθημενης πασα ἡ δικαιοσυνη ἡμων, κ. τ. λ. Esa. lxiv.* 6. *σοι Κυριε ἡ δικαιοσυνη, και ἡμιν ἡ αισχυνη του προσωπου. Dan. ix.* 7. *εγω απαγγελω την δικαιοσυνην σου, και τα κακα σου, ἁ ουκ ωφελησει σε, κ. τ. λ. Esa. lvii.* 12, 13. *και τουτο ονομα αυτου—Κυριος δικαιοσυνη ἡμων. Jer. xxiii.* 6. *alii. δικαιοσυνη δικαιου ου μη εξελειται εν ἡ αν ἡμερα πλανηθη—και δικαιος ου μη δυνηται σωθηναι. Ezech. xxxiii.* 12, 13.

4 Τελος γαρ νομου Χριστος εις δικαιοσυνην παντι τω πιστευοντι.

κεφαλην και ουραν, αρχην και τελος. Esa. xix. 15. *τελος λογου, το παν ακουε, τον Θεον φοβου. Eccles. xii.* 13. *Lev. xxvii.* 23. *Num. xxxi.* 28. *Conf. Esa. liii.* 11. *Sir. xlii.* 2. [*το γαρ τελος του λογου αληθεια εστι. Philo.* 2 *Alleg. p.* 69. *De Cherub. p.* 123.]

5 Μωσης γαρ γραφει την δικαιοσυνην την εκ του νομου, ὁτι, Ὁ ποιησας αυτα ανθρωπος, ζησεται εν αυτοις.

ἁ ποιησας αυτα ανθρωπος ζησεται εν αυτοις. Lev. xviii. 5. [*Laudat Philo. ὁ ποιησας αυτα κ. τ. λ. p.* 341. *Edit. Col.*] *Conf. Ezech. xx.* 11. 13. 21. *Gal. iii.* 12. *Neh. ix.* 29. *CITAT.* 161.

6 Ἡ δε εκ πιστεως δικαιοσυνη οὑτω λεγει, Μη ειπης εν τη καρδια σου, Τις αναβησεται εις τον ουρανον; τουτ' εστι Χριστον καταγαγειν·

μη ειπης εν τη καρδια σου. Deut. viii. 17. *ουκ εν τω ουρανω ανω εστι, λεγων, Τις αναβησεται ἡμιν εις τον ουρανον, και ληψεται ἡμιν αυτην, και ακουσαντες αυτην ποιησομεν; Ουδε περαν της θαλασσης—εγγυς σου το ῥημα σφοδρα εν τω στοματι σου και εν ταις χερσι σου ποιειν αυτο. Deut. xxx.* 12-14. *CITAT.* 162.

7 Η τις καταβησεται εις την αβυσσον; τουτ' εστι Χριστον εκ νεκρων αναγαγειν·

καταβαινοντες εις θαλασσαν. *Ps. cvi.* 23. Κυριε ανηγαγες εξ ᾅδου την ψυχην μου. *xxix.* 3. *lxx.* 21. τις ανεβη εις τον ουρανον; *Bar. iii.* 29. αβυσσος. *Sir. xvi.* 18.

8 Αλλα τι λεγει; Εγγυς σου το ῥημα εστιν, εν τῳ στοματι σου και εν τῃ καρδιᾳ σου· τουτ᾽ εστι, το ῥημα της πιστεως, ὁ κηρυσσομεν·

Conf. Sap. vi. 12-15. το ῥημα σου τους σοι πιστευοντας διατηρει. *xvi.* 26. *Conf. Marc. xvi.* 13. *Act. x.* 43. *xvi.* 31. ειρηνην επ᾽ ειρηνῃ τοις μακραν και τοις εγγυς ουσι. και ειπε Κυριος, Ιασομαι αὐτους. *Esa. lvii.* 19. *CITAT.* 162.

9 Ὁτι εαν ὁμολογησῃς εν τῳ στοματι σου Κυριον Ιησουν, και πιστευσῃς εν τῃ καρδιᾳ σου ὁτι ὁ Θεος αυτον ηγειρεν εκ νεκρων, σωθησῃ·

ὡμολογησαν Θεου υἱον λαον ειναι. *Sap. xviii.* 13. ουτε ἁπλως Ιουδαιον ὁμολογειν ειναι. 2 *Mac. vi.* 6. ὁ εγειρας νεκρον εκ θανατου και εξ ᾅδου εν λογῳ Ὑψιστου. *Sir. xlviii.* 5. βοηθησον μοι, και σωθησομαι. *Ps. cxviii.* 117. ὁτι εγω Κυριος ὁ Θεος σου—ὁ σωζων σε. *Esa. xliii.* 3. 11. επιστραφητε επ᾽ εμε, και σωθησεσθε. *xlv.* 22. *et pass. Conf. Matt. x.* 32. *Luc. xii.* 8. δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8. και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. *Dan. xii.* 13. *Conf. Act. ii.* 32-36.

10 Καρδιᾳ γαρ πιστευεται εις δικαιοσυνην, στοματι δε ὁμολογειται εις σωτηριαν.

ελογισθη εις δικαιοσυνην. *Gen. xv.* 6. εσονται εις ονειδισμον και εις απωλειαν. *Jer. li.* 12. εις σωτηριαν. *Ezech. xvi.* 4. *Comp.* επιστευσα, διο ελαλησα. *Ps. cxv.* 10. 2 *Cor. iv.* 13.

11 Λεγει γαρ ἡ γραφη, Πας ὁ πιστευων επ᾽ αυτῳ ου καταισχυνθησεται.

και ὁ πιστευων ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. *xlix.* 23. *Cap. ix.* 33. *Jer. xvii.* 7. *Conf. cap. ix.* 33. [*CITAT.* 160.]

12 Ου γαρ εστι διαστολη Ιουδαιου τε και Ἑλληνος· ὁ γαρ αυτος Κυριος παντων, πλουτων εις παντας τους επικαλουμενους αυτον·

ανεστησε τα τεκνα αυτης, και επλουτησαν. *Prov. xxxi.* 28. *Conf. Act. x.* 34. *Cap. iii.* 22. 1 *Tim. ii.* 5. *Ephes. i.* 7. συ δε ὁ αυτος ει, και τα ετη σου ουκ εκλειψουσι. *Ps. ci.* 27.

13 Πας γαρ, ὁς αν επικαλεσηται το ονομα Κυριου, σωθησεται.

και εσται, πας ὁς αν επικαλεσηται το ονομα Κυριου σωθησεται. Joel. ii. 32. Conf. Act. ii. 21. ix. 14. CITAT. 163.

14 Πως ουν επικαλεσονται εις ὁν ουκ επιστευσαν; πως δε πιστευσουσιν οὑ ουκ ηκουσαν; πως δε ακουσουσι χωρις κηρυσσοντος;

Conf. 3 Reg. viii. 41. πορευομενοι επορευοντο, και εκλαιον βαλλοντες τα σπερματα αυτων, κ. τ. λ. Ps. cxxv. 6. Joan. iii. 5-9.

15 Πως δε κηρυξουσιν εαν μη αποσταλωσι; καθως γεγραπται, Ὡς ὡραιοι οἱ ποδες των ευαγγελιζομενων ειρηνην, των ευαγγελιζομενων τα αγαθα.

κηρυξατε εν ορει ἁγιῳ μου. Joel. ii. 1. κηρυξαι αιχμαλωτοις αφεσιν. Esa. lxi. 1. ὡς ὡρα (ευπρεπεις. Theod.) επι των ορεων, ὡς ποδες ευαγγελιζομενου ακοην ειρηνης, ὡς ευαγγελιζομενος αγαθα. Esa. lii. 7. τι ὡραιωθησαν επι τα ορη ποδες ευαγγελιζομενου αγαθον, ακουτιζοντες σωτηριαν. Aq. ὡς ὡραιον πολιαις κρισις—ὡς ὡραια γεροντων σοφια. Sir. xxv. 4, 5. ουχ ὡραιος αινος εν στοματι ἁμαρτωλου. Sir. xv. 9. Ιδου επι τα ορη οἱ ποδες ευαγγελιζομενου, και απαγγελλοντος ειρηνην. Nah. i. 15. Conf. Joel. ii. 32. CITAT. 164.

16 Αλλ᾽ ου παντες ὑπηκουσαν τῳ ευαγγελιῳ· Ησαϊας γαρ λεγει, Κυριε, τις επιστευσε τῃ ακοῃ ἡμων;

και ουχ ὑπηκουεν αυτῃ. Gen. xxxix. 10. επειδη εκαλουν, και ουχ ὑπηκουσατε. Prov. i. 24. Κυριε τις, κ. τ. λ. Esa. liii. 1. Heb. iv. 2. Joan. xii. 38. CITAT. 165.

17 Αρα ἡ πιστις εξ ακοης, ἡ δε ακοη δια ῥηματος Θεου.

ὁ προφητης—εν ᾡ ὁ λογος μου προς αυτον, διηγησασθω τον λογον μου επ᾽ αληθειας, κ. τ. λ. Jer. xxiii. 28. [ουδε γαρ ολιγος εστιν αριθμος των εξ ακοης και ὑφηγησεως μανθανοντων. Philo de Cain et Abel. p. 131.] αρα. Ps. lvii. 11. Conf. 2 Par. xvii. 9.

18 Αλλα λεγω, Μη ουκ ηκουσαν; μενουνγε εις πασαν την γην εξηλθεν ὁ φθογγος αυτων, και εις τα περατα της οικουμενης τα ῥηματα αυτων.

εις πασαν την γην εξηλθεν ὁ φθογγος, κ. τ. λ. Ps. xviii. 4. Conf. Matt. xxiv. 14. Marc. xvi. 15. Col. i. 6. 23. CITAT. 166.

19 Αλλα λεγω, Μη ουκ εγνω Ισραηλ; πρωτος Μωσης λεγει, Εγω παραζηλωσω ὑμας επ᾽ ουκ εθνει, επι εθνει ασυνετῳ παροργιω ὑμας.

καγω παραζηλωσω αυτους επ' ουκ εθνει, κ. τ. λ. Deut. xxxii. 21. *Tit. iii.* 3. *αλλα (quin etiam, quin immo). Conf.* 2 *Cor. vii.* 11. *Joan. xvi.* 2. *CITAT.* 167.

20 Ησαΐας δε αποτολμα και λεγει, Εὑρεθην τοις εμε μη ζη-
τουσιν, εμφανης εγενομην τοις εμε μη επερωτωσι.

21 Προς δε τον Ισραηλ λεγει, Ὁλην την ἡμεραν εξεπετασα
τας χειρας μου προς λαον απειθουντα και αντιλεγοντα.

αποτολμα, και λεγει. Ita, και εσπευσε και καθειλε i. e. και σπευσασα καθειλε. Gen. xxiv. 18. *εμφανης εγενηθην τοις εμε μη επερωτωσιν, εὑρεθην τοις εμε μη ζητουσιν—εξεπετασα τας χειρας μου ὁλην την ἡμεραν προς λαον απειθουντα και αντιλεγοντα. Esa. lxv.* 1, 2. *ὁτι οἱς ουκ ανηγγελη περι αυτου, οψονται, και οἱ ουκ ακηκοασι, συνησουσι. lii.* 15. *lv.* 5. *Ἡσαΐας ὁ προφητης ὁ μεγας, και πιστος εν ὁρασει αυτου, κ. τ. λ. Sir. xlviii.* 22-25. [*επειδη ἁπαξ εθρασυνατο και απετολμησε. Philo. leg. ad. Cai. p.* 1003. *apud Loesner.*] *CITAT.* 168.

ΚΕΦ. *ια.* 11.

ΛΕΓΩ ουν, Μη απωσατο ὁ Θεος τον λαον αὑτου; μη γε-
νοιτο· και γαρ εγω Ισραηλιτης ειμι, εκ σπερματος
Αβρααμ, φυλης Βενΐαμιν.

ουκ απωσεται Κυριος τον λαον αυτου. 1 *Reg. xii.* 22. *μη εις τους αιωνας απωσεται Κυριος; Ps. lxxvi.* 7. *xciii.* 14. *μη γενοιτο. Gen. xliv.* 7. 17. *σπερμα Ἁβ. Ps. civ.* 6. *εξ Ιακωβ σπερμα. Esa. lxv.* 8. *της φυλης Βενιαμιν. Num. xxxiv.* 21. *μη ουχι εξ Αιγυπτου ανηγαγεν ἡμας Κυριος; και νυν εξερριψεν ἡμας. Jud. vi.* 13. *Conf. Jer. xxxviii.* 37. 2 *Cor. xi.* 12. *Phil. iii.* 5. *Act. xxii.* 3. *απωσεται αυτους ὁ Θεος, ὁτι ουκ εισηκουσαν αυτου, και εσονται πλανηται εν τοις εθνεσι. Ose. ix.* 17.

2 Ουκ απωσατο ὁ Θεος τον λαον αὑτου, ὁν προεγνω. η ουκ οι-
δατε εν Ηλιᾳ τι λεγει ἡ γραφη; ὡς εντυγχανει τῳ Θεῳ κατα
του Ισραηλ, λεγων,

ἡ κρισις σου εν προγνωσει. Judith. ix. 6. *φθανει τους επιθυμουντας προγνωσθηναι. Sap. vi.* 13. *προῃδει γαρ αυτων και τα μελλοντα. xix.* 1. *εν Ηλιᾳ (per). Conf. Ose. i.* 7. *εαν ουν ετι εντυχωσι κατα σου.* 1 *Mac. viii.* 32. *x.* 61-63. *xi.* 25. *Cap. viii.* 29. *Ps. xciii.* 10. *και ανεστη Ηλιας προφητης ὡς πυρ, κ. τ. λ. Sir. xlviii.* 1. *etc. ὁτι*

ουκ απωσεται Κυριος τον λαον αυτου, και την κληρονομιαν αυτου ου εγκαταλειψει, κ. τ. λ. *Ps. xciii.* 14, 15.

3 Κυριε, τους προφητας σου απεκτειναν, και τα θυσιαστηρια σου κατεσκαψαν· καγω ὑπελειφθην μονος, και ζητουσι την ψυχην μου.

τα θυσιαστηρια σου καθειλαν, και τους προφητας σου απεκτειναν εν ῥομφαιᾳ, και ὑπολελειμμαι εγω μονωτατος, και ζητουσι την ψυχην μου λαβειν αυτην. 3 *Reg. xix.* 14. και τους προφητας σου απεκτειναν, οἱ διεμαρτυραντο εν αυτοις επιστρεψαι αυτους προς με, κ. τ. λ. *Neh. ix.* 26. *CITAT.* 169.

4 Αλλα τι λεγει αυτῳ ὁ χρηματισμος; Κατελιπον εμαυτῳ ἑπτακισχιλιους ανδρας, οἱτινες ουκ εκαμψαν γονυ τῃ Βααλ.

επιδοντες τον ὑπογεγραμμενον χρηματισμον. 2 *Mac. xi.* 17. *Conf. Prov. xxxi.* 1. 2 *Mac. ii.* 4. και καταλειψεις εν Ισραηλ ἑπτα χιλιαδες ανδρων, παντα γονατα ἁ ουκ ωκλασαν (εκαμψαν. *Ald. Comp.*) γονυ τῳ Βααλ. 3 *Reg. xix.* 18. ην καμπτων επι τα γονατα αυτου. *Dan. vi.* 10. ὁτι εμοι καμψει παν γονυ. *Esa. xlv.* 24. *Jer. ii.* 8. οἱτινες. *Exod. xxxii.* 9. *Ps. lxxxii.* 12. *Conf. Jon. iv.* 11. *Ose. ii.* 8. *Sophon. i.* 4. [*Jos. Ant. viii.* 13. 7.] *CITAT.* 170.

5 Οὑτως ουν και εν τῳ νυν καιρῳ λειμμα κατ᾽ εκλογην χαριτος γεγονεν,

εν τῳ νυν καιρῳ. *Gen. xxx.* 20. απο του λειμματος των γιγαντων. *Jos. xiii.* 12. *Conf.* 4 *Reg. xix.* 4. *Cap. ix.* 27. συ δε Ισραηλ παις μου Ιακωβ, και ὁν εξελεξαμην, σπερμα Ἀβρααμ, ὁν ηγαπησα, κ. τ. λ. *Esa. xli.* 8-10. και ει μη Κυριος σαβαωθ εγκατελιπεν ἡμιν σπερμα, ὡς Σοδομα αν εγενηθημεν, κ. τ. λ. *i.* 9. και εξαξω το εξ Ιακωβ σπερμα και εξ Ιουδα—και κληρονομησουσιν οἱ εκλεκτοι μου, κ. τ. λ. *lxv.* 9. 23. *Conf. Ephes. i.* 5, 6.

6 Ει δε χαριτι, ουκ ετι εξ εργων· επει ἡ χαρις ουκ ετι γινεται χαρις. ει δε εξ εργων, ουκ ετι εστι χαρις· επει το εργον ουκ ετι εστιν εργον.

Conf. Ephes. ii. 4-9. *Gal. v.* 4. μη ειπῃς εν τῃ καρδιᾳ σου,—δια την δικαιοσυνην μου εισηγαγε με Κυριος κληρονομησαι την γην, κ. τ. λ. *Deut. ix.* 4-6. *Ps. cxlii.* 1, 2.

7 Τι ουν; ὁ επιζητει Ισραηλ, τουτου ουκ επετυχεν, ἡ δε εκλογη επετυχεν· οἱ δε λοιποι επωρωθησαν,

ουκ επιτευξεται δολιος θηρας. *Prov. xii.* 27. πεπωρωνται γαρ απο οργης οἱ οφθαλμοι μου. *Job. xvii.* 7. [επωρωθησαν· ετυφλωθησαν.

Hesych.] οἱ λοιποι των Ιουδαιων. *Est. ix.* 16. *Conf. Esa. vi.* 10. *xlv.* 18. *Cap. ix.* 31. *Joan. xii.* 40. *Act. xxviii.* 27. 2 *Cor. iii.* 14.

8 (Καθως γεγραπται, Εδωκεν αυτοις ὁ Θεος πνευμα κατανυ-
ξεως, οφθαλμους του μη βλεπειν, και ωτα του μη ακουειν,)
ἑως της σημερον ἡμερας.

ὁτι πεποτικεν ὑμας Κυριος πνευματι κατανυξεως, και καμμυσει τους οφθαλμους αυτων. *Esa. xxix.* 10. *Ezech. xii.* 2. εποτισας ἡμας οινον καναννυξεως. *Ps. lix.* 3. εν τῃ σημερον ἡμερᾳ. *Jos. v.* 9. *ix.* 27. *Gen. xxxv.* 4. τοις ωσιν αυτων βαρεως ηκουσαν, και τους οφθαλμους εκαμμυσαν, μηποτε ιδωσι τοις οφθαλμοις και τοις ωσιν ακουσωσι. *Esa. vi.* 10. *Jer. v.* 21. *Ezech. xii.* 2. *Matt. xiii.* 14. [τουτεστιν, (*ut Philo interp.* 1 *Alleg. p.* 56.) αει· ὁ γαρ αιων ἁπας τῳ Σημερον παραμετρειται. μετρον γαρ του παντος χρονου ὁ ἡμερινος κυκλος. *Loesner.*] *CITAT.* 170.

9 Και Δαβιδ λεγει, Γενηθητω ἡ τραπεζα αυτων εις παγιδα
και εις θηραν, και εις σκανδαλον και εις ανταποδομα αυτοις·

10 Σκοτισθητωσαν οἱ οφθαλμοι αυτων του μη βλεπειν, και τον
νωτον αυτων διαπαντος συγκαμψον.

εις θηραν. 1 *Mac. iii.* 4. *Conf. Deut. xxviii.* 64-68. *Job. xx.* 20. *Prov. i.* 32. *Esa. viii.* 13, 14. *li.* 23. γενηθητω ἡ τραπεζα αυτων ενωπιον αυτων εις παγιδα, και εις ανταποδοσιν, και εις σκανδαλον, κ. τ. λ. *Ps. lxviii.* 22, 23. και τουτο ανταποδομα της κακιας αυτου. *Sir. xiv.* 6. *CITAT.* 171.

11 Λεγω ουν, μη επταισαν, ἱνα πεσωσι; μη γενοιτο· αλλα τῳ
αυτων παραπτωματι ἡ σωτηρια τοις εθνεσιν, εις το παραζη-
λωσαι αυτους.

ουκ επιθυμησεις αργυριον—μη πταισης δι' αυτο. *Deut. vii.* 25. μη γενοιτο. *Gen. xliv.* 7. 17. αυτοι παρεζηλωσαν με επ' ου θεῳ, καγω παραζηλωσω αυτους επ' ουκ εθνει, κ. τ. λ. *Deut. xxxii.* 21. μη θελησει θελησω τον θανατον του ανομου, λεγει Κυριος, κ. τ. λ. *Ezech. xviii.* 23. διοτι ου θελω τον θανατον του αποθνησκοντος. 32. καγω παραζηλωσω αυτους, κ. τ. λ. *Conf. Act. xiii.* 46. *xviii.* 6. *xxviii.* 25.

12 Ει δε το παραπτωμα αυτων πλουτος κοσμου, και το ἡτ-
τημα αυτων πλουτος εθνων, ποσῳ μαλλον το πληρωμα αυτων;

παραπτωμα. *Sap. x.* 1. ὁ πλουτος ἁπαντων των εθνων. *Esa. xxix.* 7, 8. ἡττημα. *xxxi.* 8. ποσῳ μαλλον. 2 *Reg. iv.* 11. *Sym.* πληθος εθνων. *Gen. xlviii.* 19. και εσται εν τῃ ἡμερᾳ εκεινῃ προσθησει ὁ Κυριος του δειξαι την χειρα αυτου, του ζηλωσαι το καταλειφθεν

ὑπολοιπον του λαου, κ. τ. λ. Esa. xi. 11, 12. 16. *lxvi.* 8-10. *Mich. iv.* 1, 2. *Zach. ii.* 11. *viii.* 20-23.

13 Ὑμιν γαρ λεγω τοις εθνεσιν· εφ᾽ ὁσον μεν ειμι εγω εθνων αποστολος, την διακονιαν μου δοξαζω,

προφητην εις εθνη τεθεικα σε. Jer. i. 5. *του δοξασαι τον οικον* Κυριου. *Esd. vii.* 27. *Conf. Act. ix.* 15. *Cap. xv.* 16. *Gal. i.* 16.

14 Ει πως παραζηλωσω μου την σαρκα, και σωσω τινας εξ αυτων.

ει πως. 4 *Reg. xix.* 4. *εκ της σαρκος μου ει συ. Gen. xxix.* 14. *ὁτι αδελφος ἡμων και σαρξ ἡμων εστι. xxxvii.* 27. *και εξαποστελω εξ αυτων σεσωσμενους εις τα εθνη, κ. τ. λ. Esa. lxvi.* 19-21. *Conf.* 1 *Cor. vii.* 16. 1 *Tim. iv.* 16. *Jac. v.* 20. *Cap. x.* 19.

15 Ει γαρ ἡ αποβολη αυτων, καταλλαγη κοσμου, τις ἡ προσληψις, ει μη ζωη εκ νεκρων;

εν τῃ του μεγαλου δεσποτου καταλλαγῃ. 2 *Mac. v.* 20. *μακαριος, ὁν εξελεξω και προσελαβου. Ps. lxiv.* 4. *xvii.* 16. 1 *Reg. xii.* 22. *Dan. ix.* 24. *Ezech. xxxvii.* 1-14. *Sir. xxiii.* 27. *Comp. ὁτι ὁ αδελφος σου οὑτος νεκρος ην και ανεζησε· και απολωλος ην, και εὑρεθη. Luc. xv.* 32. *αποβολη. Conf. Act. xxvii.* 22.

16 Ει δε ἡ απαρχη ἁγια, και το φυραμα· και ει ἡ ῥιζα ἁγια, και οἱ κλαδοι.

απαρχην φυραματος ὑμων. Num. xv. 19. *Conf. Deut. xviii.* 4. *xxvi.* 10. *Neh. x.* 35-37. *εκγονα ασεβων ου πληθυνει κλαδους, και ῥιζαι ακαθαρτοι επ᾽ ακροτομου πετρας. Sir. xl.* 15. *και εξελευσεται ῥαβδος εκ της ῥιζης Ιεσσαι, και ανθος εκ της ῥιζης αναβησεται. Esa. xi.* 1. *ηχρειωθησαν οἱ κλαδοι αυτης. Jer. xi.* 16. *Conf. Exod. xix.* 6. *xxii.* 20. *Dan. viii.* 24. *Lev. xxiii.* 10. *Act. ii.* 39. 1 *Cor. vii.* 14. *Ezech. xliv.* 30. [*της ορφαναιας αυτου* (*του Ιουδαιων εθνους*) *και ερημιας ελεον και οικτον φησι Μωϋσης αει λαμβανειν τον ἡγεμονα των ὁλων—διοτι του συμπαντος ανθρωπων γενους απενεμηθη οἱα τις απαρχη τῳ ποιητῃ και πατρι. Philo. de Creat. p.* 727.]

17 Ει δε τινες των κλαδων εξεκλασθησαν, συ δε αγριελαιος ων ενεκεντρισθης εν αυτοις, και συγκοινωνος της ῥιζης και της πιοτητος της ελαιας εγενου,

και ειπεν αυτοις ἡ ελαια, Μη απολειψασα την πιοτητα μου. Jud. ix. 9. *εγω δε ὡσει ελαια κατακαρπος εν τῳ οικῳ του Θεου. Ps. li.* 8. *Zach. iv.* 3. *Esa. vi.* 13. *Ezech. xv.* 6-8.

18 Μη κατακαυχω των κλαδων· ει δε κατακαυχασαι, ου συ την ῥιζαν βασταζεις, αλλ᾽ ἡ ῥιζα σε.

ὁτι ηυφραινεσθε και κατεκαυχασθε. Jer. xxvii. 11. *Jac. iii.* 14. *Zach. x.* 12. *Ps. li.* 1. 1 *Cor. x.* 12. *μη καυχασθω ὁ κυρτος, ὡς ὁ ορθος.* 3 *Reg. xxi.* 11. *και επιλαβωνται του κρασπεδου ανδρος Ιουδαιου, κ. τ. λ. Zach. viii.* 23. *ῥιζα.* 4 *Reg. xix.* 30.

19 Ερεις ουν, Εξεκλασθησαν οἱ κλαδοι, ἱνα εγω εγκεντρισθω.

20 Καλως· τῃ απιστιᾳ εξεκλασθησαν, συ δε τῃ πιστει ἑστηκας. μη ὑψηλοφρονει, αλλα φοβου·

και ειπε Δαυιδ, καλως, εγω διαθησομαι. 2 *Reg. iii.* 13. 3 *Reg. ii.* 18. *και εστη πας ὁ λαος εν τῃ διαθηκῃ.* 4 *Reg. xxiii.* 3. *ὑψηλα φρονουντες. Cap. xii.* 16. *μη θνητον οντα ισοθεα φρονειν ὑπερηφανως.* 2 *Mac. ix.* 12. Κυριε *ουχ ὑψωθη ἡ καρδια μου, κ. τ. λ. Ps. cxxx.* 1, 2. *Esa. lxvi.* 2. *μακαριος ανηρ ὁς καταπτησσει παντα δι' ευλαβειαν, ὁ δε σκληρος την καρδιαν εμπεσειται κακοις. Prov. xxviii.* 14. *σπερμα απιστον. Conf. Esa. xvii.* 10.

21 Ει γαρ ὁ Θεος των κατα φυσιν κλαδων ουκ εφεισατο, μηπως ουδε σου φεισηται.

και ουκ εφεισω του υἱου σου του αγαπητου. Gen. xxii. 12. *μηπως. Esa. vi.* 10. *Sym. δια τουτο ου φεισομαι ουκετι επι τους κατοικουντας. Zach. xi.* 6. *Conf. Jer. xxix.* 12. *Ps. lxxix.* 14-19.

22 Ιδε ουν χρηστοτητα και αποτομιαν Θεου· επι μεν τους πεσοντας, αποτομιαν· επι δε σε, χρηστοτητα, εαν επιμεινῃς τῃ χρηστοτητι· επει και συ εκκοπησῃ.

μνησθητι μου ἑνεκεν της χρηστοτητος σου Κυριε. *Ps. xxiv.* 7. *cxviii.* 66. *αποτομος οργη. Sap. v.* 20. *κρισις αποτομος. vi.* 5. *xviii.* 15. *Conf.* 2 *Cor. xiii.* 10. *Tit. i.* 13. *εαν ελθῃ* Ἡσαυ *εις παρεμβολην, και κοψῃ αυτην. Gen. xxxii.* 8. *Jer. li.* 7. *Conf. Joan. xv.* 2. 1 *Cor. xv.* 2. *Heb. iii.* 6. *και εν τῳ αποστρεφειν δικαιον απο των δικαιοσυνων αυτου—ου μη μνησθωσιν αἱ δικαιοσυναι αυτου, κ. τ. λ. Ezech. iii.* 20. *αποτομιας πληρης. Nah. iii.* 1. *Sym.*

23 Και εκεινοι δε εαν μη επιμεινωσι τῃ απιστιᾳ, εγκεντρισθησονται· δυνατος γαρ εστιν ὁ Θεος παλιν εγκεντρισαι αυτους.

δυνατος εξελεσθαι ἡμας εκ της καμινου. Dan. iii. 17. *εγω δε ὡσει ελαια κατακαρπος εν τῳ οικῳ του* Θεου. *Ps. li.* 8. *Conf.* 2 *Cor. iii.* 16. *Zach. xii.* 10. *Esa. lvi.* 4, 5.

24 Ει γαρ συ εκ της κατα φυσιν εξεκοπης αγριελαιου, και παρα φυσιν ενεκεντρισθης εις καλλιελαιον, ποσῳ μαλλον οὑτοι οἱ κατα φυσιν εγκεντρισθησονται τῃ ιδιᾳ ελαιᾳ;

πεφυτευμενοι εν τῳ οικῳ Κυριου, *κ. τ. λ. Ps. xci.* 13, 14.

25 Ου γαρ θελω ὑμας αγνοειν, αδελφοι, το μυστηριον τουτο, (ἱνα μη ητε παρ᾽ ἑαυτοις φρονιμοι,) ὁτι πωρωσις απο μερους τῳ Ισραηλ γεγονεν, αχρις οὑ το πληρωμα των εθνων εισελθῃ·

και ουκ αποκρυψω ὑμιν μυστηρια. *Sap. vi.* 22. μη ισθι φρονιμος παρα σεαυτῳ. *Prov. iii.* 7. *xxviii.* 11. ουαι οἱ συνετοι εν ἑαυτοις. *Esa. v.* 21. ἑως αν ελθη—και αυτος προσδοκια εθνων. *Gen. xlix.* 10. μυστηριον. *Conf. Dan. ii.* 18. 19. 27. 28. *Tob. xii.* 7. *Sir. xxii.* 22. το πληθος εθνων. *Gen. xlviii.* 19. *Esa. xxxi.* 4. απο μερους. *Neh. vii.* 20. *Dan. i.* 2. παντα τα εθνη ὁσα εποιησας ἡξουσι, και προσκυνησουσιν ενωπιον σου Κυριε, κ. τ. λ. *Ps. lxxxv.* 9. αχρις οὑ. *Job. xxxii.* 11. *Conf. Luc. xxi.* 24. 2 *Cor. iii.* 14. τις σοφος και φυλαξει ταυτα; κ. τ. λ. *Ps. cvi.* 43. *Ose. xiv.* 2. *Conf. Esa. ii.* 1-8. *Mich. iv.* 1, 2. *Zach. viii.* 20-23. επι δε σῃ σοφιᾳ μη επαιρου. *Prov. iii.* 5. [πληρωμα· πληθος. *Hesych.*]

26 Και οὑτω πας Ισραηλ σωθησεται, καθως γεγραπται, Ἡξει εκ Σιων ὁ ῥυομενος, και αποστρεψει ασεβειας απο Ιακωβ·

27 Και αὑτη αυτοις ἡ παρ᾽ εμου διαθηκη, ὁταν αφελωμαι τας ἁμαρτιας αυτων.

και διαθησομαι ὑμιν διαθηκην αιωνιον, τα ὁσια Δαυιδ τα πιστα. *Esa. lv.* 3. διατουτο αφαιρεθησεται ανομια Ιακωβ, και τουτο εστιν ἡ ευλογια αυτου, ὁταν αφελωμαι την ἁμαρτιαν αυτου, κ. τ. λ. *xxvii.* 9. Ισραηλ, σωσεται ὑπο Κυριου σωτηριαν αιωνιον. *Esa. xlv.* 17. και τον οικον Ιωσηφ σωσω. *Zach. x.* 6. και σωσει Κυριος τα σκηνωματα Ιουδα. *xii.* 7. και εν ταις ἡμεραις εκειναις σωθησεται Ιουδας, κ. τ. λ. *Jer. xl.* 16. *Comp. Theod.* Ιδου ἡμεραι ερχονται, κ. τ. λ. *xxxviii.* 31, 32. και ἡξει ἑνεκεν Σιων ὁ ῥυομενος, και αποτρεψει ασεβειας απο Ιακωβ. Και αὑτη αυτοις ἡ παρ᾽ εμου διαθηκη, κ. τ. λ. *Esa. lix.* 20, 21. και τας ἁμαρτιας αυτων αυτος ανοισει. *liii.* 11. *Sir. xlvii.* 11. *Exod. xxxiv.* 7. *Deut. iv.* 29. *xxxiii.* 29. *Lev. xxvi.* 44. *Ezech. xx.* 40. *CITAT.* 173.

28 Κατα μεν το ευαγγελιον, εχθροι δι᾽ ὑμας· κατα δε την εκλογην, αγαπητοι δια τους πατερας.

δια το αγαπησαι αυτον τους πατερας σου, και εξελεξατο το σπερμα αυτων μετ᾽ αυτους ὑμας. *Deut. iv.* 37. *x.* 14, 15. *Ps. cxxxiv.* 4. δι᾽ αυτον. 2 *Mac. iii.* 33. *Job. xlii.* 9. σπερμα Ἀβρααμ δουλοι αυτου, υἱου Ιακωβ εκλεκτοι αυτου. *Ps. civ.* 6.

29 Αμεταμελητα γαρ τα χαρισματα και ἡ κλησις του Θεου.

ουχ ὡς ανθρωπος ὁ Θεος διαρτηθηναι, ουδ᾽ ὡς υἱος ανθρωπου απει-

ληθηναι, κ. τ. λ. *Num. xxiii.* 19. [*Philo, de Vit. Mos. lib.* I.] διοτι εγω Κυριος ὁ Θεος ὑμων, και ουκ ηλλοιωμαι. κ. τ. λ. *Mal. iii.* 6. *Conf. Ezech. xvi.* 60-62. *Esa. xlv.* 17. *liv.* 8. συ δε ὁ αυτος ει, κ. τ. λ. *Ps. ci.* 26, 27. και ουκ αποστρεψει ουδε μετανοησει, ὁτι ουχ ὡς ανθρωπος εστι του μετανοησαι αυτος. I *Reg. xv.* 29.

30 Ὡσπερ γαρ και ὑμεις ποτε ηπειθησατε τῳ Θεῳ, νυν δε ηλεηθητε τῃ τουτων απειθειᾳ,

ὁτι ηπειθησατε Κυριῳ. *Num. xi.* 20. τα παιδια, οἱς ηλεησεν ὁ Θεος τον παιδα σου. *Gen. xxxiii.* 5. ὡσπερ γαρ—οὑτως και. *Eccles. v.* 15. *Conf. Ephes. ii.* 2. *Col. iii.* 6. *Tit. iii.* 3. *Ose. ii.* 23.

31 Οὑτω και οὑτοι νυν ηπειθησαν τῳ ὑμετερῳ ελεει, ἱνα και αυτοι ελεηθωσι.

ειπατε τῳ αδελφῳ ὑμων, Λαος μου, κ. τ. λ. *Ose. ii.* 1.

32 Συνεκλεισε γαρ ὁ Θεος τους παντας εις απειθειαν, ἱνα τους παντας ελεησῃ.

τα κτηνη αυτων εις θανατον συνεκλεισε. *Ps. lxxvii.* 50. συνεκλεισεν εις ῥομφαιαν τον λαον αυτου. 62. *xxxi.* 9. συγκλεισον ελεημοσυνην εν τοις ταμειοις σου. *Sir. xxix.* 12. *Conf. cap. iii.* 9. *Gal. iii.* 22. I *Joan. ii.* 2. *iv.* 14. *Ose. iii.* 4, 5. *Jer. xxiii.* 6.

33 Ω βαθος πλουτου και σοφιας και γνωσεως Θεου· ὡς ανεξερευνητα τα κριματα αυτου, και ανεξιχνιαστοι αἱ ὁδοι αυτου.

ουρανος ὑψηλος, γη δε βαθεια (εις βαθος. *Aq.*). *Prov. xxv.* 3. βαθος καρδιας ανθρωπου. *Judith. viii.* 14. σοφια και γνωσις. *Conf. Prov. i.* 7. ανεξερευνητος ἡ καρδια. *Jer. xvii* .9. *Sym. Prov. xxv.* 2. *Aq.* ὁ ποιων μεγαλα και ανεξιχνιαστα. *Job. ix.* 10. *xi.* 7, 8. *xxviii.* 14. *Eccles. iii.* 11. ανεξιχνιαστον το ελεος. *Orat. Manass.* 6. τα ιχνη σου ου γνωσθησονται. *Ps. lxxvi.* 19. και—και. *Sap. iv.* 1. 17. τα κριματα σου ὡσει αβυσσος πολλη. *Ps. xxxv.* 6. *cxviii.* 132. και νυν Κυριον παντοκρατορα εξεταζετε, και ουθεν επιγνωσεσθε ἑως του αιωνος, κ. τ. λ. *Judith. viii.* 13, 14. αυτος αποκαλυπτει βαθεα και αποκρυφα, γινωσκων τα εν τῳ σκοτει, και το φως μετ᾽ αυτου εστι. *Dan. ii.* 22. μεγαλαι γαρ σου αἱ κρισεις και δυσδιηγητοι. *Sap. xvii.* 1. *Ps. lxxi.* 1. εν τῃ θαλασσῃ ἡ ὁδος σου, κ. τ. λ. *lxxvi.* 19. ου γαρ εισιν—αἱ ὁδοι ὑμων αἱ ὁδοι μου, λεγει Κυριος, κ. τ. λ. *Esa. lv.* 8. 9. ὑψηλος ὁ ουρανος, και τι ποιησεις; βαθυτερα δε των εν ᾁδου, τι οιδας; *Job. xi.* 8, 9. Ω ἡ επιφανης και απολελυτρωμενη πολις. *Sophon. iii.* 2. ω πονηρον ενθυμημα. *Sir. xxxvii.* 3.

34 Τις γαρ εγνω νουν Κυριου; η τις συμβουλος αυτου εγενετο;

τις εγνω νουν Κυριου; *και τις αυτου συμβουλος εγενετο, ὃς συμβιβᾳ αυτον; Esa. xl.* 13. *Jer. xxiii.* 18. *Conf.* 1 *Cor. ii.* 16. *Sap. ix.* 13. *Sir. xlii.* 21. *Job. xv.* 8. *xxxvi.* 22. *βουλην δε σου τις εγνω, ει μη συ εδωκας σοφιὰν, και επεμψας το ἁγιον σου πνευμα απο ὑψιστων; Sap. ix.* 17. *CITAT.* 174.

35 Η *τις προεδωκεν αυτῳ, και ανταποδοθησεται αυτῳ;*

και ανταποδωσει μοι Κυριος *κατα την δικαιοσυνην μου. Ps. xvii.* 24. *επει δε ουν δικαιος ει, τι δωσεις αυτῳ; η τι εκ χειρος σου ληψεται; Job. xxxv.* 7. *Dan. iv.* 34.

36 Ὁ*τι εξ αυτου και δι' αυτου και εις αυτον τα παντα· αυτῳ ἡ δοξα εις τους αιωνας. αμην.*

ητω ἡ δοξα Κυριου *εις τους αιωνας. Ps. ciii.* 31. *δοτε μεγαλωσυνην τῳ* Θε*ῳ ἡμων. Deut. xxxii.* 3. *Conf.* 1 *Cor. viii.* 6. *Col. i.* 16. *Heb. i.* 3, 4. *ἡ αρχη εγενηθη επι του ωμου αυτου, και καλειται το ονομα αυτου,* Μεγαλης *βουλης αγγελος, κ. τ. λ. Esa. ix.* 6, 7. *σοι* Κυριε *ἡ μεγαλωσυνη, και ἡ δυναμις, κ. τ. λ.* 1 *Par. xxix.* 11. *Dan. ii.* 20. Ὡ *ἡ δοξα εις τους αιωνας των αιωνων.* Αμην. 4 *Mac. fin.*

ΚΕΦ. ιβ. 12.

ΠΑΡΑΚΑΛΩ *ουν ὑμας, αδελφοι, δια των οικτιρμων του* Θεου, *παραστησαι τα σωματα ὑμων θυσιαν ζωσαν, ἁγιν, ευαρεστον τῳ* Θε*ῳ, την λογικην λατρειαν ὑμων·*

αρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. *οἱ οικτιρμοι σου πολλοι,* Κυριε. *Ps. cxviii.* 156. *Esa. lxiii.* 15. *Thren. iii.* 22. *θυσια τῳ* Θε*ῳ πνευμα συντετριμμενον. Ps. l.* 17. *ευηρεστησε δε* Ενωχ *τῳ* Θε*ῳ. Gen. v.* 22. *ευαρεστος τῳ* Θε*ῳ. Sap. iv.* 10. *ix.* 10. *του παρελθειν την λατρειαν ἡμων δεξιαν.* 1 *Mac. ii.* 22. *Exod. ii.* 25. 1 *Pet. ii.* 2. *παραστησαι, i. e. προσφερειν. Lev. i.* 2. *παραστηθι επι της θυσιας σου. Num. xxiii.* 15. *τοπρωϊ παραστησομαι σοι. Ps. v.* 3. *και παραστησει αυτους εναντι* Κυριου. *Lev. xvi.* 7. *Ald. Conf. Cap. vi.* 13. 16. 1 *Pet. ii.* 5. 1 *Cor. vi.* 20. *αινεσω το ονομα του* Θεου *μου—και αρεσει τῳ* Θε*ῳ ὑπερ μοσχον κ. τ. λ. Ps. lxviii.* 30, 31. *Ose. xiv.* 2. *Esa. lvi.* 7. *Jer. vi.* 20. *Dan. iii.* 28.

2 Και *μη συσχηματιζεσθε τῳ αιωνι τουτῳ, αλλα μεταμορφουσθε τῃ ανακαινωσει του νοος ὑμων, εις το δοκιμαζειν ὑμας, τι το θελημα του* Θεου *το αγαθον και ευαρεστον και τελειον.*

αιων (seculum). Sap. xiii. 9. Tob. iv. 12. Sir. xliv. 2. και καινιει σε εν τῃ αγαπησει αυτου. Sophon. iii. 17. ανακαινισθησεται ὡς αετου ἡ νεοτης σου. Ps. cii. 5. διδαξον με του ποιειν το θελημα σου. cxlii. 10. εποιησαν το αρεστον. Sir. xlviii. 16. Conf. Tit. iii. 5. Col. iii. 10. Joan. iii. 3. Ephes. i. 18. ουκ εσῃ μετα πλειονων επι κακιᾳ. Exod. xxiii. 2. καρδιαν καθαραν κτισον εν εμοι ὁ Θεος, και πνευμα ευθες εγκαινισον εν τοις εγκατοις μου. Ps. l. 10. Conf. xvi. 14. lxxii. 12.

3 Λεγω γαρ δια της χαριτος της δοθεισης μοι, παντι τῳ οντι εν ὑμιν, μη ὑπερφρονειν παρ᾽ ὁ δει φρονειν, αλλα φρονειν εις το σωφρονειν, ἑκαστῳ ὡς ὁ Θεος εμερισε μετρον πιστεως.

μη θνητον οντα ισοθεα φρονειν ὑπερηφανως. 2 Mac. ix. 12. xiv. 26. οικον και ὑπαρξιν μεριζουσι πατερες παισι. Prov. xix. 14. τοις ουσιν εν θλιψει. 1 Mac. v. 16. Conf. Ps. cxxx. 1, 2. Deut. xxix. 29. Cap. i. 5. Ephes. iv. 7. κρεισσων πρᾳϋθυμος μετα ταπεινωσεως, η ὁς διαιρειται σκυλα μετα ὑβριστων. Prov. xvi. 19. ειδον ανδρα δοξαντα παρ᾽ αυτῳ σοφον ειναι, ελπιδα μεντοι εσχε μαλλον αφρων αυτου. xxvi. 12. παντα μετρῳ και αριθμῳ και σταθμῳ διεταξας. Sap. xi. 20. και συ Εσδρα, ὡς ἡ σοφια του Θεου εν χειρι σου, κ. τ. λ. Esd. vii. 25. Mich. vi. 8.

4 Καθαπὲρ γαρ εν ἑνι σωματι μελη πολλα εχομεν, τα δε μελη παντα ου την αυτην εχει πραξιν.

καθαπερ. Exod. v. 13. και εκδειραντες το ὁλοκαυτωμα, μελιουσιν αυτο κατα μελη. Lev. i. 6. μη περι πολλα εστωσαν αἱ πραξεις σου. Sir. xi. 10. Conf. 1 Cor. xii. 12. Ephes. iv. 16.

5 Οὑτως οἱ πολλοι ἑν σωμα εσμεν εν Χριστῳ, ὁ δε καθεις αλληλων μελη·

καθ᾽ εἱς pro καθ᾽ ἑνα. Joan. xxi. 25. 1 Cor. xiv. 31. Conf. Marc. xiv. 19. 1 Cor. xii. 27. Ephes. i. 23. Col. i. 24. και διελουσιν αυτο κατα μελη, και την κεφαλην. Lev. i. 12. 3 Reg. xii. 10. Sym. ὁ καθεις δε των φιλων σκυθρωπως ὑπεκρεων. 3 Mac. v. 34.

6 Εχοντες δε χαρισματα κατα την χαριν την δοθεισαν ἡμιν διαφορα· ειτε προφητειαν, κατα την αναλογιαν της πιστεως·

μετρον της πιστεως. ver. 3. 1 Cor. xii. 4. 2 Cor. x. 13. 1 Pet. iv. 10. κατα αναλογιαν των ετων. Lev. xxvii. 18. alii. [την πολιτειαν προτερον ειπων τῳ τε Μωυσεως αξιωματι και τῃ αρετῃ αναλογουσαν. Jos. Ant. iv. 8. 4. Ααρων δια το γενος και την προφητειαν. iii. 8. 1.] [χαρισμα· δωρον. Hesych.]

7 Ειτε διακονιαν, εν τῃ διακονιᾳ· ειτε ὁ διδασκων, εν τῃ διδασκαλιᾳ·

εν τῃ διακονιᾳ. (*suppl.* σωφρονειν. *Grot.*) απεστειλεν αυτῳ χρυσωματα και διακονιαν. 1 *Mac. xi.* 58. *Conf.* 1 *Pet. iv.* 10, 11. 1 *Cor. xii.* 28. *Ephes. iv.* 11. 1 *Tim. iii.* 8. υἱε ανθρωπου, σκοπον δεδωκα σε εν τῳ οικῳ Ισραηλ, κ. τ. λ. *Ezech. iii.* 17. *xxxiii.* 7. 9. και δουλευσω τῳ Κυριῳ. και δειξω ὑμιν την ὁδον την αγαθην και την ευθειαν. 1 *Reg. xii.* 23. *Conf.* 2 *Par. xvii.* 9.

8 Ειτε ὁ παρακαλων, εν τῃ παρακλησει. ὁ μεταδιδους, εν ἁπλοτητι· ὁ προϊσταμενος, εν σπουδῃ· ὁ ελεων, εν ἱλαροτητι.

εν ἁπλοτητι καρδιας. 1 *Par. xxix.* 17. 2 *Reg. xv.* 11. *Ephes. vi.* 5. ανδρα ἱλαρον και δοτην. *Prov. xxii.* 8. *xviii.* 22. ελαβε δε παρα Θεου ἱλαροτητα. *Prov. xviii.* 22. οἱ προεστωτες. 1 *Tim. v.* 17. 1 *Thess. v.* 12. τοις προεστηκοσι της οικιας. *Amos. vi.* 10. *Prov. xxvi.* 17. προστητε του λαου τουτου. 1 *Mac. v.* 19. σπουδη. *Prol. Sir. Conf. Deut. xv.* 7. *Matt. vi.* 1, 2. 2 *Cor. ix.* 7. *Gal. vi.* 6. ορφανῳ μετεδωκα. *Job. xxxi.* 17. παντα ὁσα αν εὑρῃ ἡ χειρ σου του ποιησαι, ὡς δυναμις σου ποιησον, κ. τ. λ. *Eccles. ix.* 10.

9 Ἡ αγαπη ανυποκριτος. αποστυγουντες το πονηρον, κολλωμενοι τῳ αγαθῳ·

κρισις ανυποκριτος. *Sap. v.* 19. εν τῃ ἁμαρτιᾳ—εκολληθη. 4 *Reg. iii.* 3. εκολληθην τοις μαρτυριοις σου Κυριε. *Ps. cxviii.* 31. *Sir. vi.* 34. *Conf.* 1 *Tim. i.* 5. 1 *Pet. i.* 22. εκζητησατε το καλον, και μη πονηρον, κ. τ. λ. *Amos. v.* 14. εκλινον απο κακου, και ποιησον αγαθον. *Ps. xxxiii.* 14. προελεσθαι πονηρα, εκλεξασθαι το αγαθον. *Esa. vii.* 15. *Conf. Mich. iii.* 2.

10 Τῃ φιλαδελφιᾳ εις αλληλους φιλοστοργοι· τῃ τιμῃ αλληλους προηγουμενοι·

ευνοια εις εμε. 2 *Mac. ix.* 26. φιλοστοργως. *ix.* 21. φιλοστοργια. *vi.* 20. προηγουμενοι. *iv.* 40. φιλαδελφια συμπαθουσα. 4 *Mac.* 13. 22. *Conf. Matt. xx.* 26. *Ephes. iv.* 3. ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον, κ. τ. λ. *Sir. iii.* 18.

11 Τῃ σπουδῃ μη οκνηροι, τῳ πνευματι ζεοντες, τῳ καιρῳ δουλευοντες·

σπουδη και φιλοπονια. *Prol. Sir.* ιθι προς τον μυρηκα, ω οκνηρε. *Prov. vi.* 6. πνευματι. *xviii.* 14. *Aq.* δουλα σκευη. *Sap. xv.* 7. εργαζεσθε το εργον ὑμων προ καιρου, και δωσει τον μισθον ὑμων εν καιρῳ αυτου. *Sir. li.* 30. ὁ καιρος ἡμας καλει. 4 *Mac.* 3. *Conf. Apoc. iii.* 15. *Gal. vi.* 10. και ταις μεν χερσιν αγωνιζομενοι, ταις δε καρ-

διαις προς τον Θεον ευχομενοι. *2 Mac. xv. 27.* δουλευσατε τῳ Κυριῳ εν φοβῳ, κ. τ. λ. *Ps. ii.* 11.

12 Τῃ ελπιδι χαιροντες, τῃ θλιψει ὑπομενοντες, τῃ προσευχῃ προσκαρτερουντες·

και προσκαρτερησαντες ληψεσθε απο των καρπων. *Num. xiii.* 21. ὑποταγηθι τῳ Κυριῳ, και ἱκετευσον αυτον. *Ps. xxxvi.* 7. *liv.* 17. εν τῃ βουλῃ σου ὡδηγησας με, και μετα δοξης προσελαβου με. *lxxii.* 24. ὑπομενων ὑπεμεινα τον Κυριον, κ. τ. λ. *xxxix.* 1. χαρησομαι επι τῳ Θεῳ τῳ σωτηρι μου. *Hab. iii.* 18.

13 Ταις χρειαις των ἁγιων κοινωνουντες, την φιλοξενιαν διωκοντες·

ειπα τῳ Κυριῳ, Κυριος μου ει συ, ὁτι των αγαθων μου ου χρειαν εχεις. τοις ἁγιοις τοις εν τῃ γῃ αυτου κ. τ. λ. *Ps. xv.* 2, 3. το της χρειας. *2 Mac. xii.* 39. *Esd. vii.* 19. διδομενα σοι εις την χρειαν. *1 Esd. viii.* 17. *1 Cor. xvi.* 1. *Heb. xiii.* 2. 16. *1 Pet. iv.* 9.

14 Ευλογειτε τους διωκοντας ὑμας· ευλογειτε, και μη καταρασθε.

εαν πεινᾳ ὁ εχθρος σου, ψωμιζε αυτον· εαν διψᾳ, ποτιζε αυτον. *Prov. xxv.* 21. *Conf. Ps. xxxiv.* 12.

15 Χαιρειν μετα χαιροντων, και κλαιειν μετα κλαιοντων.

μη ὑστερει απο κλαιοντων, και μετα πενθουντων πενθησον. *Sir. vii.* 34. χαρητε ἁμα αυτῃ χαρᾳ. *Esa. lxvi.* 10.

16 Το αυτο εις αλληλους φρονουντες· μη τα ὑψηλα φρονουντες, αλλα τοις ταπεινοις συναπαγομενοι. μη γινεσθε φρονιμοι παρ' ἑαυτοις.

αλλοτρια φρονειν των πραγματων. *2 Mac. xiv.* 26. ὁμοφρονες. *1 Pet. iii.* 8. [τα αυτα φρονειν. *Jos. Bell. Jud. v.* 7. 4.] θνητον οντα ισοθεα φρονειν ὑπερηφανως. *2 Mac. ix.* 12. οἱ εφ' ὑβρει και ὑψηλῃ καρδιᾳ καθημενοι. *Esa. ix.* 9. μη λαλειτε ὑψηλα. *1 Reg. ii.* 3. ουαι οἱ συνετοι εν ἑαυτοις. *Esa. v.* 21. μη ισθι φρονιμος παρα σεαυτῳ. *Prov. iii.* 7. σοφος παρ' ἑαυτῳ ανηρ πλουσιος. *Prov. xxviii.* 11. Κυριε, ουχ ὑψωθη ἡ καρδια μου, ουδε εμετεωρισθησαν οἱ οφθαλμοι μου, κ. τ. λ. *Ps. cxxx.* 1. και τους ταπεινους τῳ πνευματι σωσει. *xxxiii.* 18. ταπεινοις δε διδωσι χαριν. *Prov. iii.* 34. *CITAT.* 175.

17 Μηδενι κακον αντι κακου αποδιδοντες. προνοουμενοι καλα ενωπιον παντων ανθρωπων·

αποδιδωσι κακα αντι αγαθων. *Prov. xvii.* 13. *Ps. xxxiv.* 12. και

προνοου καλα ενωπιον Κυριου και ανθρωπων. Prov. iii. 4. και ουκ εκδικαται σου ἡ χειρ, κ. τ. λ. Lev. xix. 18.

18 Ει δυνατον, το εξ ὑμων, μετα παντων ανθρωπων ειρηνευοντες.

οἱ ειρηνευοντες σοι. Sir. vi. 6. 1 Reg. xxii. 45. Heb. xii. 14. Jer. xxxiv. 7. οἱ δε αγαθοι ἡσυχαζουσι διαπαντος. Prov. xv. 15. εκκλινον απο κακου, και ποιησον αγαθον, ζητησον ειρηνην, και διωξον αυτην. Ps. xxxiii. 14. Conf. 1 Par. xxii. 9.

19 Μη ἑαυτους εκδικουντες, αγαπητοι, αλλα δοτε τοπον τῃ οργῃ· γεγραπται γαρ, Εμοι εκδικησις, εγω ανταποδωσω, λεγει Κυριος.

δος τοπον νομῳ Ὑψιστου. Sir. xix. 17. ιατρῳ δος τοπον. xxxviii. 12. εν ἡμερᾳ εκδικησεως ανταποδωσω. Deut. xxxii. 35. [Laudat Philo. Op. p. 80. Edit. Col.] μη ειπῃς, Τισομαι τον εχθρον, αλλ᾽ ὑπομεινον τον Κυριον ἱνα σοι βοηθησῃ. Prov. xx. 22. xxiv. 17. Conf. Matt. v. 39. 1 Cor. vi. 7. Luc. vi. 29. Heb. x. 30. ὁ εκδικων παρα Κυριου εὑρησει εκδικησιν, και τας ἁμαρτιας αυτου διατηρων διατηρησει. Sir. xxviii. 1. [διδωσι γαρ ὁ διδασκαλος τῳ μαθοντι τοπον προς την ανευ ὑπερβολης ἑκουσιον μελετην. Philo de Nom. Mutat. ουκ ιδου ταυτα συνηκται παρ᾽ εμοι, και εσφραγισται εν τοις θησαυροις μου, εν ἡμερᾳ εκδικησεως, ὁταν σφαλῃ ὁ πους αυτων; Philo 2 Alleg. p. 61. Edit. Col.] CITAT. 176.

20 Εαν ουν πεινᾳ ὁ εχθρος σου, ψωμιζε αυτον· εαν διψᾳ, ποτιζε αυτον· τουτο γαρ ποιων, ανθρακας πυρος σωρευσεις επι την κεφαλην αυτου.

εαν πεινᾳ ὁ εχθρος σου, κ. τ. λ. Prov. xxv. 21, 22. Conf. Matt. v. 24. Exod. xxiii. 4. τα βελη του δυνατου ηκονημενα, συν τοις ανθραξι τοις ερημικοις. Ps. cxix. 4. ανθρακας πυρος. Conf. 2 Reg. xiv. 7. Ps. cxxxix. 10. Esa. xlvii. 14. CITAT. 177.

21 Μη νικω ὑπο του κακου, αλλα νικα εν τῳ αγαθῳ το κακον.

μη σε νικησῃ καλλους επιθυμια. Prov. vi. 26. ὑπερ δε παντα νικᾳ ἡ αληθεια. 1 Esd. iii. 12. [νικᾳ το μισος. Test. XII Patr. p. 681.] Conf. Prov. xvi. 32. ὁ πραϋς εστω μαχητης. Joel. iii. 11. Conf. Gen. xlv. 4, 5. ὑμεις εβουλευσασθε κατ᾽ εμου εις πονηρα, ὁ δε Θεος εβουλευσατο περι εμου εις αγαθα, κ. τ. λ. l. 20.

ΚΕΦ. ιγ. 13.

ΠΑΣΑ ψυχη εξουσιαις ὑπερεχουσαις ὑποτασσεσθω. ου γαρ εστιν εξουσια ει μη απο Θεου· αἱ δε ουσαι εξουσιαι ὑπο του Θεου τεταγμεναι εισιν.

και πασα ψυχη, ἡτις φαγεται. *Lev. xxii.* 15. πασαι αἱ ψυχαι, υἱοι και θυγατερες. *Gen. xlvi.* 15. τοις ὑπερεχουσι. *Sap. vi.* 5. *Conf.* 1 *Par. xxviii.* 4, 5. 2 *Par. xxxvi.* 22. *Esa. xliv.* 28. ὑπερεξει πασας τας βασιλειας. *Dan. vii.* 23. εδωκεν αυτοις εξουσιαν των επ' αυτης. *Sir. xvii.* 2. [ὑπερεχοντι· εξουσιαζοντι. *Hesych.*] αγαπωμενος ημην εν τῃ εξουσιᾳ μου. 1 *Mac. vi.* 11. απο των ἡμερων ὡν εταξα κριτας. 2 *Reg. vii.* 11. 1 *Par. xvi.* 7. δικαιον ὑπο τασσεσθαι τῳ Θεῳ. 2 *Mac. ix.* 12. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. [ου διχα Θεου παραγινεται τινι το αρχειν. *Jos. Bell. Jud. ii.* 8. 7.] και ανθρωπος ὁς εαν ποιησῃ εν ὑπερηφανιᾳ—εξαρεις τον πονηρον εξ Ισραηλ. *Deut. xvii.* 12. δι' εμου βασιλεις βασιλευσουσι, και οἱ δυνασται γραφουσι δικαιοσυνην. *Prov. viii.* 15. δικαιοσυνη ὑψοι εθνος, ελασσονουσι δε φυλας ἁμαρτιαι. Δεκτος βασιλει ὑπηρετης νοημων, τῃ δε ἑαυτου ευστροφιᾳ αφαιρειται ατιμιαν. *Prov. xiv.* 34, 35. *Conf. Dan. iv.* 25. *v.* 18-23.

2 Ὡστε ὁ αντιτασσομενος τῃ εξουσιᾳ, τῃ του Θεου διαταγῃ ανθεστηκεν· οἱ δε ανθεστηκοτες, ἑαυτοις κριμα ληψονται.

ὡστε. *Sap. vi.* 25. Κυριος ὑπερηφανοις αντιτασσεται. *Prov. iii.* 24. τις αντιστησεται μοι; *Jer. xxix.* 19. *Sap. ii.* 18. *Conf. Est. iii.* 4. και ποιησω εν σοι κριματα, και διασκορπιω. *Ezech. v.* 10. —κριμα πασι τοις αδικουμενοις. *Ps. cii.* 6. διαταγῃ. *Esd. vii.* 10, 11. ληψεσθε τας ἁμαρτιας ὑμων. *Num. xiv.* 34. *Conf.* 1 *Reg. xxvi.* 9. *Jer. xxxiv.* 8. *Esd. iv.* 11.

3 Οἱ γαρ αρχοντες ουκ εισι φοβος των αγαθων εργων, αλλα των κακων. Θελεις δε μη φοβεισθαι την εξουσιαν; το αγαθον ποιει, και ἑξεις επαινον εξ αυτης·

εκκλινον απο κακου, και ποιησον αγαθον. *Ps. xxxiii.* 14. *Conf.* 1 *Pet. ii.* 14. *iii.* 13. *Deut. xxv.* 1. *Prov. xiv.* 34. *Jer. xxii.* 15-18.

4 Θεου γαρ διακονος εστι σοι εις το αγαθον. εαν δε το κακον ποιῃς, φοβου· ου γαρ εικη την μαχαιραν φορει· Θεου γαρ διακονος εστιν, εκδικος εις οργην τῳ το κακον πρασσοντι·

ὁτι ὑπηρεται οντες της αυτου βασιλειας. *Sap. vi.* 4. εκδικος. *xii.*

12. εφορεσε διαδημα. *Sir. xi.* 5. *Conf. Prov. xxxi.* 8, 9. *xvi.* 14. *Ps. lxxxi.* 2-7. τοις διακονοις του βασιλεως. *Est. i.* 10. ποιησαι το πονηρον. *Eccles. viii.* 11.

5 Διο αναγκη ὑποτασσεσθαι, ου μονον δια την οργην, αλλα και δια την συνειδησιν.

ου μονον—αλλα και. *Prol. Sir. Conf. Eccles. viii.* 2. 1 *Reg. xxiv.* 7. [την μεν ουν αληθεστατην αιτιαν Θεον αναγκη μονον ειδεναι. *Phil., de Opific. Mund. p.* 15.]

6 Δια τουτο γαρ και φορους τελειτε· λειτουργοι γαρ Θεου εισιν, εις αυτο τουτο προσκαρτερουντες.

και ανηνεγκε—φορον. 3 *Reg. v.* 13. λειτουργοι Θεου. *Esa. lxi.* 6. [φορον, ὁν αν ταξη, τελεσειν ὑπισχνουμενος. *Jos. Ant. x.* 1. 1.]

7 Αποδοτε ουν πασι τας οφειλας· τῳ τον φορον, τον φορον· τῳ το τελος, το τελος· τῳ τον φοβον, τον φοβον· τῳ την τιμην, την τιμην.

Deut. i. 9-17. φοβου τον Θεον, υἱε, και βασιλεα, και μηθ' ἑτερῳ αυτων απειθησῃς. *Prov. xxiv.* 21. παραδοτε—και τους φορους των τοπων. 1 *Mac. xv.* 30. διδοναι—φορον μεγαν. *viii.* 7. αἱ δεκαται και τα τελη. *x.* 31. *Conf. Matt. xxii.* 21. *Marc. xii.* 17. *Luc. xx.* 25. *Exod. xviii.* 13-27. *Deut. i.* 9-17.

8 Μηδενι μηδεν οφειλετε, ει μη το αγαπᾳν αλληλους· ὁ γαρ αγαπων τον ἑτερον, νομον πεπληρωκε.

αφησεις παν χρεος ιδιον ὁ οφειλει σοι ὁ πλησιον. *Deut. xv.* 2. και πληρωσω τους λογους σου. 3 *Reg. i.* 14. *Ps. xix.* 4. 1 *Mac. ii.* 55. 1 *Tim. i.* 5. *Jac. ii.* 8. μη αποσχῃ ευ ποιειν ενδεη, ἡνικα αν εχῃ ἡ χειρ σου βοηθειν. *Prov. iii.* 27. ει μη. *Conf. Hoogev.* τελος λογου, το παν ακουε· Τον Θεον φοβου, και τας εντολας αυτου φυλασσε, κ. τ. λ. *Eccles. xii.* 13.

9 Το γαρ, Ου μοιχευσεις, ου φονευσεις, ου κλεψεις, ου ψευδομαρτυρησεις, ουκ επιθυμησεις, και ει τις ἑτερα εντολη, εν τουτῳ τῳ λογῳ ανακεφαλαιουται, εν τῳ, Αγαπησεις τον πλησιον σου ὡς ἑαυτον.

ου μοιχευσεις κ. τ. λ. *Exod. xx.* 13-17. *Deut. v.* 17-21. [*Laudat Philo. p.* 600. *Edit. Col.*] κεφαλαιωσον λογον, εν ολιγοις πολλα. *Sir. xxxv.* 8. τους δεκα λογους. *Exod. xxiv.* 28. και αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Lev. xix.* 18. ει εστι Κυριος εν ἡμιν η ου. *Exod. xvii.* 7. *Conf. Jer. xiv.* 9. *Gen. xxiii.* 6. *Ps. cxxiii.* 1. *Conf. Matt. xix.* 18. *Marc. x.* 19. *Luc. xviii.* 20. *CITAT.* 178, 179.

10 Ἡ αγαπη τῳ πλησιον κακον ουκ εργαζεται· πληρωμα ουν νομου ἡ αγαπη.

αγαπη δε τηρησις νομων αυτης, προσοχη δε νομων βεβαιωσις αφθαρσιας, αφθαρσια δε εγγυς ειναι ποιει Θεου, κ. τ. λ. Sap. vi. 18, 19. *μητι σε εργασηται κακον. Prov. iii.* 30. [*πληρωμα ελπιδων. Philo. de Abrah. p.* 387.]

9, 10.] [*ιτεον επι το τελευταιον των δεκα λογιων, ὁ κεφαλαιωδει τυπῳ, καθαπερ και των αλλων ἑκαστον κεχρησμῳδηται, τουτο δ᾽ εστιν,—Ουκ επιθυμησεις. Philo de Judice in fine. p.* 557. *Conf. de Decal.* 578. *Edit. Col.*]

11 Και τουτο, ειδοτες τον καιρον, ὁτι ὡρα ἡμας ηδη εξ ὑπνου εγερθηναι· νυν γαρ εγγυτερον ἡμων ἡ σωτηρια, η ὁτε επιστευσαμεν.

ὁταν εξεγερθῃ ανθρωπος εκ του ὑπνου αυτου. Zach. iv. 1. *Jer. xxviii.* 39. *Prov. vi.* 9. *ηγγικε γαρ το σωτηριον μου παραγινεσθαι. Esa. lvi.* 1. *Conf. Heb. x.* 25. *ὡρα. Gen. xxix.* 7. *Conf.* 1 *Cor. xv.* 34. *Ephes. v.* 14. *εξεγειρου εξεγειρου, αναστηθι Ἱερουσαλημ, κ. τ. λ. Esa. li.* 17. *εν πασι τοις λογοις σου μιμνησκου τα εσχατα σου, και εις τον αιωνα ουχ ἁμαρτησεις. Sir. vii.* 36. *Eccles. ix.* 10.

12 Ἡ νυξ προεκοψεν, ἡ δε ἡμερα ηγγικεν. αποθωμεθα ουν τα εργα του σκοτους, και ενδυσωμεθα τα ὁπλα του φωτος.

ἡκει ὁ καιρος, ηγγικεν ἡ ἡμερα. Ezech. vii. 7. *του πορευεσθαι εν ὁδοις σκοτους. Prov. ii.* 13. *Eccles. vi.* 4. [*ουδε εν σκοτει ποιειν εργα φωτος. Test. XII Patr. p.* 665.] *οἱ εν τῳ σκοτει. Esa. xxix.* 18. *ταξιν εθετο σκοτει, κ. τ. λ. Job. xxviii.* 3. *εις φως βολιδες σου πορευσονται εις φεγγος αστραπης ὁπλων σου. Hab. iii.* 11. *ὁπλα δε αισθησεως χειλη σοφα. Prov. xiv.* 7. *και ενεδυσατο δικαιοσυνην ὡς θωρακα. Esa. lix.* 17. *Sap. v.* 19. *καθοπλισωμεθα τοιγαρουν την του Θεου λογισμου παντοκρατειαν.* 4 *Mac.* § 13. *Conf. Prov. iv.* 18, 19. *Joel. ii.* 1. *διηλθε θερος, παρηλθεν αμητος, και ἡμεις ου διεσωθημεν. Jer. viii.* 20. *γνους δε αυτων τα εργα, παρεδωκεν αυτους εις σκοτος, κ. τ. λ. Job. xxiv.* 14-16.

13 Ὡς εν ἡμερᾳ ευσχημονως περιπατησωμεν, μη κωμοις και μεθαις, μη κοιταις και ασελγειαις, μη εριδι και ζηλῳ·

εν ὁδοις δικαιοσυνης περιπατω. Prov. viii. 20. *μη ισθι οινοποτης, μηδε εκτεινου συμβολαις, κρεων τε αγορασμοις, κ. τ. λ. Prov. xxiii.* 20, 21. *μοιχεια και ασελγεια. Sap. xiv.* 26. *κοιτη. Num. xxxi.* 17. *Lev. xviii.* 22. *ουδε φθονος, ουδε ζηλος.* 1 *Mac. viii.* 16. [*κωμοι· ασελγη ᾳσματα, πορνικα συμποσια. Hesych.*] *το μεν γαρ*

ἱερον ασωτιας και κωμων επεπληρωτο ὑπο των εθνων κ. τ. λ. 2 Mac. vi. 4.

14 Αλλ᾽ ενδυσασθε τον Κυριον Ιησουν Χριστον, και της σαρκος προνοιαν μη ποιεισθε εις επιθυμιας.

ασεβης επιθυμει—επιθυμιας κακας. Prov. xxi. 26. και συ ενδυσαι τον ἱματισμον. 2 Par. xviii. 29. και πνευμα Κυριου ενεδυσε τον Γεδεων. Jud. vi. 34. ενδυειν σοφιαν ὡς στολην δοξης. Sir. vi. 30. ενδευειν το δικαιον. xxvii. 8. Conf. Prov. xxiii. 20. Gal. iii. 27. 1 Pet. ii. 11. 1 Joan. ii. 16. Apoc. xvi. 15. ενεδυσε με γαρ ἱματιον σωτηριου, και χιτωνα ευφροσυνης, κ. τ. λ. Esa. lxi. 10. αφελετε τα ἱματια τα ῥυπαρα απ᾽ αυτου· και ειπε προς αυτον, Ιδου αφηρηκα τας ανομιας σου· και ενδυσατε αυτον ποδηρη, κ. τ. λ. Zach. iii. 5, 6. [ἡ δε (Ιζαβελης) μη μικροψυχειν επι τουτοις παρεκαλει, παυσαμενον δε της λυπης, επι την συνηθη τρεπεσθαι του σωματος προνοιαν. Jos. Ant. viii. 13. 8. Krebs.] [γαστρι, εξω των αναγκαιων δασμων, οὑς ἡ φυσις εταξεν, ουδεν πλεον εχορηγει. Philo 1. Vit. Mos. p. 607.]

ΚΕΦ. ιδ. 14.

ΤΟΝ δε ασθενουντα τη πιστει προσλαμβανεσθε, μη εις διακρισεις διαλογισμων.

και ησθενησατε πολλους εν νομῳ. Mal. ii. 8. ησθενησαν ταις διανοιαις. 1 Mac. xi. 49. λογισμοι γαρ θνητων δειλοι, και επισφαλεις αἱ επινοιαι ἡμων. Sap. ix. 14. μετα δοξης προσελαβου με. Ps. lxxii. 24. Conf. Act. xviii. 26. xxviii. 2. διαλογισμοι της καρδιας. Dan. ii. 30. ὁτι ερεις εις διαλογισμον (Ald. Comp. διαλογισμους.) Ps. cxxxviii. 20. Esa. xlii. 3. Conf. cap. xv. 1. 7. 1 Cor. viii. 9. 11. ix. 22. Matt. xii. 20. Jac. ii. 4. ισχυσατε χειρες ανειμεναι, και γονατα παραλελυμενα, κ. τ. λ. Esa. xxxv. 3, 4.

2 Ὁς μεν πιστευει φαγειν παντα, ὁ δε ασθενων λαχανα εσθιει.

διοτι τις εξουδενωσεν εις ἡμερας μικρας; Zach. iv. 10. κρεισσων ξενισμος μετα λαχανων κ. τ. λ. Prov. xv. 17.

3 Ὁ εσθιων, τον μη εσθιοντα μη εξουθενειτω· και ὁ μη εσθιων, τον εσθιοντα μη κρινετω· ὁ Θεος γαρ αυτον προσελαβετο.

ὁτι ου σε εξουθενηκασιν, αλλ᾽ η εμε. 1 Reg. viii. 7. ονειδος ανθρωπων και εξουθενημα λαου. Ps. xxi. 6. Conf. Col. ii. 16. Act. x. 34. 44. xv. 9. μακαριος, ὁν εξελεξω και προσελαβου, κατασκηνωσει εν ταις αυλαις σου. Ps. lxiv. 4.

4 Συ τις ει ὁ κρινων αλλοτριον οικετην; τῳ ιδιῳ κυριῳ στηκει, η πιπτει, σταθησεται δε· δυνατος γαρ εστιν ὁ Θεος στησαι αυτον.

και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 3 *Reg. xxxiii.* 3. *εκει επεσον παντες οἱ εργαζομενοι την ανομιαν, εξωσθησαν και ου μη δυνωνται στηναι. Ps. xxxv.* 12. *i.* 5. *Conf. Jac. iv.* 12. 1 *Par. xxix.* 14. Κυριος ὁ Θεος σου εν σοι, ὁ δυνατος σωσει σε, κ. τ. λ. *Sophon. iii.* 17.

5 Ὁς μεν κρινει ἡμεραν παρ' ἡμεραν, ὁς δε κρινει πασαν ἡμεραν. ἑκαστος εν τῳ ιδιῳ νοϊ πληροφορεισθω.

ὑψωσει αυτον παρα τους πλησιον αυτου. Sir. xv. 5. *κρινει. Sap. ii.* 22. *επληροφορηθη ἡ καρδια. Eccles. viii.* 11. *και ουκ επεστησε τον νουν αυτου. Exod. vii.* 23. *Conf. Est. vii.* 5. *Col. ii.* 16. *Phil. iii.* 15. *Sap. xvii.* 11.

6 Ὁ φρονων την ἡμεραν, Κυριῳ φρονει· και ὁ μη φρονων την ἡμεραν, Κυριῳ ου φρονει. ὁ εσθιων, Κυριῳ εσθιει, ευχαριστει γαρ τῳ Θεῳ· και ὁ μη εσθιων, Κυριῳ ουκ εσθιει, και ευχαριστει τῳ Θεῳ·

και φρονειν τα ἡμων, και συντηρειν φιλιαν. 1 *Mac. x.* 20. *ἡμερας παρατηρεισθε. Gal. iv.* 10. *παρα ταυτα παντα ευχαριστησωμεν* Κυριῳ. *Judith. viii.* 25. *ἁγια γαρ ἡ ἡμερα τῳ* Κυριῳ. 1 *Esd. ix.* 52. *Conf.* 1 *Cor. x.* 31. 1 *Tim. iv.* 3. *Matt. xiv.* 19. *εις κολπους επερχεται παντα τοις αδικοις, παρα δε* Κυριου *παντα τα δικαια. Prov. xvi.* 33. *Conf. Zach. vii.* 5, 6. *Exod. xii.* 14. *Esa. lviii.* 5.

7 Ουδεις γαρ ἡμων ἑαυτῳ ζῃ, και ουδεις ἑαυτῳ αποθνησκει.

Conf. 2 *Cor. v.* 15. *Gal. ii.* 20. 1 *Thess. v.* 10. 1 *Pet. iv.* 2. *Ephes. i.* 12. *επιρριψον επι* Κυριον *την μεριμναν σου, και αυτος σε διαθρεψει, κ. τ. λ. Ps. liv.* 22. *σος εγω ειμι, κ. τ. λ. cxviii.* 94.

8 Εαν τε γαρ ζωμεν, τῳ Κυριῳ ζωμεν· εαν τε αποθνησκωμεν, τῳ Κυριῳ αποθνησκομεν. εαν τε ουν ζωμεν, εαν τε αποθνησκωμεν, του Κυριου εσμεν.

εαν τε κτηνος, εαν τε ανθρωπος. Exod. xix. 13. *Lev. iii.* 1. *και ἡ ψυχη μου αυτῳ ζῃ, και το σπερμα μου δουλευσει αυτῳ. Ps. xxi.* 29, 30. Εις *χειρας σου παραθησομαι το πνευμα μου. xxx.* 5. [*τας των ανθρωπων φυγειν σπουδας, και Θεῳ μονῳ ζησαι. Philo de Nom. Mut. p.* 1078. *ει δε δυναιτο τις πασι τοις μερεσι ζητησαι Θεῳ μαλλον η ἑαυτῳ. p.* 496. *Loesner.*] *Conf. Ps. lxxiii.* 16. *lxxxviii.* 11.

9 Εις τουτο γαρ Χριστος και απεθανε και ανεστη και ανεζη-
σεν, ἱνα και νεκρων και ζωντων κυριευσῃ.

εξελευσεται ανθρωπος εκ του σπερματος αυτου, και κυριευσει εθνων πολλων. *Num.* xxiv. 7. ὁτι εγω ειμι Κυριος κυριευων πασης της γης. *Exod.* viii. 22. *Ald.* *Dan.* iv. 22. *Conf.* *Act.* x. 42. 2 *Cor.* v. 15. και Κυριος βουλεται καθαρισαι αυτον, κ. τ. λ. *Esa.* liii. 10, 11.

10 Συ δε τι κρινεις τον αδελφον σου; η και συ τι εξουθενεις
τον αδελφον σου; παντες γαρ παραστησομεθα τῳ βηματι
του Χριστου.

και μυριαι μυριαδες παρειστηκεισαν αυτῳ. *Dan.* vii. 10. αγγελοι του Θεου παραστηναι ενωπιον του Κυριου. *Job.* i. 6. ii. 1. προσηλθεν επι το βημα. 2 *Mac.* xiii. 26. *Conf.* *Matt.* xvi. 27. xxv. 31. 2 *Cor.* v. 10. ὁτι συμπαν το ποιημα ὁ Θεος αξει εν κρισει—εαν αγαθον και εαν πονηρον. *Eccles.* xii. 14. αρα εστιν ὁ Θεος κρινων αυτους εν τῃ γῃ. *Ps.* lvii. 21.

11 Γεγραπται γαρ, Ζω εγω, λεγει Κυριος· ὁτι εμοι καμψει
παν γονυ, και πασα γλωσσα εξομολογησεται τῳ Θεῳ.

κατ' εμαυτου ομνυω, ει μη εξελευσεται εκ του στοματος μου δικαιοσυνη, οἱ λογοι μου ουκ αποστραφησονται· ὁτι εμοι καμψει παν γονυ, και ομειται πασα γλωσσα τον Θεον. *Esa.* xlv. 23. (εξομολογησεται πασα γλωσσα τῳ Θεῳ. *Alex.* *M.*) Ζω εγω. *Num.* xiv. 21. 28. *Jud.* viii. 19. *Jer.* xxii. 24. *Ezech.* v. 11. *Sophon.* ii. 9. *Conf.* *Phil.* ii. 10. *CITAT.* 180.

12 Αρα ουν ἑκαστος ἡμων περι ἑαυτου λογον δωσει τῳ Θεῳ.

του αποδιδοναι αυτοις τους σατραπας λογον. *Dan.* vi. 2. *Conf.* *Matt.* xii. 36. 1 *Cor.* iii. 8. *Gal.* vi. 5. και ὁ πλασας πνοην πασιν, αυτος οιδε παντα, ὁς αποδιδωσιν ἑκαστῳ κατα τα εργα αυτου. *Prov.* xxiv. 12. *Eccles.* xi. 9.

13 Μηκετι ουν αλληλους κρινωμεν· αλλα τουτο κρινατε μαλ-
λον, το μη τιθεναι προσκομμα τῳ αδελφῳ η σκανδαλον.

προσκομμα θησουσι. *Esa.* xxix. 21. και εθηκαν εν τοις πεδιοις σκανδαλα. *Judith.* v. 1. εις σκανδαλα ψυχαις ανθρωπων. *Sap.* xiv. 11. κατα του υἱου της μητρος σου ετιθεις σκανδαλον. *Ps.* xlix. 20. εαν κρινηται τῳ Κυριῳ. 1 *Esd.* vi. 22. ου φαγομαι εξ αυτων, ἱνα μη γενηται σκανδαλον. *Judith.* xii. 2. *Sir.* xxiii. 8. xxxv. 15. *Conf.* *Matt.* xviii. 7. 1 *Cor.* x. 32. και αρατε σκωλα απο της ὁδου του λαου μου. *Esa.* lvii. 14. *Conf.* *Ezech.* xliv. 12. 2 *Reg.* xii. 14. ὁτι εαν πεσωσιν, ὁ εἱς εγερει τον μετοχον αυτου· και

ουαι αυτῳ τῳ ἑνι, ὁταν πεσῃ, και μη ᾐ δευτερος εγειραι αυτον. *Eccles.* iv. 10. *Lev.* xix. 14.

14 Οιδα και πεπεισμαι εν Κυριῳ Ιησου, ὁτι ουδεν κοινον δι' ἑαυτου, ει μη τῳ λογιζομενῳ τι κοινον ειναι, εκεινῳ κοινον·

πεπεισμαι γαρ αυτον επιεικως και φιλανθρωπως παρακολουθουντα τῃ εμῃ προαιρεσει. 2 *Mac.* ix. 27. κοινον. *Conf. Act.* x. 14. ἑαυτοις λογισαμενοι ουκ ορθως. *Sap.* ii. 1. εις βρωσιν—δεδωκα ὑμιν τα παντα. *Gen.* ix. 3. δι' ἑαυτου. *Epist. Jer.* xxvii. *Conf. Matt.* xv. 11. 1 *Cor.* viii. 4. 1 *Tim.* iv. 4. *Tit.* i. 15. μακαριος οὑ ου κατεγνω ἡ ψυχη αυτου, και ὁς ουκ επεσεν απο της ελπιδος αυτου. *Sir.* xiv. 2. *Conf.* 2 *Reg.* xii. 14. *Ps.* cxviii. 45.

15 Ει δε δια βρωμα ὁ αδελφος σου λυπειται, ουκ ετι κατα αγαπην περιπατεις. μη τῳ βρωματι σου εκεινον απολλυε, ὑπερ οὑ Χριστος απεθανε.

και ελυπηθη ὁ βασιλευς και ωργισθη. *Est.* i. 12. λελυπηται ἡ καρδια μου, και—θυμος μου επηλθε. *Sir.* xxvi. 18. *Thren.* i. 22. εν λυπῃ ἁμαρτιας. *Sir.* xiv. 1. εν ὁδοις δικαιοσυνης περιπατω. *Prov.* viii. 20. *Eccles.* xi. 9. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir.* xxix. 15. διοτι ελεος θελω η θυσιαν, και επιγνωσιν Θεου η ὁλοκαυτωματα. *Ose.* vi. 7. ει ψυχην—ελυπησα. *Job.* xxxi. 39. ηλθες απολεσαι ἡμας; *Marc.* i. 24. ηλθες—βασανισαι ἡμας; *Matt.* viii. 29. και ἑνεκεν κλασματων αρτων, του αποκτειναι ψυχας ἁς ουκ εδει αποθανειν, κ. τ. λ. *Ezech.* xiii. 19. 22. 1 *Cor.* viii. 11. xiii. 4.

16 Μη βλασφημεισθω ουν ὑμων το αγαθον.

17 Ου γαρ εστιν ἡ βασιλεια του Θεου βρωσις και ποσις, αλλα δικαιοσυνη και ειρηνη και χαρα εν Πνευματι ἁγιῳ·

την βρωσιν—και την ποσιν. *Dan.* i. 10. δικαιοσυνη και ειρηνη. *Ps.* lxxxiv. 10. και εν δικαιοσυνῃ οικοδομηθησῃ. *Esa.* liv. 14. lxii. 1. εν γαρ ευφροσυνῃ εξελευσεσθε, και εν χαρᾳ διδαχθησεσθε· κ. τ. λ. lv. 12. 1 *Cor.* viii. 8. *Heb.* xiii. 9. *Jer.* xxiii. 5, 6. *Dan.* ix. 24.

18 Ὁ γαρ εν τουτοις δουλευων τῳ Χριστῳ, ευαρεστος τῳ Θεῳ, και δοκιμος τοις ανθρωποις.

δουλευσατε τῳ Κυριῳ εν ευφροσυνῃ. *Ps.* xcix. 2. *Prov.* xi. 29. ευαρεστος τῳ Θεῳ. *Sap.* iv. 10. ix. 10. δοκιμος. *Gen.* xxiii. 16. *Zach.* xi. 13. και ην αγαθον μετα Κυριου και μετα ανθρωπων. 1 *Reg.* ii. 26. ευηρεστησε δε Ενωχ τῳ Θεῳ. *Gen.* v. 22.

19 Αρα ουν τα της ειρηνης διωκωμεν, και τα της οικοδομης της εις αλληλους.

ζητησον ειρηνην, και διωξον αυτην. Ps. xxxiii. 14. Sir. xxvii. 8. εις αλληλους. 2 Par. xx. 23. φρονειν τα ἡμων. 1 Mac. x. 20. Conf. 1 Cor. xiv. 12. Ephes. iv. 29. 1 Pet. iii. 11. Sir. iii. 14.

20 Μη ἑνεκεν βρωματος καταλυε το εργον του Θεου. παντα μεν καθαρα, αλλα κακον τῳ ανθρωπῳ τῳ δια προσκομματος εσθιοντι·

ἑνεκεν αληθειας. Ps. xliv. 4. κατελυσε την τυραννιδα. 4 Mac. 1. 11. Esd. v. 12. εργον του Θεου. Conf. Esa. lxiv. 8. xlv. 11. παντα ὁσα εποιησε· και ιδου καλα λιαν. Gen. i. 31. ὁ πονηρος ἑαυτῳ, τινι αγαθος εσται; Sir. xiv. 5. Conf. 1 Reg. ii. 36.

21 Καλον το μη φαγειν κρεα, μηδε πιειν οινον, μηδε εν ᾡ ὁ αδελφος σου προσκοπτει η σκανδαλιζεται η ασθενει.

καλον το αποθανειν με, η ζῃν με. Jon. iv. 4. φαγειν κρεατα και πιειν οινον. Esa. xxii. 13. προσκοπτει, ver. 13. μηποτε σκανδαλισθῃς. Sir. ix. 5. Conf. 1 Cor. viii. 13.

22 Συ πιστιν εχεις; κατα σαυτον εχε ενωπιον του Θεου· μακαριος ὁ μη κρινων ἑαυτον εν ᾡ δοκιμαζει.

Conf. 1 Joan. iii. 21. Sir. xiv. 2. supra. 14. [κατα νουν εχειν. Jos. Ant. iii. 12. 4.] Job. xxvii. 6.

23 Ὁ δε διακρινομενος, εαν φαγῃ, κατακεκριται, ὁτι ουκ εκ πιστεως· παν δε ὁ ουκ εκ πιστεως, ἁμαρτια εστιν.

ὁτι εν πιστει ἡγνισαν το ἁγιον. 2 Par. xxxi. 18. xxxiv. 12. Prov. xii. 22. Heb. xi. 6. υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. Deut. xxxii. 20. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. Hab. ii. 4. 2 Par. xx. 20. εσται εν σοι ἁμαρτια. Deut. xv. 9.

ΚΕΦ. ιε. 15.

ΟΦΕΙΛΟΜΕΝ δε ἡμεις οἱ δυνατοι τα ασθενηματα των αδυνατων βασταζειν, και μη ἑαυτοις αρεσκειν·

αδυνατος δε εξελθοι εκ χειρος δυναστου. Job. v. 15, 16. ὁ δυνατος εν γλωσσῃ. Sir. xxi. 7. Conf. Epist. Jer. 28. εβαστασα εν τῳ κολπῳ μου παμπολλων εθνων. Ps. lxxxviii. 49. Sym. και αυτος ἁμαρτιας πολλων ανηνεγκε. Esa. liii. 12. Exod. xxiii. 5. εγω ημην πατηρ αδυνατων, κ. τ. λ. Job. xxix. 15, 16.

2 Ἑκαστος γαρ ἡμων τῳ πλησιον αρεσκετω εις το αγαθον
προς οικοδομην.

καθελεις αυτους, και ου μη οικοδομησεις αυτους. *Ps. xxvii.* 6. σοφαι γυναικες ῳκοδομησαν οικους. *Prov. xiv.* 1. *Jer. xxxiii.* 7. εις κολασιν κατα των αδικων. *Sap. xvi.* 24. ἡ δε αγαπη οικοδομει. 1 *Cor. viii.* 1. *Ephes. iv.* 16. *Phil. ii.* 4, 5. ἑνεκα των αδελφων μου και των πλησιον μου ελαλουν δη ειρηνην κ. τ. λ. *Ps. cxxi.* 8, 9.

3 Και γαρ ὁ Χριστος ουχ ἑαυτῳ ηρεσεν, αλλα καθως γεγραπ-
ται, Οἱ ονειδισμοι των ονειδιζοντων σε, επεπεσον επ᾽ εμε.

και γαρ. *Job. v.* 2. *Ps. xxxix.* 6-9. *Matt. xxvi.* 39. *Joan. v.* 30. *Esa. liii.* 4. οἱ ονειδισμοι κ. τ. λ. *Ps. lxviii.* 9. *CITAT.* 181.

4 Ὁσα γαρ προεγραφη, εις την ἡμετεραν διδασκαλιαν προε-
γραφη, ἱνα δια της ὑπομονης και της παρακλησεως των γρα-
φων την ελπιδα εχωμεν.

των προγεγραμμενων. 1 *Esd. vi.* 32. *Alex. Ald. Jer. xvii.* 5. εις ουρανον την ελπιδα εχων. 2 *Mac. ix.* 20. και ἡμεις ουν απροσδεεις τουτων οντες, παρακλησιν εχοντες τα βιβλια τα ἁγια τα εν ταις χερσιν ἡμων. 1 *Mac. xii.* 9. *Conf. cap. iv.* 23. 1 *Cor. x.* 11. 2 *Tim. iii.* 16. *Gal. iv.* 22. εις τους λογους σου επηλπισα. εξελιπον οἱ οφθαλμοι μου εις το λογιον σου, λεγοντες, Ποτε παρακαλεσεις με; *Ps. cxviii.* 81, 82. *xxxix.* 1. *Conf.* 2 *Par. xvii.* 9.

5 Ὁ δε Θεος της ὑπομονης και της παρακλησεως δῳη ὑμιν το
αυτο φρονειν εν αλληλοις κατα Χριστον Ιησουν,

ὁ Θεος της αληθειας. 1 *Esd. iv.* 40. ὁ δε Θεος μου δῳη ὑμιν χαριν. *Gen. xliii.* 14. ὁ Θεος οικτιρμων, και ελεημων, μακροθυμος, και πολυελεος, κ. τ. λ. *Exod. xxxiv.* 6, 7. *Ps. lxxxv.* 15. *cxx.* 2. και φρονειν τα ἡμων. 1 *Mac. x.* 20. αλλοτρια φρονειν. 2 *Mac. xiv.* 26. [τα αυτα φρονειν. *Jos. Bell. Jud. v.* 7. 4.] *Conf. Rom. xii.* 16. 1 *Cor. i.* 10. *Phil. ii.* 2. *iii.* 15.

6 Ἱνα ὁμοθυμαδον εν ἑνι στοματι δοξαζητε τον Θεον και πα-
τερα του Κυριου ἡμων Ιησου Χριστου.

ὁμοθυμαδον δε κατεδραμον επ᾽ εμε. *Job. xvi.* 11. *Alex. Ald.* ὡς εξ ἑνος στοματος ὑμνουν. *Cant. Tr. Lib.* 27. απαγγελω την αληθειαν σου εν τῳ στοματι μου. *Ps. lxxxviii.* 2. ἑως δυσμων το ονομα μου δεδοξασται εν εθνεσι. *Mal. i.* 11. οὑτος μου Θεος, και δοξασω αυτον. *Exod. xv.* 2. *Conf. Act. ii.* 1. *iv.* 32. του επικαλεισθαι παντας το ονομα Κυριου, του δουλευειν αυτῳ ὑπο ζυγον ἑνα. *Sophon. iii.* 9.

7 Διο προσλαμβανεσθε αλληλους, καθως και ὁ Χριστος προσ-
ελαβετο ἡμας, εις δοξαν Θεου.

ὁ δε Κυριος προσελαβετο με. *Ps. xxvi.* 10. *lxiv.* 4. μετα δοξης. *lxxii.* 24. *Conf. cap. xiv.* 1-3. *Matt. x.* 40. *Joan. xvii.* 24.

8 Λεγω δε, Ἰησουν Χριστον διακονον γεγενησθαι περιτομης
ὑπερ αληθειας Θεου, εις το βεβαιωσαι τας επαγγελιας των
πατερων·

των ὑπερ Θεου νομον ἑως θανατου πονων ὑπεριδοντες. 4 *Mac.* I. 9. και εβεβαιωσας με ενωπιον σου τον αιωνα. *Ps. xl.* 12. προσοχη δε νομων βεβαιωσις αφθαρσιας. *Sap. vi.* 18. *Conf. Matt. xv.* 24. *Act. iii.* 25, 26. δωσει εις αληθειαν τῳ Ιακωβ, ελεον τῳ Ἀβρααμ, καθοτι ωμοσας τοις πατρασιν ἡμων. *Mich. vii.* 20.

9 Τα δε εθνη ὑπερ ελεους δοξασαι τον Θεον, καθως γεγραπ-
ται, Δια τουτο εξομολογησομαι σοι εν εθνεσι, και τῳ ονοματι
σου ψαλω.

δια τουτο εξομολογησομαι σοι εν εθνεσι, Κυριε, κ. τ. λ. *Ps. xvii.* 49. *et* 2 *Reg. xxii.* 50. *Cap. xi.* 30. *CITAT.* 182.

10 Και παλιν λεγει, Ευφρανθητε εθνη μετα του λαου αυτου.

ευφρανθητε εθνη μετα του λαου αυτου. *Deut. xxxii.* 43. *Ps. lxvi.* 4. και αυτος προσδοκια εθνων. *Gen. xlix.* 10. *CITAT.* 183.

11 Και παλιν, Αινειτε τον Κυριον παντα τα εθνη, και επαι-
νεσατε αυτον παντες οἱ λαοι.

Ps. cxvi. I. αινειτε τον Κυριον, κ. τ. λ. *CITAT.* 184.

12 Και παλιν Ἡσαϊας λεγει, Εσται ἡ ῥιζα του Ιεσσαι, και ὁ
ανισταμενος αρχειν εθνων, επ᾽ αυτῳ εθνη ελπιουσιν.

και εσται εν τῃ ἡμερᾳ εκεινῃ ἡ ῥιζα του Ιεσσαι, κ. τ. λ. *Esa. xi.* 10. *xlii.* I. *xlix.* 6. *Conf. Apoc. v.* 5. *xxii.* 16. *CITAT.* 185.

11, 12.] και παντα τα εθνη επιστρεψουσιν αληθινως φοβεισθαι Κυριον τον Θεον, και κατορυξουσι τα ειδωλα αυτων, κ. τ. λ. *Tob. xiv.* 6, 7. *Conf. Dan. ii.* 44. *Mich. iv.* 1-3.

13 Ὁ δε Θεος της ελπιδος πληρωσαι ὑμας πασης χαρας και
ειρηνης εν τῳ πιστευειν, εις το περισσευειν ὑμας εν τῃ ελπιδι,
εν δυναμει Πνευματος ἁγιου·

πληρωσεις με ευφροσυνης μετα του προσωπου σου. *Ps. xv.* 11. εκτισε γαρ εις το ειναι τα παντα. *Sap. i.* 14. παιδεια ειρηνης ἡμων επ᾽ αυτον. *Esa. liii.* 5. μακαριος οὑ ὁ Θεος Ιακωβ βοηθος αυτου, ἡ ελπις αυτου επι Κυριον τον Θεον αυτου. *Ps. cxlv.* 5, 6. *Conf. Joel. iii.* 16. ὑπομονη Ισραηλ Κυριε, κ. τ. λ. *Jer. xiv.* 8.

14 Πεπεισμαι δε, αδελφοι μου, και αυτος εγω περι ὑμων, ὁτι και αυτοι μεστοι εστε αγαθωσυνης, πεπληρωμενοι πασης γνωσεως, δυναμενοι και αλληλους νουθετειν.

πεπεισμαι γαρ αυτον επιεικως και φιλανθρωπως παρακολουθουντα τῃ εμῃ προαιρεσει. *2 Mac. ix.* 27. μεστος γαρ ζηλου. *Prov. vi.* 34. [φρονηματος ελευθεριου μεστος. *Jos. Bell. Jud. iv.* 6. 1.] πεπληρωμενος της τεχνης και συνεσεως. *3 Reg. vii.* 14. γενναιῳ πεπληρωμενη φρονηματι. *2 Mac. vii.* 21. τουτους μεν γαρ ὡς πατηρ νουθετων. *Sap. xi.* 11. εποιησεν αγαθωσυνην μετα Ισραηλ και μετα του Θεου και του οικου αυτου. *2 Par. xxiv.* 16.

15 Τολμηροτερον δε εγραψα ὑμιν, αδελφοι, απο μερους, ὡς επαναμιμνησκων ὑμας, δια την χαριν την δοθεισαν μοι ὑπο του Θεου,

τολμηροτερον. *Sir. xix.* 2. απο μερους. *Dan. i.* 2.

16 Εις το ειναι με λειτουργον Ιησου Χριστου εις τα εθνη, ἱερουργουντα το ευαγγελιον του Θεου, ἱνα γενηται ἡ προσφορα των εθνων ευπροσδεκτος, ἡγιασμενη εν Πνευματι ἁγιῳ.

λειτουργειν αυτῳ ἁμα και ἱερατευειν. *Sir. xlv.* 15. *l.* 16. λειτουργοι Θεου. *Esa. lxi.* 6. τους ἱερουργουντας τον νομον ιδιῳ αἱματι, και γενναιῳ ἱδρωτι τοις μεχρι θανατου παθεσιν ὑπερασπιζοντας. *4 Mac.* 7. προσφορα δικαιου λιπαινει θυσιαστηριον. *Sir. xxxii.* 6. προσφορα μεμωκημενη. *xxxi.* 18. ἡγιασε το σκηνωμα αυτου ὁ Ὑψιστος. *Ps. xlv.* 4. και αξουσι τους αδελφους ὑμων εκ παντων των εθνων δωρον Κυριῳ. *Esa. lxvi.* 20. *Num. xv.* 3-10.

17 Εχω ουν καυχησιν εν Χριστῳ Ιησου τα προς Θεον·

γινου συ τῳ λαῳ τα προς τον Θεον. *Exod. xviii.* 19. *Deut. ix.* 7. καυχησις τοις αγαπωσιν αυτον. *Sir. i.* 18. *Comp.*

18 Ου γαρ τολμησω λαλειν τι ὡν ου κατειργασατο Χριστος δι' εμου εις ὑπακοην εθνων, λογῳ και εργῳ,

δυναμωσον ὁ Θεος τουτο, ὁ κατειργασω εν ἡμιν. *Ps. lxvii.* 28. *Ald. Comp.* εκαλεσα ὑμας, και ουχ ὑπηκουσατε. *Esa. lxv.* 12. εν εργῳ και λογῳ τιμα τον πατερα σου. *Sir. iii.* 7. *Conf. cap. i.* 5. *xvi.* 26. *2 Cor. x.* 15. *Heb. v.* 1. ὡσπερ ανεμοι—ουτως ὁ καυχωμενος επι δοσει ψευδει. *Prov. xxv.* 14. *Jer. xii.* 13. *Conf. Esa. lxvi.* 20.

19 Εν δυναμει σημειων και τερατων, εν δυναμει Πνευματος Θεου· ὡστε με απο Ἱερουσαλημ και κυκλῳ μεχρι του Ιλλυρικου πεπληρωκεναι το ευαγγελιον του Χριστου,

και εν τῳ Θεῳ ενδοξασθησεται παν το σπερμα. *Esa. xlv.* 26. εν

πειρασμῳ και εν σημειοις και εν τερασι. Deut. iv. 34. *ετι πληρουντος* (*alii λαλουντος*) *Ιουδα ταυτα.* 1 *Mac. iv.* 19. *Comp. και πληρωσω τους λογους σου.* 3 *Reg. i.* 14. *Col. i.* 25. *μεχρι τουτου ελευσῃ. Job. xxxviii.* 11. *Conf.* 2 *Cor. xii.* 12. *Gal. ii.* 8.

20 Οὑτω δε φιλοτιμουμενον ευαγγελιζεσθαι, ουχ ὁπου ωνομασθη Χριστος, ἱνα μη επ' αλλοτριον θεμελιον οικοδομω,

φιλοτιμουμενος. Conf. 2 *Cor. v.* 9. 1 *Thess. iv.* 11. *τοις ὑπερ του Ιουδαϊσμου φιλοτιμως ανδραγαθησασι.* 2 *Mac. ii.* 21. *ωνομασθη ἑως εσχατου της γης.* 1 *Mac. iii.* 9. *xiv.* 10. [*εφιλοτομειτο την αγαθην εριν. Jos. Bell. Jud. i.* 10. 5.] *επονομασαι το ονομα αυτου εκει.* 2 *Par. xii.* 13. *Est. ix.* 4. *ουχι ἑτερῳ καταλειψεις τους πονους σου, και τους κοπους σου εις διαιρεσιν κληρου; Sir. xiv.* 15.

21 Αλλα καθως γεγραπται, Οἱς ουκ ανηγγελη περι αυτου, οψονται· και οἱ ουκ ακηκοασι, συνησουσι.

ὁτι οἱς ουκ ανηγγειλη κ. τ. λ. Esa. lii. 15. *CITAT.* 186.

22 Διο και ενεκοπτομην τα πολλα του ελθειν προς ὑμας.

Conf. 1 *Thess. ii.* 17. *Act. xix.* 21. *πολλα ηνομησας. Job. xxxv.* 6.

23 Νυνι δε μηκετι τοπον εχων εν τοις κλιμασι τουτοις, επιποθιαν δε εχων του ελθειν προς ὑμας απο πολλων ετων,

Sir. xxxviii. 12. *Conf. Heb. xi.* 17. *επιποθει ἡ ψυχη μου προς σε Θεος. Ps. xli.* 1. *απο πληθους ἡμερων. Zach. viii.* 4. *μη δῳς τοπον ανθρωπῳ καταρασθαι σε. Sir. iv.* 5. [*προς κλιμα βορειον επεστρεφε. Jos. Bell. Jud. v.* 12. 2.]

24 Ὡς εαν πορευωμαι εις την Σπανιαν, ελευσομαι προς ὑμας. ελπιζω γαρ διαπορευομενος θεασασθαι ὑμας, και ὑφ' ὑμων προπεμφθηναι εκει. εαν ὑμων πρωτον απο μερους εμπλησθω.

ανεστη Ιωνας και επορευθη εις Νινευη. Jon. iii. 3. *Ισαακ δε διεπορευετο δια της ερημου. Gen. xxiv.* 62. *και εδωκαν επιστολας—ὁπως προπεμπωσιν αυτους εις γην Ιουδα μετ' ειρηνης.* 1 *Mac. xii.* 4. 1 *Esd. iv.* 47. *εμπλησθωσι του καλλους αυτης. Susan.* 32. *ὁ πατηρ μου και ἡ μητηρ μου ουκετι ελπιζουσιν οψεσθαι με. Tob. x.* 8. *κατεβη θεασασθαι τον Ιωραμ.* 2 *Par. xxii.* 6.

25 Νυνι δε πορευομαι εις Ἱερουσαλημ, διακονων τοις ἁγιοις.

ἡμεις ευδοκουμεν δουλευειν τῳ πατρι σου. 1 *Mac. vi.* 23. *Tob. v.* 16. *περι κοινωνιας. Lev. vi.* 2. *και εκ των πτωχων του λαου οἱς ουκ ην ουθεν. Jer. xlvi.* 10. *Comp. Theodor. Zach. xi.* 11. *Aq. Gal. ii.* 10. *ὡς ἡ δυναμις αυτων, εδωκαν εις θησαυρον κ. τ. λ. Esd. ii.* 69.

και ειπα αυτοις, Ἡμεις κεκτημεθα τους αδελφους ἡμων—τους πωλουμενους τοις εθνεσι, κ. τ. λ. Neh. v. 8.

26 Ευδοκησαν γαρ Μακεδονια και Αχαϊα κοινωνιαν τινα ποιησασθαι εις τους πτωχους των ἁγιων των εν Ἱερουσαλημ·

ειπα τῳ Κυριῳ, Κυριος μου ει συ, ὁτι των αγαθων μου ου χρειαν εχεις· τοις ἁγιοις τοις εν τῃ γῃ αυτου, εθαυμαστωσε παντα τα θεληματα αυτου εν αυτοις. Ps. xv. 2, 3. *εξαποστελλοντες μεριδας τοις φιλοις και τοις πτωχοις. Est. ix.* 22, 23. *Conf. Sir. xxxii.* 20.

27 Ευδοκησαν γαρ, και οφειλεται αυτων εισιν. ει γαρ τοις πνευματικοις αυτων εκοινωνησαν τα εθνη, οφειλουσι και εν τοις σαρκικοις λειτουργησαι αυτοις.

παντες οἱ κοινωνουντες αυτῳ. Esa. xliv. 9. *Ald. Comp. οικετῃ σοφῳ ελευθεροι λειτουργησουσι. Sir. x.* 25. *Conf.* 1 *Cor. ix.* 11. *Gal. vi.* 6. [*κοινωνησεις εν πασι τῳ πλησιον σου· ουκ ερεις ιδια· ει γαρ εν τοις αφθαρτοις κοινωνοι εστε, ποσῳ μαλλον εν τοις φθαρτοις; Barnab. Epist. p.* 250. *Edit. Voss.*]

28 Τουτο ουν επιτελεσας, και σφραγισαμενος αυτοις τον καρπον τουτον, απελευσομαι δι' ὑμων εις την Σπανιαν.

και σφραγισον το αργυριον το εισενεχθεν εν οικῳ Κυριου. 4 *Reg. xxii.* 4. *Deut. xxxii.* 34. *μεστη ελεους και καρπων αγαθων. Jac. iii.* 17. *Matt. iii.* 8. *Phil. iv.* 17. [*ὁ ασφαλης Θεος εστιν, ενσφραγιζομενος οἱς αν εθελῃ το ασαλευτον. Philo de Somn. p.* 588.] *Conf.* 2 *Tim. ii.* 19. *Thren. iii.* 57. *Alex.*

29 Οιδα δε ὁτι ερχομενος προς ὑμας, εν πληρωματι ευλογιας του ευαγγελιου του Χριστου ελευσομαι.

του Κυριου ἡ γη και το πληρωμα αυτης. Ps. xxiii. 1. *Cant. v.* 12. *Conf. cap. i.* 11. *εν δυναμει.* 3 *Reg. x.* 2. *και δωσω αυτους περικυκλῳ του ορους μου· και δωσω τον ὑετον ὑμιν, ὑετον ευλογιας. Ezech. xxxiv.* 26. *πληρωσεις με ευφροσυνης. Ps. xv.* 11.

30 Παρακαλω δε ὑμας, αδελφοι, δια του Κυριου ἡμων Ιησου Χριστου, και δια της αγαπης του Πνευματος, συναγωνισασθαι μοι εν ταις προσευχαις ὑπερ εμου προς τον Θεον,

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. *και περι του Δανιηλ ηγωνισατο του εξελεσθαι αυτον. Dan. vi.* 14. *προσευξαι ὑπερ των δουλων σου προς Κυριον.* 1 *Reg. xii.* 19. 2 *Cor. i.* 11. *Phil. ii.* 1. *Col. iv.* 12. *και επαλαιεν ανθρωπος μετ' αυτου ἑως πρωϊ. Gen. xxxii.* 24. *ου μη σε αποστειλω, εαν μη με ευλογησῃς κ.τ.λ.* 26. *Matt. xi.* 12. *το πνευμα σου το αγαθον. Ps. cxlii.* 10.

31 Ἱνα ῥυσθω απο των απειθουντων εν τῃ Ιουδαιᾳ, και ἱνα ἡ διακονια μου ἡ εις Ἱερουσαλημ ευπροσδεκτος γενηται τοις ἁγιοις·

απο ανδρος αδικου ῥυσῃ με. Ps. xvii. 52. xxxviii. 12. εξελου με εκ των εχθρων μου. cxliii. 9. τους δε απειθουντας απολεσω. Esa. i. 25. Conf. 2 Thess. iii. 2. Act. xxi. 17. 1 Cor. xvi. 15. 2 Cor. viii. 4. απεστειλεν αυτῳ χρυσωματα και διακονιαν. 1 Mac. xi. 58.

32 Ἱνα εν χαρᾳ ελθω προς ὑμας δια θεληματος Θεου, και συναναπαυσωμαι ὑμιν.

εν γαρ ευφροσυνῃ εξελευσεσθε, και εν χαρᾳ διδαχθησεσθε. Esa. lv. 12. κατα το θελημα αυτου. Dan. iv. 32. και παρδαλις συναναπαυσεται εριφῳ. Esa. xi. 6. αναπαυσει σε. Prov. xxix. 17. Zach. vi. 8. Dan. xii. 13. LXX. οὑτος διαναπαυσει ἡμας απο εργων ἡμων. Gen. v. 29. Conf. Act. xviii. 21. Cap. i. 10. Jac. iv. 15. ὡσπερ εξοδος χιονος εν αμητῳ κατα καυμα ωφελει, οὑτως αγγελος πιστος τους αποστειλαντας αυτον· κ. τ. λ. Prov. xxv. 13.

33 Ὁ δε Θεος της ειρηνης μετα παντων ὑμων. αμην.

Conf. Luc. i. 28. ειρηνη επι τον Ισραηλ. Ps. cxxiv. 5. cxxvii. 6. αρχων ειρηνης. Esa. ix. 6. Ald. Comp. Theod. ευλογητος ὁ Θεος της αληθειας. 1 Esd. iv. 40. και ηυλογησεν Εσδρας Κυριον—και απεκριθη πας ὁ λαος, Αμην. Neh. viii. 6.

ΚΕΦ. ις. 16.

ΣΥΝΙΣΤΗΜΙ δε ὑμιν Φοιβην την αδελφην ἡμων, ουσαν διακονον της εκκλησιας της εν Κεγχρεαις·

και επεδεξατο αυτον ενδοξως, και συνεστησεν αυτον πασι τοις φιλοις αυτου. 1 Mac. xii. 43. 2 Mac. iv. 24. αδελφην. Conf. Matt. xii. 50. xxiii. 8. ειπον την σοφιαν σην αδελφην ειναι, κ. τ. λ. Prov. vii. 4. εν εκκλησιᾳ ὑψιστου. Sir. xxiv. 2.

2 Ἱνα αυτην προσδεξησθε εν Κυριῳ αξιως των ἁγιων, και παραστητε αυτῃ εν ᾡ αν ὑμων χρῃζῃ πραγματι· και γαρ αὑτη προστατις πολλων εγενηθη, και αυτου εμου.

προσεδεξατο αυτους Δαυιδ. 1 Par. xii. 18. προσφορας Κυριῳ αξιως προσαγε. Sir. xiv. 11. χρῃζῃ. Job. xxii. 3. Sym. Jud. xi. 17. τῳ παντι πραγματι. Eccles. iii. 1. προστατης του ἱερου καθεσταμενος. 2 Mac. iii. 4. Conf. 3 Joan. 6. Phil. ii. 29. ευλογηκαμεν ὑμας εξ οικου Κυριου. Ps. cxvii. 26.

3 Ασπασασθε Πρισκιλλαν και Ακυλαν τους συνεργους μου εν Χριστῳ Ιησου·

ασπασασθαι αυτον ειρηνικως. 1 *Mac. vii.* 33. *xii.* 17. *συνεργουντες τοις πρεσβυτεροις.* 1 *Esd. vii.* 2. *συνεργους ελαμβανε.* 2 *Mac. viii.* 7. *ὁ Ιησους, ὁ ὑπουργος Μωυση.* *Jos. i.* 1. *Conf. Act. xviii.* 2. 26. 2 *Tim. iv.* 19. 1 *Cor. xvi.* 16.

4 (Οἱτινες ὑπερ της ψυχης μου τον ἑαυτων τραχηλον ὑπεθηκαν· οἱς ουκ εγω μονος ευχαριστω, αλλα και πασαι αἱ εκκλησιαι των εθνων·)

προσδεξαι την θυσιαν ὑπερ παντος του λαου. 2 *Mac. i.* 26. *iii.* 32. *iv.* 11. *ὑπεθηκε τον ωμον αυτου εις το ποιειν.* *Gen. xlix.* 15. *τον τραχηλον ὑμων ὑποθετε ὑπο ζυγον.* *Sir. li.* 26. *χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου.* *Sir. xxix.* 15. *Conf. Jos. x.* 24. *Esa. li.* 23.

5 Και την κατ᾽ οικον αυτων εκκλησιαν. ασπασασθε Επαινετον τον αγαπητον μου, ὁς εστιν απαρχη της Αχαΐας εις Χριστον.

και εκκλησιαν πιστων μετ᾽ αυτου. 1 *Mac. iii.* 13. *Col. iv.* 15. *τον υἱον σου τον αγαπητον.* *Gen. xxii.* 2. *και εσται ἡ απαρχη των ἁγιων.* *Ezech. xlviii.* 21.

6 Ασπασασθε Μαριαμ, ἡτις πολλα εκοπιασεν εις ἡμας.

ουκ εμοι μονῳ εκοπιασα, κ. τ. λ. *Sir. xxiv.* 34. *Conf.* 2 *Mac. ix.* 26.

7 Ασπασασθε Ανδρονικον και Ιουνιαν τους συγγενεις μου και συναιχμαλωτους μου· οἱτινες εισιν επισημοι εν τοις αποστολοις, οἱ και προ εμου γεγονασιν εν Χριστῳ.

και αυτος συγγενης σου εστι. *Tob. vi.* 9. 2 *Mac. xv.* 18. *ανηρ επισημος.* *xv.* 37. *Conf. Gal. i.* 22. *εν Χριστῳ.* *Conf. Gal. v.* 6. *vi.* 15. *Ephes. ii.* 10.

8 Ασπασασθε Αμπλιαν τον αγαπητον μου εν Κυριῳ.

9 Ασπασασθε Ουρβανον τον συνεργον ἡμων εν Χριστῳ, και Σταχυν τον αγαπητον μου.

10 Ασπασασθε Απελλην τον δοκιμον εν Χριστῳ. ασπασασθε τους εκ των Αριστοβουλου.

Conf. Deut. viii. 2. *και δοκιμω (εκκαθαρω. Bos.) αυτους σοι εκει.* *Jud. vii.* 4. [*δοκιμον· χρησιμον, τελειον.* *Hesych.*]

11 Ασπασασθε Ἡρωδιωνα τον συγγενη μου. ασπασασθε τους εκ των Ναρκισσου τους οντας εν Κυριῳ.

12 Ασπασασθε Τρυφαιναν και Τρυφωσαν τας κοπιωσας εν Κυριῳ. ασπασασθε Περσιδα την αγαπητην, ἡτις πολλα εκοπιασεν εν Κυριῳ.

εξαποστειλον αυτην (σοφιαν)—ἱνα συμπαρουσα μοι κοπιασῃ, και γνω τι ευαρεστον εστι παρα σοι. *Sap. ix.* 10. πολλα. *Esa. xxiii.* 16.

13 Ασπασασθε Ῥουφον τον εκλεκτον εν Κυριῳ, και την μητερα αυτου και εμου.

ὁ εκλεκτος μου, προσεδεξατο αυτον ἡ ψυχη μου. *Esa. xlii.* 1. *Prov. xvii.* 3. 1 *Par. xvi.* 13. Μωυσης ὁ εκλεκτος αυτου. *Ps. cv.* 23. ιδου ἡ μητηρ σου. *Joan. xix.* 27. *Conf.* 1 *Tim. v.* 2.

14 Ασπασασθε Ασυγκριτον, Φλεγοντα, Ἑρμαν, Πατροβαν, Ἑρμην, και τους συν αυτοις αδελφους.

Μακκαβαιος και οἱ συν αυτῳ. 2 *Mac. x.* 1. *Jos. xxiv.* 5.

15 Ασπασασθε Φιλολογον και Ιουλιαν, Νηρεα και την αδελφην αυτου, και Ολυμπαν, και τους συν αυτοις παντας ἁγιους·

16 Ασπασασθε αλληλους εν φιληματι ἁγιῳ. ασπαζονται ὑμας αἱ εκκλησιαι του Χριστου.

και ησπασαντο αλληλους. *Exod. xviii.* 7. *Conf.* 1 *Cor. xvi.* 20. 2 *Cor. xiii.* 12. 1 *Pet. v.* 14. εγγισον μοι, και φιλησον με τεκνον. *Gen. xxvii.* 26. φιλησατω με απο φιληματων στοματος αυτου. *Cant. i.* 1. *Act. xx.* 37. 1 *Thess. v.* 26.

17 Παρακαλω δε ὑμας, αδελφοι, σκοπειν τους τας διχοστασιας και τα σκανδαλα, παρα την διδαχην ἡν ὑμεις εμαθετε, ποιουντας· και εκκλινατε απ᾽ αυτων.

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. σκοπειν. *iv.* 5. διχοστασια. 1 *Mac. iii.* 29. σκανδαλα ψυχαις ανθρωπων. *Sap. xiv.* 11. *Ps. cv.* 36. και εκκλινε απο παντος κακου. *Prov. iii.* 7. ιδου δη τι καλον, η τι τερπνον, αλλ᾽ η το κατοικειν αδελφους επιτοαυτο; *Ps. cxxxii.* 1. [διδαχη· διδασκαλια. *Suid.*]

18 Οἱ γαρ τοιουτοι τῳ Κυριῳ ἡμων Ιησου Χριστῳ ου δουλευουσιν, αλλα τῃ ἑαυτων κοιλιᾳ· και δια της χρηστολογιας και ευλογιας εξαπατωσι τας καρδιας των ακακων.

δουλευσατε τῳ Κυριῳ εν φοβῳ. *Ps. ii.* 11. κοιλιας ορεξις. *Sir. xxiii.* 6. *Ezech. vii.* 19. ἱνα δῳ ακακοις πανουργιαν. *Prov. i.* 4. *viii.* 5. στηρισον την καρδιαν σου ψωμῳ αρτου. *Jud. xix.* 5. εξαπατωσι. *Conf. Exod. viii.* 29. *Susan.* 56. και εβεβηλουν με προς τον λαον

μου ἑνεκεν δρακος κριθων, και ἑνεκεν κλασματων αρτων, κ. τ. λ. *Ezech. xiii.* 19. *Esa. xxx.* 10, 11. *Jer. xxiii.* 17. *Mal. ii.* 8.

19 Ἡ γαρ ὑμων ὑπακοη εις παντας αφικετο· χαιρω ουν το εφ' ὑμιν· θελω δε ὑμας σοφους μεν ειναι εις το αγαθον, ακεραιους δε εις το κακον.

εις νησους πορρω αφικετο το ονομα σου. *Sir. xlvii.* 16. ακεραιους. *Additt. Est. xvi.* 4. *Conf. Matt. x.* 16. *Cap. i.* 8. 1 *Cor. xiv.* 20. [χαρις ουκ ακεραιος. *Philo. p.* 1038. *Edit. Francof.*] σοφοι εισι του κακοποιησαι, το δε καλως ποιησαι ουκ επεγνωσαν. *Jer. iv.* 22. *Ps. xviii.* 7. *cxviii.* 130.

20 Ὁ δε Θεος της ειρηνης συντριψει τον Σαταναν ὑπο τους ποδας ὑμων εν ταχει. ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μεθ' ὑμων.

ὁ Θεος της αληθειας. *Esd. iv.* 10. και συνετριψεν αυτους Κυριος συνετριψει μεγαλῃ. *Jos. x.* 10. συντριψον τον βραχιονα του ἁμαρτωλου. *Ps. ix.* 15. και απολει αυτους εν ταχει. *Deut. ix.* 3. και αυτος (Κυριος) συντριψει αυτους προ προσωπου ἡμων. 1 *Mac. iii.* 32. *Conf. Amos. iii.* 15. *Ald. Gen. iii.* 15. 1 *Cor. xvi.* 23. *Phil. iv.* 23. *Zach. x.* 5. και καταπατησετε ανομους, διοτι εσονται σποδος ὑποκατω των ποδων ὑμων κ. τ. λ. *Mal. iv.* 3.

21 Ασπαζονται ὑμας Τιμοθεος ὁ συνεργος μου, και Λουκιος και Ιασων και Σωσιπατρος οἱ συγγενεις μου.

22 Ασπαζομαι ὑμας εγω Τερτιος, ὁ γραψας την επιστολην, εν Κυριῳ.

Conf. Act. xxiii. 25. *Phil. ii.* 19. [ασπαζεται ὑμας ἡ αγαπη των αδελφων εν Τρωαδι, κ. τ. λ. *Ignat.* 1. *p.* 9, 10.]

23 Ασπαζεται ὑμας Γαϊος ὁ ξενος μου και της εκκλησιας ὁλης. ασπαζεται ὑμας Εραστος ὁ οικονομος της πολεως, και Κουαρτος ὁ αδελφος.

Conf. Act. xix. 22. 1 *Cor. i.* 14. 1 *Esd. iv.* 49. 2 *Tim. iv.* 20.

24 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μετα παντων ὑμων. αμην.

[ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μεθ' ὑμων, κ. τ. λ. *Clem. Rom. Epist.* 1.] ἡ δε εκ του ουρανου βοηθεια εστω μεθ' ὑμων. 1 *Mac. xvi.* 3.

25 Τῳ δε δυναμενῳ ὑμας στηριξαι κατα το ευαγγελιον μου και το κηρυγμα Ιησου Χριστου, κατα αποκαλυψιν μυστηριου χρονοις αιωνιοις σεσιγημενου,

δυναμενος απολυθηναι του θανατου. 2 *Mac. vi.* 30. πνευματι ἡγεμονικῳ στηριξον με. *Ps. l.* 12. *Conf.* 1 *Thess. iii.* 13. 1 *Pet. v.* 10. τοτε τῳ Δανιηλ—μυστηριον απεκαλυφθη. *Dan. ii.* 19. εθετο μετ' αυτων το μυστηριον της βουλης αυτου. *Judith. i.* 1. εστι Θεος εν ουρανῳ αποκαλυπτων μυστηρια. *Dan. xxviii.* 29. 30. εις τον αιωνα χρονον. *Esa. xiii.* 20. εν τοις αιωσι τοις γενομενοις. *Eccles. i.* 10. *Ps. lxxvi.* 5. *Deut. xxxii.* 7. *Conf. Rom. i.* 5. *xv.* 8. *Ephes. i.* 9. *Col. i.* 26. 2 *Tim. i.* 10. *Tit. i.* 2. 1 *Pet. i.* 20. *Juda.* 24. τα απ' αρχης ιδου ἡκασι, και καινα ἁ εγω αναγγελλω, και προ του αναγγειλαι εδηλωθη ὑμιν. *Esa. xlii.* 9. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10.

26 Φανερωθεντος δε νυν, δια τε γραφων προφητικων, κατ'
επιταγην του αιωνιου Θεου, εις ὑπακοην πιστεως εις παντα τα
εθνη γνωρισθεντος,

και φανερωσω αυτοις εισακουειν—ειρηνην και πιστιν. *Jer. xl.* 6. κατα την επιταγην του βασιλεως. 1 *Esd. i.* 18. *Sap. xiv.* 16. και ἡξει τα εκλεκτα παντων των εθνων. *Agg. ii.* 8. και εκβαλω αυτους εις παντα τα εθνη. *Zach. vii.* 14. *Conf.* 1 *Joan. i.* 1. *Luc. xxiv.* 27. *Act. iii.* 18. διοτι οὐ μη ποιηση Κυριος ὁ Θεος πραγμα, εαν μη αποκαλυψη παιδειαν προς τους δουλους αυτου τους προφητας. *Amos. iii.* 7. *Conf. Dan. ii.* 22. *Ps. lxxvii.* 2. Θεος αιωνιος. *Gen. xxi.* 33. δοξα Θεου κρυπτει λογον, κ. τ. λ. *Prov. xxv.* 2.

27 Μονῳ σοφῳ Θεῳ, δια Ιησου Χριστου, ᾡ ἡ δοξα εις τους
αιωνας. αμην.

τῳ ποιησαντι θαυμασια μεγαλα μονῳ, ὁτι εις τον αιωνα το ελεος αυτου. *Ps. cxxxv.* 4. *etc.* 2 *Mac. i.* 24. πασα σοφια παρα Κυριου και μετ' αυτου εστιν εις τον αιωνα—Εἱς εστι σοφος. *Sir. i.* 1-8. *Conf. Job. xii.* 13. *Ps. cxlvi.* 5. ητω ἡ δοξα Κυριου εις τον αιωνα. *ciii.* 31. δοξαν διδους τῳ πανσοφῳ Θεῳ. 4 *Mac.* 1. και ειπε πασα εκκλησια, Αμην. *Neb. v.* 13. *viii.* 8. 1 *Par. xvi.* 36. 2 *Par. xxix.* 11. *Conf. Heb. xiii.* 15. 1 *Tim. i.* 17. *Juda.* 25. *Ephes. iii.* 20, 21. *v.* 20. *Apoc. iv.* 9. ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. in fin. Conf. Ephes. iii.* 20, 21. [του αληθινου και μονου Θεου, ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. *Clem. Rom. i.* 43.]

[Προς Ῥωμαιους εγραφη απο Κορινθου δια Φοιβης της Διακονου της εν Κεγχρεαις εκκλησιας. Εν στιχοις εννεακοσιοις εικοσι.]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ κλητος αποστολος Ιησου Χριστου, δια θεληματος Θεου, και Σωσθενης ὁ αδελφος,

κλητος. Conf. *Rom. i.* 1. λειτουργοι αυτου ποιουντες το θελημα αυτου. *Ps. cii.* 21. *Alex. Ald. Comp.* και οἱ αδελφοι αυτου ἱερεις. *Esd. iii.* 2. 2 *Reg. xv.* 20. 3 *Reg. xiii.* 11. Κυριε, εν θεληματι σου παρεσχου. *Ps. xxix.* 7. *Conf. Act. xviii.* 17.

2 Τῃ εκκλησιᾳ του Θεου τῃ ουσῃ εν Κορινθῳ, ἡγιασμενοις εν Χριστῳ Ιησου, κλητοις ἁγιοις, συν πασι τοις επικαλουμενοις το ονομα του Κυριου ἡμων Ιησου Χριστου, εν παντι τοπῳ αυτων τε και ἡμων·

εν εκκλησιᾳ Θεου. *Neh. xiii.* 1. λαου ἡγιασμενου. *Dan. xii.* 7. *Alex. Ald. Comp. Deut. xxxiii.* 3. εν πιστει και πραΰτητι αυτου ἡγιασεν αυτον. *Sir. xlv.* 4. *Comp.* κληται ἁγιαι. *Lev. xxiii.* 4. πας ὁς αν επικαλεσηται το ονομα Κυριου σωθησεται. *Joel. ii.* 32. *Esa. lxiii.* 19. *Gen. iv.* 26. *Joan. xvii.* 19. 2 *Mac.* 1-3. *viii.* 16. *Act. ix.* 14. *Rom. i.* 7. *Ephes. i.* 1. *Juda.* 1. εν παντι τοπῳ. 2 *Par. xxxiv.* 6.

3 Χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου Ιησου Χριστου.

χαρις και ειρηνη. *Vide Rom. i.* 7. *Conf. Esa. ix.* 6. 2 *Cor. i.* 2, 3. [*Conf. Clem. Rom. i.* 1.]

4 Ευχαριστω τῳ Θεῳ μου παντοτε περι ὑμων, επι τῃ χαριτι του Θεου τῃ δοθειςῃ ὑμιν εν Χριστῳ Ιησου·

ευχαριστω. *Conf. Rom. i.* 8. και εκχεω—πνευμα χαριτος και οικτιρμου. *Zach. xii.* 10. ὁ Θεος χαριν και δοξαν δωσει. *Ps. lxxxiii.* 11. περι ὑμων (*i. e.* ὑπερ). *Conf. Exod. viii.* 8. *xiv.* 14. 1 *Reg. xxi.* 2. εξεχυθη χαρις εν χειλεσι σου. *Ps. xliv.* 2.

5 Ὁτι εν παντι επλουτισθητε εν αυτῳ, εν παντι λογῳ και πασῃ γνωσει,

επλουτισθητε. *Vide Rom. ii.* 4. εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες, και εισιν οἱ ταπεινουντες ἑαυτους εν πολλῳ πλουτῳ. *Prov. xiii.* 7. *Conf. cap. xii.* 8. 2 *Cor. viii.* 7. *Col. i.* 9.

6 Καθως το μαρτυριον του Χριστου εβεβαιωθη εν ὑμιν·

μαρτυρια και δικαιωματα. *Deut. iv.* 25. *vi.* 17. 20. βεβαιωσον με εν τοις λογοις σου. *Ps. cxviii.* 28. *Conf.* 2 *Cor. i.* 21. 2 *Thess. i.* 10. 2 *Tim. i.* 8. *Apoc. i.* 2. καθως (*quando*) δε ηγγιζεν ὁ χρονος. *Act. vii.* 17. 2 *Mac. i.* 31.

7 Ὡστε ὑμας μη ὑστερεισθαι εν μηδενι χαρισματι, απεκδεχομενους την αποκαλυψιν του Κυριου ἡμων Ιησου Χριστου·

ὡστε. *Conf. Gen. xv.* 7. *Num. viii.* 11. προσεδοκων το σωτηριον σου. *Ps. cxviii.* 166. Κυριος ποιμαινει με, και ουδεν με ὑστερησει. *xxii.* 1. ὑστερησας αυτοις ουδεν. *Neh. ix.* 21. ὑστερων ισχυϊ. *Sir. xi.* 12. την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18. *Conf. Dan. xii.* 13. *Luc. ii.* 25. *Phil. iii.* 20. *Tit. ii.* 13. *Col. iii.* 4. 1 *Mac. iv.* 46. *xiv.* 41. *Sophon. iii.* 8.

8 Ὁς και βεβαιωσει ὑμας ἑως τελους ανεγκλητους εν τῃ ἡμερᾳ του Κυριου ἡμων Ιησου Χριστου.

και ἡ κυρεια αυτου ἑως τελους. *Dan. vi.* 26. *vii.* 26. ανεγκλητους. 3 *Mac. v.* 31. *Conf. Ephes. iv.* 30. 1 *Thess. i.* 10. *Col. i.* 22. ὑποστηριζει δε τους δικαιους ὁ Κυριος. *Ps. xxxvi.* 17. ἡ ἡμερα Κυριου επιφανης σφοδρα, και τις εσται ἱκανος αυτῃ; *Joel. ii.* 11.

9 Πιστος ὁ Θεος, δι' οὑ εκληθητε εις κοινωνιαν του υἱου αυτου Ιησου Χριστου του Κυριου ἡμων.

Θεος πιστος, και ουκ εστιν αδικια. *Deut. xxxii.* 4. [*Laudat Philo, p.* 831.] ὁτι πιστος εστιν ὁ ἁγιος Ισραηλ, και εξελεξαμην σε. *Esa. xlix.* 7. εκαλεσα αυτους, και ουχ ὑπηκουσαν με. *lxvi.* 4. ευεργετηματων ὑπο του Κυριου εκοινωνησε. 3 *Mac. v.* 20. *Conf.* 1 *Joan. i.* 3. *Cap. x.* 13. 1 *Thess. v.* 24. *Gal. ii.* 20. *Ephes. iii.* 9. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32.

10 Παρακαλω δε ὑμας, αδελφοι, δια του ονοματος του Κυριου ἡμων Ιησου Χριστου, ἱνα το αυτο λεγητε παντες, και μη ῃ εν ὑμιν σχισματα, ητε δε κατηρτισμενοι εν τῳ αυτῳ νοϊ και εν τῃ αυτῃ γνωμῃ.

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. *xv.* 8. ἑνεκεν του ονοματος σου. *Ps. cxviii.* 21. ἑνεκεν της επ' αυτους επικλησεως του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 *Mac. viii.* 15. καταρτιζομενος τους ποδας μου. *Ps. xvii.* 33. καταρτισαι τα διαβηματα μου εν ταις τριβοις σου. *xvi.* 6. *Conf. Rom. xii.* 16. *Phil.*

ii. 2. 1 *Pet. iii.* 8. ιδου δη τι καλον, η τι τερπνον, αλλ' η το κατοικειν αδελφους επιτοαυτο; *Ps. cxxxii.* 1. *Conf. Rom. xvi.* 17. Εφραϊμ ου ζηλωσει Ιουδαν, και Ιουδας ου θλιψει Εφραϊμ. *Esa. xi.* 13. *Amos. iii.* 3.

11 Εδηλωθη γαρ μοι περι ὑμων, αδελφοι μου, ὑπο των Χλοης, ὁτι εριδες εν ὑμιν εισι·

εδηλωθη. *Dan. ii.* 28. *LXX. Est. ii.* 22. ὁτι εριστε εστε εις διαλογισμον. *Ps. cxxxviii.* 20. θυμος και ζηλος—και μηνιαμα και ερις. *Sir. xl.* 5. ὑπο των [οικειων. *sc. Bos. p.* 208.]

12 Λεγω δε τουτο, ὁτι ἑκαστος ὑμων λεγει, Εγω μεν ειμι Παυλου, εγω δε Απολλω, εγω δε Κηφα, εγω δε Χριστου.

ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. *Job. xxvii.* 6. *Conf. Joan. i.* 42. *Act. xviii.* 24. εγω ειμι Παυλου (*a partibus Pauli*) = ανασταντες οἱ γραμματεις του μερους των Φαρισαιων. *Act. xxiii.* 9. [*Bos. Ellips. p.* 164.] *Conf. cap. iii.* 21-23.

13 Μεμερισται ὁ Χριστος; μη Παυλος εσταυρωθη ὑπερ ὑμων, η εις το ονομα Παυλου εβαπτισθητε;

εμερισαν καρδιας αυτων. *Ose. x.* 2. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. *Conf. Gal. i.* 7. *Ephes. iv.* 5. 2 *Cor. xi.* 4. [εις ναος ἑνος Θεου· φιλον γαρ αει παντι το ὁμοιον· κοινος ἁπαντων, κοινου Θεου ἁπαντων. κ. τ. λ. *Jos. cont. Apion. ii.* 23.] προσδεξαι την θυσιαν ὑπερ παντος του λαου. 2 *Mac. i.* 26. [βαπτισαντες—εις την πηγην. *Jos. Ant. iv.* 4. 6.] *Conf. Act. ii.* 38. *x.* 48. Κυριε μνησθησομαι της δικαιοσυνης σου μονου. *Ps. lxx.* 16.

14 Ευχαριστω τῳ Θεῳ ὁτι ουδενα ὑμων εβαπτισα, ει μη Κρισπον και Γαϊον·

15 Ἱνα μη τις ειπῃ ὁτι εις το εμον ονομα εβαπτισα.

Conf. Matt. xxviii. 19. *Act. xix.* 5.

16 Εβαπτισα δε και τον Στεφανα οικον· λοιπον ουκ οιδα ει τινα αλλον εβαπτισα.

οικος *familia*. ευλογησε τον οικον Ααρων. *Ps. cxiii.* 12.

17 Ου γαρ απεστειλε με Χριστος βαπτιζειν, αλλ' ευαγγελιζεσθαι· ουκ εν σοφιᾳ λογου, ἱνα μη κενωθῃ ὁ σταυρος του Χριστου.

ευαγγελισασθαι πτωχοις απεσταλκε με. *Esa. lxi.* 1. *Exod. v.* 22. Κυριος Σαβαωθ εβουλευσατο παραλυσαι πασαν την ὑβριν των ενδοξων, και ατιμασαι παν ενδοξον κ. τ. λ. *Esa. xxiii.* 9.

18 Ὁ λογος γαρ ὁ του σταυρου τοις μεν απολλυμενοις μωρια εστι, τοις δε σωζομενοις ἡμιν δυναμις Θεου εστι.

επι δε σῃ σοφιᾳ μη επαιρου. Prov. iii. 5. ὁτι ευθης ὁ λογος Κυριου. Ps. xxxii. 4. ὑπεμεινε—εις τον λογον σου. cxxix. 5. οἱ σωζομενοι απο των εθνων. Esa. xlv. 20. Conf. Rom. i. 16. Act. xvii. 18. Εγω ὁ Θεος, και ουκ εστι παρεξ εμου σωζων. Esa. xliii. 11. οὑτως εσται το ῥημα μου ὁ εαν εξελθῃ εκ του στοματος μου, ου μη αποστραφῃ, ἑως αν τελεσθῃ ὁσα αν ηθελησα, κ. τ. λ. Esa. lv. 11. ῥαβδον δυναμεως εξαποστελει σοι Κυριος εκ Σιων, κ. τ. λ. Ps. cix. 2, 3. μωρια. Conf. Sir. xx. 31.

19 Γεγραπται γαρ, Απολω την σοφιαν των σοφων, και την συνεσιν των συνετων αθετησω.

και απολω την σοφιαν των σοφων, και την συνεσιν των συνετων κρυψω. Esa. xxix. 14. Job. v. 12. Jer. viii. 9. Sir. xix. 24. κρειττων ἡττωμενος εν συνεσει εμφοβος, η περισσευων εν φρονησει και παραβαινων νομον. Sir. xix. 24. εαν μη πιστευσητε, ουδε μη συνητε. Esa. vii. 9. CITAT. 187.

20 Που σοφος; που γραμματευς; που συζητητης του αιωνος τουτου; ουχι εμωρανεν ὁ Θεος την σοφιαν του κοσμου τουτου;

που εισιν οἱ γραμματικοι; που εισιν οἱ συμβουλευοντες; που εστιν ὁ αριθμων τους τρεφομενους; Esa. xxxiii. 18. ἡ δε σοφια ποθεν εὑρεθη; ποιος δε τοπος εστι της επιστημης; ουκ οιδε βροτος ὁδον αυτης, ουδε μην εὑρεθη εν ανθρωποις. Job. xxviii. 12. ειπε δε ανθρωπῳ, Ιδου ἡ θεοσεβεια εστι σοφια, το δε απεχεσθαι απο κακων, εστιν επιστημη. 28. την βουλην αυτων μωραινων. Esa. xliv. 25. Conf. Job. xii. 17. xx. 20. συζητης. Act. xxviii. 29.

21 Επειδὴ γαρ εν τῃ σοφιᾳ του Θεου ουκ εγνω ὁ κοσμος δια της σοφιας τον Θεον, ευδοκησεν ὁ Θεος δια της μωριας του κηρυγματος σωσαι τους πιστευοντας·

ὡς σοφια Θεου. Dan. v. 12. Comp. συ γαρ ει Θεος, και ουκ ηδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. Esa. xlv. 15. συ Κυριε των ὁλων απροσδεης ὑπαρχων, ευδοκησας ναον της σης κατασκηνωσεως εν ἡμιν γενεσθαι. 2 Mac. xiv. 35. δια της μωριας του κηρυγματος. [Conf. sup. 18.] i. e. κηρυγμα μωρον. = εν πληθει σοφιας. Eccles. i. 18. πιστευσαντες εσωθησαν εκ φλογος. 1 Mac. ii. 59. Conf. Matt. xi. 25. Luc. x. 21. Rom. i. 21. ὁ Θεος Κυριος δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. Ps. lxvii. 11. επειδη. Prov. i. 24. ματαιοι μεν γαρ παντες ανθρωποι φυσει, οἱς παρην Θεου αγνωσια, και εκ των ὁρωμενων αγαθων ουκ ισχυσαν ειδεναι τον Οντα, κ.τ.λ. Sap. xiii. 1. [Conf. Jos. Ant. xx. 10. 2.]

22 Επειδη και Ιουδαιοι σημειον αιτουσι, και Ἑλληνες σοφιαν ζητουσιν·

αιτησαι σεαυτῳ σημειον παρα Κυριου. Esa. vii. 11. Conf. Matt. xii. 38. Joan. iv. 48. Marc. viii. 11. Luc. xi. 16.

23 Ἡμεις δε κηρυσσομεν Χριστον εσταυρωμενον, Ιουδαιοις μεν σκανδαλον, Ἑλλησι δε μωριαν·

θεοι αυτων εσονται ὑμιν εις σκανδαλον. Jud. ii. 3. Judith. xii. 2. Ps. lxviii. 27. κηρυσσομεν. 2 Par. xxiv. 9. xxxvi. 22. διατουτο αδυνατησουσιν εν αυτοις πολλοι, και πεσουνται, κ. τ. λ. Esa. viii. 15.

24 Αυτοις δε τοις κλητοις Ιουδαιοις τε και Ἑλλησι, Χριστον Θεου δυναμιν και Θεου σοφιαν.

και ἡγιακε τους κλητους αυτου. Sophon. i. 7. Ιουδαιοις τε και Ἑλλησι. Conf. Act. xiv. 1. Prov. viii. 1.

25 Ὁτι το μωρον του Θεου σοφωτερον των ανθρωπων εστι· και το ασθενες του Θεου ισχυροτερον των ανθρωπων εστι.

Conf. Sap. xiii. 18. Exod. xiii. 17. xiv. 2-4. Rom. xi. 23-36.

26 Βλεπετε γαρ την κλησιν ὑμων, αδελφοι, ὁτι ου πολλοι σοφοι κατα σαρκα, ου πολλοι δυνατοι, ου πολλοι ευγενεις·

ουκ εν δυναμει μεγαλῃ, ουδε εν ισχυϊ, αλλα εν πνευματι μου. Zach. iv. 6. Esa. xxiii. 5, 6. Sophon. iii. 12.

27 Αλλα τα μωρα του κοσμου εξελεξατο ὁ Θεος, ἱνα τους σοφους καταισχυνῃ· και τα ασθενη του κοσμου εξελεξατο ὁ Θεος, ἱνα καταισχυνῃ τα ισχυρα·

και εξελεξατο Κυριος ὑμας· ὑμεις γαρ εστε ολιγοστοι. κ. τ. λ. Deut. vii. 7. δυναστας δε γης κατεστρεψε. Job. xii. 19. καταισχυνθειησαν και εντραπειησαν ἁμα. Ps. xxxix. 14. Conf. Joan. vii. 48. Jac. ii. 5. 2 Cor. x. 5. Ps. viii. 2. Deut. xxxii. 21. εγενου γαρ πασῃ πολει ταπεινῃ βοηθος, και τοις αθυμησασι δι' ενδειαν σκεπη, απο ανθρωπων πονηρων ῥυσῃ αυτους· σκεπη διψωντων, και πνευμα ανθρωπων αδικουμενων. Esa. xxv. 4.

28 Και τα αγενη του κοσμου και τα εξουθενημενα εξελεξατο ὁ Θεος, και τα μη οντα, ἱνα τα οντα καταργησῃ·

και παντα τα εθνη ὡς ουδεν εισι, και εις ουθεν ελογισθησαν. Esa. xl. 17. Conf. Rom. iv. 17. ουκ εποιησεν οὑτως παντι εθνει. Ps. cxlvii. 20. [τα γαρ μη οντα εκαλεσεν εις το ειναι. Philo de Creat. Mund. τους αλλους ὑπολαμβανει πενητας, αδοξους, καθαρματα—το μηδεν. de Char. p. 716.] Conf. 1 Cor. iv. 9. ου δικαιωθησεται ενωπιον σου πας ζων. Ps. cxlii. 2. Dan. ii. 20. 45.

29 Ὁπως μη καυχησηται πασα σαρξ ενωπιον αυτου.

ὁτι κατεφθειρε πασα σαρξ την ὁδον αυτου. *Gen. vi.* 12. μη αλλαξῃς σεαυτον πασῃ σαρκι. *Sir. xxxiii.* 25. ἱνα μη καυχασθε, και μη λαλειτε ὑψηλα. 1 *Reg. ii.* 3. *Conf. Rom. iii.* 27. *Ephes. ii.* 9. *Ps. xlviii.* 6. *Esa. x.* 15. μη οικτειρησῃς παντας τους εργαζομενους την ανομιαν. *Ps. lviii.* 5. ουδεποτε εφαγον παν κοινον. *Act. x.* 14. ου δικαιωθησεται πασα σαρξ ενωπιον αυτου. *Rom. iii.* 20. *Conf. Hoogev. p.* 606, 607. μη αφητε παντα ανθρωπον παρεμβαλειν. 1 *Mac. v.* 42. *Apoc. vii.* 1. τις καυχησεται ἁγνην εχειν την καρδιαν; η τις παῤῥησιασεται καθαρος ειναι απο ἁμαρτιων; *Prov. xx.* 9. [εστω μονος Θεος καυχημα σου και μεγιστον κλεος. *Conf. Deut. x.* 21. *Philo de Victim. p.* 661. *Edit. Col.*]

30 Εξ αυτου δε ὑμεις εστε εν Χριστῳ Ιησου, ὁς εγενηθη ἡμιν σοφια απο Θεου, δικαιοσυνη τε και ἁγιασμος και απολυτρωσις·

εσται σοι εις ἁγιασμον. *Esa. viii.* 14. *Ald.* [*Vat. Alex.* ἁγιασμα.] και ποιησει κριμα και δικαιοσυνην επι της γης. *Jer. xxiii.* 5. ὁ χρονος της απολυτρωσεως ηλθε. *Dan. iv.* 32. *LXX.*

31 Ἱνα καθως γεγραπται, Ὁ καυχωμενος, εν Κυριῳ καυχασθω.

μη καυχασθω ὁ σοφος εν τῃ σοφιᾳ αυτου, και μη καυχασθω ὁ ισχυρος εν τῃ ισχυϊ αυτου, και μη καυχασθω ὁ πλουσιος εν τῳ πλουτῳ αυτου, αλλ' η εν τουτῳ καυχασθω ὁ καυχωμενος, συνιειν και γινωσκειν ὁτι εγω ειμι Κυριος. *Jer. ix.* 23, 24. και εν τῳ ονοματι αυτου κατακαυχησονται. *Zach. x.* 12. 1 *Par. xvi.* 35. *Conf. Esa. lxv.* 16. 2 *Cor. x.* 17. 1 *Reg. ii.* 10. *CITAT.* 188.

Κεφ. β. 2.

ΚΑΓΩ ελθων προς ὑμας, αδελφοι, ηλθον ου καθ' ὑπεροχην λογου η σοφιας καταγγελλων ὑμιν το μαρτυριον του Θεου.

κακων ὑπεροχην πεποιημενος. 2 *Mac. xiii.* 6. και ανεστησε μαρτυριον εν Ιακωβ και νομον εθετο εν Ισραηλ. *Ps. lxxvii.* 5. καταγγελλων. *Ps. xxxix.* 5. *Sym. apud Euseb.* ισχνοφωνος και βραδυγλωσσος εγω ειμι. *Exod. iv.* 10. ιδου ουκ επισταμαι λαλειν, κ.τ.λ. *Jer. i.* 6.

2 Ου γαρ εκρινα του ειδεναι τι εν ὑμιν, ει μη Ιησουν Χριστον, και τουτον εσταυρωμενον.

ου γαρ εκρινα (*nolui enim.*) και αυτοι εκριναν ολοθρευσαι πασαν σαρκα. *Judith. ii.* 3. 2 *Cor. ii.* 1. *Phil. iii.* 8. 3 *Mac. i.* 6. [ὁ εμος ερως εσταυρωται. *Ignat. Epist. p.* 60. *Edit. Voss.*] και. *Conf. Susan.* 41. *Esa. xxvii.* 1. *Gal. vi.* 14. εκρινα τοινυν ταυτην αγαγεσθαι —ειδως ὁτι κ. τ. λ. *Sap. viii.* 9. *Conf. Esa. liii.*

3 Και εγω εν ασθενειᾳ και εν φοβῳ και εν τρομῳ πολλῳ εγενομην προς ὑμας·

φοβος και τρομος ηλθεν επ' εμε. *Ps. liv.* 5. εν φοβῳ και τρομῳ. *Esa. xix.* 16. εγενηθη ῥημα Κυριου προς Ἀβραμ. *Gen. xv.* 1. 4. ουδε επορευθην εν μεγαλοις, κ. τ. λ. *Ps. cxxx.* 1. *Conf. Act. xviii.* 1-3. 2 *Cor. x.* 10. *xii.* 5. 9. *Gal. iv.* 13.

4 Και ὁ λογος μου και το κηρυγμα μου ουκ εν πειθοις ανθρωπινης σοφιας λογοις, αλλ' εν αποδειξει Πνευματος και δυναμεως·

ουδε εν ισχυϊ, αλλα εν πνευματι μου. *Zach. iv.* 6. λεγοντων μετα αποδειξεως. 3 *Mac. iv.* 20. ἡ της ευσεβιας αποδειξις. 4 *Mac.* 13. ὁ δε Κυριος μετ' εμου, καθως μαχητης ισχυων. *Jer. xx.* 11. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. *xxxii.* 8. κηρυγμα. *Job. iii.* 2. *Neh. ix.* 20.

5 Ἱνα ἡ πιστις ὑμων μη ᾐ εν σοφιᾳ ανθρωπων, αλλ' εν δυναμει Θεου.

εν τῳ Θεῳ ποιησομεν δυναμιν. *Ps. lix.* 12. 1 *Reg. ii.* 3.

6 Σοφιαν δε λαλουμεν εν τοις τελειοις· σοφιαν δε ου του αιωνος τουτου, ουδε των αρχοντων του αιωνος τουτου, των καταργουμενων·

Νωη ανθρωπος δικαιος, τελειος. *Gen. vi.* 9. *Job. i.* 1. *Ps. xxxvi.* 37. και νυν ει εν αληθειᾳ και τελειοτητι εποιησατε. *Jud. ix.* 16. προεφητευσας εν ἡμιν (*coram*) καθως σημερον. *Judith. vi.* 2. [*Winer.* § 31.] τελειων και μανθανοντων. 1 *Par. xxv.* 8. και εμιαναν οἱ αρχοντες τα ἁγια μου. *Esa. xliii.* 28. [ἡ σοφια] εδειξεν αυτῳ βασιλειαν Θεου, και εδωκεν αυτῳ γνωσιν ἁγιων. *Sap. x.* 10. ἑως αναστη ἱερευς τοις φωτιζουσι και τοις τελειοις. *Esd. ii.* 63. [και καταργησει Βελιαρ και τους ὑπηρετουντας αυτῳ. *Test. XII. Patr. p.* 731.] *Conf. Job. xxviii.* 20. *Cap. iii.* 19. *xv.* 24. *Jac. iii.* 15. *iv.* 4. *Ps. lxxii.* 11. *xvi.* 4. *Ezech. ii.* 6. *Esa. li.* 12. *Jer. x.* 2. καν γαρ τις ᾐ τελειος εν υἱοις ανθρωπων, της απο σου σοφιας απουσης, εις ουδεν λογισθησεται. *Sap. ix.* 6. και αφαιρουμενῳ πνευματα αρχοντων, κ. τ. λ. *Ps. lxxv.* 12. ὡς εἱς των αρχοντων πιπ-

τετε. *lxxxi.* 7. ισθι πεποιθως εν ὁλῃ τῃ καρδιᾳ επι Θεῳ, επι δε σῃ σοφιᾳ μη επαιρου. *Prov. iii.* 5. συ δε την σοφιαν κηρυξεις. *viii.* 1.

7 Αλλα λαλουμεν σοφιαν Θεου εν μυστηριῳ την αποκεκρυμμενην, ἡν προωρισεν ὁ Θεος προ των αιωνων εις δοξαν ἡμων,

και ουκ εγνωσαν μυστηρια Θεου. *Sap. ii.* 22. εθετο μετ᾽ αυτων το μυστηριον. *Judith. ii.* 2. ὁ αποκαλυπτων μυστηρια εγνωρισε σοι. *Dan. ii.* 29. προ του αιωνος εθεμελιωσε με. *Prov. viii.* 23. ὁ ὑπαρχων προ των αιωνων. *Ps. liv.* 19. [εξ αρχης *Photius.*] ὡς πολυ το πληθος της χρηστοτητος σου Κυριε, ἡς εκρυψας τοις φοβουμενοις σε; κ. τ. λ. *Ps. xxx.* 19. *Conf. Rom. xvi.* 25. *Cap. iv.* 1. *Ephes. iii.* 9. *Col. i.* 26. 2 *Tim. i.* 9. φθεγξομαι προβληματα απ᾽ αρχης. *Ps. lxxvii.* 2. νυν γινεται, και ου παλαι, και ου προτεραις ἡμεραις ηκουσας αυτα, κ. τ. λ. *Esa. xlviii.* 7. απ᾽ αιωνος. *Gen. vi.* 4. *Ps. lxxxix.* 2. *Jer. ii.* 20. και ὁριεις ῥημα, και σταθησεται σοι. *Job. xxii.* 28. *Theod.* και ἡ κρισις σου εν προγνωσει. *Judith. ix.* 6.

8 Ἡν ουδεις των αρχοντων του αιωνος τουτου εγνωκεν· ει γαρ εγνωσαν, ουκ αν τον Κυριον της δοξης εσταυρωσαν·

ὁ βασιλευς της δοξης. *Ps. xxiii.* 7. *Conf. Matt. xi.* 25. *Act. iii.* 17. *Joan. vii.* 48. 1 *Tim. i.* 13. ὁ Θεος της δοξης. *Act. vii.* 2.

9 Αλλα καθως γεγραπται, Ἁ οφθαλμος ουκ ειδε, και ους ουκ ηκουσε, και επι καρδιαν ανθρωπου ουκ ανεβη, ἁ ἡτοιμασεν ὁ Θεος τοις αγαπωσιν αυτον·

απο του αιωνος ουκ ηκουσαμεν, ουδε οἱ οφθαλμοι ἡμων ειδον Θεον πλην σου, και τα εργα σου, ἁ ποιησεις τοις ὑπομενουσιν ελεον. *Esa. lxiv.* 4. ὡς γεγραπται. *Neh. x.* 34. 36. *CITAT.* 189.

10 Ἡμιν δε ὁ Θεος απεκαλυψε δια του Πνευματος αὑτου· το γαρ Πνευμα παντα ερευνᾳ, και τα βαθη του Θεου.

αλλ᾽ η εστι Θεος εν ουρανῳ, αποκαλυπτων μυστηρια. *Dan. ii.* 28. αποκλυπτει βαθεα. 22. *Job. xii.* 22. φως Κυριου πνοη ανθρωπων, ὁς ερευνᾳ ταμιεια κοιλιας. *Prov. xx.* 27. πως τον Θεον, ὁς εποιησε τα παντα ταυτα, ερευνησετε; *Judith. viii.* 14. σφοδρα εβαθυνθησαν οἱ διαλογισμοι σου. *Ps. xci.* 5. τα βαθη της θαλασσης. *Esa. li.* 10. *Sir. xxiv.* 29. *Conf. Matt. xiii.* 11. 1 *Joan. ii.* 27. αποκαλυψῃ παιδειαν προς τους δουλους αυτου τους προφητας. *Amos. iii.* 7. [εις τα βαθη της θειας γνωσεως. *Clem. Rom.* § 40.] *Conf. Job. xi.* 7, 8. *Sir. xlii.* 18.

11 Τις γαρ οιδεν ανθρωπων τα του ανθρωπου, ει μη το πνευμα

του ανθρωπου το εν αυτῳ; οὑτω και τα του Θεου ουδεις οιδεν, ει μη το Πνευμα του Θεου.

και τις ειδε πνευμα υἱων ανθρωπου; Eccles. iii. 21. *φρονειν τα του Θεου.* Matt. xvi. 23. *τα της σαρκος.* Rom. viii. 5. *τις γαρ ανθρωπος γνωσεται βουλην Θεου; η τις ενθυμηθησεται τι θελει ὁ Κυριος; κ. τ. λ.* Sap. ix. 13-18. *καρδια ανδρος αισθητικη.* Prov. xiv. 10. xx. 5. Conf. Jer. xvii. 9. Rom. xi. 33.

12 *Ἡμεις δε ου το πνευμα του κοσμου ελαβομεν, αλλα το Πνευμα το εκ του Θεου, ἱνα ειδωμεν τα ὑπο του Θεου χαρισθεντα ἡμιν.*

παντα τα ὑπαρχοντα—εδωκα και εχαρισαμην σοι. Est. viii. 7. *κοσμος.* Sap. vi. 24. *μη εὑρησομεν ανθρωπον τοιουτον, ὁς εχει πνευμα Θεου εν αυτω;* Gen. xli. 38.

13 *Ἁ και λαλουμεν, ουκ εν διδακτοις ανθρωπινης σοφιας λογοις, αλλ' εν διδακτοις Πνευματος ἁγιου, πνευματικοις πνευματικα συγκρινοντες.*

συγκρινων ενυπνια, και αναγγελλων κρατουμενα. Dan. v. 12. *ου γαρ συνεκριναν τι ποιησωσιν αυτον.* Num. xv. 34. *των νεφρων αυτου μαρτυς ὁ Θεος, και της καρδιας αυτου επισκοπος αληθης.* Sap. i. 6. ix. 4-9. *ενυπνιον ειδομεν, και ὁ συγκρινων ουκ εστιν αυτο.* Gen. xl. 8. 22. *και εκχεω απο του Πνευματος μου κ. τ. λ.* Joel. ii. 28. Conf. cap. i. 17. ii. 4. 2 Pet. i. 16. *διδαξον με του ποιειν το θελημα σου, ὁτι Θεος μου συ ει, το Πνευμα σου το αγαθον ὁδηγησει με εν τῃ ευθειᾳ.* Ps. cxlii. 10. cxviii. 124, 125.

14 *Ψυχικος δε ανθρωπος ου δεχεται τα του Πνευματος του Θεου, μωρια γαρ αυτῳ εστι· και ου δυναται γνωναι, ὁτι πνευματικως ανακρινεται.*

μη εξακολουθει τῃ ψυχῃ σου και τῃ ισχυϊ σου, του πορευεσθαι εν επιθυμιαις καρδιας σου. Sir. v. 2. xviii. 30. *και ου συνησουσι παντες ανομοι, και οἱ νοημονες συνησουσι.* Dan. xii. 10. *ζητησεις σοφιαν παρα κακοις και ουχ εὑρησεις, αισθησις δε παρα φρονιμοις ευχερης.* Prov. xiv. 6. *δεξασθαι τε στροφας λογων, νοησαι τε δικαιοσυνην αληθη.* i. 3. *και γνωσονται οἱ πλανωμενοι τῳ πνευματι συνεσιν, οἱ δε γογγυζοντες μαθησονται ὑπακουειν.* Esa. xxix. 24. Conf. Rom. viii. 7. Juda. 19. Jer. ii. 24. Sap. xiii. 1.

15 *Ὁ δε πνευματικος ανακρινει μεν παντα, αυτος δε ὑπ' ουδενος ανακρινεται.*

Conf. Prov. xxvii. 19. 1 Thess. v. 21. 1 Joan. iv. 1. *ανδρες κακοι ου συνησουσι κριμα, οἱ δε ζητουντες τον Κυριον συνησουσιν εν*

παντι. *Prov. xxviii.* 5. ανθρωπος ὁ πνευματοφορος ὡσπερ ὁ προφητης. *Ose. ix.* 7. *Conf. Ps. xxiv.* 14. *Eccles. viii.* 8.

16 Τις γαρ εγνω νουν Κυριου, ὁς συμβιβασει αυτον; ἡμεις δε νουν Χριστου εχομεν.

τις εγνω νουν Κυριου; και τις αυτου συμβουλος εγενετο, ὁς συμβιβᾳ αυτον; *Esa. xl.* 13. *Conf. Rom. xi.* 34. η συνταγμα Κυριου ακηκοας; η συμβουλῳ σοι εχρησατο ὁ Θεος; εις δε σε αφικετο σοφια; *Job. xv.* 8. *Jer. xxiii.* 18. *Joan. xv.* 15. την ὁδον εχειν. *Job. xvii.* 9. *CITAT.* 190.

ΚΕΦ. γ. 3.

ΚΑΙ εγω, αδελφοι, ουκ ηδυνηθην λαλησαι ὑμιν ὡς πνευματικοις, αλλ' ὡς σαρκικοις, ὡς νηπιοις εν Χριστῳ.

και τι ηδυνηθην ποιησαι ὡς ὑμεις; *Jud. viii.* 3. και ουκ ηδυναντο λαλειν αυτῳ ουδεν ειρηνικον. *Gen. xxxvii.* 4. ἡ μαρτυρια Κυριου πιστη, σοφιζουσα νηπια. *Ps. xviii.* 7. σαρξ. *Conf. Gen. vi.* 3. *Ps. lxxvii.* 39. *Sir. xxviii.* 5. *Eccles. ii.* 3. *v.* 5. *Cap. ii.* 6. *Ephes. iv.* 13. *Heb. v.* 11. ὡς το απογεγαλακτισμενον. *Ps. cxxx.* 2.

2 Γαλα ὑμας εποτισα, και ου βρωμα· ουπω γαρ ηδυνασθε, αλλ' ουτε ετι νυν δυνασθε·

ὑδωρ σοφιας ποτισει αυτον. *Sir. xv.* 3. 2 *Mac. vii.* 27. *Conf. Heb. v.* 12, 13. 1 *Pet. ii.* 2. *Joan. xvi.* 12. 1 *Thess. ii.* 7. και θηλασεις γαλα εθνων. *Esa. lx.* 16. [γαλα ἡ κατηχησις, οἱονει πρωτη ψυχης τροφη νοηθησεται. *Clem. Alex. Strom.* 5. 10.]

3 Ετι γαρ σαρκικοι εστε. ὁπου γαρ εν ὑμιν ζηλος και ερις και διχοστασιαι, ουχι σαρκικοι εστε, και κατα ανθρωπον περιπατειτε;

θυμος και ζηλος—και μηνιαμα και ερις. *Sir. xl.* 5. εν ὁδοις δικαιοσυνης περιπατω. *Prov. viii.* 20. διχοστασια. 1 *Mac. iii.* 29. κατα Θεον. *Rom. viii.* 27. *Conf. Ps. ci.* 5. *Ose. vi.* 7, 8. εν τῳ οικῳ του Θεου επορευθημεν εν ὁμονοιᾳ. *Ps. liv.* 14.

4 Ὁταν γαρ λεγῃ τις, Εγω μεν ειμι Παυλου, ἑτερος δε, Εγω Απολλω, ουχι σαρκικοι εστε;

5 Τις ουν εστι Παυλος, τις δε Απολλως, αλλ' η διακονοι, δι' ὡν επιστευσατε, και ἑκαστῳ ὡς ὁ Κυριος εδωκεν;

Conf. cap. i. 12. ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14-16. αλλ' η. *Deut. iv.* 12. *Num. xxiii.* 13.

6 Εγω εφυτευσα, Απολλως εποτισεν, αλλ' ὁ Θεος ηυξανεν·

εγω δε εφυτευσα σε αμπελον. Jer. ii. 21. *και φυτευσω αυτους— εν πιστει. xxxix.* 41. *ηυξησε με ὁ Θεος. Gen. xli.* 52. *Conf. Act. xviii.* 24. *xix.* 1. *Esa. lv.* 10, 11. *Prov. xvi.* 33. *και συ Εσδρα, ὡς ἡ σοφια του Θεου εν χειρι σου κ. τ. λ. Esd. vii.* 25. *ἱππος ἑτοιμαζεται εις ἡμεραν πολεμου, παρα δε Κυριου ἡ βοηθεια. Prov. xxi.* 31. *Conf. Gen. xxxii.* 10.

7 Ὡστε ουτε ὁ φυτευων εστι τι, ουτε ὁ ποτιζων, αλλ' ὁ αυξανων Θεος.

ὁ ποτιζων τον πλησιον αυτου. Hab. ii. 15. *Conf. Ps. i.* 3. *lxiv.* 10. *ὡστε. Sap. vi.* 25. *εστι τι. Conf. Act. v.* 36. *πεφυτευμενοι εν τῳ οικῳ Κυριου, κ. τ. λ. Ps. xci.* 13.

8 Ὁ φυτευων δε και ὁ ποτιζων ἑν εισιν, ἑκαστος δε τον ιδιον μισθον ληψεται κατα τον ιδιον κοπον.

συ αποδωσεις ἑκαστῳ κατα τα εργα αυτου. Ps. lxi. 12. *απεδωκεν ὁσιοις μισθον κοπων αυτων. Sap. x.* 17. *ὁτι εστι μισθος τοις σοις εργοις. Jer. xxxviii.* 16. *τον κοπον των χειρων μου. Gen. xxxi.* 42. *Ps. cix.* 10. *ιδιος. Sap. x.* 1. *Conf. Jer. xvii.* 10. *Matt. xvi.* 27. *Rom. ii.* 6. *Gal. vi.* 5. *Apoc. ii.* 23. *xxii.* 12. *ουχι ἑτερῳ καταλειψεις τους πονους σου, και τους κοπους σου εις διαιρεσιν κληρου; Sir. xiv.* 15. *Conf. Dan. xii.* 3. 13.

9 Θεου γαρ εσμεν συνεργοι· Θεου γεωργιον, Θεου οικοδομη εστε.

διασκορπιω εν σοι γεωργον και το γεωργιον αυτου. Jer. xxviii. 23. *εργον μεγα, ὁτι ουκ ανθρωπῳ, αλλ' η Κυριῳ Θεῳ.* 1 *Par. xxix.* 1. *Conf. Sap. ix.* 10. 2 *Cor. vi.* 1. *Ephes. ii.* 10. *Col. ii.* 7. *εαν μη Κυριος οικοδομηση οικον, εις ματην εκοπιασαν οἱ οικοδομουντες, κ. τ. λ. Ps. cxxvi.* 1. *ὁ καιρος αυτῳ συνεργει.* 1 *Mac. xii.* 1.

10 Κατα την χαριν του Θεου την δοθεισαν μοι, ὡς σοφος αρχιτεκτων θεμελιον τεθεικα· αλλος δε εποικοδομει· ἑκαστος δε βλεπετω πως εποικοδομει.

και σοφον αρχιτεκτονα. Esa. iii. 3. *αἱ χειρες Ζοροβαβελ εθεμελιωσαν τον οικον τουτον, κ. τ. λ. Zach. iv.* 9. *αρχιτεκτονειν. Exod. xxxi.* 3. *Alex. Conf.* 3 *Reg. iii.* 9. 2 *Par. ii.* 12.

11 Θεμελιον γαρ αλλον ουδεις δυναται θειναι παρα τον κειμενον, ὁς εστιν Ιησους ὁ Χριστος.

ιδου εγω εμβαλλω εις τα θεμελια Σιων λιθον πολυτελη, κ.τ.λ. Esa. xxviii. 16. *Conf. Matt. xvi.* 18. *Ps. lxxxvi.* 1. *Ephes. ii.* 20. *Act. iv.* 12.

12 Ει δε τις εποικοδομει επι τον θεμελιον τουτον, χρυσον, αργυρον, λιθους τιμιους, ξυλα, χορτον, καλαμην,

επιθυμητα ὑπερ χρυσιον και λιθον τιμιον, κ. τ. λ. *Ps. xviii.* 10. *cxvii.* 72. *Prov. viii.* 10. *Esa. lx.* 17. τι το αχυρον προς τον σιτον; *Jer. xxiii.* 28.

13 Ἑκαστου το εργον φανερον γενησεται· ἡ γαρ ἡμερα δηλωσει· ὁτι εν πυρι αποκαλυπτεται· και ἑκαστου το εργον ὁποιον εστι, το πυρ δοκιμασει.

παντα τα εργα του ταπεινου φανερα παρα τῳ Θεῳ. *Prov. xvi.* 33. του τα κεκρυμμενα φανερα ποιουντος. 2 *Mac. xii.* 41. και προσεθετο Κυριος δηλωθηναι—ὁτι απεκαλυφθη Κυριος προς Σαμουηλ. 1 *Reg. iii.* 21. ὁποιον βελτιον. *Jud. ix.* 2. *alii.* εν γαρ τῳ πυρι Κυριου κριθησεται πασα ἡ γη. *Esa. lxvi.* 16. *Conf. Jer. xxiii.* 29. *Cap. iv.* 5. 1 *Pet. i.* 7. *iv.* 12. ὡσπερ δοκιμαζεται εν καμεινῳ αργυρος και χρυσος, οὑτως εκλεκται καρδιαι παρα Κυριῳ. *Prov. xvii.* 3. *Sap. iii.* 6, 7. *Conf. Esa. xxviii.* 17. *Ezech. xiii.* 10-16.

14 Ει τινος το εργον μενει, ὁ εποικοδομησε, μισθον ληψεται.

ὁ δε σπειρων δικαιοσυνην ληψεται μισθον πιστον. *Prov. xi.* 21. και οἱ συνιεντες λαμψονται ὡς ἡ λαμπροτης του στερεωματος, κ. τ. λ. *Dan. xii.* 3. *Conf. Matt. xxiv.* 45-47. 1 *Thess. ii.* 19.

15 Ει τινος το εργον κατακαησεται, ζημιωθησεται· αυτος δε σωθησεται, οὑτως δε ὡς δια πυρος.

ζημιωθησεται. *Deut. xxii.* 19. *Exod. xxi.* 22. *Conf. Epist. Jer.* 55. *et Epist. Juda.* 23. ὡς δαλος εξεσπασμενος εκ πυρος. *Zach. iii.* 3. διηλθομεν δια πυρος και ὑδατος. *Ps. lxv.* 12. *Esa. xliii.* 2. και εγενεσθε ὡς δαλος εξεσπασμενος εκ πυρος. *Amos. iv.* 11. ὁτι εδοκιμασας ἡμας ὁ Θεος, επυρωσας ἡμας ὡς πυρουται το αργυριον. *Ps. lxv.* 10. *Conf. Esa. xlviii.* 10. και διαξω το τριτον δια πυρος, και πυρωσω αυτους ὡς πυρουται το αργυριον, και δοκιμω αυτους ὡς δοκιμαζεται το χρυσιον. *Zach. xiii.* 9.

16 Ουκ οιδατε ὁτι ναος Θεου εστε, και το Πνευμα του Θεου οικει εν ὑμιν;

ναος Κυριου, ναος Κυριου εστι. *Jer. vii.* 4. το ορος ὁ ευδοκησεν ὁ Θεος κατοικειν εν αυτῳ. *Ps. lxvii.* 16. *Conf. cap. vi.* 19. 2 *Cor. vi.* 16. *Ephes. ii.* 21. και το πνευμα μου δωσω εν ὑμιν, κ. τ. λ. *Ezech. xxxvi.* 27. ὁ Κυριος—και το Πνευμα αυτου. *Esa. xxxiv.* 16.

17 Ει τις τον ναον του Θεου φθειρει, φθερει τουτον ὁ Θεος· ὁ γαρ ναος του Θεου ἁγιος εστιν, οἱτινες εστε ὑμεις.

εφθαρη δε ἡ γη εναντιον του Θεου. *Gen. vi.* 11. *Esa. liv.* 16. *Jer. xiii.* 9. εμιαναν τον ναον τον ἁγιον σου. *Ps. lxxviii.* 1. *Conf.* 1 *Esd.*

viii. 58, 59. *Sophon. iii.* 4. [εαν απαλλαγητε της ῥυπαρας κοινωνιας ταυτης, γινεσθε ναοι ἁγιοι, καθαροι. *Act. Thom. c.* 20.]

18 Μηδεις ἑαυτον εξαπατατω· ει τις δοκει σοφος ειναι εν ὑμιν, εν τῳ αιωνι τουτῳ, μωρος γενεσθω, ἱνα γενηται σοφος.

εξαπατατω. *Exod. viii.* 29. *Susan.* 56. *Conf. Jer. xxxvii.* 9. ουαι οἱ συνετοι εν ἑαυτοις, και ενωπιον αυτων επιστημονες. *Esa. v.* 21. μη ισθι φρονιμος [*Aq. S. Theod.* σοφος] παρα σεαυτῳ. *Prov. iii.* 7. *Conf. Esa. xliv.* 20. *Matt. xviii.* 4. *Ps. xviii.* 7. *cxxx.* 1, 2. πως ερειτε, ὁτι, Σοφοι εσμεν ἡμεις, και νομος Κυριου μεθ' ἡμων εστι; κ. τ. λ. *Jer. viii.* 8.

19 Ἡ γαρ σοφια του κοσμου τουτου, μωρια παρα τῳ Θεῳ εστι. γεγραπται γαρ, Ὁ δρασσομενος τους σοφους εν τῃ πανουργιᾳ αυτων.

παρα τῳ Θεῳ. *Prov. xvi.* 5. *Alex.* ὁ καταλαμβανων σοφους εν τῃ φρονησει. *Job. v.* 13. δραξασθε παιδειας. *Ps. ii.* 12. πανουργια. *Prov. i.* 4. *Sir. xix.* 20. *Marc. x.* 15. *Jac. iv.* 4. δρασσομενος. *Conf. Lev. ii.* 2. *v.* 12. και μωραι εσονται οἱ αρχοντες Τανεως, κ. τ. λ. *Esa. xix.* 11-14. *xxix.* 14-16. *Eccles. xii.* 12. αποστρεφων φρονιμους εις τα οπισω, και την βουλην αυτων μωραινων. *Esa. xliv.* 25. *CITAT.* 191.

20 Και παλιν, Κυριος γινωσκει τους διαλογισμους των σοφων, ὁτι εισι ματαιοι.

Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων, ὁτι εισι ματαιοι. *Ps. xciii.* 11. λογισμοι γαρ θνητων δειλοι, και επισφαλεις αἱ επινοιαι ἡμων. *Sap. ix.* 14. *CITAT.* 192.

21 Ὡστε μηδεις καυχασθω εν ανθρωποις. παντα γαρ ὑμων εστιν,

Conf. cap. i. 31. δος ἡμιν βοηθειαν εκ θλιψεως, και ματαια σωτηρια ανθρωπου. *Ps. lix.* 11. *Conf. Rom. viii.* 28. 32.

22 Ειτε Παυλος, ειτε Απολλως, ειτε Κηφας, ειτε κοσμος, ειτε ζωη ειτε θανατος, ειτε ενεστωτα ειτε μελλοντα· παντα ὑμων εστιν.

οἱ φουβουμενοι τον Κυριον ηλπισαν επι Κυριον, βοηθος και ὑπερασπιστης αυτων εστι. κ. τ. λ. *Ps. cxiii.* 11-18. και εγω σε ηγαπησα, και δωσω ανθρωπους ὑπερ σου, και αρχοντας ὑπερ της κεφαλης σου. κ. τ. λ. *Esa. xliii.* 4-6. ενεστωτα. 1 *Esd. ix.* 6.

23 Ὑμεις δε, Χριστου· Χριστος δε, Θεου.

Conf. Joan. x. 30. *xvii.* 22. 1 *Joan. v.* 7. *Esa. xli.* 4. *xliv.* 6. *xlviii.* 12. *Apoc. i.* 11. 17. *ii.* 8. *xxii.* 13.

ΚΕΦ. δ. 4.

ΟΥΤΩΣ ἡμας λογιζεσθω ανθρωπος, ὡς ὑπηρετας Χριστου και οικονομους μυστηριων Θεου·

λογιζεσθω. *Conf. Rom. vi.* 11. ανθρωπος, *i. e.* ἑκαστος. ανθρωπος προς ανθρωπον, και ανθρωπος προς τον πλησιον αυτου. *Esa. iii.* 5. *Prov. xxiv.* 12. 1 *Reg. viii.* 22. ὑπηρεται οντες της αυτου (Θεου) βασιλειας. *Sap. vi.* 4. *Prov. xiv.* 35. και επεταξε τοις οικονομοις ποιησαι το θελημα αυτου. *Est. i.* 8. *Conf. Sap. xiv.* 15. 23.

2 Ὁ δε λοιπον, ζητειται εν τοις οικονομοις, ἱνα πιστος τις εὑρεθῃ·

και εν πειρασμῳ εὑρεθη πιστος. *Sir. xliv.* 20. 1 *Mac. ii.* 52. *Luc. xii.* 42. *Matt. xxv.* 21. 2 *Cor. i.* 12. *Heb. iii.* 5. υἱε ανθρωπου, σκοπον δεδωκα σε τῳ οικῳ Ισραηλ, κ. τ. λ. *Ezech. iii.* 17. 21. *xiii.* 18, 19. ουχ οὑτως ὁ θεραπων μου Μωυσης εν ὁλῳ τῳ οικῳ μου πιστος εστι. *Num. xii.* 7. ζητειται. *Conf. Neh. v.* 12. 18.

3 Εμοι δε εις ελαχιστον εστιν ἱνα ὑφ' ὑμων ανακριθω, η ὑπο ανθρωπινης ἡμερας· αλλ' ουδε εμαυτον ανακρινω·

εις ελαχιστον εστι. *Conf. Esa. xl.* 4. εσται εις ευθειαν. *Conf. xlix.* 6. *Gen. ii.* 24. μελλοντες ουν αγειν τον καθαρισμον, εγραψαμεν ὑμιν· καλως ουν ποιησετε αγοντες τας ἡμερας. 2 *Mac. ii.* 16. ἡ ἡμερα του Κυριου. *Joel. iii.* 4. *Act. ii.* 20. *Apoc. xvi.* 14. εις κρισιν μεγαλης ἡμερας. *Juda.* 6. *Conf.* 1 *Pet. ii.* 13. *Rom. vi.* 19.

4 Ουδεν γαρ εμαυτῳ συνοιδα, αλλ' ουκ εν τουτῳ δεδικαιωμαι· ὁ δε ανακρινων με, Κυριος εστιν.

ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. *Job. xxvii.* 6. *Conf. Ps. xix.* 13. μη δικαιου εναντι Κυριου. *Sir. vii.* 5. ου δικαιωθησεται ενωπιον σου πας ζων. *Ps. cxlii.* 2. επ' αληθειας οιδα, ὁτι οὑτως εστι· πως γαρ εσται δικαιος βροτος παρα Κυριῳ; *Job. ix.* 2. *Gen. xli.* 16. [ανακρινω· το πραχθεν εξεταζω. *Phav.*]

5 Ὡστε μη προ καιρου τι κρινετε, ἑως αν ελθῃ ὁ Κυριος, ὁς και φωτισει τα κρυπτα του σκοτους, και φανερωσει τας βουλας των καρδιων· και τοτε ὁ επαινος γενησεται ἑκαστῳ απο του Θεου.

ὡστε. *Sap. vi.* 25. ὁτι εγγυς ἡμερα Κυριου. *Sophon. i.* 14. *Ezech. xxx.* 3. του τα κεκρυμμενα φανερα ποιουντος. 2 *Mac. xii.* 41.

[φωτιζειν· αιτιατικη, εις φως αγειν, εξαγγελλειν. *Suid.*] μη ζητει γενεσθαι κριτης. *Sir. vii.* 6. μη θλιψῃς σεαυτον εν βουλῃ σου. *xxx.* 21. ανακαλυπτων βαθεα εκ σκοτους. *Job. xii.* 22. *Dan. ii.* 22. τα κρυφια της καρδιας. *Ps. xliv.* 21. και βουλην καρδιας στησον. *Sir. xxxvii.* 13. και νυξ ὡς ἡμερα φωτισθησεται. *Ps. cxxxviii.* 12. εκπεφευγε δε και τον του Θεου επαινον και την ευλογιαν αυτου. *Sap. xv.* 19. απαχθητε ἑως του φανερα γενεσθαι. *Gen. xlii.* 16. ουδε εσται τοπος του κρυβηναι τους ποιουντας τα ανομα. *Job. xxxiv.* 22. *Eccles. xi.* 9. *xii.* 14. *Mal. iii.* 18.

6 Ταυτα δε, αδελφοι, μετεσχηματισα εις εμαυτον και Απολλω
δι' ὑμας, ἱνα εν ἡμιν μαθητε το μη ὑπερ ὁ γεγραπται φρονειν,
ἱνα μη εἱς ὑπερ του ἑνος φυσιουσθε κατα του ἑτερου.

μετεσχηματισε. 1 *Reg. xxviii.* 8. *Sym.* ἱνα μη ὑψωθῃ ἡ καρδια αυτου απο των αδελφων αυτου, κ. τ. λ. *Deut. xvii.* 20. [κατα των εντολων του Θεου φυσιουμενοι. *Test. XII Patr. p.* 579.] μη θνητον οντα, ισοθεα φρονειν ὑπερηφανως. 2 *Mac. ix.* 12. *xiv.* 26. *Conf. Prov. iii.* 7. *Rom. xii.* 3. *Cap. i.* 12. 2 *Cor. xii.* 20. ουαι οἱ βαθεως βουλην ποιουντες, και ου δια Κυριου· ουαι οἱ εν κρυφῃ βουλην ποιουντες, και εσται εν σκοτει τα εργα αυτων· κ. τ. λ. *Esa. xxix.* 15. επικαταρατος ὁ ανθρωπος, ὁς την ελπιδα εχει επ' ανθρωπον, κ. τ. λ. *Jer, xvii.* 1. *Conf. Num. xi.* 28, 29. τα κρυπτα Κυριῳ τῳ Θεῳ ἡμων, τα δε φανερα ἡμιν, κ. τ. λ. *Deut. xxix.* 29. δοξα Θεου κρυπτει λογον. *Prov. xxv.* 2. δι' ὑμας. *Conf.* 2 *Mac. iii.* 33.

7 Τις γαρ σε διακρινει; τι δε εχεις ὁ ουκ ελαβες; ει δε και
ελαβες, τι καυχασαι ὡς μη λαβων;

μη καυχασθω ὁ σοφος εν τῃ σοφιᾳ αυτου. *Jer. ix.* 23. εμον το αργυριον, και εμον το χρυσιον, λεγει Κυριος. *Agg. ii.* 9. *Conf. Joan. iii.* 27. *Rom. xii.* 6. *Jac. i.* 17. 1 *Pet. iv.* 10. και τις ειμι εγω; —ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14. *Conf. Job. xxxv.* 7. *Dan. iv.* 32. *v.* 18-23.

8 Ηδη κεκορεσμενοι εστε, ηδη επλουτησατε, χωρις ἡμων εβα-
σιλευσατε· και οφελον γε εβασιλευσατε, ἱνα και ἡμεις ὑμιν
συμβασιλευσωμεν.

εμπλησθεντες κορησουσι. *Deut. xxxi.* 20. ἑαυτοις εβασιλευσαν, και ου δι' εμου. *Ose. viii.* 4. πεπλουτηκα, εὑρηκα αναψυχην εμαυτῳ. *Ose. xii.* 8. οφελον κατευθυνθειησαν αἱ ὁδοι μου. *Ps. cxviii.* 5. *Conf. Esa. xlvii.* 7, 8. *Apoc. iii.* 17. [οφελον. *Conf. Sturz. p.* 186.] *Exod. xvi.* 3. *Num. xiv.* 2. ειτα ὑμεις εστε ανθρωποι, η μεθ' ὑμων τελευτησει σοφια; *Job. xii.* 1. εισιν οἱ πλουτιζοντες ἑαυτους μη-

δεν εχοντες, και εισιν οἱ ταπεινουντες ἑαυτους εν πολλῳ πλουτῳ.
Prov. xiii. 7. 3 *Reg.* xviii. 27.

9 Δοκω γαρ ὁτι ὁ Θεος ἡμας τους αποστολους εσχατους απεδειξεν ὡς επιθανατιους, ὁτι θεατρον εγενηθημεν τῳ κοσμῳ και αγγελοις και ανθρωποις.
γελως δε αυτοις απεβην. *Job.* xvii. 6. εσχατοι. *Marc.* ix. 35. *Conf. Ps.* xliii. 22. *Rom.* viii. 36. *Cap.* xv. 8. *Ephes.* iii. 8. *Heb.* x. 33. [και ταυτ' ειργαζετο μετα το πληγαις αικισασθαι εν μεσῳ τῳ θεατρῳ, και πυρι και σιδηρῳ βασανισαι, κ. τ. λ. *Philo. in Flacc.* p. 977. *Loesner. ad loc.*] *Conf.* 1 *Cor.* i. 28.

10 Ἡμεις μωροι δια Χριστον, ὑμεις δε φρονιμοι εν Χριστῳ· ἡμεις ασθενεις, ὑμεις δε ισχυροι· ὑμεις ενδοξοι, ἡμεις δε ατιμοι.
Conf. 4 *Reg.* 9. 11. *Ose.* ix. 7. ισθι πεποιθως εν ὁλῃ τῃ καρδιᾳ επι Θεῳ, επι δε σῃ σοφιᾳ μη επαιρου. *Prov.* iii. 5. [γινεσθε ουν σοφοι εν Θεῳ και φρονιμοι. *Test. XII Patr.* p. 673.] *Jer.* viii. 8, 9.

11 Αχρι της αρτι ὡρας και πεινωμεν, και διψωμεν, και γυμνητευομεν, και κολαφιζομεθα, και αστατουμεν,
Conf. Act. xxiii. 2. 2 *Cor.* iv. 8. xi. 23. *Rom.* viii. 35. [δια την αρτι ὡραν. *Jos. Ant.* xix. ii. 2.] γυμνητευομεν (*male vestiti*) αμφιασιν δε γυμνων αφειλου. *Job.* xxii. 6. [κολαφισει τα τεκνα σου. *Test. XII Patr.* p. 708.] αστατος. 3 *Mac.* v. 39.

12 Και κοπιωμεν εργαζομενοι ταις ιδιαις χερσι· λοιδορουμενοι, ευλογουμεν· διωκομενοι, ανεχομεθα·
ευλογειτε τους καταρωμενους ὑμας. *Matt.* v. 44. προσευχεσθε ὑπερ των επηρεαζοντων ὑμας. *Id.* καταρασονται αυτοι, και συ ευλογησεις. *Ps.* cviii. 28. *Conf. Luc.* vi. 28. *Act.* vii. 60. *Rom.* xii. 14. 1 *Pet.* ii. 23. *Esa.* xlii. 14.

13 Βλασφημουμενοι, παρακαλουμεν· ὡς περικαθαρματα του κοσμου εγενηθημεν, παντων περιψημα ἑως αρτι.
περικαθαρμα δε δικαιου ανομος. *Prov.* xxi. 18. [*redemptionis pretium. Bretschn.*] μη περιψημα φαυλον και αποβλητον ὁ ανθρωπος. *Jer.* xxii. 28. *Sym. Tob.* v. 18. [περιψημα· αντιλυτρον, αντιψυχον. *Hesych.*] [*Conf. Ottium ad loc.*]

14 Ουκ εντρεπων ὑμας γραφω ταυτα, αλλ' ὡς τεκνα μου αγαπητα νουθετω.
τουτους μεν γαρ ὡς πατηρ νουθετων εδοκιμασας. *Sap.* xi. 10-12. 26.

Conf. 1 *Thess. ii.* 11. 2 *Cor. xii.* 15. 2 *Mac. ix.* 25. ταυτην ταξω εις την καρδιαν μου, διατουτο ὑπομενω. *Thren. iii.* 21.

15 Εαν γαρ μυριους παιδαγωγους εχητε εν Χριστῳ, αλλ᾽ ου πολλους πατερας· εν γαρ Χριστῳ Ιησου δια του ευαγγελιου εγω ὑμας εγεννησα.

αλλ᾽ ου. *Conf.* 1 *Mac. ii.* 19, 20. *Act. xviii.* 11. *Gal. iv.* 19. *Philem.* 10. *Jac. i.* 18. υἱους εγεννησα. *Esa. i.* 2. [δια μυριων κακων. *Jos. Ant. vii.* 1. 5.] *Dan. vii.* 10. *Ps. lxvii.* 17. μνησθητι ἡμων Κυριε εν τῃ ευδοκιᾳ του λαου σου, επισκεψαι ἡμας εν τῳ σωτηριῳ σου, κ. τ. λ. *Ps. cv.* 4, 5. *Conf. Deut. xxxii.* 18.

16 Παρακαλω ουν ὑμας, μιμηται μου γινεσθε.

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. παρουσαν μιμουνται αυτην (σοφιαν.) *Sap. iv.* 2. *Heb. vi.* 12.

17 Δια τουτο επεμψα ὑμιν Τιμοθεον, ὁς εστι τεκνον μου αγαπητον και πιστον εν Κυριῳ, ὁς ὑμας αναμνησει τας ὁδους μου τας εν Χριστῳ, καθως πανταχου εν πασῃ εκκλησιᾳ διδασκω.

δια τουτο επεμψαμεν. *Esd. iv.* 14. και πεμπει το αργυριον. 1 *Mac. xiii.* 17. και μνησθησεσθε εκει τας ὁδους ὑμων. *Ezech. xx.* 43. και ὁδηγησον με εν ὁδῳ αιωνιᾳ. *Ps. cxxx.* 24. *Joan. xiv.* 6. δευτε τεκνα, ακουσατε μου, κ. τ. λ. *Ps. xxxiii.* 11. *Conf. Num. xii.* 7. και εδιδασκον τον λαον. 2 *Par. xvii.* 9.

18 Ὡς μη ερχομενου δε μου προς ὑμας εφυσιωθησαν τινες·

παρα Κυριου ευθυνεται τα διαβηματα ανδρι, θνητος δε πως αν νοησαι τας ὁδους αυτου; *Prov. xx.* 24. *Conf. Ps. cxxx.* 1, 2.

19 Ελευσομαι δε ταχεως προς ὑμας, εαν ὁ Κυριος θελησῃ, και γνωσομαι ου τον λογον των πεφυσιωμενων, αλλα την δυναμιν.

νυν γαρ εγνων, ὁτι φοβῃ συ τον Θεον. *Gen. xxii.* 12. *Jac. iv.* 15.

20 Ου γαρ εν λογῳ ἡ βασιλεια του Θεου, αλλ᾽ εν δυναμει.

εδειξεν αυτῳ βασιλειαν Θεου, κ. τ. λ. *Sap. x.* 10. φωνη Κυριου εν ισχυϊ, φωνη Κυριου εν μεγαλοπρεπειᾳ. *Ps. xxviii.* 4.

21 Τι θελετε; εν ῥαβδῳ ελθω προς ὑμας, η εν αγαπῃ, πνευματι τε πρᾳοτητος;

ὁτι εν ῥαβδῳ παταξει σε. *Esa. x.* 24. πνευμα σοφιας και συνεσεως κ. τ. λ. *Esa. xi.* 2. 2 *Cor. x.* 2. *xiii.* 10. τε. *Conf. Sap. viii.* 19. επισκεψομαι εν ῥαβδῳ τας ανομιας αυτων. *Ps. lxxxviii.* 32.

Κεφ. ε. 5.

ΟΛΩΣ ακουεται εν ὑμιν πορνεια, και τοιαυτη πορνεια, ἡτις ουδε εν τοις εθνεσιν ονομαζεται, ὡστε γυναικα τινα του πατρος εχειν·

και ουκ εγενετο ἡμερα τοιαυτη—ὡστε επακουσαι Θεον ανθρωπου. Jos. x. 14. ου δια πορνειαν εγω λαμβανω την αδελφην μου ταυτην. Tob. viii. 7. γυναικα ληψῃ, και ανηρ ἑτερος ἑξει αυτην. Deut. xxviii. 30. Esa. xiii. 16. Conf. Lev. xviii. 8. xx. 11. Deut. xxvii. 20. ονομαζεται, auditur. Conf. Est. ix. 4. μη τεκνα, ὁτι ουκ αγαθη ἡ ακοη ἡν εγω ακουω. 1 Reg. ii. 24. ανεβης γαρ επι την κοιτην του πατρος σου· κ. τ. λ. Gen. xlix. 4. xxxvii. 2.

2 Και ὑμεις πεφυσιωμενοι εστε, και ουχι μαλλον επενθησατε, ἱνα εξαρθῃ εκ μεσου ὑμων ὁ το εργον τουτο ποιησας.

και εξαρῃ εθνη μεγαλα απο προσωπου σου. Deut. vii. 1. και εξαρεις τον πονηρον εξ ὑμων αυτων. xvii. 7. τα αγνοηματα αυτης επενθησα. Sir. li. 19. ηρται εκ του μεσου. Esa. lvii. 2. Conf. 2 Cor. vii. 10. Lev. xx. 11. και εξαρω αυτον εκ μεσου του λαου μου. Ezech. xiv. 8. [κατα (adversus) των εντολων του Θεου φυσιουμενοι. Test. XII Patr. p. 579.] Conf. Apoc. ii. 20-22.

3 Εγω μεν γαρ ὡς απων τῳ σωματι, παρων δε τῳ πνευματι, ηδη κεκρικα ὡς παρων, τον οὑτω τουτο κατεργασαμενον,

αποντες και παροντες. Sap. xi. 11. ἱνα τον αποντα ὡς παροντα κολακευωσι. xiv. 17. ουχι ἡ καρδια μου επορευθη μετα σου; 4 Reg. v. 26. Conf. Col. ii. 5. 2 Cor. ii. 10.

4 Εν τῳ ονοματι του Κυριου ἡμων Ιησου Χριστου, συναχθεντων ὑμων και του εμου πνευματος, συν τῃ δυναμει του Κυριου ἡμων Ιησου Χριστου,

Conf. Matt. xvi. 19. xviii. 18. Joan. xx. 23. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. Job. xii. 10. Ps. xxi. 1. στηθι νουθετουμενος δυναμιν Κυριου. xxxvii. 14.

5 Παραδουναι τον τοιουτον τῳ Σατανᾳ εις ολεθρον της σαρκος, ἱνα το πνευμα σωθῃ εν τῃ ἡμερᾳ του Κυριου Ιησου.

ιδου παραδιδωμι σοι (Διαβολῳ) αυτον· μονον την ψυχην αυτου διαφυλαξον. Job. ii. 6. πνευμα. Conf. Zach. xii. 1. και εις ολεθρον και εις αφανισμον. 3 Reg. xiii. 34. Ezech. vi. 14. εν ἡμερᾳ ολεθρου αυτων. Obd. 13. ὁτι εγγυς ἡμερα του Κυριου. Ezech. xxx. 3. Conf. 1 Tim. i. 20. 2 Cor. ii. 7. Ps. cviii. 6.

6 Ου καλον το καυχημα ὑμων. ουκ οιδατε ὁτι μικρα ζυμη ὁλον το φυραμα ζυμοι;

θαυμασαι προσωπον ασεβους ου καλον. *Prov. xviii.* 5. καυχημα. *Deut. xxxiii.* 29. 1 *Par. xvi.* 27. προ του ζυμωθηναι τα φυραματα αυτων. *Exod. xii.* 34. ἑως του ζυμωθηναι αυτο ὁλον. *Ose. vii.* 4. *B. Ald.* *Conf. Gal. v.* 9. *Jac. iv.* 16. ουκ οιδατε ὁτι κ. τ. λ. *Gen. xliv.* 15. και ἁμαρτανων εἱς απολεσει αγαθωσυνην πολλην. *Eccles. ix.* 18. *Conf. Sir. xiii.* 1. *Cap. xv.* 33.

7 Εκκαθαρατε ουν την παλαιαν ζυμην, ἱνα ητε νεον φυραμα, καθως εστε αζυμοι· και γαρ το πασχα ἡμων ὑπερ ἡμων ετυθη, Χριστος.

και γαρ θυσιας Κυριου φαγονται. *Sir. xlv.* 21. *Job. v.* 2. αφανιειτε ζυμην εκ των οικιων. *Exod. xii.* 15. πας ὁς αν φαγῃ ζυμωτον εξολοθρευθησεται. 19. και αζυμα επι πικριδων εδονται. 8. φυραμα. *Exod. viii.* 3. *xii.* 34. θυσατε το πασχα. *Exod. xii.* 21. *Deut. xvi.* 2. ὁπως τυθῃ Κυριῳ τῳ Θεῳ σου. 1 *Reg. xv.* 15. *Conf. Matt. xvi.* 7. εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. *Conf. Joan. i.* 29. *x.* 11. *Esa. liii.* 6. *Cap. xv.* 3. 1 *Pet. i.* 19. προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου. 2 *Mac. i.* 26.

8 Ὡστε ἑορταζωμεν, μη εν ζυμῃ παλαιᾳ, μηδε εν ζυμῃ κακιας και πονηριας, αλλ᾽ εν αζυμοις ειλικρινειας και αληθειας.

ἱνα μοι ἑορτασωσι εν τῃ ερημῳ. *Exod. v.* 1. *Deut. xvi.* 3. 15. ὡστε. *Conf. Sap. vi.* 25. και ποιησει Κυριος Σαβαωθ πασι τοις εθνεσιν· επι το ὁρος τουτο πιονται ευφροσυνην, κ. τ. λ. *Esa. xxv.* 6. και φαγονται τα κρεα—και αζυμα, κ. τ. λ. *Exod. xii.* 8. εις οικιαν ποτου ουκ εισελευσῃ συ, συγκαθισαι μετ᾽ αυτων του φαγειν και πιειν. *Jer. xvi.* 8. [ειλικρινη και καθαραν διαθεσιν. *Test. XII Patr. p.* 734.] *Conf. Ps. xli.* 4. *Esa. xxx.* 29.

7, 8.] [δωδεκα αρτους αζυμους ταις φυλαις ισαριθμους προτιθεναι επι της εν τοις αδυτοις χρυσης τραπεζης, και καλουνται προσθεσεως, κ. τ. λ. *Philo, p.* 350. *Edit. Col.*] *Conf. Exod. xxv.* 30. *xl.* 23. *Lev. xxiv.* 5. *Jos. xxiv.* 14. *Ps. xxv.* 6.

9 Εγραψα ὑμιν εν τῃ επιστολῃ, μη συναναμιγνυσθαι πορνοις.

ὁ γραμματευς εγραψεν επιστολην. *Esd. iv.* 8. Εφραϊμ εν τοις λαοις αυτου συνεμιγνυτο. *Ose. vii.* 8. *Dan. xi.* 23. *Conf. Jos. xxiii.* 12. 2 *Thess. iii.* 14. ανθρωπος πορνος. *Sir. xxiii.* 17. [εν τῃ επιστολῃ αντι του εν ταυτῃ. *Phav.*] πονηρος κακοποιει ὁταν συμμιξῃ δικαιῳ, κ. τ. λ. *Prov. xi.* 15.

10 Και ου παντως τοις πορνοις του κοσμου τουτου, η τοις

πλεονεκταις, η ἁρπαξιν, η ειδωλολατραις· επει οφειλετε αρα
εκ του κοσμου εξελθειν.

πλεονεκτου οφθαλμος ουκ εμπιπλαται μεριδι. Sir. xiv. 9.

11 Νυνι δε εγραψα ὑμιν μη συναναμιγνυσθαι, εαν τις αδελφος
ονομαζομενος η πορνος, η πλεονεκτης, η ειδωλολατρης, η λοι-
δορος, η μεθυσος, η ἁρπαξ, τῳ τοιουτῳ μηδε συνεσθιειν.

τουτῳ ου συνησθιον. Ps. c. 5. Gen. xliii. 32. μεθυσος. Prov. xxiii. 21. λοιδορος. Prov. xxv. 24. [ἁρπαξ. Act. Thom. § 12.] [πολλη δη λυπη μοι εστι, τεκνα μου, δια τας γοητειας και ειδωλολατρειας, κ.τ.λ. Test. XII Patr. p. 615.] Conf. Tob. i. 11. Dan. i. 8. 2 Mac. ix. 25-27. ουαι αδελφε. 3 Reg. xiv. 30. [μη συναναμιγνυμενων αλλοις εις την των πατριων εκδιαιτησι. Philo Vit. Mos. p. 645.]

12 Τι γαρ μοι και τους εξω κρινειν; ουχι τους εσω ὑμεις κρι-
νετε,

οἱ εκτος, ethnici. Sir. Prol. αλλοτριοι. LXX. Conf. Marc. iv. 11. Col. iv. 5. 1 Thess. iv. 12. 1 Tim. iii. 7.

13 Τους δε εξω ὁ Θεος κρινει; και εξαρειτε τον πονηρον εξ ὑμων
αυτων.

και ἐξαρεις τον πονηρον εξ ὑμων αυτων. Deut. xxiv. 7. Conf. Deut. xiii. 5. xix. 19. xxi. 21. [Laudat Philo. p. 190.] CITAT. 193.

ΚΕΦ. ϛ. 6.

ΤΟΛΜΑ τις ὑμων, πραγμα εχων προς τον ἑτερον, κρινεσθαι επι των αδικων, και ουχι επι των ἁγιων;

τις οὑτος, ὁστις ετολμησε ποιησαι το πραγμα τουτο; Est. vii. 5. και ου δυνησεται κριθηναι μετα του ισχυροτερου ὑπερ αυτον. Eccles. vi. 10. Conf. Neh. v. 9. και εσεσθε ἁγιοι, ὁτι ἁγιος εγω κ.τ.λ. Lev. xx. 7. Conf. Matt. xviii. 15-17.

2 Ουκ οιδατε ὁτι οἱ ἁγιοι τον κοσμον κρινουσι; και ει εν ὑμιν
κρινεται ὁ κοσμος, αναξιοι εστε κριτηριων ελαχιστων;

τοις ἁγιοις τοις εν τῃ γῃ αυτου. Ps. xv. 3. αναξιος. Sir. xxv. 8. εν εκκλησιᾳ ἁγιων. Ps. lxxxviii. 5. Conf. Matt. xix. 28. Luc. xxii. 30. Apoc. ii. 26. ἑως οὑ ηλθεν ὁ παλαιος ἡμερων, και το κριμα εδωκεν ἁγιοις Ὑψιστου· και ὁ καιρος εφθασε, και την βασιλειαν κατεσχον οἱ ἁγιοι. Dan. vii. 22. Conf. 1 Joan. ii. 16, 17.

3 Ουκ οιδατε ὁτι αγγελους κρινουμεν; μητι γε βιωτικα;

μεριμναις βιωτικαις. Luc. xxi. 34. 2 Pet. ii. 4. Judæ. 6. Apoc. xx. 10. κρινουσιν εθνη. Sap. iii. 8. ὁ ὑπακουων αυτης κρινει εθνη. Sir. iv. 15. ὁ πονηρος ἑαυτῳ, τινι αγαθος εσται; κ. τ. λ. Sir. xiv. 5. Conf. Luc. xvi. 11. [μακαριοι οἱ δι' αγαπην Χριστου εξελθοντες του σχηματος του κοσμου, ὁτι αυτοι αγγελους κρινουσι. Acta Theclæ, apud Fabric. p. 170.] [μητι γε; = ποσῳ γε μαλλον; Hesych. Phav. Hoogev. p. 526.] [βιωτικα. Act. Thom. § 36.]

4 Βιωτικα μεν ουν κριτηρια εαν εχητε, τους εξουθενημενους εν τῃ εκκλησιᾳ, τουτους καθιζετε.

θρονους αρχοντων καθειλεν ὁ Κυριος, και εκαθισε πραεις αντ' αυτων. Sir. x. 4. xi. 1. κριτηριον εκαθισε. Dan. vii. 10. 26. εκαθισας επι θρονου ὁ κρινων. Ps. ix. 4. βιωτικα κριτηρια = ανθρωπινη ἡμερα. Conf. cap. iv. 3.

5 Προς εντροπην ὑμιν λεγω· οὑτως ουκ εστιν εν ὑμιν σοφος ουδε εἱς, ὁς δυνησεται διακριναι ανα μεσον του αδελφου αὑτου;

ὁλην την ἡμεραν ἡ εντροπη μου. Ps. xliii. 15. και διακρινω τον λαον σου δικαιως. Sap. ix. 12. ιδου εγω διακρινω αναμεσον προβατου και προβατου. Ezech. xxxiv. 17. Gen. xvi. 5. Deut. i. 16.

6 Αλλα αδελφος μετα αδελφου κρινεται, και τουτο επι απιστων;

και κρινουσι τον λαον πασαν ὡραν. Exod. xviii. 22. επι. Conf. Gen. xiii. 7-9. xlv. 24. Neh. v. 8, 9. Ps. cxxxii.

7 Ηδη μεν ουν ὁλως ἡττημα εν ὑμιν εστιν, ὁτι κριματα εχετε μεθ' ἑαυτων. διατι ουχι μαλλον αδικεισθε; διατι ουχι μαλλον αποστερεισθε;

ἡττημα. Esa. xxxi. 8. ελαττωμα. Sir. xix. 28. αδικεισθε. Conf. Exod. ii. 13. αποστερεισθε. Sir. xxix. 7. Conf. Prov. xx. 22. Matt. v. 39. Luc. vi. 29. Rom. xii. 17. 19. 1 Thess. iv. 6. 1 Pet. iii. 9. μη προσπιπτε εις μαχην ταχεως, ἱνα μη μεταμεληθῃς επ' εσχατων· ἡνικα αν σε ονειδισῃ, κ. τ. λ. Prov. xxv. 8.

8 Αλλα ὑμεις αδικειτε και αποστερειτε, και ταυτα αδελφους.

τεκνον, την ζωην του πτωχου μη αποστερησῃς. Sir. iv. 1. Mich. ii. 2. Mal. iii. 5. ουκ αδικησεις τον πλησιον. Lev. xix. 13.

9 Η ουκ οιδατε ὁτι αδικοι βασιλειαν Θεου ου κληρονομησουσι; Μη πλανασθε· ουτε πορνοι, ουτε ειδωλολατραι, ουτε μοιχοι, ουτε μαλακοι, ουτε αρσενοκοιται,

ουκ οιδατε ὁτι κ.τ.λ. Gen. xliv. 15. δικαιοι δε κληρονομησουσι γην. Ps. xxxvi. 29. και κληρονομησουσιν οἱ εκλεκτοι μου. Esa. lxv. 9. υἱε μη σε πλανησωσιν ανδρες ασεβεις. Prov. i. 10. μακραν απο ἁμαρτωλων σωτηρια. Ps. cxviii. 154. Conf. Luc. xxi. 8. Gal. v. 19. Ephes. v. 5. Heb. xii. 14. Apoc. xxii. 14. αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. Sap. xiv. 12. 2 Mac. vii. 18. Gen. xix. 5. Lev. xviii. 20.

10 Ουτε κλεπται, ουτε πλεονεκται, ουτε μεθυσοι, ου λοιδοροι, ουχ ἁρπαγες, βασιλειαν Θεου ου κληρονομησουσι.

απωλειαν κληρονομησουσι. Sir. xx. 25. Prov. iii. 35. Conf. cap. v. 10. 11. [γινεσθε ἁρπαγες και πλεονεκται, ορφανους δεροντες, χηρας πλεονεκτουντες. Act. Thom. c. 12.] Esa. i. 23.

11 Και ταυτα τινες ητε· αλλα απελουσασθε, αλλα ἡγιασθητε, αλλα εδικαιωθητε, εν τῳ ονοματι του Κυριου Ιησου, και εν τῳ Πνευματι του Θεου ἡμων.

λουσασθε, καθαροι γενεσθε, αφελετε τας πονηριας απο των ψυχων ὑμων. Esa. i. 16. οἱ ἁγνιζομενοι και καθαριζομενοι. lxvi. 17. εγω Κυριος ὁ ἁγιαζων αυτους. Ezech. xx. 12. αποπλυνε απο κακιας την καρδιαν σου. Jer. iv. 14. απο Κυριου δικαιωθησονται. Esa. xlv. 26. τηρησον αυτους εν τῳ ονοματι σου, οὑς δεδωκας μοι. Joan. xvii. 11. Conf. Zach. xiii. 1, 2. Ephes. ii. 1-3. Col. iii. 7. Tit. iii. 3. Heb. x. 22. Sir. xlii. 1, 2. και διηλθον επι σε, και ιδον σε πεφυρμενην εν τῳ αἱματι σου· και ειπα σοι, Εκ του αἱματος σου ζωη, πληθυνου, καθως ἡ ανατολη του αγρου κ.τ.λ. Ezech. xvi. 6, 7. ταυτα = οὑτως. Conf. Joan. viii. 28. Job. xix. 26.

12 Παντα μοι εξεστιν· αλλ᾽ ου παντα συμφερει. παντα μοι εξεστιν· αλλ᾽ ουκ εγω εξουσιασθησομαι ὑπο τινος.

ου γαρ παντα πασι συμφερει. Sir. xxxvii. 28. επι τα σωματα ἡμων εξουσιαζουσι. Neh. ix. 37. και ενεξουσιασθης εν τῳ σωματι σου. Sir. xlvii. 19. εξεστι. Esd. iv. 14. 1 Mac. xiv. 44.

13 Τα βρωματα τῃ κοιλιᾳ, και ἡ κοιλια τοις βρωμασιν· ὁ δε Θεος και ταυτην και ταυτα καταργησει. Το δε σωμα ου τῃ πορνειᾳ, αλλα τῳ Κυριῳ, και ὁ Κυριος τῳ σωματι·

τοτε ηργησε το εργον οικου του Θεου. Esd. iv. 24. Conf. ver. 21. Eccles. vi. 1-3. Matt. xv. 17. Rom. xiv. 17. Cap. xv. 50. Col. ii. 22. διαμερισον αυτους εν τῃ ζωῃ αυτων, και των κεκρυμμενων σου επλησθη, ἡ γαστηρ αυτων. κ.τ.λ. Ps. xvi. 14. Conf. Gen. iii. 19. μη δῳς πορναις την ψυχην σου. Sir. ix. 6.

14 Ὁ δε Θεος και τον Κυριον ηγειρε, και ἡμας εξεγερει δια της δυναμεως αὑτου.

και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. *Conf. Sophon. iii.* 8. *Dan. xii.* 13. *Job. xii.* 10. *xix.* 25-27. *Act. ii.* 24. *Rom. vi.* 5. 8. 2 *Cor. iv.* 14. *Ephes. i.* 19.

15 Ουκ οιδατε ὁτι τα σωματα ὑμων μελη Χριστου εστιν; αρας ουν τα μελη του Χριστου, ποιησω πορνης μελη; μη γενοιτο.

μη μοι γενοιτο ποιησαι το ῥημα τουτο. *Gen. xliv.* 7. 17. ουχι οστουν μου και σαρξ μου συ; 2 *Reg. xix.* 13. μη μοι γενοιτο ποιησαι το πραγμα τουτο. 1 *Mac. ix.* 10. μελη. 3 *Reg. xii.* 10. *Sym.*

16 Η ουκ οιδατε ὁτι ὁ κολλωμενος τῃ πορνῃ, ἑν σωμα εστιν; Εσονται γαρ, φησιν, οἱ δυο εις σαρκα μιαν·

προς την ιδιαν γυναικα κολλαται. 1 *Esd. iv.* 20. ὁ κολλωμενος πορναις τολμηροτερος εσται. *Sir. xix.* 2. *Ephes. v.* 31. *Conf. Matt. xix.* 5. *Marc. x.* 8. [την τε κατω πολιν, και την ακραν συναψας αυτῃ, εποιησεν ἑν σωμα. *Jos. Ant. vii.* 3. 2.] και εσονται οἱ δυο κ. τ. λ. *Gen. ii.* 24. [*Laudat Philo. p.* 228.] *CITAT.* 194.

17 Ὁ δε κολλωμενος τῳ Κυριῳ, ἑν πνευμα εστι.

εκολληθη ἡ ψυχη μου οπισω σου. *Ps. lxii.* 8. ακακοι και ευθεις εκολλωντο μοι. *xxiv.* 22. *Conf. Joan. iii.* 6. *xvii.* 21-23. και τις σοφος; αυτῳ προσκολληθητι. *Sir. vi.* 34. *Conf. Ephes. v.* 30. εμοι δε το προσκολλασθαι τῳ Θεῳ αγαθον εστι, κ. τ. λ. *Ps. lxxii.* 28. και εκολληθη τῳ Κυριῳ, κ. τ. λ. 4 *Reg. xviii.* 6, 7. *Sap. vii.* 7.

18 Φευγετε την πορνειαν. παν ἁμαρτημα ὁ εαν ποιησῃ ανθρωπος, εκτος του σωματος εστιν· ὁ δε πορνευων, εις το ιδιον σωμα ἁμαρτανει.

ανθρωπος πορνος εν σωματι σαρκος αυτου ου μη παυσηται ἑως αν εκκαυσῃ πυρ. *Sir. xxiii.* 16. [ὁ εαν, *quodcunque. Hoogev. p.* 264. *Conf. Judith. viii.* 22. 3 *Mac. iii.* 29.] ὁ δε παροξυνων αυτον ἁμαρτανει εις την ἑαυτου ψυχην. *Prov. xx.* 2. *viii.* 36. ὁ ἁμαρτανων εις ψυχην αυτου πλημμελησει. *Sir. xix.* 4. ὁ πονηρος ἑαυτῳ, τινι αγαθος εσται; *Sir. xiv.* 5.

19 Η ουκ οιδατε, ὁτι το σωμα ὑμων ναος του εν ὑμιν ἁγιου Πνευματος εστιν, οὑ εχετε απο Θεου, και ουκ εστε ἑαυτων;

Conf. 2 *Cor. vi.* 16. *Ephes. ii.* 21. *Heb. iii.* 6. 1 *Pet. ii.* 5. *Rom. xiv.* 7. τις ἡμων κυριος εστι; κ. τ. λ. *Ps. xi.* 4. μεθ' ὑμων εγω ειμι, λεγει Κυριος ὁ παντοκρατωρ. *Conf. Agg. ii.* 4, 5. αυτος εποιησεν ἡμας, και ουχ ἡμεις, κ. τ. λ. *Ps. xcix.* 9.

20 Ηγορασθητε γαρ τιμης· δοξασατε δη τον Θεον εν τῳ σωματι ὑμων, και εν τῳ πνευματι ὑμων, ἁτινα εστι του Θεου.

αγορασατε—ανευ αργυριου και τιμης οινον. *Esa. lv.* 1. και την τιμην της λυτρωσεως της ψυχης αυτου. *Ps. xlviii.* 8. ὁτι αγοραζων αγορασω εν αργυριῳ αξιῳ. 1 *Par. xxi.* 24. εμον το αργυριον, και εμον το χρυσιον, λεγει Κυριος. *Agg. ii.* 9. και δοξασω το ονομα σου εις τον αιωνα. *Ps. lxxxv.* 12. *Conf. Gal. iii.* 13. *Heb. ix.* 12. 1 *Pet. i.* 18. 2 *Pet. ii.* 1. *Act. xx.* 28. *Apoc. v.* 9. Ιδου πεπρακα σε, ουχ ἑνεκεν αργυριου, κ. τ. λ. *Esa. xlviii.* 10. ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14. και γαρ εαν ἁμαρτωμεν, σοι εσμεν, ειδοτες σου το κρατος· ουχ ἁμαρτησομεθα δε, ειδοτες σοι λελογισμεθα, κ. τ. λ. *Sap. xv.* 2, 3. συ γαρ ει πατηρ ἡμων, κ. τ. λ. *Esa. lxiii.* 16. ταυτα Κυριῳ ανταποδιδοτε; οὑτω λαος μωρος και ουχι σοφος; ουκ αυτος οὑτος σου πατηρ εκτησατο σε, και εποιησε σε, και επλασε σε; *Deut. xxxii.* 6. δοξασατε δη. *Conf. Job. xxxiii.* 23, 24. *Ose. xiii.* 14. *Esa. xliii.* 3. *Ps. xlviii.* 7, 8. [λυτρον· τιμημα. *Hesych.*]

ΚΕΦ. ζ. 7.

ΠΕΡΙ δε ὡν εγραψατε μοι, καλον ανθρωπῳ γυναικος μη ἁπτεσθαι·

ου καλον ειναι τον ανθρωπον μονον. *Gen. ii.* 18. Αβιμελεχ δε ουχ ἡψατο αυτης. *xx.* 4. 6. *Conf. Ruth. ii.* 9. *Prov. vi.* 29. [μη ψαυετο της γυναικος ὁ ανηρ. *Philo de Leg. p.* 781.]

2 Δια δε τας πορνειας ἑκαστος την ἑαυτου γυναικα εχετω, και ἑκαστη τον ιδιον ανδρα εχετω.

ἑκαστος πατερα αυτου και μητερα αυτου φοβεισθω. *Lev. xix.* 3. ου δια πορνειαν εγω λαμβανω την αδελφην μου ταυτην. *Tob. viii.* 7. και προς την ιδιαν γυναικα κολλαται. 1 *Esd. iv.* 20. ανηρ, *maritus. Jer. iii.* 1. *Ose. ii.* 7. *Sir. iv.* 10.

3 Τῃ γυναικι ὁ ανηρ την οφειλομενην ευνοιαν αποδιδοτω· ὁμοιως δε και ἡ γυνη τῳ ανδρι.

Conf. 1 *Pet. iii.* 7. *Gen. i.* 28. *Prov. v.* 18, 19. *xviii.* 22. *xix.* 14. τα δεοντα, και τον ἱματισμον, και την ὁμιλιαν αυτης ουκ αποστερησει. *Exod. xxi.* 10. *Ps. cxxvii.* 3. *Mal. ii.* 14, 15.

4 Ἡ γυνη του ιδιου σωματος ουκ εξουσιαζει, αλλ᾽ ὁ ανηρ·

ὁμοιως δε και ὁ ανηρ του ιδιου σωματος ουκ εξουσιαζει, αλλ' ἡ γυνη.

και επι τα σωματα ἡμων εξουσιαζουσι. *Neh. ix.* 37. *Sir. xlvii.* 15. το ιδιον σωμα. *Gen. xlvii.* 18. και ειπα προς αυτην, ἡμερας πολλας καθηση επ' εμοι, κ. τ. λ. *Ose. iii.* 3. *Matt. xix.* 9.

5 *Μη αποστερειτε αλληλους, ει μη τι αν εκ συμφωνου προς καιρον, ἱνα σχολαζητε τῃ νηστειᾳ και τῃ προσευχῃ, και παλιν επι το αυτο συνερχησθε, ἱνα μη πειραζῃ ὑμας ὁ Σατανας δια την ακρασιαν ὑμων.*

σχολασατε και γνωτε, ὁτι εγω ειμι ὁ Θεος. *Ps. xlv.* 10. τρεις ἡμερας μη προσελθητε γυναικι. *Exod. xix.* 15. συνερχησθε. *Sap. vii.* 2. *Matt. i.* 18. *Jos. ix.* 2. *alii.* εν τῳ καταρασθαι ασεβη τον Σαταναν. *Sir. xxi.* 29. προς καιρον. *Sap. iv.* 4. *Conf. Joel. ii.* 16. [καιρος γαρ συνουσιας γυναικος αυτου, και καιρος εγκρατειας εις προσευχην αυτου. *Test. XII Patr. p.* 673.] σχολασατε μοι. *Job. vi.* 28. *Sym.* [ἑορταις και τρυφαις σχολαζοντες αει. *Philo de Vit. Mos. tom. ii. p.* 167. την των αφροδισιων ακρασιαν. *Jos. Ant. viii.* 7. 5.] *Conf. Matt. xix.* 11. 1 *Thess. iii.* 5.

6 *Τουτο δε λεγω κατα συγγνωμην, ου κατ' επιταγην.*

συγγνωμην εχε. *Sir. iii.* 13. κατα την επιταγην του βασιλεως. 1 *Esd. i.* 18. *Conf.* 2 *Cor. viii.* 8. *ix.* 17.

7 *Θελω γαρ παντας ανθρωπους ειναι ὡς και εμαυτον· αλλ' ἑκαστος ιδιον χαρισμα εχει εκ Θεου, ὁς μεν οὑτως, ὁς δε οὑτως.*

ου γαρ παντα πασι συμφερει, και ου πασα ψυχη εν παντι ευδοκει. *Sir. xxxvii.* 28. ὁς μεν—ὁς δε. *Conf. Sturz. p.* 205.

8 *Λεγω δε τοις αγαμοις και ταις χηραις, καλον αυτοις εστιν εαν μεινωσιν ὡς καγω.*

9 *Ει δε ουκ εγκρατευονται, γαμησατωσαν· κρεισσον γαρ εστι γαμησαι η πυρουσθαι.*

εγκρατεια ψυχης. *Sir. xviii.* 30-33. *xxvi.* 15. ἁπαντες εις το μοιχευειν εκπυρουμενοι. *Ose. vii.* 4. *B. in marg. Conf. Sir. xxiii.* 16. κρεισσον γαρ αυτην εμπορευεσθαι η χρυσιου—θησαυρους. *Prov. iii.* 14.

10 *Τοις δε γεγαμηκοσι παραγγελλω, ουκ εγω, αλλ' ὁ Κυριος, γυναικα απο ανδρος μη χωρισθηναι·*

παρεκαλεσεν αυτον γημαι και παιδοποιησασθαι. 2 *Mac. xiv.* 25. και εχωρισθησαν οἱ υἱοι Ισραηλ απο παντος υἱου. *Neh. ix.* 2. *Jud. iv.* 11. *Conf. Jer. iii.* 20. *Matt. v.* 32. = ου καθ' ἡμων (μονον) αλλ'

η κατα του Θεου. Exod. xvi. 8. σκολιοι γαρ λογισμοι χωριζουσιν απο Θεου. Sap. i. 3. Exod. xiv. 12. Conf. 1 Tim. v. 14.

11 Εαν δε και χωρισθη, μενετω αγαμος, η τῳ ανδρι καταλλαγητω· και ανδρα γυναικα μη αφιεναι.

του διαλλαξαι αυτην αυτῳ και απαγαγειν αυτην αυτῳ. Jud. xix. 3. ει δε και. Job. xxxi. 13. και καταλλαγειη ὑμιν. 2 Mac. i. 5. vii. 33. Conf. Deut. xxii. 19. Esa. l. 1.

12 Τοις δε λοιποις εγω λεγω, ουχ ὁ Κυριος, ει τις αδελφος γυναικα εχει απιστον, και αυτη συνευδοκει οικειν μετ᾽ αυτου, μη αφιετω αυτην·

Conf. 2 Cor. xi. 17. μη συνευδοκουντας τῃ—μεταθεσει. 2 Mac. xi. 24. και ἡμεις συνευδοκουμεν. 35. εγω και ἡ γυνη αὑτη ῳκουμεν εν οικῳ ἑνι. 3 Reg. iii. 17. μη αφιετω. = 1 Reg. xvii. 32. Conf. Esd. ix. 2. x. 2, 3, 11-19. Matt. xix. 6. Ephes. v. 31.

13 Και γυνη, ἡτις εχει ανδρα απιστον, και αυτος συνευδοκει οικειν μετ᾽ αυτης, μη αφιετω αυτον.

και γυναικα νεοτητος σου μη εγκαταλιπῃς. Mal. ii. 15. και εγκρατης γενομενος μη αφῃς αυτην. Sir. vi. 27. φυτευμα απιστον, και σπερμα απιστον. Esa. xvii. 10.

14 Ἡγιασται γαρ ὁ ανηρ ὁ απιστος εν τῃ γυναικι, και ἡγιασται ἡ γυνη ἡ απιστος εν τῳ ανδρι· επει αρα τα τεκνα ὑμων ακαθαρτα εστι, νυν δε ἁγια εστιν.

ὁτι παν κτισμα Θεου καλον, και ουδεν αποβλητον—ἁγιαζεται γαρ δια λογου Θεου. 1 Tim. iv. 4, 5. εν τῃ γυναικι (uxoris gratiâ). εδουλευσεν Ισραηλ εν γυναικι, και εν γυναικι εφυλαξατο. Ose. xii. 12. Alex. Bos. Ald. Conf. Esa. xxxv. 8, 9. lii. 1. δουλοι Θεου καθαροι. Neh. ii. 20. Conf. Jos. v. 4. [κολλασθε τοις ἁγιοις, ὁτι οἱ κολλωμενοι αυτοις ἁγιασθησονται, κ. τ. λ. Clem. Rom. Epist. 1. 46.]

15 Ει δε ὁ απιστος χωριζεται, χωριζεσθω. ου δεδουλωται ὁ αδελφος η ἡ αδελφη εν τοις τοιουτοις· εν δε ειρηνῃ κεκληκεν ἡμας ὁ Θεος.

και ποιησω και ειρηνην και πιστιν. Jer. xl. 6. Sap. iii. 3. ὁ απειθων απειθετω. Ezech. iii. 27.

16 Τι γαρ οιδας, γυναι, ει τον ανδρα σωσεις; η τι οιδας, ανερ, ει την γυναικα σωσεις;

Conf. 1 Pet. iii. 1. Gen. ii. 18. σωσεις. Conf. Prov. xi. 31.

17 Ει μη ἑκαστῳ ὡς εμερισεν ὁ Θεος, ἑκαστον ὡς κεκληκεν ὁ Κυριος, οὑτω περιπατειτω· και οὑτως εν ταις εκκλησιαις πασαις διατασσομαι.

απαρχας πρωτογεννηματων εμερισεν αυτοις. Sir. xlv. 20. και εκαλεσε Κυριος Κυριος σαβαωθ. Esa. xxii. 12. xli. 4. Sap. xi. 26. ει μη = αλλα. Hoogev. p. 248. [ει μη ἑκαστῳ, αντι του, αλλα ἑκαστος. Theophyl.] Conf. Gen. xviii. 21. xlii. 16. Job. ix. 24.

18 Περιτετμημενος τις εκληθη; μη επισπασθω· εν ακροβυστιᾳ τις εκληθη; μη περιτεμνεσθω.

περιτμηθησεται ὑμων παν αρσενικον. Gen. xvii. 10. και εποιησαν ἑαυτοις ακροβυστιας. 1 Mac. i. 15. [Conf. Jos. Ant. xii. 5. 1.] ὁς εχει ακροβυστιαν. Gen. xxxiv. 14. Conf. Gal. v. 2. Act. xv. i. 19. [επισπασθω· μη ἑλκυετω το δερμα. Hesych.] και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. Joel. ii. 32. Conf. Jer. ix. 25.

19 Ἡ περιτομη ουδεν εστι, και ἡ ακροβυστια ουδεν εστιν, αλλα τηρησις εντολων Θεου.

περιτομη περιτμηθησεται ὁ οικογενης. Gen. xvii. 13. παντα τα εθνη ὡς ουδεν εισι. Esa. xl. 17. αγαπη δε τηρησις νομων αυτης. Sap. vi. 18. [και χωρις της περιτομης το θειον σεβειν, ειγε παντως κεκρικε ζηλουν τα πατρια των Ιουδαιων—τουτο ειναι κυριωτερον του περιτεμνεσθαι. Jos. Ant. xx. 2. 5.] Sir. xxxv. 23.

20 Ἑκαστος εν τῃ κλησει ᾑ εκληθη, εν ταυτῃ μενετω.

21 Δουλος εκληθης; μη σοι μελετω· αλλ' ει και δυνασαι ελευθερος γενεσθαι, μαλλον χρησαι.

ου μελει μοι, τεκνον, ὁτι αφηκα σε. Tob. x. 5. ελευθερος, manumissus. Exod. xxi. 2. Conf. Gal. iii. 28. χρησαι. Sap. ii. 6.

22 Ὁ γαρ εν Κυριῳ κληθεις δουλος, απελευθερος Κυριου εστιν· ὁμοιως και ὁ ελευθερος κληθεις, δουλος εστι Χριστου.

[Σιβας απελευθερος Σαυλου. Jos. Ant. vii. 11. 2.] Μωυσῃ δουλου Κυριου. Jos. i. 1. MS. Ox. Comp. Ald.

23 Τιμης ηγορασθητε· μη γινεσθε δουλοι ανθρωπων.

Conf. Esa. xlviii. 10. lv. 1. Lev. xxv. 42. μη γινεσθε. Ps. xxxi. 9.

24 Ἑκαστος εν ᾡ εκληθη, αδελφοι, εν τουτῳ μενετω παρα τῳ Θεῳ.

παρα τῳ Κυριῳ. Prov. xv. 11. ει εὑρηκα ελεος παρα σοι. Num. xi. 15. Gen. v. 22-24. εν ᾡ—εν τουτῳ. Conf. Sap. xviii. 8.

25 Περι δε των παρθενων, επιταγην Κυριου ουκ εχω· γνωμην δε διδωμι, ὡς ηλεημενος ὑπο Κυριου πιστος ειναι.

κατα την επιταγην του βασιλεως. 1 *Esd. i.* 18. *ηλεημενος. Ose. i.* 6. *ii.* 1. *ακουσον τεκνον, και δεξον γνωμην μου. Sir. vi.* 23. *τα παιδια, οἱς ηλεησεν ὁ Θεος τον παιδα σου. Gen. xxxiii.* 6. *Conf.* 2 *Cor. ii.* 17. 1 *Thess. iv.* 1. 8.

26 Νομιζω ουν, τουτο καλον ὑπαρχειν δια την ενεστωσαν αναγκην, ὁτι καλον ανθρωπῳ το οὑτως ειναι.

βοηθειν τῃ ενεστωσῃ αναγκῃ. 3 *Mac. i.* 16. 2 *Mac. vi.* 9. *νομιζω. Ps. xlix.* 21. *Sym. εκ των αναγκων αυτων ερρυσατο αυτους. Ps. cvi.* 6. *xxx.* 7. *ὑπαρχειν. Prov. xvii.* 17. *Sir. xx.* 16. *τρεμοντες δια τον ενεστωτα χειμωνα.* 1 *Esd. ix.* 6. *Conf. Jer. xvi.* 2-4. *Job. xv.* 24. *Ps. cxviii.* 143. *Matt. xxiv.* 19.

27 Δεδεσαι γυναικι; μη ζητει λυσιν· λελυσαι απο γυναικος; μη ζητει γυναικα.

Κυριος λυει πεπεδημενους. *Ps. cxlv.* 7.

28 Εαν δε και γημῃς, ουχ ἡμαρτες· και εαν γημῃ ἡ παρθενος, ουχ ἡμαρτε· θλιψιν δε τῃ σαρκι ἑξουσιν οἱ τοιουτοι· εγω δε ὑμων φειδομαι.

και εφεισαμην εγω σου του μη ἁμαρτειν σε. Gen. xx. 6. *Ald. Conf. Act. xx.* 29. *ει δε και. Job. xxxi.* 13. *Conf. Heb. xiii.* 4.

29 Τουτο δε φημι, αδελφοι, ὁ καιρος συνεσταλμενος το λοιπον εστιν, ἱνα και οἱ εχοντες γυναικας ὡς μη εχοντες ωσι·

συνεστελλετο ἡ καρδια μου. Ps. lxxii. 21. *Sym. και χρονος στενος εστι. Jer. xxxvii.* 7. *χειρ—εν τῳ αποδιδοναι συνεσταλμενη. Sir. iv.* 31. *μη συστελλεσθαι δια τας συμφορας.* 2 *Mac. vi.* 12. *Conf. Rom. xiii.* 11. 1 *Pet. iv.* 7. 2 *Pet. iii.* 9. *Apoc. xii.* 12. *xxii.* 20. *μνησθητι ὁτι θανατος ου χρονιει, και διαθηκη ᾁδου ουχ ὑπεδειχθη σοι. κ. τ. λ. Sir. xiv.* 12-18. *βροτος γαρ γεννητος γυναικος ολιγοβιος, και πληρης οργης, κ. τ. λ. Job. xiv.* 1, 2. *Ps. xxxviii.* 4-7. *Esa. xxiv.* 1, 2. *xl.* 6-8. *ουδε εμνησθης τα εσχατα. xlvii.* 7. *εν πασι τοις λογοις σου μιμνησκου τα εσχατα σου, και εις τον αιωνα ουχ ἁμαρτησεις. Sir. vii.* 36. *Conf. Eccles. ix.* 10. *xii.* 5-8.

30 Και οἱ κλαιοντες, ὡς μη κλαιοντες· και οἱ χαιροντες, ὡς μη χαιροντες· και οἱ αγοραζοντες, ὡς μη κατεχοντες·

ἡκει ὁ καιρος, ιδου ἡ ἡμερα. ὁ κτωμενος μη χαιρετω, και ὁ πωλων μη θρηνειτω. Ezech. vii. 12. *Conf. Job. xxvii.* 17. *χαρητε ἁμα αυτῃ χαρᾳ παντες. Esa. lxvi.* 10.

31 Και οἱ χρωμενοι τῳ κοσμῳ τουτῳ, ὡς μη καταχρωμενοι. παραγει γαρ το σχημα του κοσμου τουτου.

αἱ ἡμεραι αυτου ὡσει σκια παραγουσι. *Ps. cxliii.* 4. [σχημα της δουλειας. *Jos. Ant. iii.* 4. 2.] και χρησωμεθα τῃ κτισει. *Sap. ii.* 6. καταχρωνται. *Epist. Jer.* 28. κοσμος παραγεται. 1 *Joan. ii.* 17. *Eccles. ii.* 24. *Jac. i.* 10. 1 *Pet. i.* 24. [αλλοτριον τουτο, Μη επιθυμει· ιδιον τουτο, χρω, μη παραχρωμενος· περιουσιαζεις, μεταδιδου. *Philo de Jos. p.* 546. χρωμασι και σχημασι. *p.* 246.] *Conf. Rom. vii.* 7. *xiii.* 9. εν εικονι διαπορευεται ανθρωπος. *Ps. xxxviii.* 6. αγαθα τοις αγαθοις εκτισται απ' αρχης, οὑτως τοις ἁμαρτωλοις κακα, κ. τ. λ. *Sir. xxxix.* 25-27.

32 Θελω δε ὑμας αμεριμνους ειναι. ὁ αγαμος μεριμνᾳ τα του Κυριου, πως αρεσει τῳ Κυριῳ·

βεβαιον, ασφαλες, αμεριμνον. *Sap. vii.* 23. φρονειν τα ἡμων. 1 *Mac. x.* 20. και αρεσει τῳ Θεῳ. *Ps. lxviii.* 31. ἱνα σου την αγαθοτητα μεριμνωμεν. *Sap. xii.* 22. *Conf.* 1 *Tim. v.* 5. επιρριψον επι Κυριον την μεριμναν σου, και αυτος σε διαθρεψει, κ. τ. λ. *Ps. liv.* 22.

33 Ὁ δε γαμησας μεριμνᾳ τα του κοσμου, πως αρεσει τῃ γυναικι.

ἡ γυνη ἡ αν αρεσῃ τῳ βασιλει. *Est. ii.* 4. *Conf. Neh. v.* 1-8. 1 *Reg. i.* 4. επικειται ἡμιν τα της βασιλειας. 1 *Mac. vi.* 57. εγαμησεν, ευσταθησεν, εκοινωνησε βιου. 2 *Mac. xiv.* 25.

34 Μεμερισται ἡ γυνη και ἡ παρθενος· ἡ αγαμος μεριμνᾳ τα του Κυριου, ἱνα ᾐ ἁγια και σωματι και πνευματι· ἡ δε γαμησασα μεριμνᾳ τα του κοσμου, πως αρεσει τῳ ανδρι.

Conf. Luc. ii. 37. *x.* 40. *Rom. vi.* 13. *xii.* 1.

35 Τουτο δε προς το ὑμων αυτων συμφερον λεγω· ουχ ἱνα βροχον ὑμιν επιβαλω, αλλα προς το ευσχημον και ευπροσεδρον τῳ Κυριῳ απερισπαστως.

το δε συμφερον κοινῃ—παντι τῳ πληθει σκοπων. 2 *Mac. iv.* 5. ἱνα σωζῃ ὡσπερ δορκας εκ βροχων. *Prov. vi.* 5. *xxii.* 25. *vii.* 21. ευσχημον. *Prov. xi.* 25. *Sir. xxvi.* 33. *Comp.* παρεδρον. *Sap. vi.* 14. *ix.* 4. περισπασθαι. *Eccles. i.* 13. *v.* 19. *Sir. xli.* 2. *Luc. viii.* 14. *Matt. vi.* 31. [ευπαρεδρον· καλως παραμενον. *Hesych.* διηνεκως. *Suid.*]

36 Ει δε τις ασχημονειν επι την παρθενον αὑτου νομιζει, εαν ᾐ ὑπερακμος, και οὑτως οφειλει γινεσθαι, ὁ θελει ποιειτω, ουχ ἁμαρτανει· γαμειτωσαν.

ασχημονησει ὁ αδελφος σου εναντιον σου. Deut. xxv. 3. Ezech. xvi. 7. εν νεοτητι αυτης μηποτε παρακμαση. Sir. xlii. 9.

37 Ὁς δε ἑστηκεν ἑδραιος εν τῃ καρδιᾳ, μη εχων αναγκην, εξουσιαν δε εχει περι του ιδιου θεληματος, και τουτο κεκρικεν εν τῃ καρδιᾳ αὑτου, του τηρειν την ἑαυτου παρθενον, καλως ποιει.

ἑδραια ἡ καρδια μου. Ps. lvi. 8. Sym. σχοιη δε αυτον αναγκη. Job. xviii. 14. και εθετο εν τῃ καρδιᾳ αυτου. Dan. i. 8. Ald. καλως ποιει. Jer. iv. 22. παρθενος. Gen. xxiv. 16.

38 Ὡστε και ὁ εκγαμιζων, καλως ποιει· ὁ δε μη εκγαμιζων, κρεισσον ποιει.

Conf. Sir. vii. 25. Heb. xiii. 4. ὡστε. Sap. vi. 25.

39 Γυνη δεδεται νομῳ εφ᾽ ὁσον χρονον ζῃ ὁ ανηρ αυτης· εαν δε κοιμηθῃ ὁ ανηρ αυτης, ελευθερα εστιν ᾧ θελει γαμηθηναι, μονον εν Κυριῳ.

ὁσον χρονον εζη. Jos. iv. 14. ὁ ανηρ. Sir. iv. 10. εξαποστελεις αυτην ελευθεραν. Deut. xxi. 14. Conf. Rom. vii. 1, 2. 2 Cor. vi. 14. Gen. vi. 2. xxiv. 3. xxvi. 34. xxvii. 46. Deut. vii. 3. Mal. ii. 11.

40 Μακαριωτερα δε εστιν, εαν οὑτω μεινῃ, κατα την εμην γνωμην· δοκω δε καγω Πνευμα Θεου εχειν.

κατα γνωμην. 2 Mac. ix. 20. xiv. 20. εμοι δε δῳη ὁ Θεος ειπειν κατα γνωμην. Sap. vii. 15. ὁς πνευμα Θεου ἁγιον εν ἑαυτῳ εχει. Dan. iv. 5. επιγνωμεν ὁποιας εστε γνωμης. 2 Mac. xi. 37. Conf. 1 Thess. iv. 8. τουτο το ῥημα ὁ συνεταξε Κυριος ταις θυγατρασι Σαλπααδ, λεγων, Οὑ αρεσκῃ εναντιον αυτων εστωσαν γυναικες, πλην εκ του δημου του πατρος αυτων εστωσαν γυναικες. Num. xxxvi. 6. Conf. 2 Reg. vii. 3.

ΚΕΦ. η. 8.

ΠΕΡΙ δε των ειδωλοθυτων, οιδαμεν ὁτι παντες γνωσιν εχομεν· ἡ γνωσις φυσιοι, ἡ δε αγαπη οικοδομει·

μοχθος αυτου εν σοφιᾳ και εν γνωσει. Eccles. ii. 21. ὁτι κραταια ὡς θανατος αγαπη. Cant. viii. 6, 7. αγαπη δε τηρησις νομων αυτης. Sap. vi. 18. φυσιοι. Conf. cap. iv. 6. καθελεις αυτους, και ου μη οικοδομησεις αυτους. Ps. xxvii. 5. ειδωλοθυτον. 4 Mac. 5. 1. και εκαλεσαν αυτους εις τας θυσιας των ειδωλων αυτων, και εφαγεν ὁ λαος των θυσιων αυτων, κ. τ. λ. Num. xxv. 2. ουαι οἱ συνετοι εν ἑαυτοις, και ενωπιον αυτων επιστημονες. Esa. v. 21.

2 Ει δε τις δοκει ειδεναι τι, ουδεπω ουδεν εγνωκε καθως δει γνωναι·

Conf. Gal. vi. 3. 1 Tim. vi. 4. ειδον ανδρα δοξαντα παρ' αυτῳ σοφον ειναι, ελπιδα μεντοι εσχε μαλλον αφρων αυτου. *Prov. xxvi. 12. xxx. 2. 4.*

3 Ει δε τις αγαπᾳ τον Θεον, οὑτος εγνωσται ὑπ' αυτου·

και αγαπησεις Κυριον τον Θεον σου. *Deut. vi. 5. et pass.* ὁτι και παρα Θεῳ γινωσκεται και παρα ανθρωποις. *Sap. iv. 1.* γινωσκει Κυριος ὁδον δικαιων. *Ps. i. 6. Conf. 1 Joan. iv. 7.* εγω τους εμε φιλουντας αγαπω. *Prov. viii. 17.* και επειδεν ὁ Θεος τους υἱους Ισραηλ, και εγνωσθη αυτοις. *Exod. ii. 25. Nah. i. 7.*

4 Περι της βρωσεως ουν των ειδωλοθυτων, οιδαμεν ὁτι ουδεν ειδωλον εν κοσμῳ, και ὁτι ουδεις Θεος ἑτερος ει μη εἱς.

ὁτι παντες οἱ θεοι των εθνων ειδωλα, και ὁ Θεος ἡμων ουρανους εποιησε. *1 Par. xvi. 26.* ουχι Θεος εἱς εκτισεν ὑμας; *Mal. ii. 10.* [οἱ δ' Ισραηλιται, τουτο ιδοντες, επεσον επι την γην, και προσεκυνουν ἑνα Θεον, και μεγιστον και αληθη μονον αποκαλουντες· τους δ' αλλους ονοματα ὑπο φαυλου και ανοητου δοξης πεποιημενα. *Jos. Ant. viii. 13. 6.*] ουκ εσονται σοι θεοι ἑτεροι πλην εμου. *Deut. v. 7. Alex. O. Comp.* Κυριος ὁ Θεος ἡμων Κυριος εἱς εστι. *vi. 4.* τοις μη ουσι. *Est. Addit. xiv. 11.* και μη παραβητε οπισω των μηθεν οντων—ὁτι ουθεν εισι. *1 Reg. xii. 21.* συστασις κοσμου. *Sap. vii. 17. xi. 17. Conf. Marc. xii. 29. Rom. xiv. 14. Cap. x. 19. Ephes. iv. 6. 1 Tim. ii. 5. Jer. x. 9.* τοις εθνεσι πασι τοις τε βασιλευσι φανερον εσται ὁτι ουκ εισι θεοι, αλλα εργα χειρων ανθρωπων, και ουδεν Θεου εργον εν αυτοις εστι. *Epist. Jer. 51. Draco. 5.* ει μη εἱς, *i. e.* αλλ' εἱς. *Conf. Hoogev. p. 247. Esa. xxxvii. 16. 20. xliv. 6. 8. xlv. 6. 14.*

5 Και γαρ ειπερ εισι λεγομενοι θεοι, ειτε εν ουρανῳ, ειτε επι της γης· (ὡσπερ εισι θεοι πολλοι, και κυριοι πολλοι·)

επι παντα λεγομενον θεον. *2 Thess. ii. 4.* και γαρ. *Ps. cxxxviii. 10.* εγω ειπα, θεοι εστε. *Ps. lxxxi. 6. Conf. Joan. x. 34. Ps. xcv. 4. 5. Jer. ii. 11. Dan. v. 4. Deut. iii. 24. x. 17. 1 Tim. vi. 15.* [οἱ δε λεγομενοι δεσποται δοξῃ μονον ου προς αληθειαν νομιζονται—εἱς ὁ Θεος—κ. τ. λ. *Philo. de Cher. p. 122. apud Loesner. p. 282, 283.*] οὑτος Θεος των θεων, και Κυριος των κυριων. *Deut. x. 17. Conf. Esa. xxvi. 13.*

6 Αλλ' ἡμιν εἱς Θεος ὁ πατηρ, εξ οὑ τα παντα, και ἡμεις εις αυτον· και εἱς Κυριος Ιησους Χριστος, δι' οὑ τα παντα, και ἡμεις δι' αυτου.

[Αδωνι τη Ἑβραιων γλωττη Κυριος λεγεται. *Jos. Ant. v.* 2. 2. *Conf. Ottium. ad loc.*] εις αυτον, *per illum. Ita*, εις ακοην ωτιου. *Ps. xviii.* 44. [*pro* εις ὁν, *et* δι' οὑ. *Viger. p.* 138.] συ δε αυτος ει. *Ps. ci.* 27. *Job. ix.* 13. *Sir. xv.* 12.

7 Αλλ' ουκ εν πασιν ἡ γνωσις· τινες δε τη συνειδησει του ειδωλου ἑως αρτι ὡς ειδωλοθυτον εσθιουσι, και ἡ συνειδησις αυτων ασθενης ουσα μολυνεται.

ἡ πονηρια—συνερχομενη τη συνειδησει. *Sap. xvii.* 11. μολυνει την ἑαυτου ψυχην. *Sir. xxi.* 28. *Conf. Rom. xiv.* 14. *Cap. x.* 28. παντες οἱ εσθιοντες αυτα μιανθησονται, κ. τ. λ. *Ose. ix.* 4.

8 Βρωμα δε ἡμας ου παριστησι τῳ Θεῳ· ουτε γαρ εαν φαγωμεν, περισσευομεν· ουτε εαν μη φαγωμεν, ὑστερουμεθα.

παν ὁ εαν περισσευσῃ σοι, ποιει ελεημοσυνην. *Tob. iv.* 16. ὑστερων ισχυϊ, και πτωχειᾳ περισσευει. *Sir. xi.* 12. εσταθη εν ζυγῳ, και εὑρεθη ὑστερουσα. *Dan. v.* 27. 1 *Mac. iii.* 30. *Conf. Rom. xiv.* 17. και ετελεσθησαν τῳ Βεελφεγωρ, και εφαγον θυσιας νεκρων. *Ps. cv.* 28. [εξιοντι δε Μαριαμμη παραστησαμενη τον Σοεμον. *Jos. Ant. xv.* 7. 3.] *Conf. Col. ii.* 23. *Heb. xiii.* 9.

9 Βλεπετε δε μηπως ἡ εξουσια ὑμων αὑτη προσκομμα γενηται τοις ασθενουσιν·

προσεχε σεαυτῳ—μηποτε σοι γενηται προσκομμα εν ὑμιν. *Exod. xxxiv.* 12. *Alex. Conf. Matt. v.* 29. *Gal. v.* 13.

10 Εαν γαρ τις ιδῃ σε, τον εχοντα γνωσιν, εν ειδωλειῳ κατακειμενον, ουχι ἡ συνειδησις αυτου ασθενους οντος οικοδομηθησεται εις το τα ειδωλοθυτα εσθιειν;

και εισηλθον εις Βηθδαγων το ειδωλειον αυτων του σωθηναι. 1 *Mac. x.* 83. οικοδομηθησεται. *Ps. lxxxviii.* 2. *Conf. Jer. xxii.* 13. *Amos. ii.* 8. = Ασταρτειον. 1 *Reg. xxxi.* 10. και κρεων ὑειων και ειδωλοθυτων αναγκαζειν απογευεσθαι. 4 *Mac.* 5. *Conf.* 3 *Mac. iv.* 16. το κωνωπειον εν ᾡ κατεκειτο εν ταις μεθαις. *Judith. xiii.* 15. ειδωλειον. *Dan. i.* 7. *LXX.*

11 Και απολειται ὁ ασθενων αδελφος επι τῃ σῃ γνωσει, δι' ὁν Χριστος απεθανεν.

απολειται (*miser redditur*)—βασιλευς απαιδευτος απολει τον λαον αυτου. *Sir. x.* 3. *Sap. i.* 11. *Kuinoel.* δια γαρ αυτον σοι κεχαρισται το ζῃν. 2 *Mac. iii.* 33. και ἑνεκεν κλασματων αρτων του αποκτειναι ψυχας ἁς ουκ εδει αποθανειν. *Ezech. xiii.* 19. αυτος δε ετραυματισθη δια τας ἁμαρτιας ἡμων, κ. τ. λ. *Esa. liii.*

5. επι τῃ σῃ γνωσει, *per tuam* γνωσιν. = 2 *Mac. ii.* 8. επι Μωσῃ, *per Mosen. Bretschn. Conf. Rom. xiv.* 15. 20.

12 Οὑτω δε ἁμαρτανοντες εις τους αδελφους, και τυπτοντες αυτων την συνειδησιν ασθενουσαν, εις Χριστον ἁμαρτανετε.

ἡμαρτομεν εις σε. *Gen. xx.* 9. *xliii.* 9. *xliv.* 32. ἱνατι τυπτει σε ἡ καρδια σου; 1 *Reg. i.* 8. οὑτοι δε τυπτουσιν εις ταμιεια σπλαγχνων. *Prov. xxvi.* 2. σοι μονῳ ἡμαρτον, κ.τ.λ. *Ps. l.* 4. *Rom. xiv.* 18. 1 *Reg. ii.* 25. *Exod. xvi.* 8. συνειδησις. *Sap. xvii.* 11.

13 Διοπερ ει βρωμα σκανδαλιζει τον αδελφον μου, ου μη φαγω κρεα εις τον αιωνα, ἱνα μη τον αδελφον μου σκανδαλισω.

παρθενον μη καταμανθανε, μηποτε σκανδαλισθῃς. *Sir. ix.* 5. κατα του υἱου της μητρος σου ετιθεις σκανδαλον; *Ps. xlix.* 20. ου μη σαλευθω εις τον αιωνα. *xxix.* 6. ου φαγομαι εξ αυτων, ἱνα μη γενηται σκανδαλον. *Judith. xii.* 2. *Conf.* 2 *Cor. xi.* 29. και προνοου καλα ενωπιον Κυριου και ανθρωπων. *Prov. iii.* 4. απεναντι τυφλου ου προσθησεις σκανδαλον. *Lev. xix.* 14.

ΚΕΦ. θ. 9.

ΟΥΚ ειμι αποστολος; ουκ ειμι ελευθερος; ουχι Ιησουν Χριστον τον Κυριον ἡμων ἑωρακα; ου το εργον μου ὑμεις εστε εν Κυριῳ;

ελευθερος, *qui sui est juris.*—*Eccles. x.* 17. ὁ βασιλευς σου, υἱος ελευθερων, *pro* ελευθεριας, *rex sui compos. Conf.* 1 *Mac. ii.* 11. *Bretschn.* [εμον εστι του Μακρωνος εργον Γαϊος. *Philo. Leg. ad Cai. p.* 1000.] *Ps. lxvii.* 27. *Ald. Comp.*

2 Ει αλλοις ουκ ειμι αποστολος, αλλα γε ὑμιν ειμι· ἡ γαρ σφραγις της εμης αποστολης ὑμεις εστε εν Κυριῳ·

θες με, ὡς σφραγιδα επι την καρδιαν σου, ὡς σφραγιδα επι τον βραχιονα σου. *Cant. viii.* 6. *Conf.* 2 *Cor. iii.* 2. πιστη θανατου σφραγις. 4 *Mac.* 7. *Conf. Rom. iv.* 11.

3 Ἡ εμη απολογια τοις εμε ανακρινουσιν αὑτη εστι.

οἱ διδαχθεντες αυτα εὑρουσιν απολογιαν. *Sap. vi.* 10. αυτη. = *Ps. xxvi.* 4. [ανακρινω· το πραχθεν εξεταζω, ει καλως η κακως επραχθη. *Phav.*]

4 Μη ουκ εχομεν εξουσιαν φαγειν και πιειν;

Conf. cap. ix. 14. 1 *Thess. ii.* 7. 2 *Thess. iii.* 9. *Luc. x.* 7. ου φαγονται, και ου πιονται. *Jer. xxii.* 15. εξουσια. 1 *Mac. x.* 6.

5 Μη ουκ εχομεν εξουσιαν αδελφην γυναικα περιαγειν, ὡς και οἱ λοιποι αποστολοι, και οἱ αδελφοι του Κυριου, και Κηφας;

αδελφη μου νυμφη. Cant. iv. 9, 10, 11, 12. περιαγειν. Amos. ii. 10. ου δια πορνειαν εγω λαμβανω την αδελφην μου ταυτην. Tob. viii. 7. v. 20. Conf. Matt. viii. 14. Marc. vi. 3. Gal. i. 19. 1 Tim. iv. 3.

6 Η μονος εγω και Βαρναβας ουκ εχομεν εξουσιαν του μη εργαζεσθαι;

και εγευσατο ὁτι καλον εστι το εργαζεσθαι. Prov. xxxi. 18. Conf. Act. iv. 36. xi. 22. xiii. 1.

7 Τις στρατευεται ιδιοις οψωνιοις ποτε; τις φυτευει αμπελωνα, και εκ του καρπου αυτου ουκ εσθιει; η τις ποιμαινει ποιμνην, και εκ του γαλακτος της ποιμνης ουκ εσθιει;

και εδωκεν αυτοις οψωνια. 1 Mac. xiv. 32. και τις ανθρωπος ὁστις εφυτευσεν αμπελωνα, και ουκ ευφρανθη εξ αυτου. Deut. xx. 6. [Laudat Philo de Agric. p. 162. Edit. Col.] ὁς φυτευει συκην φαγεται τους καρπους αυτης. Prov. xxvii. 18. ημεν παρ' αυτοις ποιμαινοντες το ποιμνιον. 1 Reg. xxv. 16. Conf. 4 Reg. iv. 42. Esa. vii. 22. Joan. xxi. 15. Cap. iii. 6-8.

8 Μη κατα ανθρωπον ταυτα λαλω; η ουχι και ὁ νομος ταυτα λεγει;

Conf. Mal. iii. 7, 8. Esa. viii. 20. κατα ανθρωπον. Rom. iii. 5.

9 Εν γαρ τῳ Μωσεως νομῳ γεγραπται, Ου φιμωσεις βουν αλοωντα. Μη των βοων μελει τῳ Θεῳ;

ου φιμωσεις κ.τ.λ. Deut. xxv. 4. τι γαρ μελει τῳ Κυριου; Job. xxii. 3. Conf. 1 Tim. v. 18. Sir. vii. 22. [βοων—αποδειν τα στοματα επι της ἁλωος. Jos. Ant. iv. 8. 21. apud Krebs. p. 293.] Jon. iii. 11. δικαιος οικτειρει ψυχας κτηνων αυτου. Prov. xii. 10. [βουν αλοωντα μη φιμουν. Philo de Caritat. p. 711. Conf. Loesner.] γεγραπται εν τῳ νομῳ Μωυση. Dan. ix. 13. CITAT. 195.

10 Η δι' ἡμας παντως λεγει; δι' ἡμας γαρ εγραφη, ὁτι επ' ελπιδι οφειλει ὁ αροτριων αροτριαν, και ὁ αλοων της ελπιδος αὑτου μετεχειν επ' ελπιδι.

ὡς γαρ αν καταβη ὁ ὑετος η χιων εκ του ουρανου—οὑτως εσται το ῥημα μου, κ. τ. λ. Esa. lv. 10, 11. με μετεχειν των ἁγιων αυτους. 1 Esd. v. 40. Alex. επ' ελπιδι. Jud. xviii. 7. Ps. xv. 9. Conf. 2 Tim. ii. 6. [ου των θυομενων, αλλα των θυοντων. Philo de Sacrific. sub init.] και διδοντι τοις κτηνεσι τροφην αυτων, και τοις νεοσσοις των κορακων τοις επικαλουμενοις αυτον. Ps. cxlvi. 9. μη ὁλην την

ἡμεραν αροτριασει ὁ αροτριων; η σπορον προετοιμασει, πριν εργασασθαι την γην, κ. τ. λ. Esa. xxviii. 24, 25. ὡς ὁ αροτριων και ὁ σπειρων προσελθε αυτῃ, και αναμενε τους αγαθους καρπους αυτης. Sir. vi. 9. Conf. Mal. iii. 8, 9.

11 Ει ἡμεις ὑμιν τα πνευματικα εσπειραμεν, μεγα ει ἡμεις ὑμων τα σαρκικα θερισομεν;

μεγαν λογον ελαλησε. 4 Reg. v. 13. μεγα σοι εστι του κληθηναι σε παιδα μου; Esa. xlix. 6. μακαριοι οἱ σπειροντες επι παν ὑδωρ. Eccles. xxxii. 10. Conf. Deut. xiv. 29. οἱ σπειροντες εν δακρυσιν, εν αγαλλιασει θεριουσι. Ps. cxxv. 5. Conf. Rom. xv. 27. Gal. vi. 6.

12 Ει αλλοι της εξουσιας ὑμων μετεχουσιν, ου μαλλον ἡμεις; Αλλ᾽ ουχ εχρησαμεθα τῃ εξουσιᾳ ταυτῃ· αλλα παντα στεγομεν, ἱνα μη εγκοπην τινα δωμεν τῳ ευαγγελιῳ του Χριστου.

στεγομεν. 1 Thess. iii. 1. 5. μη δῳς—γυναικι πονηρᾳ εξουσιαν. Sir. xxv. 25. μη κατεχετε με· και Κυριος ευωδωσε την ὁδον μου εν εμοι, κ. τ. λ. Gen. xxiv. 56. το ευαγγελιον του Θεου. 1 Thess. ii. 2.

13 Ουκ οιδατε ὁτι οἱ τα ἱερα εργαζομενοι, εκ του ἱερου εσθιουσιν, οἱ τῳ θυσιαστηριῳ προσεδρευοντες, τῳ θυσιαστηριῳ συμμεριζονται;

ουκ οιδατε ὁτι, κ. τ. λ. Gen. xliv. 15. ἱερα εργαζομεναι. Conf. 1 Par. vi. 49. ix. 13. xxviii. 13. Lev. vii. 6. οἱ λειτουργουντες θυσιαστηρῳ Κυριου. Joel. i. 9. Deut. xviii. 1. Num. xviii. 8. και προσηδρευεν αυτῳ. 1 Mac. xi. 40. προσεδρια, assiduitas. 3 Mac. iv. 15. [τῃ θεραπειᾳ του Θεου προσεδρευοντας. Jos. Ap. i. 7.] ὁ ἱερευς ὁ αναφερων αυτην, εδεται αυτην. Lev. vi. 26, 36. 1 Reg. ii. 28.

14 Οὑτω και ὁ Κυριος διεταξε τοις το ευαγγελιον καταγγελλουσιν, εκ του ευαγγελιου ζῃν.

Conf. Matt. x. 10. Luc. x. 8. ὡς ὡρα—ποδες ευαγγελιζομενου ακοην ειρηνης. Esa. lii. 7. Nah. i. 15. και διεταξεν αυτοις ὁ βασιλευς κ. τ. λ. Dan. i. 5. Lev. xix. 13. 1 Tim. v. 18. Gal. vi. 6.

15 Εγω δε ουδενι εχρησαμην τουτων. ουκ εγραψα δε ταυτα, ἱνα οὑτω γενηται εν εμοι. καλον γαρ μοι μαλλον αποθανειν, η το καυχημα μου ἱνα τις κενωσῃ.

καλον μοι αποθανειν με, η ζῃν. Jon. iv. 9. κενωσῃ. Rom. iv. 14. ὁτι γινεται εν τῳ ανθρωπῳ. Eccles. ii. 22. και χρησωμεθα τῃ κτισει. Sap. ii. 6. xiii. 18. Conf. 2 Mac. ix. 25-27.

16 Εαν γαρ ευαγγελιζωμαι, ουκ εστι μοι καυχημα· αναγκη γαρ μοι επικειται· ουαι δε μοι εστιν εαν μη ευαγγελιζωμαι.

Κυριος ὁ Θεος ελαλησε, και τις ου προφητευσει; *Amos.* *iii.* 8. *vii.* 15-17. *Jer.* *xxxv.* 8. ουαι εθνος ἁμαρτωλον. *Esa.* *i.* 4. *v.* 8. ουαι καρδιαις δειλαις. *Sir.* *ii.* 12. ουαι αυτοις εστι. *Ose.* *ix.* 12. επικειται ἡμιν τα της βασιλειας. 1 *Mac.* *vi.* 57. *Esa.* *vi.* 5. *Conf.* *Act.* *ix.* 6. *Rom.* *i.* 14. *Gal.* *i.* 1.

17 Ει γαρ ἑκων τουτο πρασσω, μισθον εχω· ει δε ακων, οικονομιαν πεπιστευμαι.

Cap. *iv.* 1. και την οικονομιαν σου δωσω εις τας χειρας. *Esa.* *xxii.* 21. αφαιρεσθησῃ εκ της οικονομιας σου και εκ της στασεως σου. 19. και ειπα, Ου μη ονομασω το ονομα Κυριου, και ου μη λαλησω ετι επι τῳ ονοματι αυτου. και εγενετο ὡς πυρ καιομενον φλεγον εν τοις οστοις μου, κ. τ. λ. *Jer.* *xx.* 9. *Conf.* *Luc.* *x.* 7. *Cap.* *iii.* 8. *Phil.* *i.* 17. *Gal.* *ii.* 7. *Col.* *i.* 25. ει δε ουχ ἑκων, αλλα ὁ Θεος παρεδωκε. *Exod.* *xxi.* 13. *Ald.* τα πεπιστευμενα τοις πεπιστευκοσι. 2 *Mac.* *iii.* 22. και ηκουσα της φωνης Κυριου λεγοντος, Τινα αποστειλω;—και ειπα, Ιδου εγω ειμι. κ. τ. λ. *Esa.* *vi.* 8, 9. και ευλογησεν ὁ λαος τους παντας ανδρας τους ἑκουσιαζομενους, κ. τ. λ. *Neh.* *xi.* 2. 1 *Par.* *xxviii.* 9. *xxix.* 5, 6.

18 Τις ουν μοι εστιν ὁ μισθος; ἱνα ευαγγελιζομενος αδαπανον θησω το ευαγγελιον του Χριστου, εις το μη καταχρησασθαι τῃ εξουσιᾳ μου εν τῳ ευαγγελιῳ.

εθετο μετ' αυτων μυστηριον. *Judith.* *ii.* 2. *Sir.* *xxix.* 11. θησω το σπερμα σου ὡς την αμμον της θαλασσης. *Gen.* *xxxii.* 12. *Conf.* 2 *Cor.* *xi.* 7. ανευ αργυριου και τιμης. *Esa.* *lv.* 1.

19 Ελευθερος γαρ ων εκ παντων, πασιν εμαυτον εδουλωσα, ἱνα τους πλειονας κερδησω·

και ὁς αν θελῃ ὑμων γενεσθαι πρωτος εσται παντων δουλος. *Marc.* *x.* 44. εισιν οἱ τα ιδια σπειροντες πλειονα ποιουσι. *Prov.* *xi.* 24. 30. τους πλειονας. 2 *Mac.* *xi.* 12.

20 Και εγενομην τοις Ιουδαιοις ὡς Ιουδαιος, ἱνα Ιουδαιους κερδησω· τοις ὑπο νομον ὡς ὑπο νομον, ἱνα τους ὑπο νομον κερδησω·

τοις πασιν ὁ χρονος, και καιρος τῳ παντι πραγματι ὑπο τον ουρανον κ. τ. λ. *Eccles.* *iii.* 1. *Conf.* *Matt.* *xviii.* 15. *Rom.* *xi.* 14. 1 *Pet.* *iii.* 1.

21 Τοις ανομοις ὡς ανομος, (μη ων ανομος Θεῳ, αλλ' εννομος Χριστῳ,) ἱνα κερδησω ανομους.

δια της εννομου βιωσεως. *Prol.* *Sir.* [ανομος—εννομος. *Paranomasia.* *Conf.* *Winer.* § 62.]

22 Εγενομην τοις ασθενεσιν ὡς ασθενης, ἱνα τους ασθενεις κερδησω. τοις πασι γεγονα τα παντα, ἱνα παντως τινας σωσω.

ει ὁ μεν δικαιος μολις σωζεται, κ. τ. λ. *Prov. xi.* 31.

23 Τουτο δε ποιω δια το ευαγγελιον, ἱνα συγκοινωνος αυτου γενωμαι.

Conf. Ezech. iii. 17-19.

24 Ουκ οιδατε, ὁτι οἱ εν σταδιῳ τρεχοντες, παντες μεν τρεχουσιν, εἱς δε λαμβανει το βραβειον; οὑτω τρεχετε, ἱνα καταλαβητε·

αγωνα ισχυρον εβραβευσεν αυτῳ. *Sap. x.* 12. αμιαντων αθλων αγωνα νικησασα. *iv.* 2. καταδιωξατε οπισω αυτων, ει καταληψεσθε αυτους. *Jos. ii.* 5. [το σταδιον. *Jos. Vit.* § 64. *Bell. Jud. ii.* 9. 3.] καταδιωξω—και καταληψομαι αυτους. *Ps. xvii.* 41. ανευ ανομιας εδραμον και κατευθυνα. *lviii.* 4. *Conf. Gal. ii.* 2. *Phil. ii.* 16. *iii.* 12. 2 *Tim. iv.* 7. *Heb. vi.* 18-20. [καταλαβητε (*sc.* βραβειον). *Bos. Ellips. p.* 42.] *Conf. Eccles. ix.* 11. σου οἱ ποδες τρεχουσι, και εκλυουσι σε· κ. τ. λ. *Jer. xii.* 5.

25 Πας δε ὁ αγωνιζομενος, παντα εγκρατευεται· εκεινοι μεν ουν ἱνα φθαρτον στεφανον λαβωσιν, ἡμεις δε αφθαρτον.

ἑως του θανατου αγωνισαι περι της αληθειας. *Sir. iv.* 28. 2 *Mac. viii.* 16. γενναιως αγωνισασθαι μεχρι θανατου. 2 *Mac. xiii.* 14. εγκρατεια. *Sir. xviii.* 30. ὁ δε στεφανος εσται τοις ὑπομενουσι. *Zach. vi.* 14. αμαραντινον—στεφανον. 1 *Pet. v.* 4. *Conf. Ephes. vi.* 12. 1 *Tim. vi.* 12.

26 Εγω τοινυν οὑτω τρεχω, ὡς ουκ αδηλως· οὑτω πυκτευω, ὡς ουκ αερα δερων·

αδηλως. 2 *Mac. vii.* 34. *Conf.* 2 *Tim. ii.* 5. *iv.* 8. τοινυν. *Jer. vii.* 34. 2 *Mac. iii.* 1. ὡς γενναιος αθλητης, κ. τ. λ. 4 *Mac.* 6.

27 Αλλ' ὑπωπιαζω μου το σωμα και δουλαγωγω, μηπως αλλοις κηρυξας, αυτος αδοκιμος γενωμαι.

αδοκιμον αργυριον. *Prov. xxv.* 4. *Esa. i.* 22. *Conf. Rom. vi.* 18. *viii.* 12. *Col. iii.* 5. 1 *Tim. iv.* 8. 2 *Tim. ii.* 15. αργυριον αποδεδοκιμασμενον καλεσατε αυτους, ὁτι απεδοκιμασεν αυτους Κυριος. *Jer. vi.* 30. ὑπωπιαζω. *Conf. Luc. ix.* 25. δουλαγωγειν *apud Sym. Gen. xliii.* 18. [*Fischer. Prolus. p.* 472.] μηπως. *Esa. vi.* 10. *Sym. Conf. Matt. vii.* 22, 23. προσεχε μηπως ολισθησῃς εν αυτῃ, μη πεσῃς κατεναντι ενεδρευοντος. *Sir. xxviii.* 26.

ΚΕΦ. ι. 10.

ΟΥ θελω δε ὑμας αγνοειν, αδελφοι, ὁτι οἱ πατερες ἡμων παντες ὑπο την νεφελην ησαν, και παντες δια της θαλασσης διηλθον,

οἱ πατερες ἡμων ανηγγειλαν ἡμιν. Ps. xliii. 1. ὁ δε Θεος ἡγειτο αυτων, ἡμερας μεν εν στυλῳ νεφελης, κ. τ. λ. Exod. xiii. 21. Num. ix. 18. και εισηλθον οἱ υἱοι Ισραηλ εις μεσον της θαλασσης. Exod. xiv. 22. εν νεφελῃ. Deut. i. 33. Jos. iv. 23. διεπετασε νεφελην εις σκεπην αυτοις, κ. τ. λ. Ps. civ. 39. και εγενετο αυτοις εις σκεπην ἡμερας, κ. τ. λ. Sap. x. 17. Conf. Ps. cxxxv. 13, 14. Heb. xi. 29.

2 Και παντες εις τον Μωσην εβαπτισαντο εν τῃ νεφελῃ και εν τῃ θαλασσῃ,

και επιστευσαν τῳ Θεῳ και Μωυσῃ τῳ θεραποντι αυτου. Exod. xiv. 31. και εσχισθη το ὑδωρ—και το ὑδωρ αυτης τειχος εκ δεξιων, και τειχος εξ ευωνυμων. Exod. xiv. 21, 22.

3 Και παντες το αυτο βρωμα πνευματικον εφαγον,

αρτον αγγελων εφαγεν ανθρωπος. Ps. lxxvii. 25. Conf. Exod. xvi. 15. Neh. ix. 12. Joan. vi. 31. 49. [ἡ δ' εστιν ἡ ουρανιος τροφη—λεγοντος—Ιδου Εγω ὑω ὑμιν αρτους εκ του ουρανου. Philo. de Prof. p. 367. Alleg. 1. p. 69. edit. Col.]

4 Και παντες το αυτο πομα πνευματικον επιον· επινον γαρ εκ πνευματικης ακολουθουσης πετρας, ἡ δε πετρα ην ὁ Χριστος.

και παταξεις την πετραν, και εξελευσεται εξ αυτης ὑδωρ. Exod. xvii. 6. Num. xx. 11. εσπεισε το πομα τῳ Θεῳ. 4 Mac. 3. διερρηξε πετραν εν ερημῳ, και εποτισεν αυτους ὡς εν αβυσσῳ πολλῃ. Ps. lxxvii. 15. πομα. Esd. iii. 7. Edit. Francof. Ps. ci. 9. και ερρυησαν ὑδατα, επορευθησαν εν ανυδροις ποταμοι. Ps. civ. 41. Κυριε, πετρα μου. 2 Reg. xxii. 2. Conf. Esa. xlviii. 21. και πιεται ὁ λαος. Exod. xvii. 6. Esa. xliii. 20. Conf. Joan. iv. 14. vii. 37. Neh. ix. 15. Sap. xi. 6–8. εκ πασης θλιψεως αυτων ου πρεσβυς, ουδε αγγελος, αλλ' αυτος εσωσεν αυτους, δια το αγαπαν αυτους, κ. τ. λ. Esa. lxiii. 9, 10. και Κυριος ὁ συμπορευομενος μετα σου, ουκ ανησει σε. Deut. xxxi. 8. [ἡ γαρ ακροτομος πετρα ἡ σοφια Θεου εστιν—εξ ἡς ποτιζει τας φιλοθεους ψυχας, κ. τ. λ. Philo. Leg. Alleg. 3. p. 853, edit. Col.]

5 Αλλ᾽ ουκ εν τοις πλειοσιν αυτων ευδοκησεν ὁ Θεος· κατεστρωθησαν γαρ εν τῃ ερημῳ.

και ὁ Θεος ουκ ευδοκησεν εν αυτοις. Jer. xiv. 10. Comp. ὁτι ειπε Κυριος αυτοις, Θανατῳ αποθανουνται εν τῃ ερημῳ. Num. xxvi. 65. κατεστρωσεν αυτους εν τῃ ερημῳ. xiv. 16. Conf. Ps. lxxvii. 20. cv. 26. Heb. iii. 17. Juda. 5. [ὑπο μεν των πλειονων επιστευετο. Jos. Ant. x. 7. 3.]

6 Ταυτα δε τυποι ἡμων εγενηθησαν, εις το μη ειναι ἡμας επιθυμητας κακων, καθως κακεινοι επεθυμησαν.

ὁρα ποιησεις κατα τον τυπον τον δεδειγμενον σοι. Exod. xxv. 40. ασεβειας τυπος. 4 Mac. 6. ἱνα μη γενωνται ὡς οἱ πατερες αυτων, γενεα σκολια και παραπικραινουσα. Ps. lxxvii. 8. και την επιθυμιαν αυτων ηνεγκεν αυτοις. 29. μνηματα της επιθυμιας· ὁτι εκει εθαψαν τον λαον τον επιθυμητην. Num. xi. 34. και επεθυμησαν επιθυμιαν εν τῃ ερημῳ. Ps. cv. 14. πλην φοβεισθε με, και δεξασθε παιδειαν, και ου μη εξολοθρευθητε εξ οφθαλμων αυτης παντα ὁσα εξεδικησα κ. τ. λ. Sophon. iii. 7. [εις απομιμνησιν και διατυπωσιν των ὁλων. Jos. Ant. iii. 7. 7. de tabernac. εστι δε ταυτα ου πλασματα μυθου—αλλα δειγματα τυπων επ᾽ αλληγοριαν καλουντων. Philo. de Opific. p. 36.]

7 Μηδε ειδωλολατραι γινεσθε, καθως τινες αυτων· ὡς γεγραπται, Εκαθισεν ὁ λαος φαγειν και πιειν, και ανεστησαν παιζειν.

και εκαθισεν κ. τ. λ. Exod. xxxii. 6-8. Conf. Deut. ix. 12. Ps. cv. 19, 20. CITAT. 196.

8 Μηδε πορνευωμεν, καθως τινες αυτων επορνευσαν, και επεσον εν μιᾳ ἡμερᾳ εικοσιτρεις χιλιαδες.

εβεβηλωθη ὁ λαος εκπορνευσαι. Num. xxv. 1. και εγενοντο οἱ τεθνηκοτες εν τῃ πληγῃ τεσσαρες και εικοσι χιλιαδες. 9. και τα κωλα ὑμων πεσειται εν τῃ ερημῳ. Num. xiv. 32. Jer. xlix. 29. Ps. cv. 20. Apoc. ii. 14. [τετρακισχιλιους. Philo. Vit. Mos. 1. p. 649. de Fort. p. 742. cum texto Heb. convenit et Joseph. Ant. iv. 6. 12. rationem istius discrepantiæ conciliandæ—viginti tria millia vi divinâ, mille hominum gladio zelotarum interisse. Loesner. Ottius.]

9 Μηδε εκπειραζωμεν τον Χριστον, καθως και τινες αυτων επειρασαν, και ὑπο των οφεων απωλοντο.

και τι πειραζετε Κυριον; Exod. xvii. 2. 7. Num. xiv. 22. Ps. lxxvii. 18. xciv. 8, 9. cv. 25. και απεστειλε Κυριος εις τον λαον τους οφεις τους θανουντας. Num. xxi. 6. Deut. vi. 16. Judith. viii. 12.

10 Μηδε γογγυζετε, καθως και τινες αυτων εγογγυσαν, και απωλοντο ὑπο του ολοθρευτου.

και διεγογγυζὀν επι Μωυσην. *Num. xiv.* 2. 29. *Exod. xvi.* 2. *xvii.* 3. τον ολοθρευοντα. *Exod. xii.* 23. 1 *Par. xxi.* 12. *Ps. cv.* 16. *Judith. viii.* 24. *Phil. ii.* 14. 1 *Pet. iv.* 9. φυλαξασθε τοινυν γογγυσμον ανωφελη, και απο καταλαλιας φεισασθε γλωσσης, κ. τ. λ. *Sap. i.* 11.

11 Ταυτα δε παντα τυποι συνεβαινον εκεινοις· εγραφη δε προς νουθεσιαν ἡμων, εις οὑς τα τελη των αιωνων κατηντησεν.

εις νουθεσιαν. *Sap. xvi.* 6. *Conf. Ephes. vi.* 4. τοτε ἡξει το τελος. *Matt. xxiv.* 14. το καταντημα αυτου (ἡλιου) ἑως ακρου του ουρανου. *Ps. xviii.* 6. εις το τελος των καιρων. *Dan. xi.* 13. τελος των ἡμερων. *Neb. xiii.* 6. *Conf. Rom. xv.* 4. *Cap. ix.* 10. *Phil. iv.* 5. *Heb. x.* 25. 1 *Pet. iv.* 3. *Sap. xvii.* 21.

12 Ὡστε ὁ δοκων ἑσταναι, βλεπετω μη πεσῃ.

προ συντριβης ἡγειται ὑβρις, προ δε πτωματος κακοφροσυνη. *Prov. xvi.* 18. ὡστε. *Sap. vi.* 25. μη εξυψου σεαυτον, ἱνα μη πεσῃς. *Sir. i.* 30. *ii.* 7. εγω δε ειπα εν τῃ ευθηνιᾳ μου, Ου μη σαλευθω εις τον αιωνα. *Ps. xxix.* 6, 7.

13 Πειρασμος ὑμας ουκ ειληφεν ει μη ανθρωπινος· πιστος δε ὁ Θεος, ὁς ουκ εασει ὑμας πειρασθηναι ὑπερ ὁ δυνασθε, αλλα ποιησει συν τῳ πειρασμῳ και την εκβασιν, του δυνασθαι ὑμας ὑπενεγκειν.

εν ῥαβδῳ ανδρων, και εν ἁφαις υἱων ανθρωπων. 2 *Reg. vii.* 14. γραφιδι ανθρωπου. *Esa. viii.* 1. διπλη γαρ αυτους ελαβε λυπη. *Sap. xi.* 12. ελαβεν αυτους τρομος. *Exod. xv.* 15. Θεος πιστος. *Deut. vii.* 9. εασον με εξολοθρευσαι αυτους. *ix.* 14. ουκ εᾳ γαρ με αναπνευσαι. *Job. ix.* 18. μη εγγυησῃ ὑπερ δυναμιν σου. *Sir. viii.* 13. και εκβασεις καιρων και χρονων. *Sap. viii.* 8. εξ αναγκων σε εξελειται. *Job. v.* 19. σκληρας ὑποφερω κατα το σωμα αλγηδονας. 2 *Mac. vi.* 30. *Conf. Ps. cxviii.* 67. μη ειπῃς, Τι εγενετο, ὁτι αἱ ἡμεραι αἱ προτεραι ησαν αγαθαι ὑπερ ταυτας; κ. τ. λ. *Eccles. vii.* 11. παντα μετρῳ και αριθμῳ και σταθμῳ διεταξας. *Sap. xi.* 20. ὑπενεγκειν. *Ps. liv.* 12. *Conf. Jer. xxxvi.* 11. *Cap. i.* 8. 1 *Thess. v.* 24. 2 *Pet. ii.* 9. και εαν διψησωσι, δι' ερημου αξει αυτους, ὑδωρ εκ πετρας εξαξει αυτοις, κ. τ. λ. *Esa. xlviii.* 21. ὁτι ουκ αφησει Κυριος την ῥαβδον των ἁμαρτωλων επι τον κληρον των δικαιων, κ. τ. λ. *Ps. cxxiv.* 3-5. ει μη = αλλα. *Hoogev. p.* 247.

14 Διοπερ, αγαπητοι μου, φευγετε απο της ειδωλολατρειας.

διοπερ. 2 *Mac. v.* 20. *φευγε απο ἁμαρτιας. Sir. xxi.* 2. *αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. Sap. xiv.* 12.

15 *Ὡς φρονιμοις λεγω, κρινατε ὑμεις ὁ φημι.*

Conf. Cap. i. 5. *ii.* 15. *κρισιν ἑλωμεθα ἑαυτοις, γνωμεν αναμεσον ἑαυτων ὁ τι καλον. Job. xxxiv.* 4.

16 *Το ποτηριον της ευλογιας ὁ ευλογουμεν, ουχι κοινωνια του αἱματος του Χριστου εστι; τον αρτον ὁν κλωμεν, ουχι κοινωνια του σωματος του Χριστου εστιν;*

ποτηριον σωτηριου ληψομαι. Ps. cxv. 13. *Κυριος μερις της κληρονομιας μου και του ποτηριου μου. xv.* 5. *και εστι φιλος κοινωνος τραπεζων. Sir. vi.* 10. *λαβων ὁ Ιησους τον αρτον, και ευλογησας, εκλασε—και ειπε—Τουτο εστι το σωμα μου. Και λαβων το ποτηριον, και ευχαριστησας—λεγων, Τουτο γαρ εστι το αἱμα μου. Matt. xxvi.* 26, 27. *Act. ii.* 42. *τον αρτον ὁν κλωμον, (quod attinet ad panem). Ita, τον ανθρωπον του Θεου ὁν απεστειλας, ελθετω δη ετι προς ἡμας. Jud. xiii.* 8. *Bos. αρτον κλασθαι. Jer. xvi.* 6. *Conf. Joān. vi.* 53-56. 1 *Joan. i.* 3. 7.

17 *Ὁτι εἱς αρτος, ἑν σωμα οἱ πολλοι εσμεν· οἱ γαρ παντες εκ του ἑνος αρτου μετεχομεν.*

Conf. Rom. xii. 5. *Cap. xii.* 27. *Joan. vi.* 33. *Lev. xxi.* 6. *οἱ πολλοι. Conf. Dan. xii.* 2. *Ps. cxxxii.* 1.

18 *Βλεπετε τον Ισραηλ κατα σαρκα· ουχι οἱ εσθιοντες τας θυσιας, κοινωνοι του θυσιαστηριου εισι;*

Conf. Lev. iii. 3. *vii.* 15. *κατα σαρκα. Conf. Rom. ix.* 6. *Gal. iv.* 23. *Deut. xviii.* 1. *θυσιαστηρια. Ose. viii.* 13. *και εφαγον θυσιας νεκρων. Ps. cv.* 28. *ὁ ἱερευς ὁ αναφερων αυτην εδεται αυτην, εν τοπῳ ἁγιῳ βρωθησεται, κ. τ. λ. Lev. vi.* 26. *Sir. xlv.* 21.

19 *Τι ουν φημι; ὁτι ειδωλον τι εστιν; η ὁτι ειδωλοθυτον τι εστιν;*

Conf. cap. viii. 4. *Rom. xiv.* 14. *Tit. i.* 15. *και παντα τα εθνη ὡς ουδεν εισι, και εις ουθεν ελογισθησαν. Esa. xl.* 17, 18.

20 *Αλλ᾽ ὁτι ἁ θυει τα εθνη, δαιμονιοις θυει, και ου Θεῳ· ου θελω δε ὑμας κοινωνους των δαιμονιων γινεσθαι.*

παντες οἱ θεοι των εθνων διαμονια. Ps. xcv. 5. *θυσαντες δαιμονιοις, και ου Θεῳ. Bar. iv.* 7. *εθυσαν δαιμονιοις, και ου Θεῳ. Deut. xxxii.* 17. *οὑτος κοινωνος εστιν ανδρος ασεβους. Prov. xxviii.* 24. *κοινωνοι κλεπτων. Esa. i.* 23. *Conf. Lev. xvii.* 7. *Ps. cv.* 37. *Apoc. ix.* 20. *CITAT.* 197.

21 Ου δυνασθε ποτηριον Κυριου πινειν και ποτηριον δαιμονιων·
ου δυνασθε τραπεζης Κυριου μετεχειν και τραπεζης δαιμονιων.

τραπεζα Κυριου εξουθενωμενη εστι. *Mal. i.* 7. 12. *Ald. Conf.* εστι φιλος κοινωνος τραπεζων. *Sir. vi.* 10. και ἑτοιμαζοντες τῳ δαιμονιῳ τραπεζαν. *Esa. lxv.* 11. μετοχος ειδωλων. *Ose. iv.* 17. *Conf.* 2 *Cor. vi.* 15.

22 Η παραζηλουμεν τον Κυριον; μη ισχυροτεροι αυτου εσμεν;

αυτοι παρεζηλωσαν με επ' ου Θεῳ, παρωξυναν με εν τοις ειδωλοις αυτων. *Deut. xxxii.* 21. ὁ Θεος μεγας και ισχυρος και φοβερος. *x.* 17. *Sir. xxx.* 3. *Ezech. xxii.* 14. μητι πτερνιει ανθρωπος Θεον; κ. τ. λ. *Mal. iii.* 8. τις ουν κριματι αυτου αντιστησεται; *Job. ix.* 19. [παραζηλων· παροξυνων. *Hesych.*]

23 Παντα μοι εξεστιν, αλλ' ου παντα συμφερει· παντα μοι
εξεστιν, αλλ' ου παντα οικοδομει.

Conf. cap. vi. 12. οικοδομει. *Cap. viii.* 1. *xiv.* 17.

24 Μηδεις το ἑαυτου ζητειτω, αλλα το του ἑτερου ἑκαστος.

ζητησον ειρηνην και διωξον αυτην. *Ps. xxxiii.* 14. το εμαυτου συμφερον. 33. *Conf. Rom. xv.* 1, 2. *Cap. xiii.* 5. *Phil. ii.* 4. 20. [συμφερον, *subaud.* μη ζητων το εμαυτου συμφερον. *inf. v.* 33. *Bos. Ellips. p.* 256.] ιδετε ὁτι ουκ εμοι μονῳ εκοπιασα, αλλα πασι τοις εκζητουσιν αυτην (σοφιαν). *Sir. xxiv.* 34. δια την των πολλων ευχαριστιαν, ἡδεως την κακοπαθειαν ὑποισομεν. 2 *Mac. ii.* 27. [τοσουτῳ μαλλον ταπεινοφρονειν οφειλει, οσῳ δοκει μαλλον μειζον ειναι, και ζητειν το κοινωφελες πασιν, και μη το ἑαυτου. *Clem. Rom. i.* 48.] *Conf. Act. xx.* 35. *Sir. iv.* 31.

25 Παν το εν μακελλῳ πωλουμενον εσθιετε, μηδεν ανακρινον-
τες δια την συνειδησιν·

συνειδησιν. *Conf. Sap. xvii.* 11. (μακελλον. *Lat. macellum*) μη σοφιζου ποιησαι το εργον σου. *Sir. x.* 26. *Conf.* 1 *Tim. iv.* 4. *Tit. i.* 15. *Rom. xiv.* 14. τας δε θυσιας αυτων αποδομενοι οἱ ἱερεις αυτων καταχρωνται. *Epist. Jer.* 28. μη γινου δικαιος πολυ, μηδε σοφιζου περισσα, μη ποτε εκπλαγης. κ. τ. λ. *Eccles. vii.* 17. [ανεκρινε τις ειη. *Jos. Ant. v.* 9. 3.]

26 Του γαρ Κυριου ἡ γη και το πληρωμα αυτης.

του Κυριου ἡ γη και το πληρωμα αυτης. *Ps. xxiii.* 1. *xlix.* 12. *Conf. Exod. ix.* 29. *xix.* 5. *Deut. x.* 14. *CITAT.* 198.

27 Ει δε τις καλει ὑμας των απιστων, και θελετε πορευεσθαι,
παν το παρατιθεμενον ὑμιν εσθιετε, μηδεν ανακρινοντες δια
την συνειδησιν.

ου κεκληκεν ἡ βασιλισσα μετα του βασιλεως ουδενα εις την δοχην αλλ᾿ η εμε. *Est. v.* 12. και παρεθηκεν αυτοις και εφαγον. *Gen. xviii.* 8. τα παρατιθεμενα σοι. *Prov. xxiii.* 1. *Conf. Luc. x.* 7. *Cap. viii.* 7. φαγε ὡς ανθρωπος τα παρακειμενα σοι. *Sir. xxxiv.* 16.

28 Εαν δε τις ὑμιν ειπῃ, Τουτο ειδωλοθυτον εστι, μη εσθιετε, δι᾿ εκεινον τον μηνυσαντα και την συνειδησιν· του γαρ Κυριου ἡ γη και το πληρωμα αυτης.

Conf. cap. viii. 10, 11. *Rom. xiv.* 15. μηνυσαντα. 2 *Mac. iii.* 7.

29 Συνειδησιν δε λεγω, ουχι την ἑαυτου, αλλα την του ἑτερου. ἱνα τι γαρ ἡ ελευθερια μου κρινεται ὑπο αλλης συνειδησεως;

Rom. xiv. 16. ὑπο αλλης συνειδησεως. *Conf. Job. xix.* 27. *xxvii.* 6.

30 Ει δε εγω χαριτι μετεχω, τι βλασφημουμαι ὑπερ οὑ εγω ευχαριστω;

Conf. Rom. xiv. 6. 1 *Tim. iv.* 4. χαριτι. *Conf.* 2 *Mac. iii.* 33.

31 Ειτε ουν εσθιετε, ειτε πινετε, ειτε τι ποιειτε, παντα εις δοξαν Θεου ποιειτε.

ἡ δοξα μου και ἡ αινεσις μου Κυριος. *Esa. xii.* 2. *Col. iii.* 17. *Deut. xii.* 7. *Neh. viii.* 16. 1 *Pet. iv.* 11. ὁν τροπον γαρ εικαζων εν τῃ ψυχῃ αυτου, οὑτως εσθιει και πινει. *Prov. xxiii.* 7. *Sym.* και εαν φαγητε η πιητε, κ. τ. λ. *Zach. vii.* 6.

32 Απροσκοποι γινεσθε και Ιουδαιοις και Ἑλλησι και τῃ εκκλησιᾳ του Θεου·

εν ὁδῳ απροσκοπῳ. *Sir. xxxv.* 21. *Conf. Rom. xiv.* 13. 2 *Cor. vi.* 3.

33 Καθως καγω παντα πασιν αρεσκω, μη ζητων το εμαυτου συμφερον, αλλα το των πολλων, ἱνα σωθωσι.

Conf. Rom. xv. 1-3. το δε συμφερον κοινῃ—παντι τῳ πληθει σκοπων. 2 *Mac. iv.* 5. *Cap. ix.* 19, 22. 2 *Cor. xii.* 19. ὡσπερ ει τις πηγην φρασσοι και ὑδατος εξοδον λυμαινοιτο, οὑτως ακοσμον δικαιον πεπτωκεναι ενωπιον ασεβους. *Prov. xxv.* 26.

ΚΕΦ. ια. 11.

ΜΙΜΗΤΑΙ μου γινεσθε, καθως καγω Χριστου.

Conf. cap. iv. 16. 2 *Par. xx.* 20. γινεσθε. *Ps. xxxi.* 9.

2 Επαινω δε ὑμας, αδελφοι, ὁτι παντα μου μεμνησθε, και καθως παρεδωκα ὑμιν, τας παραδοσεις κατεχετε.

μεμνησθε. *Gen. xl.* 23. παραδοσεις. *Conf. Matt. xv.* 2. και επῃνεσα εγω—ὁτι κ. τ. λ. *Eccles. viii.* 15.

3 Θελω δε ὑμας ειδεναι, ὁτι παντος ανδρος ἡ κεφαλη ὁ Χριστος εστι· κεφαλη δε γυναικος, ὁ ανηρ· κεφαλη δε Χριστου, ὁ Θεος.

κεφαλη γωνιας. *Ps. cxvii.* 22. εις κεφαλην εθνων. 2 *Reg. xxii.* 44. *Conf. Joan. xiv.* 28. *Cap. iii.* 23. *Ephes. v.* 23. *Phil. ii.* 7. *Gen. iii.* 16. *Esa. xlix.* 3-6. *lii.* 13. *lv.* 4.

4 Πας ανηρ προσευχομενος η προφητευων κατα κεφαλης εχων, καταισχυνει την κεφαλην αὑτου.

κατακεκαλυμμενος την κεφαλην. *Est. vi.* 12. *Edit. Usseri.* 1655. *Conf. Bos. Ellips. p.* 130. *Schleus. Vit. Test. Lex. Vol.* 2. *p.* 175. ἡ καταισχυνουσα. *Sir. xxii.* 4.

5 Πασα δε γυνη προσευχομενη η προφητευουσα ακατακαλυπτῳ τῃ κεφαλῃ, καταισχυνει την κεφαλην ἑαυτης· ἑν γαρ εστι και το αυτο τῃ εξυρημενῃ.

4, 5.] κατα κεφαλης εχων (*sc.* καλυμμα) ὑπεστρεψεν εις τα ιδια —κατα κεφαλης. *Est. vi.* 12. πατερα και ανδρα καταισχυνει ἡ θρασεια, και ὑπο αμφοτερων ατιμασθησεται. *Sir. xxii.* 5. κατεκαλυψατο γαρ το προσωπον αυτης. *Gen. xxxviii.* 15. *Num. v.* 18. *Deut. xxii.* 5. εψευσαι εις την σεαυτου κεφαλην. *Susan.* 55. και ἡ κεφαλη αυτου ακατακαλυπτος. *Lev. xiii.* 45. *Alex. Ald. Comp.* και ξυρησεις την κεφαλην αυτης. *Deut. xxi.* 12. κατεχεεν αυτου κατα της κεφαλης. *Marc. xiv.* 3. —επι την κεφαλην αυτου. *Matt. xxvi.* 7. *Conf. Bos. Ellips. p.* 130. *Schleus. Vit. Test. Lex. Vol.* 2 *p.* 175. ἡ καταισχυνουσα. *Sir. xxii.* 4. *Conf. Act. ii.* 17. *xxi.* 9. *Cap. xiv.* 34. *Col. iii.* 18. 1 *Tim. ii.* 11. *Conf. Ezech. xliv.* 20. 2 *Reg. xv.* 30. [σποδῳ την κεφαλην καταισχυνας. *Jos. Ant. xx.* 4. 2.]

6 Ει γαρ ου κατακαλυπτεται γυνη, και κειρασθω· ει δε αισχρον γυναικι το κειρασθαι η ξυρασθαι, κατακαλυπτεσθω.

7 Ανηρ μεν γαρ ουκ οφειλει κατακαλυπτεσθαι την κεφαλην, εικων και δοξα Θεου ὑπαρχων. γυνη δε δοξα ανδρος εστιν·

κατ' εικονα Θεου εποιησεν αυτον. *Gen. i.* 27. *v.* 1. *ix.* 6. και δωσεις της δοξης σου επ' αυτον. *Num. xxvii.* 20. [*Ald.* δοξαν.] *Conf. Sap. ii.* 23. *Sir. xvii.* 3. δοξῃ και τιμῃ εστεφανωσας αυτον, κ. τ. λ. *Ps. viii.* 5. παρα δε Κυριου ἁρμοζεται γυνη ανδρι. *Prov. xix.* 14. γυναικος αγαθης μακαριος ὁ ανηρ, κ. τ. λ. *Sir. xxvi.* 1. 13.

8 Ου γαρ εστιν ανηρ εκ γυναικος, αλλα γυνη εξ ανδρος·

κληθησεται γυνη, ὁτι εκ του ανδρος αυτης εληφθη. *Gen. ii.* 18-23.

9 Και γαρ ουκ εκτισθη ανηρ δια την γυναικα, αλλα γυνη δια τον ανδρα·

απο της ἡμερας ἡς εκτισεν ὁ Θεος ανθρωπον επι της γης. Deut. iv. 32. ποιησωμεν αυτῳ βοηθον κατ' αυτον. κ. τ. λ. Gen. ii. 18, 19.

10 Δια τουτο οφειλει ἡ γυνη εξουσιαν εχειν επι της κεφαλης δια τους αγγελους.

δια τους αγγελους, propter ministros Dei. εναντιον αγγελων ψαλω σοι. Ps. cxxxvii. 1. εξουσια. Conf. Ruth. iii. 15. Esa. iii. 24. [Conf. Test. XII Patr. p. 529.] Conf. Eccles. v. 6. ειπε δε ὁ παις, Οὑτος εστιν ὁ κυριος μου· ἡ δε λαβουσα το θεριστρον, περιεβαλετο. Gen. xxiv. 65. ταυτα εσται σοι εις την τιμην του προσωπου σου. Gen. xx. 16. Αμαν δε ὑπεστρεψεν εις τα ιδια, λυπουμενος κατα κεφαλης. Est. vi. 12. λυπουμενος, και κατακεκαλυμμενος την κεφαλην. Edit. Usseri. [Fisch. Prolus. p. 560.]

11 Πλην ουτε ανηρ χωρις γυναικος, ουτε γυνη χωρις ανδρος, εν Κυριῳ·

12 Ὡσπερ γαρ ἡ γυνη εκ του ανδρος, οὑτω και ὁ ανηρ δια της γυναικος, τα δε παντα εκ του Θεου.

Conf. Rom. xi. 36. Gen. ii. 22-25.

13 Εν ὑμιν αυτοις κρινατε· πρεπον εστι γυναικα ακατακαλυπτον τῳ Θεῳ προσευχεσθαι;

ὡς δεον εστι και πρεπον. 1 Mac. xii. 11. Conf. Ps. cxi. 5.

14 Η ουδε αυτη ἡ φυσις διδασκει ὑμας, ὁτι ανηρ μεν εαν κομᾳ, ατιμια αυτῳ εστι·

2 Reg. xiv. 26. [Conf. Jos. Ant. iv. 4. 4.] Cap. xiv. 35.

15 Γυνη δε εαν κομᾳ, δοξα αυτῃ εστιν; ὁτι ἡ κομη αντι περιβολαιου δεδοται αυτῃ·

16 Ει δε τις δοκει φιλονεικος ειναι, ἡμεις τοιαυτην συνηθειαν ουκ εχομεν, ουδε αἱ εκκλησιαι του Θεου.

πας ὁ οικος Ισραηλ φιλονεικοι εισι. Ezech. iii. 7. συνηθεια. Prov. xvii. 9. Sym. συνηθων. 2 Mac. iii. 31. Conf. 1 Tim. vi. 4. την ὁδον εχειν. Job. xvii. 9. [κατα την αρχαιαν παρατηρησιν της πατριου συνηθειας. Jos. Ant. x. 4. 5.]

17 Τουτο δε παραγγελλων ουκ επαινω, ὁτι ουκ εις το κρειττον, αλλ' εις το ἡττον συνερχεσθε.

και επορευθη ουκ εν επαινῳ. 2 Par. xxi. 20. συνελθωμεν, και ακουσωμεν τα εκπορευομενα. Ezech. xxxiii. 10. Jer. iii. 18. vii. 9. Conf. Prov. xxvii. 5. Esa. i. 13. lviii. 1-4. 2 Mac. v. 4.

18 Πρωτον μεν γαρ συνερχομενων ὑμων εν τῃ εκκλησιᾳ, ακουω σχισματα εν ὑμιν ὑπαρχειν, και μερος τι πιστευω·

συνηχθησαν—εκκλησια πολλη σφοδρα. 2 Par. xxx. 13. *ἡ εκκλησια των προφητων. 1 Reg. xix.* 20. *εις εκκλησιαν* Κυριου. *Deut. xxiii.* 1, 2. *μερος τι. Dan. ii.* 41, 42. *ἑως ποτε ὑπαρχουσιν εν σοι διαλογισμοι; Jer. iv.* 14. *σχισματα. Conf. Joan. vii.* 43. *Cap. i.* 10-12. *iii.* 3. *Ps. xxvi.* 5. *ιδου δη τι καλον, η τι τερπνον, αλλ' η το κατοικειν αδελφους επιτοαυτο; Ps. cxxxii.* 1.

19 Δει γαρ και αἱρεσεις εν ὑμιν ειναι, ἱνα οἱ δοκιμοι φανεροι γενωνται εν ὑμιν.

απαχθητε ἑως του φανερα γενεσθαι τα ῥηματα ὑμων. Gen. xlii. 16. 1 *Joan. ii.* 9. [*δοκιμον· χρησιμον, τελειον. Hesych.*] *Matt. xviii.* 7. *Luc. ii.* 35. *Act. xx.* 30. *ὁτι πειραζει* Κυριος ὁ Θεος *σου ὑμας ειδεναι, κ. τ. λ. Deut. xiii.* 3. *αἱρεσεις. Conf. Act. v.* 17. *xv.* 5. *Sap. i.* 3. 1 *Mac. xv.* 9. 2 *Mac. i.* 33.

20 Συνερχομενων ουν ὑμων επι το αυτο, ουκ εστι Κυριακον δειπνον φαγειν·

συνελθωμεν, και ακουσωμεν τα εκπορευομενα παρα Κυριου. *Ezech. xxxiii.* 30. *Act. ii.* 1. *τη κυριακῃ ἡμερᾳ. Apoc. i.* 10. = *ἑορτη* Κυριῳ. *Exod. xii.* 14.

21 Ἑκαστος γαρ το ιδιον δειπνον προλαμβανει εν τῳ φαγειν, και ὁς μεν πεινᾳ, ὁς δε μεθυει.

αναιρουμενος το δειπνον αυτων και το οινον. Dan. i. 16. *επιον δε, και εμεθυσθησαν. Gen. xliii.* 34. 1 *Mac. xvi.* 16. *Conf. Joan. ii.* 10. 2 *Pet. ii.* 13. *Juda.* 12. [*ὁς μεν—ὁς δε. Conf. Sturz. p.* 205, 206.]

22 Μη γαρ οικιας ουκ εχετε εις το εσθιειν και πινειν; η της εκκλησιας του Θεου καταφρονειτε, και καταισχυνετε τους μη εχοντας; τι ὑμιν ειπω; επαινεσω ὑμας εν τουτῳ; ουκ επαινω

και εαν φαγητε, η πιητε, ουχ ὑμεις εσθετε και πινετε; Zach. vii. 6. *τα σαββατα μου φυλαξεσθε, και απο των ἁγιων μου φοβηθησεσθε. Lev. xix.* 30. *αυτος ανακειται, εσθιει και πινει.* 1 *Esd. iv.* 10. *αποστειλατε μεριδας τοις μη εχουσι. Neh. viii.* 10. *και το προσωπον των πτωχων καταισχυνετε; Esa. iii.* 15. *Conf. Jac. ii.* 6. *ὁ καταγελων πτωχου παροξυνει τον ποιησαντα αυτον. Prov. xvii.* 5. *φυλαξον τον ποδα σου, εν ᾧ εαν πορευῃ εις οικον του* Θεου. *κ. τ. λ. Eccles. iv.* 17.

23 Εγω γαρ παρελαβον απο του Κυριου ὁ και παρεδωκα ὑμιν, ὁτι ὁ Κυριος Ιησους, εν τῃ νυκτι ᾑ παρεδιδοτο, ελαβεν αρτον,
24 Και ευχαριστησας εκλασε, και ειπε, Λαβετε, φαγετε, τουτο μου εστι το σωμα το ὑπερ ὑμων κλωμενον· τουτο ποιειτε εις την εμην αναμνησιν.

25 Ὡσαυτως και το ποτηριον, μετα το δειπνησαι, λεγων, Τουτο το ποτηριον ἡ καινη διαθηκη εστιν εν τῳ εμῳ αἱματι· τουτο ποιειτε ὁσακις αν πινητε, εις την εμην αναμνησιν.

23-25.] [την πιστιν, ἡν εξ αρχης παρελαβομεν. *Routh. Frag. Patr. i.* 464.] *Conf. Matt. xxvi.* 26. *Marc. xiv.* 22. *Luc. xxii.* 19, 20. *Cap. xv.* 3. *Gal. i.* 1. 11. ιδου ευλογειν παρειλημμαι. *Num. xxiii.* 20. και αναλαβε τα ῥηματα αυτου εν καρδιᾳ μου. *Job. xxii.* 22. και εσονται οἱ αρτοι εις αναμνησιν. *Lev. xxiv.* 7. *Comp. Ald. Cyr.*

26 Ὁσακις γαρ αν εσθιητε τον αρτον τουτον, και το ποτηριον τουτο πινητε, τον θανατον του Κυριου καταγγελλετε, αχρις οὑ αν ελθῃ.

πιειν το ποτηριον. *Jer. xxix.* 12. αχρις οὑ, (*sc.* χρονου). *Job. xxxii.* 11. *Conf. Joan. xiv.* 3. *Act. i.* 11. *Matt. xxiv.* 50. *Cap. iv.* 5. 2 *Pet. iii.* 4. ἑως αν ελθῃ τα αποκειμενα αυτῳ. *Gen. xlix.* 10.

27 Ὡστε ὁς αν εσθιῃ τον αρτον τουτον η πινῃ το ποτηριον του Κυριου αναξιως, ενοχος εσται του σωματος και αἱματος του Κυριου.

ενοχος ἑαυτῳ εσται. *Jos. ii.* 19. *Conf. Num. ix.* 13. *Joan. vi.* 51. *Cap. x.* 21. θανατῳ ενοχος εσται. *Gen. xxvi.* 11.

28 Δοκιμαζετω δε ανθρωπος ἑαυτον, και οὑτως εκ του αρτου εσθιετω, και εκ του ποτηριου πινετω·

δοκιμασον με ὁ Θεος, και γνωθι. *Ps. cxxxviii.* 23. *Conf. Gal. vi.* 4. 2 *Cor. xiii.* 5. *Thren. iii.* 40. νιψομαι εν αθωοις τας χειρας μου, και κυκλωσω το θυσιαστηριον σου, κ. τ. λ. *Ps. xxv.* 6-8. ποτηριον σωτηριου λημψομαι, κ. τ. λ. *cxv.* 13. εκ του αρτου αυτου ησθιε. και εκ του ποτηριου αυτου επινε. 2 *Reg. xii.* 3.

29 Ὁ γαρ εσθιων και πινων αναξιως, κριμα ἑαυτῳ εσθιει και πινει, μη διακρινων το σωμα του Κυριου.

αναξιως. 2 *Mac. xiv.* 42. κριμα θανατου. *Deut. xxi.* 22. *Jer. iv.* 12. *Ezech. v.* 8. *Conf. Rom. xiii.* 2. *Jac. iii.* 1. 1 *Pet. iv.* 17. διακρινων. *Conf. Ezech. xxxiv.* 17. [*Clem. Rom. Epist. i.* 21.]

30 Δια τουτο εν ὑμιν πολλοι ασθενεις και αῤῥωστοι, και κοιμωνται ἱκανοι.

χωλος η αῤῥωστος. *Mal. i.* 8. εκοιμηθη—μετα των πατερων. 3 *Reg. ii.* 10. *et passim. Conf. Lev. xxvi.* 16. *Deut. xxviii.* 21, 22. και απωλοντο εξ αυτων ἱκανοι τῃ λιμῳ. 1 *Mac. xiii.* 49. *Sap. xviii.* 12. ὁ

αμαρτανων εναντι του ποιησαντος αυτον εμπεσοι εις χειρας ιατρου. Sir. xxxviii. 15. 3 *Reg. xiii.* 20-32. 4 *Reg. xxii.* 15-20.

31 Ει γαρ ἑαυτους διεκρινομεν, ουκ αν εκρινομεθα.

Conf. Prov. xviii. 17. *xxviii.* 13. *Jer. vi.* 8. *xxxviii.* 18-20. *την αμαρτιαν μου εγνωρισα, και την ανομιαν μου ουκ εκαλυψα, κ. τ. λ. Ps. xxxi.* 5. *διακρινειν. Job. xii.* 11. *εκρινομεθα. Conf. Gen. xv.* 14. *Conf. Esa. xxxviii.* 21, 22. *Jon. iii.* 8-10.

32 Κρινομενοι δε, ὑπο του Κυριου παιδευομεθα, ἱνα μη συν τῳ κοσμῳ κατακριθωμεν.

κρινον με Κυριε. *Ps. xxxiv.* 24. *Conf. Heb. xii.* 5. 10. *Ps. xxxviii.* 11. *μακαριος ὁ ανθρωπος ὁν αν συ παιδευσῃς* Κυριε, *και εκ του νομου σου διδαξῃς αυτον. Ps. cxiii.* 12. *Sophon. iii.* 2. *Jer. vii.* 28. *Conf. Sir. xvi.* 12. *κρινομενοι δε προσδοκωμεν ελεος. Sap. xii.* 20-22. *κατακριθωμεν. Conf. Susan.* 48. *κατεκριναν αυτην αποθανειν.* 41. *κενοδοξιᾳ γαρ ανθρωπων εισηλθεν εις κοσμον, κ. τ. λ. Sap. xiv.* 14. *φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον, κ. τ. λ. ii.* 24.

33 Ὡστε, αδελφοι μου, συνερχομενοι εις το φαγειν, αλληλους εκδεχεσθε·

34 Ει δε τις πεινᾳ, εν οικῳ εσθιετω· ἱνα μη εις κριμα συνερχησθε. τα δε λοιπα, ὡς αν ελθω, διαταξομαι.

διαταξομαι. 3 *Reg. xi.* 18. *Tit. i.* 5. *τα λοιπα.* 4 *Reg. i.* 18.

ΚΕΦ. ιβ. 12.

ΠΕΡΙ δε των πνευματικων, αδελφοι, ου θελω ὑμας αγνοειν.

Conf. cap. i. 4. 7. *xiv.* 1. 38.

2 Οιδατε ὁτι εθνη ητε, προς τα ειδωλα τα αφωνα, ὡς αν ηγεσθε, απαγομενοι.

ειδωλα κωφα. Hab. ii. 18. *Conf. Ps. cxiii.* 4-7. *αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. Sap. xiv.* 12. *παντας τους απηγμενους. Gen. xxxix.* 22. *xlii.* 16. [*πηροι οντες τῃ διανοιᾳ, προσκυνουντες λιθους και ξυλα, κ. τ. λ. Clem. Rom. ii.* 1.] *ειδωλα των εθνων ελογισαντο θεους, κ. τ. λ. Sap. xv.* 15. *xiii.* 1. *Conf. Ps. xviii.* 12.

3 Διο γνωριζω ὑμιν, ὁτι ουδεις εν Πνευματι Θεου λαλων λεγει, Αναθεμα Ιησουν· και ουδεις δυναται ειπειν, Κυριον Ιησουν, ει μη εν Πνευματι ἁγιῳ.

και γνωρισω σοι ἁ ποιησεις. 1 *Reg. x.* 8. *ὁτι πνευμα Θεου ἁγιον εν σοι. Dan. iv.* 6. *προσοχθισματι προσοχθιεις, και βδελυγματι βδελυξῃ, ὁτι αναθεμα εστι. Deut. vii.* 26. Κυριος *ονομα σοι. Judith. ix.* 7. *Conf. Exod. vi.* 3. *κεκατηραμενος ὑπο Θεου πας κρεμαμενος επι ξυλου. Deut. xxi.* 23.

4 Διαιρεσεις δε χαρισματων εισι, το δε αυτο Πνευμα·

διαιρεσεις των πυλων. 1 *Par. xxvi.* 1. —*των ἱερεων.* 2 *Par. viii.* 14. *Conf. Rom. xii.* 6. *Ephes. iv.* 4. *Heb. ii.* 4. *Sap. vii.* 24-30.

5 Και διαιρεσεις διακονιων εισι, και ὁ αυτος Κυριος·

6 Και διαιρεσεις ενεργηματων εισιν, ὁ δε αυτος εστι Θεος, ὁ ενεργων τα παντα εν πασιν.

Ιδου *ταυτα παντα εργαται ὁ* Ισχυρος *κ. τ. λ. Job. xxxiii.* 29. *παντα γαρ απεδωκας τα εργα ἡμων. Esa. xxvi.* 12. *M.*

7 Ἑκαστῳ δε διδοται ἡ φανερωσις του Πνευματος προς το συμφερον.

και φανερωσω αυτοις. Jer. xl. 6. *το δε συμφερον κοινῃ κ. τ. λ.* 2 *Mac. iv.* 5. *Conf. Sap. ix.* 17. *Ps. lxvii.* 18. *cxviii.* 130.

8 Ὡ μεν γαρ δια του Πνευματος διδοται λογος σοφιας, αλλῳ δε λογος γνωσεως, κατα το αυτο Πνευμα·

Conf. cap. i. 5. 2 *Cor. viii.* 7. *οὑς ενεπλησα πνευματος σοφιας και αισθησεως. Exod. xxviii.* 3. *xxxi.* 3. *xxxv.* 29. *ᾧ εδοθη σοφια και επιστημη εν αυτοις. xxxvi.* 1. *Conf. Gen. xli.* 38, 39. *Job. xxxii.* 8. *Ps. cxlii.* 10. *ὁτι Θεος γνωσεων* Κυριος. 1 *Reg. ii.* 3. *και απο προσωπου αυτου γνωσις και συνεσις. Prov. ii.* 6. *ὁ δε ασεβης ου νοει γνωσιν. xxix.* 7. = *κατα το σωμα αλγηδονας μαστιγουμενος.* 2 *Mac. vi.* 30. [*ητω δυνατος γνωσιν εξειπειν. Clem. Rom.* 1. § 48.]

9 Ἑτερῳ δε πιστις, εν τῳ αυτῳ Πνευματι· αλλῳ δε χαρισματα ιαματων, εν τῳ αυτῳ Πνευματι·

ιαμα. Prov. xvi. 24. *Sym. Theod. Esa. lviii.* 8. *Jer. xl.* 6. *δοθησεται αυτῳ της πιστεως χαρις εκλεκτη. Sap. iii.* 14.

10 Αλλῳ δε ενεργηματα δυναμεων, αλλῳ δε προφητεια, αλλῳ δε διακρισεις πνευματων, ἑτερῳ δε γενη γλωσσων, αλλῳ δε ἑρμηνεια γλωσσων.

ἑρμηνεια. Sir. xlvii. 17. [*Ααρων—δια το γενος και την προφητειαν. Jos. Ant. iii.* 8. 1.] Συ *δε αυτος ει. Ps. ci.* 27.

11 Παντα δε ταυτα ενεργει το ἑν και το αυτο Πνευμα, διαιρουν ιδιᾳ ἑκαστῳ καθως βουλεται.

τις ενηργησε, και εποιησε ταυτα; Esa. xli. 4. *και διελουσιν αυτο κατα μελη. Lev. i.* 12. *ου βουλομαι τον θανατον του ασεβους. Ezech. xxxiii.* 11. *ιδια, seorsim.* 2 *Mac. iv.* 34. *και κατα το θελημα αυτου ποιει εν τῃ δυναμει του ουρανου, και εν τῃ κατοικιᾳ της γης, κ. τ. λ. Dan. iv.* 32. *και ηρξατο πνευμα Κυριου συνεκπορευεσθαι αυτῳ. Jud. xiii.* 25. *Neh. ix.* 20. *Sir. xxxix.* 6.

12 Καθαπερ γαρ το σωμα ἑν εστι, και μελη εχει πολλα, παντα δε τα μελη του σωματος του ἑνος, πολλα οντα, ἑν εστι σωμα, οὑτω και ὁ Χριστος.

13 Και γαρ εν ἑνι Πνευματι ἡμεις παντες εις ἑν σωμα εβαπτισθημεν, ειτε Ιουδαιοι ειτε Ἑλληνες, ειτε δουλοι ειτε ελευθεροι· και παντες εις ἑν Πνευμα εποτισθημεν.

Ἑλληνες, Ethnici. Conf. Joan. vii. 35. *ειτε πτωχος, ειτε πλουσιος. Ruth. iii.* 10. *alii. πεποτικεν ὑμας Κυριος πνευματι κατανυξεως. Esa. xxix.* 10. *ελευθεροι.* 1 *Esd. iii.* 19. *Neh. xiii.* 17. *και γαρ. Job. v.* 2. *Conf. Joan. vi.* 63. *Rom. vi.* 5. *Gal. iii.* 28. *επιθησω το πνευμα μου επι το σπερμα σου, κ. τ. λ. Esa. xliv.* 3. *και δωσω ὑμιν καρδιαν καινην, και πνευμα καινον κ. τ. λ. Ezech. xxxvi.* 26. *Prov. ix.* 5. *και εκπιονται αυτους ὡς οινον, και πλησουσι τας φιαλας ὡς θυσιαστηριον. κ. τ. λ. Zach. ix.* 15. 16. *Κυριος—και το Πνευμα αυτου. Esa. xxxiv.* 16.

14 Και γαρ το σωμα ουκ εστιν ἑν μελος, αλλα πολλα.

και γαρ. Ps. cxxxviii. 10. *Sir. xlviii.* 10. *το σμικροτατον μου μελος.* 3 *Reg. xii.* 10. *Sym.*

15 Εαν ειπῃ ὁ πους, ὁτι, Ουκ ειμι χειρ, ουκ ειμι εκ του σωματος, ου παρα τουτο ουκ εστιν εκ του σωματος.

16 Και εαν ειπῃ το ους, ὁτι, Ουκ ειμι οφθαλμος, ουκ ειμι εκ του σωματος, ου παρα τουτο ουκ εστιν εκ του σωματος·

15, 16.] *παρα τουτο. Conf. Deut. xxiii.* 4. *Gen. xxix.* 20. *και ειπον τῃ ελαιᾳ, Βασιλευσον εφ᾽ ἡμων κ. τ. λ. Jud. ix.* 8-15.

17 Ει ὁλον το σωμα οφθαλμος, που ἡ ακοη, ει ὁλον ακοη, που ἡ οσφρησις;

ὁ φυτευσας το ους, ουχι ακουει; κ. τ. λ. Ps. xciii. 9. *cxxxviii.* 15, 16. 1 *Reg. ix.* 9. *οσφρησις. Conf. Jud. xvi.* 9.

18 Νυνι δε ὁ Θεος εθετο τα μελη, ἑν ἑκαστον αυτων εν τῳ σωματι, καθως ηθελησεν.

νυνι δε. Gen. xxxii. 10. Exod. xxxii. 34. ὁ δε Θεος ἡμων—παντα ὁσα ηθελησεν εποιησε. Ps. cxiii. 11. cxxxiv. 6. πασα ἡ βουλη μου στησεται, κ. τ. λ. Esa. xlvi. 10.

19 Ει δε ην τα παντα ἑν μελος, που το σωμα;

20 Νυν δε πολλα μεν μελη, ἑν δε σωμα.

21 Ου δυναται δε οφθαλμος ειπειν τῃ χειρι, Χρειαν σου ουκ εχω· η παλιν ἡ κεφαλη τοις ποσι, Χρειαν ὑμων ουκ εχω.

και χρειαν εχει βοηθειας. Sap. xiii. 16. μη ειπῃς, Τις εστι μου χρεια; Sir. xi. 23. οφθαλμος ημην τυφλων, πους δε χωλων. Job. xxix. 15. [Conf. Ottium. pp. 370-372.]

22 Αλλα πολλῳ μαλλον τα δοκουντα μελη του σωματος ασθενεστερα ὑπαρχειν, αναγκαια εστι·

πολλῳ μαλλον. Sir. Prol. και τοσῳ μαλλον ὑστερειται. Sir. xi. 11. εν πολλῳ εθνει δοξα βασιλεως, εν δε τῃ εκλειψει λαου συντριβη δυναστου. Prov. xiv. 28. Eccles. v. 8.

23 Και ἁ δοκουμεν ατιμοτερα ειναι του σωματος, τουτοις τιμην περισσοτεραν περιτιθεμεν· και τα ασχημονα ἡμων ευσχημοσυνην περισσοτεραν εχει·

και μεγαλωσυνη περισσοτερα προσετεθη μοι. Dan. iv. 33. αἱ γυναικες περιθησουσι τιμην τοις ανδρασι. Est. i. 20. Conf. Gen. iii. 7. 21. ταυτα εσται εις την τιμην του προσωπου σου. xx. 19. Conf. Sir. xxxvi. 15. 1 Pet. iii. 7.

24 Τα δε ευσχημονα ἡμων ου χρειαν εχει. αλλ᾽ ὁ Θεος συνεκερασε το σωμα, τῳ ὑστερουντι περισσοτεραν δους τιμην,

οινος ὑδατι συγκερασθεις. 2 Mac. xv. 39. Dan. ii. 43. ουκ επλεονασεν ὁ το πολυ και ὁ το ελαττον ουκ ηλαττονησε. Exod. xvi. 18. ὑστερων ισχυϊ, και πτωχειᾳ περισσευει. Sir. xi. 13.

25 Ἱνα μη ῃ σχισμα εν τῳ σωματι, αλλα το αυτο ὑπερ αλληλων μεριμνωσι τα μελη·

ἱνα σου την αγαθοτητα μεριμνωμεν. Sap. xii. 22. παντα δισσα, ἑν κατεναντι του ἑνος· και ουκ εποιησεν ουδεν εκλειπον. Sir. xlii. 24. Conf. Ps. cxxxii. 1.

26 Και ειτε πασχει ἑν μελος, συμπασχει παντα τα μελη· ειτε δοξαζεται ἑν μελος, συγχαιρει παντα τα μελη.

πασχει. Amos. vi. 6. μη δοξασθησεται αξινη ανευ του κοπτοντος, κ. τ. λ. Esa. x. 15. lxvi. 10. Conf. Ephes. iv. 25. Sir. vii. 34.

27 Ὑμεις δε εστε σωμα Χριστου και μελη εκ μερους.

Conf. Rom. xii. 5-8. Ephes. i. 23. Col. i. 24.

28 Και οὑς μεν εθετο ὁ Θεος εν τῃ εκκλησιᾳ πρωτον αποστο-
λους, δευτερον προφητας, τριτον διδασκαλους, επειτα δυνα-
μεις, ειτα χαρισματα ιαματων, αντιληψεις, κυβερνησεις,
γενη γλωσσων.

εθετο ὑμας επισκοπους. *Act. xx.* 28. θησομαι σε εις παραδειγμα. *Nah. iii.* 6. ουχ ὑμιν εστιν ἡ παραταξις, αλλ' η τῳ Θεῳ. 2 *Par. xx.* 15. εγενετο επ' αυτον πνευμα Κυριου εν τῃ εκκλησιᾳ. *v.* 14. αντιληπτωρ. 2 *Reg. xxii.* 3. *Ps. lxxxviii.* 26. αντιληψις. *Ps. lxxxii.* 8. *Sir. xi.* 12. 2 *Mac. viii.* 19. ὁ δε νοημων κυβερνησιν κτησεται. *Prov. i.* 5. *xi.* 14. *Conf. Num. xvi. xvii.*

29 Μη παντες αποστολοι; μη παντες προφηται; μη παντες
διδασκαλοι; μη παντες δυναμεις;

30 Μη παντες χαρισματα εχουσιν ιαματων; μη παντες
γλωσσαις λαλουσι; μη παντες διερμηνευουσι;

31 Ζηλουτε δε τα χαρισματα τα κρειττονα· και ετι καθ'
ὑπερβολην ὁδον ὑμιν δεικνυμι.

ὁ ζηλος του οικου σου κατεφαγε με. *Ps. lxix.* 9. και εζηλωσα το αγαθον. *Sir. li.* 18. δειξω ὑμιν την ὁδον την αγαθην. 1 *Reg. xii.* 23. *Conf. cap. xiv.* 1. *Jac. iv.* 2. ὁδους γαρ σοφιας διδασκω σε. *Prov. iv.* 11. [χαρισμα· δωρον. *Hesych.*] πασης συντελειας ειδον περας, πλατεια ἡ εντολη σου σφοδρα. *Ps. cxviii.* 96.

ΚΕΦ. ιγ. 13.

ΕΑΝ ταις γλωσσαις των ανθρωπων λαλω και των αγγε-
λων, αγαπην δε μη εχω, γεγονα χαλκος ηχων η κυμ-
βαλον αλαλαζον.

κατα γλωσσας αυτων εν ταις χωραις αυτων. *Gen. x.* 20. 31. αγαπη δε τηρησις νομων. *Sap. vi.* 18. και αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Lev. xix.* 18. εν κυμβαλοις αλαλαγμου. *Ps. cl.* 5. *Conf. Dan. iii.* 5. ταξατε επ' εμε αγαπην. *Cant. ii.* 4. εαν δῳ ανηρ παντα τον βιον αυτου εν τῃ αγαπῃ, εξουδενωσει εξουδενωσουσιν αυτον. *Cant. viii.* 7. *Conf. Jer. ii.* 2. ὡς φωνη ψαλτηριου ἡδυφωνου ευαρμοστου. *Ezech. xxxiii.* 32.

2 Και εαν εχω προφητειαν, και ειδω τα μυστηρια παντα και

πασαν την γνωσιν, και εαν εχω πασαν την πιστιν, ὥστε ορη μεθιστανειν, αγαπην δε μη εχω, ουθεν ειμι.

Conf. Num. xxiii. xxiv. ὥστε ορη μεθιστανειν. *Conf. Matt. vii.* 22. *xvii.* 20. *Apoc. viii.* 8. τα ορη μεταστησεσθαι. *Esa. liv.* 10. ουθεν ὡν. *Job. xxxix.* 34. 1 *Reg. xii.* 21. *Conf. Ps. xlix.* 8-15. *Cap. ii.* 7. *Rom. xi.* 25. *xvi.* 25. *Ephes. iii.* 4. *Sap. ix.* 6.

3 Και εαν ψωμισω παντα τα ὑπαρχοντα μου, και εαν παραδω το σωμα μου ἱνα καυθησωμαι, αγαπην δε μη εχω, ουδεν ωφελουμαι.

τις ἡμας ψωμιει κρεα; *Num. xi.* 5. *Deut. viii.* 3. *Esa. lviii.* 14. *Jer. xxiii.* 15. *Rom. xii.* 20. ει παντα τα ὑπαρχοντα Αμαν εδωκα. *Est. viii.* 7. *Job. xviii.* 7. και παρεδωκαν τα σωματα αυτων εις πυρ. *Dan. iii.* 28. ουδεν γαρ ωφελησεις εν ἡμερᾳ επαγωγης. *Sir. v.* 8. ουτε ωφελησα, ουτε ωφελησε μη ουδεις. *Jer. xv.* 10. *Conf. Matt. vi.* 1. *Joan. xv.* 13. *Rom. xii.* 9. 1 *Joan. iii.* 16.

4 Ἡ αγαπη μακροθυμει, χρηστευεται· ἡ αγαπη ου ζηλοι. ἡ αγαπη ου περπερευεται, ου φυσιουται,

κραταια ὡς θανατος αγαπη—ὑδωρ πολυ ου δυνησεται σβεσαι την αγαπην. *Cant. viii.* 6, 7. *Gen. xxix.* 20. ελεημων ανηρ μακροθυμει. *Prov. xix.* 11. εζηλωσε Ῥαχηλ την αδελφην αυτης. *Gen. xxx.* 1. *xxxvii.* 11. *Act. xvii.* 5. αγαπησιν αιωνιον ηγαπησα σε. *Jer. xxxviii.* 3. εν αγαπησει κεκοσμημενοι. *Sir. xlviii.* 11. *Prov. xiv.* 29, 30. *xv.* 18. *xvii.* 9. 17. 1 *Pet. iv.* 8. *Jac. iii.* 14. [περπερευεται· προπετει. *Phav. Suid.* κατεπαιρετει. *Hesych.* αλαζονευεται. *Œcumen.*] καλυπτουσιν εχθραν χειλη δικαια, οἱ δε εκφεροντες λοιδοριας αφρονεστατοι εισι. *Prov. x.* 18. *Esa. iii.* 5. *Num. xii.* 3.

5 Ουκ ασχημονει, ου ζητει τα ἑαυτης, ου παροξυνεται, ου λογιζεται το κακον,

και εις εμε ελογισαντο πονηρα. *Ose. vii.* 15. *Zach. viii.* 17. λογιζομενοι ποιησαι μοι πονηριαν. *Neh. vi.* 2. αδικιαν ελογισατο ἡ γλωσσα μου. *Ps. li.* 2. φρονειν τα τινος. 1 *Mac. x.* 20. ανομιαν ελογισατο. *Ps. xxxv.* 4. κατ᾽ εμου ελογιζοντο κακα μοι. *xl.* 7. *Conf. cap. x.* 24. *Phil. ii.* 4. 21. *Rom. xv.* 1. *Jer. xi.* 19. *xviii.* 20. *xxxii.* 37. *Sap. viii.* 16-18.

6 Ου χαιρει επι τῃ αδικιᾳ, συγχαιρει δε τῃ αληθειᾳ,

χαιροντες επι διαστροφῃ κακῃ. *Prov. ii.* 14. [ὁσοι επιστευσαν αυτῳ (*Messiæ*) συγχαρησονται αυτῳ. *Test. XII Patr. p.* 746.] χαιρει μαχαις. *Prov. xvii.* 19. μη χαιρε επι κακοποιοις. *xxiv.* 19. *Conf.* 2 *Joan.* 4. *Tob. iv.* 6. *Ps. xiv.* 2, 3. *Rom. i.* 32. οἱ ευφραινο-

μενοι επι κακοις, και χαιροντες επι διαστροφῃ κακῃ. Prov. ii. 14. *ὅτι χαιρει πασιν οἷς μισει ὁ Θεος. vi.* 16. [*οινος διαστρεφει τον νουν απο της αληθειας. Test. XII Patr. p.* 604.] *Conf.* 1 *Reg. xx.* 10. *Ose. vii.* 3. *Mich. vii.* 8.

7 Παντα στεγει, παντα πιστευει, παντα ελπιζει, παντα ὑπομενει.

μετα μωρου μη συμβουλευου, ου γαρ δυνησεται λογον στεξαι. Sir. viii. 17. 2 *Cor. ii.* 6-10. *μισος εγειρει νεικος, παντας δε τους μη φιλονεικουντας καλυπτει φιλια. Prov. x.* 12. *Conf. Gal. vi.* 2. *Gen. xxii. θησω εις το εμφανες την γνωσιν αυτης (σοφιας). Sap. vi.* 22. *οξυθυμος πρασσει μετα αβουλιας, ανηρ δε φρονιμος πολλα ὑποφερει. Prov. xiv.* 17. *Sir. ii.* 6-8.

8 Ἡ αγαπη ουδεποτε εκπιπτει. ειτε δε προφητειαι, καταργηθησονται· ειτε γλωσσαι, παυσονται· ειτε γνωσις, καταργηθησεται.

ελαλησα, και ουδεν διαπεσειται των ῥηματων μου. Judith. vi. 9. *Jos. xxi.* 43. *xxiii.* 14. *Conf. Jer. xxix.* 7. 2 *Pet. i.* 19. *και καινιει σε εν τῃ αγαπησει αυτου. Sophon. iii.* 17. *Sap. vi.* 18-20.

9 Εκ μερους γαρ γινωσκομεν, και εκ μερους προφητευομεν·

Ιδου ταυτα μερη ὁδου αυτου, και επι ικμαδα λογου ακουσομεθα εν αυτῳ. κ. τ. λ. Job. xxvi. 14. *Prov. xxx.* 4. *Sap. ix.* 16.

10 Ὁταν δε ελθῃ το τελειον, τοτε το εκ μερους καταργηθησεται.

αιων τετελειωμενος. Heb. vii. 28. *ακοην μεν ωτος ηκουον σου το προτερον, νυνι δε ὁ οφθαλμος μου ἑωρακε σε. Job. xlii.* 5. *και ουκ εσται σοι ετι ὁ ἡλιος εις φως ἡμερας, ουδε ανατολη σεληνης φωτιει σου την νυκτα, αλλ᾽ εσται σοι Κυριος φως αιωνιον, κ. τ. λ. Esa. lx.* 19, 20. *xxiv.* 23. *Apoc. xxi.* 22. *xxii.* 5.

11 Ὁτε ημην νηπιος, ὡς νηπιος ελαλουν, ὡς νηπιος εφρονουν, ὡς νηπιος ελογιζομην· ὁτε δε γεγονα ανηρ, κατηργηκα τα του νηπιου.

λογισαμενοι ουκ ορθως. Sap. ii. 1. 21. *κακως εφρονησαν περι Θεου. xiv.* 30. *ἡ νεοτης και ἡ ανοια ματαιοτης. Eccles. xi.* 10. *ημην. Dan. viii.* 2. *ὁτε εγενομην ανηρ. Tob. i.* 9.

12 Βλεπομεν γαρ αρτι δι᾽ εσοπτρου εν αινιγματι, τοτε δε προσωπον προς προσωπον· αρτι γινωσκω εκ μερους, τοτε δε επιγνωσομαι καθως και επεγνωσθην.

στομα κατα στομα λαλησω αυτῳ εν ειδει, και ου δι᾽ αινιγματων, και την δοξαν Κυριου ειδε. Num. xii. 8. *Ps. xxxviii.* 6. *ειδον γαρ*

Θεον, προσωπον προς προσωπον. Gen. xxxii. 30. ἁ εγω εμαυτῳ συνεπισταμαι, ἁ ὁ οφθαλμος μου ἑωρακε, και ουκ αλλος. Job. xix. 27. εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου, χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. Ps. xvi. 15. ἁγνιζει ἑαυτον, καθως εκεινος ἁγνος εστι. 1 Joan. iii. 3. και επειδεν ὁ Θεος τους υἱους Ισραηλ, και εγνωσθη αυτοις. Exod. ii. 25.

13 Νυνι δε μενει πιστις, ελπις, αγαπη, τα τρια ταυτα· μειζων δε τουτων ἡ αγαπη.

νυνι δε. Job. xxx. 1. 9. παντα ταυτα ζῃ και μενει εις τον αιωνα. Sir. xlii. 23. Ps. xxxii. 11. cx. 3. και ουκ εστι αυτων τις μειζων του φοβουμενου τον Κυριον. x. 24. θες με ὡς σφραγιδα επι την καρδιαν σου, ὡς σφραγιδα επι τον βραχιονα σου· ὁτι κραταια ὡς θανατος αγαπη, κ. τ. λ. Cant. viii. 6. αγαπη τελειωσεως σου. Jer. ii. 2. [Αγαπη κολλᾳ ἡμας τῳ Θεῳ, αγαπη καλυπτει πληθος ἁμαρτιων· ἡ αγαπη παντα ανεχεται, κ. τ. λ. Clem. Rom. i. 49, 50.] [ἁ δε γνωσαι ποθουμεν, τρια ταυτ' εστι. Philo, Vit. Mos. lib. 1. p. 637. Loesner.] ὁ Θεος Αγαπη εστι. 1 Joan. iv. 8.

ΚΕΦ. ιδ. 14.

ΔΙΩΚΕΤΕ την αγαπην· ζηλουτε δε τα πνευματικα, μαλλον δε ἱνα προφητευητε.

ζητησον ειρηνην, και διωξον αυτην. Ps. xxxiii. 14. διωκοντας δικαιοσυνην. Prov. xv. 9. Sir. xxvii. 8. και εζηλωσα το αγαθον, και ου μη αισχυνθω. Sir. li. 18. Conf. cap. xii. 31. Exod. vii. 1. Num. xi. 29. [και τοις ὑπ' εκεινου προφητευθεισι περι του Θεου πεπιστευκοτες. Jos. c. Ap. 2. 39.]

2 Ὁ γαρ λαλων γλωσσῃ, ουκ ανθρωποις λαλει, αλλα τῳ Θεῳ, ουδεις γαρ ακουει, πνευματι δε λαλει μυστηρια·

συγχεωμεν αυτων εκει την γλωσσαν, ἱνα μη ακουσωσιν ἑκαστος την φωνην του πλησιον. Gen. xi. 7. Esa. xxxvi. 11. ουκ αποκρυψω ὑμιν μυστηρια. Sap. vi. 22. Conf. Act. ii. 4. x. 46. Gen. xi. 7. Deut. xxviii. 49. το στομα μου λαλησει σοφιαν, και ἡ μελετη της καρδιας μου συνεσιν. κ. τ. λ. Ps. xlviii. 3, 4. ακουοντες ουκ ακουουσι. Matt. xiii. 13. Conf. Joel. ii. 28, 29.

3 Ὁ δε προφητευων, ανθρωποις λαλει οικοδομην και παρακλησιν και παραμυθιαν.

τῳ λαλουντι εν εμοι—λογους παρακλητικους. Zach. i. 13. παραμυθια. Sap. xix. 12. 1 Mac. xii. 9. Act. xiii. 15. Rom. xii. 8.

4 Ὁ λαλων γλωσσῃ, ἑαυτον οικοδομει· ὁ δε προφητευων, εκκλησιαν οικοδομει.

καθελεις αυτους, και ου μη οικοδομησεις αυτους. Ps. xxvii. 5. ουκ οικοδομησει τον οικον του αδελφου. Deut. xxv. 9. και αυτος εν μητρᾳ ἡγιασθη προφητης εκριζουν και κακουν και απολλυειν, ὡσαυτως οικοδομειν και καταφυτευειν. Sir. xlix. 7.

5 Θελω δε παντας ὑμας λαλειν γλωσσαις, μαλλον δε ἱνα προφητευητε· μειζων γαρ ὁ προφητευων η ὁ λαλων γλωσσαις, εκτος ει μη διερμηνευῃ, ἱνα ἡ εκκλησια οικοδομην λαβῃ.

Νεφθαρ, ὁ διερμηνευεται Καθαρισμος. 2 Mac. i. 36. αυτοι δε ουκ ῃδεισαν, ὁτι ακουει Ιωσηφ· ὁ γαρ ἑρμηνευτης ανα μεσον αυτων ην. Gen. xlii. 23. εκτος ει μη. 1 Tim. v. 19. [Winer. § 67. p. 445.]

6 Νυνι δε, αδελφοι, εαν ελθω προς ὑμας γλωσσαις λαλων, τι ὑμας ωφελησω, εαν μη ὑμιν λαλησω η εν αποκαλυψει, η εν γνωσει, η εν προφητειᾳ, η εν διδαχῃ;

ωφελειαν ουκ ωφελησουσι τον λαον τουτον. Jer. xxiii. 32. Conf. Ephes. i. 17. τι ωφελησεν ἡμας ἡ ὑπερηφανια; Sap. v. 8. σωζειν εν πολλοις η εν ολιγοις. 1 Reg. xiv. 6. Conf. 1 Reg. xii. 21.

7 Ὁμως τα αψυχα φωνην διδοντα, ειτε αυλος, ειτε κιθαρα, εαν διαστολην τοις φθογγοις μη δῳ, πως γνωσθησεται το αυλουμενον η το κιθαριζομενον;

ποιησον σεαυτῳ δυο σαλπιγγας—και εσονται σοι ανακαλειν την συναγωγην, κ. τ. λ. Num. x. 2. αψυχοις γαρ πεποιθοτες ειδωλοις. Sap. xiv. 29. μετα γαρ κιθαρας και ψαλτηριου και—αυλων. Esa. v. 12. Conf. Ezech. xxxiii. 32. ὡσπερ εν ψαλτηριῳ φθογγοι του ῥυθμου. Sap. xix. 18. αυλος. 1 Reg. x. 5. ειτε—ειτε. Ruth. iii. 10. alii. [ὁμως· πλην. ὁμως· ὁμοιως. Albert. Hesych.]

8 Και γαρ εαν αδηλον φωνην σαλπιγξ δῳ, τις παρασκευασεται εις πολεμον;

παρεσκευασμενοι—εις πολεμον. Jer. xxvii. 42. και γαρ. Job. v. 2. Sir. xlviii. 12. και ου μη πιστευσει, ἑως αν σημανῃ σαλπιγξ. Job. xxxix. 24. Esa. xxvii. 13. [Conf. Jos. Bell. Jud. ii. 20. 7.]

9 Οὑτω και ὑμεις δια της γλωσσης εαν μη ευσημον λογον δωτε, πως γνωσθησεται το λαλουμενον; εσεσθε γαρ εις αερα λαλουντες.

[ευσημον· ευδηλον, φανερον. Hesych.] Conf. Ezech. xxxiii. 3-6.

10 Τοσαυτα, ει τυχοι, γενη φωνων εστιν εν κοσμῳ, και ουδεν αυτων αφωνον·

ην πασα ἡ γη χειλος ἑν, και φωνη μια πασι. *Gen. xi.* 1. και εβοησε φωνῃ μεγαλῃ Ιουδαϊστι. 4 *Reg. xviii.* 28. [ει τυχοι, *verbi causâ.* μουσικον, ει τυχοι, και γραμματικον και γεωμετρικον κ.τ.λ. *Philo. de Nom. Mut. p.* 1067.]

11 Εαν ουν μη ειδω την δυναμιν της φωνης, εσομαι τῳ λαλουντι βαρβαρος· και ὁ λαλων, εν εμοι βαρβαρος·

δυναμιν σοφιας. *Job. xi.* 6. λαος βαρβαρος. *Ps. cxiii.* 1. αλλοφωνος. *Sym.* ἑτερογλωσσος. *Aq.* εν εμοι = εις με, *ad me loquens. Conf. Jud. vi.* 35. *Sir. xlii.* 12. [*Conf. Ottium in loc.*]

12 Οὑτω και ὑμεις, επει ζηλωται εστε πνευματων, προς την οικοδομην της εκκλησιας ζητειτε ἱνα περισσευητε.

και ζηλωτην των νομων. 2 *Mac. iv.* 2. και περισσευσει πασι τοις αγαθοις. *Jer. xxxvii.* 12. *Comp. Theodor.*

13 Διοπερ ὁ λαλων γλωσσῃ προσευχεσθω ἱνα διερμηνευῃ.

[ουχ ἡγουμενοι τον Ιωσηπον γλωττης της αυτων συνιεναι, κ.τ.λ. *Jos. Ant. ii.* 6. 4.] *Conf.* 4 *Reg. xviii.* 26. *Neh. xiii.* 24. διοπερ. 2 *Mac. v.* 20.

14 Εαν γαρ προσευχωμαι γλωσσῃ, το πνευμα μου προσευχεται, ὁ δε νους μου ακαρπος εστι.

πονος ακαρπος. *Sap. xv.* 4. νους. *Jos. xiv.* 7.

15 Τι ουν εστι; προσευξομαι τῳ πνευματι, προσευξομαι δε και τῳ νοϊ· ψαλω τῳ πνευματι, ψαλω δε και τῳ νοϊ.

ψαλω τῳ ονοματι Κυριου του Ὑψιστου. *Ps. vii.* 17. *Conf. Ephes. v.* 19. *Col. iii.* 16. ψαλατε συνετως. *Ps. xlvi.* 7. εξομολογησομαι σοι—και εν τῳ ονοματι σου ψαλω. 2 *Reg. xxii.* 50.

16 Επει εαν ευλογησῃς τῳ πνευματι, ὁ αναπληρων τον τοπον του ιδιωτου πως ερει το αμην επι τῃ σῃ ευχαριστιᾳ, επειδη τι λεγεις ουκ οιδε;

ευλογημενος Κυριος ὁ Θεος απο του αιωνος και ἑως του αιωνος. και ερει πας ὁ λαος, Αμην. 1 *Par. xvi.* 36. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *Tob. viii.* 8. 3 *Mac. vii.* 23. επειδη. *Job. ix.* 29. *Jer. xxv.* 8. μη στησῃς αυτον παρα σεαυτον, μη ανατρεψας σε στῃ επι τον τοπον σου. *Sir. xii.* 12. [ιδιωτης ανηρ και μηδεμιας ισχυος ευπορων. *Jos. Ant. ii.* 12. 2. *viii.* 11. 1. στρατιωτου ταξιν αποπληρουντα. *Bell. Jud. v.* 2. 5.] [τουτ᾽ εννοητεον, ὁτι τον αγγελου τοπον επεσχε. *Philo de Somn. p.* 600.]

17 Συ μεν γαρ καλως ευχαριστεις, αλλ᾽ ὁ ἑτερος ουκ οικοδομειται.

μεγαλως ευχαριστουμεν αυτῳ. 2 Mac. i. 11. παρα ταυτα παντα ευχαριστησωμεν Κυριῳ. Judith. viii. 25.

18 Ευχαριστω τῳ Θεῳ μου, παντων ὑμων μαλλον γλωσσαις λαλων·

Conf. Rom. xv. 19. Cap. iv. 7.

19 Αλλ᾽ εν εκκλησιᾳ θελω πεντε λογους δια του νοος μου λαλησαι, ἱνα και αλλους κατηχησω, η μυριους λογους εν γλωσσῃ.

κατηχησω. Conf. Rom. ii. 18. Gal. vi. 6. κατηχουμενος τον λογον. [αυτος δε πολλα κατηχησω των αγνοουμενων. Jos. Vit. § 65.] ελεον θελω (i. e. μαλλον θελω) η θυσιαν, κ. τ. λ. Ose. vi. 7. [πονοι μυριοι. Jos. Ant. v. 3. 2.]

20 Αδελφοι, μη παιδια γινεσθε ταις φρεσιν· αλλα τῃ κακιᾳ νηπιαζετε, ταις δε φρεσι τελειοι γινεσθε.

Conf. Matt. xi. 25. xviii. 3. Ps. cxxx. 2. Ephes. iv. 14. Heb. v. 12. 1 Pet. ii. 2. σοφοι εισι του κακοποιησαι, το δε καλως ποιησαι ουκ επεγνωσαν. Jer. iv. 22. ου χρειαν εχει σοφιας ενδεης φρενων. Prov. xviii. 2. τοις ενδεεσι φρενων ειπεν, Ελθατε, φαγετε. ix. 4. [ουδενος ὁ τελειος δειται—τῳ δε νηπιῳ χρεια εστι παραινεσεως και διδασκαλιας. Philo, 2 Alleg. p. 57. Loesner.]

21 Εν τῳ νομῳ γεγραπται, ὁτι, Εν ἑτερογλωσσοις, και εν χειλεσιν ἑτεροις, λαλησω τῳ λαῳ τουτῳ, και ουδ᾽ οὑτως εισακουσονται μου, λεγει Κυριος.

καθως γεγραπται εν νομῳ Μουση. 2 Par. xxiii. 18. Conf. Joan. x. 34. xv. 25. δια φαυλισμον χειλεων, δια γλωσσης ἑτερας, ὁτι λαλησουσι τῳ λαῳ τουτῳ—και ουκ ηθελησαν ακουειν. Esa. xxviii. 11. εν ἑτερογλωσσαις και εν χειλεσιν ἑτεροις κ. τ. λ. Ps. cxiii. 1. Aq. ελαλησα ὑμιν. Jer. vii. 13. και ουκ εισηκουσατε μου· και παρεβητε. Deut. i. 43. Esa. i. 19. ελαλησα—και ουκ εισηκουσατε μου. Jer. vii. 13. Ald. [εὑρον τα ισοδυναμουντα τῃ λεξει ταυτῃ εκ τῃ του Ακυλου ἑρμηνειᾳ κειμενα. Orig. Monfauc. ii. p. 428.] επαξει επι σε Κυριος εθνος μακροθεν απ᾽ εσχατου της γης—εθνος ὁ ουκ ακουσῃ της φωνης αυτου. Deut. xxviii. 49. CITAT. 199.

22 Ὡστε αἱ γλωσσαι εις σημειον εισιν ου τοις πιστευουσιν, αλλα τοις απιστοις· ἡ δε προφητεια ου τοις απιστοις, αλλα τοις πιστευουσιν.

ὡστε. Sap. vi. 25. ποιησον μετ᾽ εμου σημειον εις αγαθον, και ιδε-

τωσαν οἱ μισουντες με, και αισχυνθητωσαν. *Ps. lxxxv.* 17. = εσονται—εις παραδειγμα. *Jer. ix.* 22.

23 Εαν ουν συνελθῃ ἡ εκκλησια ὁλη επι το αυτο, και παντες γλωσσαις λαλωσιν, εισελθωσι δε ιδιωται η απιστοι, ουκ ερουσιν ὁτι μαινεσθε;

συνηλθον ουν προς αυτον παντες οἱ υἱοι Λευι. *Exod. xxxii.* 26. εκκλησια ὑψιστου. *Jer. xxiv.* 2. ανθρωπος ὁ πνευματοφορος. ὑπο του πληθους των αδικιων σου επληθυνθη μανια σου. *Ose. ix.* 7. *Sap. xiv.* 28. και δια τουτο εγενηθη εις παραβολην, Η και Σαουλ εν προφηταις; 1 *Reg. x.* 10-13.

24 Εαν δε παντες προφητευωσιν, εισελθῃ δε τις απιστος η ιδιωτης, ελεγχεται ὑπο παντων, ανακρινεται ὑπο παντων,

ελεγξω σε, και παραστησω κατα προσωπον σου. *Ps. xlix.* 21. [ανακρινω· το πραχθεν εξεταζω, ει καλως η κακως επραχθη. *Phav.*] *Conf. Joan. i.* 47. *Act. ii.* 37.

25 Και οὑτω τα κρυπτα της καρδιας αυτου φανερα γινεται· και οὑτω πεσων επι προσωπον προσκυνησει τῳ Θεῳ, απαγγελλων ὁτι ὁ Θεος οντως εν ὑμιν εστι.

και αποκαλυψει Κυριος τα κρυπτα σου. *Sir. i.* 30. αυτος γαρ γινωσκει τα κρυφια της καρδιας. *Ps. xliii.* 21. και ακουσας Μωυσης επεσεν επι προσωπον. *Num. xvi.* 4. *xx.* 6. και Ιησους επεσε —και προσεκυνησεν αυτῳ. *Jos. v.* 15. *Ald.* ειπαν ουν οἱ επαοιδοι τῳ Φαραῳ, Δακτυλος Θεου εστι τουτο. *Exod. viii.* 19. πορευσομεθα μετα σου, διοτι ακηκοαμεν ὁτι ὁ Θεος μεθ᾽ ὑμων εστι. *Zach. viii.* 23. *Conf. Esa. xlv.* 14. *Gen. xli.* 38. *Deut. iv.* 6.

26 Τι ουν εστιν, αδελφοι; ὁταν συνερχησθε, ἑκαστος ὑμων ψαλμον εχει, διδαχην εχει, γλωσσαν εχει, αποκαλυψιν εχει, ἑρμηνειαν εχει· παντα προς οικοδομην γενεσθω.

Conf. 4. *sup. xii.* 8-10. 2 *Cor. xii.* 19. *Ephes. iv.* 12.

27 Ειτε γλωσσῃ τις λαλει, κατα δυο η το πλειστον τρεις, και ανα μερος· και εἱς διερμηνευετω.

28 Εαν δε μη ῃ διερμηνευτης, σιγατω εν εκκλησιᾳ· ἑαυτῳ δε λαλειτω και τῳ Θεῳ.

29 Προφηται δε δυο η τρεις λαλειτωσαν, και οἱ αλλοι διακρινετωσαν·

ους μεν γαρ ῥηματα διακρινει. *Job. xii.* 11. 1 *Joan. iv.* 1.

30 Εαν δε αλλῳ αποκαλυφθῃ καθημενῳ, ὁ πρωτος σιγατω.
Conf. Jer. xxxii. 2. *Job.* xxxii. 15-20. xxxiii. 31-33.

31 Δυνασθε γαρ καθ' ἑνα παντες προφητευειν, ἱνα παντες μανθανωσι, και παντες παρακαλωνται·

εμνησθην των κριματων σου—και παρεκληθην. *Ps.* cxviii. 52. *Esa.* xl. 1. *Conf. Rom.* xii. 7. καθ' ἑν. *Esa.* xxvii. 12.

32 Και πνευματα προφητων προφηταις ὑποτασσεται·

ὁ ὑποτασσων τον λαον μου ὑπ' εμε. *Ps.* cxliii. 2. δικαιον ὑποτασσεσθαι τῳ Θεῳ. 2 *Mac.* ix. 12. και, *nam. Sir.* ii. 17. *Jud.* v. 14. *Conf.* 1 *Thess.* v. 19, 20. 1 *Joan.* iv. 1. 1 *Reg.* xix. 20. 4 *Reg.* ii. 3-5. *Jer.* xx. 9. *Job.* xxxii. 8-11.

33 Ου γαρ εστιν ακαταστασιας ὁ Θεος, αλλ' ειρηνης, ὡς εν πασαις ταις εκκλησιαις των ἁγιων.

αρχων ειρηνης. *Esa.* ix. 6. *Alex. Ald. Comp.* και της ειρηνης αυτου ουκ εστιν ὁριον. ix. 7. *Conf. cap.* xi. 16. xii. 25. στομα δε αστεγον ποιει ακαταστασιας. *Prov.* xxvi. 28. ὁ εαν παραδιδως εν αριθμῳ και σταθμῳ. *Sir.* xlii. 7. εν βουλῃ ἁγιων. *Ps.* lxxxviii. 7. εν εκκλησιαις ευλογειτε τον Θεον. lxvii. 26. *Conf.* 1 *Esd.* i. 10.

34 Αἱ γυναικες ὑμων εν ταις εκκλησιαις σιγατωσαν· ου γαρ επιτετραπται αυταις λαλειν, αλλ' ὑποτασσεσθαι, καθως και ὁ νομος λεγει.

εν εκκλησιαις ευλογησω σε. *Ps.* xxv. 12. ανθρωπῳ δε επετρεψατε λαλησαι τοιαυτα ῥηματα. *Job.* xxxii. 14. καιρος του σιγᾳν και καιρος του λαλειν. *Eccles.* iii. 7. και προς τον ανδρα σου ἡ αποστρεφη σου, και αυτος σου κυριευσει. *Gen.* iii. 16. δοσις Κυριου γυνη σιγηρα. *Sir.* xxvi. 14. ὑποταγηθι τῳ Κυριῳ. *Ps.* xxxvi. 7. lxi. 5. ὁ νομος. *Conf. Neh.* viii. 2.

35 Ει δε τι μαθειν θελουσιν, εν οικῳ τους ιδιους ανδρας επερωτατωσαν· αισχρον γαρ εστι γυναιξιν εν εκκλησιᾳ λαλειν.

και οὑτω πασαι αἱ γυναικες περιθησουσι τιμην τοις ανδρασιν ἑαυτων, απο πτωχου ἑως πλουσιου. *Est.* i. 20. *Job.* xiii. 5.

36 Η αφ' ὑμων ὁ λογος του Θεου εξηλθεν; η εις ὑμας μονους κατηντησεν;

εις ἑαυτον κατηντησε την αρχιερωσυνην. 2 *Mac.* iv. 24. εκ Σιων εξελευσεται νομος, κ. τ. λ. *Mich.* iv. 2. *Ps.* xviii. 4. η μεθ' ὑμων τελευτησει σοφια; *Job.* xii. 2.

37 Ει τις δοκει προφητης ειναι η πνευματικος, επιγινωσκετω ἁ γραφω ὑμιν, ὁτι του Κυριου εισιν εντολαι·

Conf. 2 *Mac.* ix. 25-27. ἡ εντολη Κυριου κ. τ. λ. *Ps.* xviii. 8.

38 Ει δε τις αγνοει, αγνοειτω.

ὁ απειθων απειθειτω. *Ezech.* iii. 27. *Ose.* iv. 17. εν μεγαλῳ και εν μικρῳ μη αγνοει. *Sir.* v. 15.

39 Ὡστε, αδελφοι, ζηλουτε το προφητευειν, και το λαλειν γλωσσαις μη κωλυετε.

και εζηλωσα το αγαθον. *Sir.* li. 24. κωλυσον αυτους, κ. τ. λ. *Num.* xi. 28, 29. ιδου τα χειλη μου ου μη κωλυσω. *Ps.* xxxix. 9.

40 Παντα ευσχημονως και κατα ταξιν γινεσθω.

ἑωσφορος δε ειδεν την ἑαυτου ταξιν. *Job.* xxxviii. 12. αλλα παντα μετρῳ και αριθμῳ και σταθμῳ διεταξας. *Sap.* xi. 20. Ἱερουσαλημ οικοδομουμενη ὡς πολις, ἧς ἡ μετοχη αυτης επιτοαυτο. *Ps.* cxxi. 3. *Col.* ii. 5. *Tit.* i. 5. *Cap.* xi. 34.

ΚΕΦ. ιε. 15.

ΓΝΩΡΙΖΩ δε ὑμιν, αδελφοι, το ευαγγελιον ὁ ευηγγελισαμην ὑμιν, ὁ και παρελαβετε, εν ᾡ και ἑστηκατε,

γνωρισον μοι Κυριε ὁδον εν ᾗ πορευσομαι. *Ps.* cxlii. 8. ευηγγελισαμην δικαιοσυνην εν εκκλησιᾳ μεγαλῃ. *Ps.* xxxix. 9. και το σωτηριον Κυριου ευαγγελιουνται. *Esa.* lx. 6. και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 *Reg.* xxiii. 3. ιδου ευλογειν παρειλημμαι. *Num.* xxiii. 20. *Conf. Gal.* i. 11, 12. *Marc.* iv. 16. *Joan.* xii. 48. *Esa.* lxi. 1. *Neh.* vi. 7. *Jon.* iii. 2.

2 Δι᾽ οὑ και σωζεσθε, τινι λογῳ ευηγγελισαμην ὑμιν ει κατεχετε, εκτος ει μη εικη επιστευσατε.

σωσον με, και σωθησομαι, ὁτι καυχημα μου συ ει. *Jer.* xvii. 14. και καθεξει με ἡ δεξια σου. *Ps.* cxxxviii. 10. κατεχετω λογους μου εις σην καρδιαν. *Prov.* iv. 4. *Sym.* υἱε εμων νομιμων μη επιλανθανου, τα δε ῥηματα μου τηρειτω ση καρδια. iii. 1. και επιστευσαν τοις λογοις αυτου. κ. τ. λ. *Ps.* cv. 12, 13. *Conf. Rom.* i. 6. *Cap.* i. 21. *Gal.* iii. 4. εικῃ. *Ps.* cxxvi. 2. *Aq.* μη παραδῳς τοις θηριοις ψυχην εξομολογουμενην σοι, κ. τ. λ. lxxiii. 19.

3 Παρεδωκα γαρ ὑμιν εν πρωτοις, ὁ και παρελαβον· ὁτι Χριστος απεθανεν ὑπερ των ἁμαρτιων ἡμων, κατα τας γραφας.

εν πρωτοις. *Esa.* lx. 9. ἁ παρελαβον κρατειν. *Marc.* vii. 4. και αναλαβε τα ῥηματα αυτου εν καρδιᾳ σου. *Job.* xxii. 22. δυο αι-

γων αμωμους ὑπερ ἁμαρτιας. *Ezech. xliii.* 22. προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου. 2 *Mac. i.* 26. ει δω πρωτοτοκα μου ὑπερ ασεβειας (*Comp.* ἁμαρτιας); *Mich. vi.* 7. 1 *Esd. vii.* 7, 8. ανθ' ὡν παρεδοθη εις θανατον ἡ ψυχη αυτου. *Esa. liii.* 12. και δια τας ανομιας αυτων παρεδοθη. *Ib.* και εις χουν θανατου κατηγαγες με. *Ps. xxi.* 15. *Conf. Dan. ix.* 24. *Ose. vi.* 2. *Zach. xiii.* 7. *Cap. i.* 23. 1 *Pet. i.* 11. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. παντα ὁσα απεσταλκας προς τον δουλον σου εν πρωτοις (*sc.* χρονοις) ποιησω. 3 *Reg. xxi.* 9. *Conf.* 2 *Par. xvii.* 9. *Sir. xxiv.* 23. *Bar. i.* 14.

4 Και ὁτι εταφη, και ὁτι εγηγερται τῃ τριτῃ ἡμερᾳ, κατα τας γραφας·

και δωσω τους πονηρους αντι της ταφης αυτου, και τους πλουσιους αντι του θανατου αυτου. *Esa. liii.* 9. ὑγιασει ἡμας μετα δυο ἡμερας· εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, και ζησομεθα ενωπιον αυτου. *Ose. vi.* 3. ὁτι ουκ εγκαταλειψεις την ψυχην μου εις ᾁδην, ουδε δωσεις τον ὁσιον σου ιδειν διαφθοραν. *Ps. xv.* 10. *Conf. Matt. xii.* 40. *Act. ii.* 25. δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8. *Job. xli.* 27.

5 Και ὁτι ωφθη Κηφᾳ, ειτα τοις δωδεκα.

και ωφθη Κυριος τῳ Ἀβραμ. *Gen. xvii.* 1. *et pass.* οἱ δωδεκα. *Conf.* 2 *Reg. xxiii.* 18-23. [εφανη γαρ αυτοις τριτην εχων ἡμεραν παλιν ζων, κ. τ. λ. *Jos. Ant. xviii.* 3. 2.]

6 Επειτα ωφθη επανω πεντακοσιοις αδελφοις εφαπαξ, εξ ὡν οἱ πλειους μενουσιν ἑως αρτι, τινες δε και εκοιμηθησαν·

απο εικοσαετους και επανω. *Exod. xxx.* 14. *xxxviii.* 26. *Comp. Lev. xxvii.* 7. πλειους. *Jon. iv.* 11. και εκοιμηθη μετα των πατερων αυτου. 3 *Reg. xi.* 21. *et pass.* εστιν ασεβης μενων εν κακιᾳ αυτου. *Eccles. vii.* 16. αδελφοι. *Deut. xv.* 2, 3. *Ps. cxxxii.* 1. *Matt. xxvi.* 32.

7 Επειτα ωφθη Ιακωβῳ, ειτα τοις αποστολοις πασιν.

Conf. Luc. xxiv. 50. *Act. i.* 2-12.

8 Εσχατον δε παντων, ὡσπερει τῳ εκτρωματι, ωφθη καμοι.

εσχατον του θανατου μου. *Deut. xxxi.* 27. 29. [ὡσπερει. *Jos. Ant. iii.* 7. 1.] ὡσπερ εκτρωμα εκπορευομενον εκ μητρας. *Job. iii.* 16. [*Conf. Middleton in loc.*] [εκτρωμα· παιδιον νεκρον, αωρον, εκβολη γυναικος. *Hesych.*] *Ps. liii.* 8. *Aq. Sym. Theod.* ὡσει ισον θανατῳ, ὡσει εκτρωμα κ. τ. λ. *Num. xii.* 12. [*Citat Philo, p.* 41. *Edit. Col.*] *Conf. Sturz. de Voc. Alex. p.* 164.

9 Εγω γαρ ειμι ὁ ελαχιστος των αποστολων· ὁς ουκ ειμι ἱκανος καλεισθαι αποστολος, διοτι εδιωξα την εκκλησιαν του Θεου·

ελαχιστος. *Conf. Matt. v.* 19. και τις εσται ἱκανος αυτῃ; *Joel. ii.* 11. και εγω ειμι μικροτερος εν οικῳ του πατρος μου. *Jud. vi.* 15. ἱκανος ειμι απο πασης δικαιοσυνης. *Gen. xxxii.* 10. *Ald. Conf. Act. viii.* 3. *ix.* 1. 2 *Cor. xi.* 5.

10 Χαριτι δε Θεου ειμι ὁ ειμι· και ἡ χαρις αυτου ἡ εις εμε ου κενη εγενηθη, αλλα περισσοτερον αυτων παντων εκοπιασα· ουκ εγω δε, αλλ᾽ ἡ χαρις του Θεου ἡ συν εμοι.

ουχι λογος κενος οὑτος ὑμιν. *Deut. xxxii.* 47. και εγω ειπα, Κενως εκοπιασα. *Esa. xlix.* 4. *Sir. vi.* 19. γνους δε ὁτι ουκ αλλως εσομαι εγκρατης, εαν μη ὁ Θεος δῳ. *Sap. viii.* 21. ἑως ενταυθα εβοηθησεν ἡμιν Κυριος. 1 *Reg. vii.* 12. *Conf. Rom. xv.* 18. 2 *Cor. xi.* 23. *xii.* 11. *Gal. ii.* 2. *Matt. x.* 20. *Sap. ix.* 10.

11 Ειτε ουν εγω, ειτε εκεινοι, οὑτω κηρυσσομεν, και οὑτως επιστευσατε.

επιστευσα, διο ελαλησα. *Ps. cxv.* 10. ειτε—ειτε. *Ruth. iii.* 10.

12 Ει δε Χριστος κηρυσσεται, ὁτι εκ νεκρων εγηγερται, πως λεγουσι τινες εν ὑμιν, ὁτι αναστασις νεκρων ουκ εστιν;

ὁ εγειρας νεκρον εκ θανατου και εξ ᾁδου. *Sir. xlviii.* 5. *Conf. Luc. xiv.* 14. *xx.* 27. ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43. και απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos. iv.* 13. και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. *Dan. xii.* 13. *Ps. xvi.* 15. *Ose. xiii.* 14. 4 *Mac.* § 16.

13 Ει δε αναστασις νεκρων ουκ εστιν, ουδε Χριστος εγηγερται·

Ιδου εγω ανοιγω τα μνηματα ὑμων, και αναξω ὑμας εκ των μνηματων ὑμων, κ. τ. λ. *Ezech. xxxvii.* 12. 2 *Reg. xii.* 23.

14 Ει δε Χριστος ουκ εγηγερται, κενον αρα το κηρυγμα ἡμων, κενη δε και ἡ πιστις ὑμων.

και ειπα, Αρα ματαιως εδικαιωσα την καρδιαν μου, και ενιψαμην εν αθωοις τας χειρας μου. *Ps. lxxii.* 13. *Conf. Esa. xlix.* 4. *Conf. Sap. v.* 1-5.

15 Εὑρισκομεθα δε και ψευδομαρτυρες του Θεου, ὁτι εμαρτυρησαμεν κατα του Θεου, ὁτι ηγειρε τον Χριστον, ὁν ουκ ηγειρεν, ειπερ αρα νεκροι ουκ εγειρονται·

εαν εὑρεθῃ. *Exod. xxii.* 7. και εργοις εὑρεθης—ανδρος δυνατωτερα. 4 *Mac.* § 16. ου ψευδομαρτυρησεις—μαρτυριαν ψευδη. *Exod. xx.*

16. κατα προσωπον μαρτυρουσα. Deut. xxxi. 21. ωμοσε κατα του θρονου. Judith. i. 12. κατ' εμαυτου ομνυω. Esa. xlv. 23. Amos. iv. 2. Conf. Act. ii. 24. 32. Job. xiii. 7-10.

16 Ει γαρ νεκροι ουκ εγειρονται, ουδε Χριστος εγηγερται·

17 Ει δε Χριστος ουκ εγηγερται, ματαια ἡ πιστις ὑμων, ετι εστε εν ταις ἁμαρτιαις ὑμων·

και επι την ελπιδα αυτων την ματαιαν. Esa. xxxi. 2. εν ταις ἁμαρτιαις αυτου αποθανειται. Ezech. iii. 20. xxxiii. 18. Conf. Rom. iv. 25. Act. v. 31. και ανακεκαλυμμενα ταυτα εστιν εν τοις ωσι Κυριου σαβαωθ, ὁτι ουκ αφεθησεται ὑμιν αὑτη ἡ ἁμαρτια ἑως αν αποθανητε. Esa. xxii. 14.

18 Αρα και οἱ κοιμηθεντες εν Χριστῳ, απωλοντο.

οἱ νεκροι οἱ εν Κυριῳ αποθνησκοντες. Apoc. xiv. 13. εν λυπῃ κοιμηθησεσθε. Esa. l. 11. ὁ Θεος τους κοιμηθεντας δια του Ιησου αξει συν αυτῳ. 1 Thess. iv. 14. οιδα γαρ ὁτι αενναος εστιν ὁ εκλυειν με μελλων, κ. τ. λ. Job. xix. 25, 26.

19 Ει εν τῃ ζωῃ ταυτῃ ηλπικοτες εσμεν εν Χριστῳ μονον, ελεεινοτεροι παντων ανθρωπων εσμεν.

και εν ζωῃ αυτου εποιησε τερατα, και εν τελευτῃ θαυμασια. Sir. xlviii. 14. εν Κυριῳ Θεῳ Ισραηλ ηλπισε. 4 Reg. xviii. 5. = προτερα παντων. Sir. i. 4. [ελεεινος· ὁ ελεους αξιος. Suid. ταλαιπωρος. Hesych.] Conf. 2 Tim. iii. 12. Bar. iii. 3. Ps. xvi. 14. ει γαρ μη τους προπεπτωκοτας αναστηναι προσεδοκα, περισσον αν ην και ληρωδες ὑπερ νεκρων προσευχεσθαι. 2 Mac. xii. 44. ακηκοα τοιαυτα πολλα, παρακλητορες κακων παντες. Job. xvi. 2.

20 Νυνι δε Χριστος εγηγερται εκ νεκρων, απαρχη των κεκοιμημενων εγενετο.

απαρχαι παντων, και τα πρωτοτοκα παντων. Ezech. xliv. 30. xlviii. 21. Num. xviii. 12. 19. Conf. Act. xxvi. 23. Col. i. 18. 1 Pet. i. 3. Apoc. i. 5. αναστησονται οἱ νεκροι, και εγερθησονται οἱ εν τοις μνημειοις, κ. τ. λ. Esa. xxvi. 19.

21 Επειδη γαρ δι' ανθρωπου ὁ θανατος, και δι' ανθρωπου αναστασις νεκρων.

ὁτι ὁ Θεος θανατον ουκ εποιησεν—ασεβεις δε ταις χερσι και τοις λογοις προσεκαλεσαντο αυτον. Sap. i. 13-16. ii. 24. Conf. Gen. ii. 17. iii. 6. Rom. v. 12, 18. vi. 23. Joan. vi. 39. 54.

22 Ὡσπερ γαρ εν τῳ Αδαμ παντες αποθνησκουσιν, οὑτω και εν τῳ Χριστῳ παντες ζωοποιηθησονται.

εν τῳ Αδαμ. = *δι' ἑνος ανθρωπου. Rom. v.* 12. *ενευλογηθησονται εν αυτῳ παντα τα εθνη. Gen. xviii.* 18. *ζωοποιηθησονται. Joan. v.* 21. *Rom. iv.* 17. *viii.* 11. *Ps. lxx.* 20. 4 *Reg. v.* 7. *Neh. ix.* 6. *απο γυναικος αρχη ἁμαρτιας, και δι' αυτην αποθνησκομεν παντες. Sir. xxv.* 24.

23 Ἑκαστος δε εν τῳ ιδιῳ ταγματι· απαρχη Χριστος, επειτα οἱ Χριστου εν τῃ παρουσιᾳ αυτου·

ἑκαστος εχομενος κατα ταγμα αυτων. Num. ii. 17. *Alex. Ald. παρουσια.* 2 *Mac. viii.* 12. *Matt. xxiv.* 3. 37. [*ἑως παρουσιας του Θεου της δικαιοσυνης. Test. XII Patr. p.* 614.] 1 *Thess. iv.* 15-17. *Rom. xiv.* 9. *ανηρ εν τῃ ἑαυτου ταξει. Num. i.* 52. [*ἑκαστος ὑμων, αδελφοι, εν τῳ ιδιῳ ταγματι. Clem. Rom. i.* 41. *κατανοησωμεν, αγαπητοι, πως ὁ Δεσποτης επιδεικνυται διηνεκως ἡμιν την μελλουσαν αναστασιν εσεσθαι, ἡς την απαρχην εποιησατο τον Κυριον Ιησουν Χριστον, εκ νεκρων αναστησας. κ. τ. λ. Id.* § 24.]

24 Ειτα το τελος, ὁταν παραδῳ την βασιλειαν τῳ Θεῳ και πατρι, ὁταν καταργησῃ πασαν αρχην και πασαν εξουσιαν και δυναμιν·

εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. Job. x. 12. *ἑως καιρου συντελειας, ἑως διδαχθωσι πολλοι, και πληθυνθῃ ἡ γνωσις. Dan. xii.* 4. *και ἡ κυρεια αυτου ἑως τελους. vi.* 26. *και εις το τελος των καιρων—επελευσεται. xi.* 13. *vii.* 14. *και κατηργησαν αυτους εν ἱπποις και δυναμει. Esd. iv.* 23. *Θεος και (simulque) πατηρ. Conf. cap. ii.* 2. *Susan.* 41. *Esa. xxvii.* 1. [*ὁ Κυριος και Θεος ευεργετης εστι. Philo. p.* 309. *αρχιερεα και βασιλεα· ὁ γαρ αυτος ην. Ib. p.* 658. *Middleton. p.* 58.] *Cap. ii.* 2. *Esa. xxvii.* 1. *xxxiv.* 16. *Jud. viii.* 27. *Gen. xiii.* 15.

25 Δει γαρ αυτον βασιλευειν, αχρις οὑ αν θῃ παντας τους εχθρους ὑπο τους ποδας αὑτου.

αχρις οὑ. Job. xxxii. 11. *ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. Ps. cix.* 1. *και πεσουνται ὑπο τους ποδας μου.* 2 *Reg. xxii.* 39. *και βασιλευσει αυτων Κυριος εις τους αιωνας. Sap. iii.* 8. *Conf. Act. ii.* 34. *Ephes. i.* 20. *Col. iii.* 1. *Heb. i.* 13. *x.* 13. [*εδει ἱνα επι ξυλον παθῃ. Barnab.*] *CITAT.* 200.

26 Εσχατος εχθρος καταργειται ὁ θανατος.

Conf. Esa. xxv. 8. *Ose. xiii.* 14. *Luc. xx.* 38. 2 *Tim. i.* 10. *ω θανατε, ὡς πικρον σου το μνημοσυνον κ. τ. λ. Sir. xli.* 1.

27 Παντα γαρ ὑπεταξεν ὑπο τους ποδας αυτου· ὁταν δε ειπῃ

ὅτι παντα ὑποτετακται, δηλον ὅτι εκτος του ὑποταξαντος αυτῳ τα παντα·

παντα ὑπεταξας ὑποκατω των ποδων αυτου. *Ps. viii.* 6. εκτος σου, αλλον ουκ οιδαμεν. *Esa. xxvi.* 13. *Dan. xi.* 4. *Conf. Matt. xi.* 27. *Ephes. i.* 22. *Heb. ii.* 8. 1 *Pet. iii.* 22. *Apoc. xx.* 14. *xxi.* 4. [ὅσα γαρ θνητα εν τοις τρισι στοιχειοις, γῃ, ὑδατι, αερει, παντα ὑπεταττεν αυτῳ, τα καθ' ουρανον εξελομενος. (*de domin. hom.*) *Philo de Opific. p.* 19.] *CITAT.* 201.

28 Ὁταν δε ὑποταγῃ αυτῳ τα παντα, τοτε και αυτος ὁ υἱος ὑποταγησεται τῳ ὑποταξαντι αυτῳ τα παντα, ἱνα ᾐ ὁ Θεος τα παντα εν πασιν.

ουχι τῳ Θεῳ ὑποταγησεται ἡ ψυχη μου; *Ps. lxi.* 1. *Sap. viii.* 14. εγω Θεος πρωτος, και εις τα επερχομενα Εγω Ειμι. *Esa. xli.* 4. *Conf. cap. iii.* 23. *xi.* 3. *Ephes. i.* 10. *Matt. xiii.* 41. *Phil. iii.* 21.

29 Επει τι ποιησουσιν οἱ βαπτιζομενοι ὑπερ των νεκρων; ει ὁλως νεκροι ουκ εγειρονται, τι και βαπτιζονται ὑπερ των νεκρων;

ὑπερ νεκρων προσευχεσθαι. 2 *Mac. xii.* 44. και ου μη κλασθῃ αρτος εν πενθει αυτων εις παρακλησιν επι τεθνηκοτι, κ. τ. λ. *Jer. xvi.* 7. βαπτιζομενοι ὑπερ των νεκρων. (*propter mortuos, i. e. ut veniant ad mortuos.*) = *Joan. xi.* 4. ὑπερ της δοξης του Θεου (*propter gloriam Dei*). *Elsner. Conf. Ottium in loc.*

30 Τι και ἡμεις κινδυνευομεν πασαν ὡραν;

πλεονακις ἑως θανατου εκινδυνευσα. *Sir. xxxi.* 12. πασαν ὡραν, *perpetuo. Exod. xviii.* 22, 26. *Lev. xvi.* 2.

31 Καθ' ἡμεραν αποθνησκω, νη την ἡμετεραν καυχησιν, ἡν εχω εν Χριστῳ Ιησου τῳ Κυριῳ ἡμων.

ενιαυτον κατ' ενιαυτον. *Deut. xiv.* 22. θανατουμεθα ὁλην την ἡμεραν, κ. τ. λ. *Ps. xliii.* 22. νη την ὑγιειαν Φαραω. *Gen. xlii.* 15, 16. *Conf. Rom. viii.* 36. *Cap. iv.* 9. 2 *Cor. iv.* 10. 1 *Thess. ii.* 19. [καθ' ἑκαστην ἡμεραν, μαλλον δε ὡραν προαποθνησκω, πολλους θανατους ὑπομενων, ανθ' ἑνος του τελευταιου. (*de conscientiâ.*) *Philo in Flac. p.* 970. *de Abrah. p.* 359. *Loesner.*]

32 Ει κατα ανθρωπον εθηριομαχησα εν Εφεσῳ, τι μοι το οφελος; ει νεκροι ουκ εγειρονται; Φαγωμεν και πιωμεν, αυριον γαρ αποθνησκομεν.

ουδεν οφελος. *Job. xv.* 3. *Sap. ii.* 6. φαγωμεν και πιωμεν, κ. τ. λ. *Esa. xxii.* 13. [απο Συριας μεχρι Ῥωμης θηριομαχω. *Ignat. Epist.*

Rom. c. 5.] [μαχαις προς τα θηρια. *Jos. Bell. Jud. vii.* 20. *Ottius.*] κατ᾽ ανθρωπον. *Conf.* 2 *Cor. vii.* 9-11. *xi.* 17. *CITAT.* 202.

33 Μη πλανασθε· Φθειρουσιν ηθη χρησθ᾽ ὁμιλιαι κακαι.

συμπορευομενος σοφοις σοφος εση, ὁ δε συμπορευομενος αφροσι γνωσθησεται. *Prov. xiii.* 20. ὁμιλιαι. *Ps. liv.* 2. *Aq.* μετα δε σοφων ουχ ὁμιλησει. *Prov. xv.* 12. *Conf. Sir. xiii.* 1. *Job. xv.* 31.

34 Εκνηψατε δικαιως, και μη ἁμαρτανετε· αγνωσιαν γαρ Θεου τινες εχουσι· προς εντροπην ὑμιν λεγω.

εκνηψατε οἱ μεθυοντες. *Joel. i.* 5. *Sir. xxxi.* 2. οργιζεσθε και μη ἁμαρτανετε. *Ps. iv.* 4. οἱς παρην Θεου αγνωσια. *Sap. xiii.* 1. αισχυνθειησαν και εντραπειησαν ἁμα. *Ps. xxxiv.* 26. *lxviii.* 7. 19. *Hab. ii.* 7. 16. 19. *Conf. Rom. xiii.* 11. *Jon. i.* 6. *Ephes. v.* 14.

35 Αλλ᾽ ερει τις, Πως εγειρονται οἱ νεκροι; ποιῳ δε σωματι ερχονται;

και ειπε προς με, Υἱε ανθρωπου, ει ζησεται τα οστεα ταυτα; *Ezech. xxxvii.* 3. και ειπαν, Πως εγνω ὁ Θεος, και ει εστι γνωσις εν τῳ Ὑψιστῳ; *Ps. lxxii.* 11. *Eccles. xi.* 5.

36 Αφρον, συ ὁ σπειρεις, ου ζωοποιειται, εαν μη αποθανῃ·

ειπεν αφρων εν καρδιᾳ αυτου, Ουκ εστι Θεος. *Ps. xiii.* 1. [ιδωμεν τους καρπους· ὁ σπορος πασι δηλον τινα τροπον εστι. κ.τ.λ. *Clem. Rom. Epist. i.* 24.] *Conf. Joan. xii.* 24. *Job. xi.* 12. *xix.* 26.

37 Και ὁ σπειρεις, ου το σωμα το γενησομενον σπειρεις, αλλα γυμνον κοκκον, ει τυχοι, σιτου η τινος των λοιπων·

και οὑτως εμβλεψον εις παντα τα εργα του Ὑψιστου, δυο δυο ἑν κατεναντι του ἑνος. *Sir. xxxvi.* 15. *Conf. Rom. i.* 20.

38 Ὁ δε Θεος αυτῳ διδωσι σωμα καθως ηθελησε, και ἑκαστῳ των σπερματων το ιδιον σωμα.

το ιδιον σωμα. *Gen. xlvii.* 18. ὁσα αν ηθελησα. *Esa. lv.* 11. *Conf. Marc. iv.* 26. ὁ εξανατελλων χορτον κ. τ. λ. *Ps. ciii.* 14. *Esa. lxi.* 11. *Gen. i.* 11, 12. *iii.* 19. *Sir. xvii.* 1.

39 Ου πασα σαρξ, ἡ αυτη σαρξ· αλλα αλλη μεν σαρξ ανθρωπων, αλλη δε σαρξ κτηνων, αλλη δε ιχθυων, αλλη δε πτηνων.

και πασα σαρξ απο πετεινων ἑως κτηνων. *Gen. viii.* 17. *xl.* 19. παν βρωμα φαγεται κοιλια, εστι δε βρωμα βρωματος καλλιον. κ. τ. λ. *Sir. xxxvi.* 18, 19. *Conf. Gen. i.* 20-26.

40 Και σωματα επουρανια, και σωματα επιγεια· αλλ᾽ ἑτερα μεν ἡ των επουρανιων δοξα, ἑτερα δε ἡ των επιγειων.

ὁ την κατοικιαν επουρανιον εχων. 2 *Mac. iii.* 39. *Conf. Job. xxxi.* 26.

[*Conf. Philo.* 1 *Alleg. p.* 46. *apud Loesner. p.* 296.] *Ps. viii.* 3. *xix.* 4.

41 Αλλη δοξα ἡλιου, και αλλη δοξα σεληνης, και αλλη δοξα αστερων· αστηρ γαρ αστερος διαφερει εν δοξῃ.

Conf. Dan. xii. 3. δοξα αστρων. *Sir. xliii.* 9. θηρια—διαφεροντα αλληλων. *Dan. vii.* 3. και δοξῃ διαφεροντα. 2 *Mac. xv.* 13. *Sap. xviii.* 3. αλλος αλλαχῃ. 18. ειδος ουρανου εν ὁραματι δοξης. *Sir. xliii.* 1. *Phil. iii.* 20. *Joan. xiv.* 2.

42 Οὑτω και ἡ αναστασις των νεκρων. σπειρεται εν φθορᾳ, εγειρεται εν αφθαρσιᾳ·

Θεος εκτισε τον ανθρωπον επ' αφθαρσᾳ. *Sap. ii.* 23. αφθαρσια δε εγγυς ειναι ποιει Θεου. *vi.* 18, 19. και αναβητω εκ φθορας ἡ ζωη μου. *Jon. ii.* 7. *Alex. Ald. C. Cyr.* ουδε δωσεις τον ὁσιον σου ιδειν διαφθοραν. *Ps. xv.* 10. τον λυτρουμενον εκ φθορας την ζωην σου. *cii.* 4. σπειρεται. *Conf. Eccles. xi.* 4. *Gen. xxvi.* 12.

43 Σπειρεται εν ατιμιᾳ, εγειρεται εν δοξῃ· σπειρεται εν ασθενειᾳ, εγειρεται εν δυναμει·

ὁτι γη ει, και εις γην απελευσῃ. *Gen. iii.* 19. *Eccles. iii.* 20. *Ps. ciii.* 29. και αναστησῃ επι την δοξαν σου (εις τον κληρον σου. *Theod.*) εις συντελειαν ἡμερων. *Dan. xii.* 13. *LXX. Ps. xv.* 9. 11.

44 Σπειρεται σωμα ψυχικον, εγειρεται σωμα πνευματικον. εστι σωμα ψυχικον, και εστι σωμα πνευματικον.

μαλλον δε αγαθος ων ηλθον εις σωμα αμιαντον. *Sap. viii.* 20. *Conf. Matt. xxii.* 29, 30. *Marc. xii.* 25. 2 *Cor. xiii.* 4. *Phil. iii.* 21. φθαρτον γαρ σωμα βαρυνει ψυχην, και βριθει το γεωδες σκηνος νουν πολυφροντιδα. *Sap. ix.* 15. *Conf.* 4 *Mac.* § 2.

45 Οὑτω και γεγραπται, Εγενετο ὁ πρωτος ανθρωπος Αδαμ εις ψυχην ζωσαν· ὁ εσχατος Αδαμ εις πνευμα ζωοποιουν.

και εγενετο ὁ ανθρωπος εις ψυχην ζωσαν. *Gen. ii.* 7. [και εγενετο εις ψυχην ζωης. *Philo. p.* 132. *Edit. Col.*] και αποθανῃ ὁ ανηρ ὁ εσχατος. *Deut. xxiv.* 3. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab. ii.* 4. [4 *Esd. iii.* 21. *primus Adam.*] (ἡ σοφια.) ζωοποησει τον παρ' αυτης. *Eccles. vii.* 13. *Conf. Rom. v.* 14. 2 *Cor. iv.* 10. καθως γεγραπται. *Dan. ix.* 13. *Jos. ix.* 31. *CITAT.* 203.

46 Αλλ' ου πρωτον το πνευματικον, αλλα το ψυχικον, επειτα το πνευματικον.

47 Ὁ πρωτος ανθρωπος εκ γης, χοϊκος· ὁ δευτερος ανθρωπος, ὁ Κυριος εξ ουρανου.

οἱ ανθρωποι παντες γη και σποδος. *Sir. xvii.* 32. *xxxvi.* 10. επλα-

σεν ὁ Θεος τον ανθρωπον χουν απο της γης. *Gen. ii.* 7. Κυριος Θεος του ουρανου. *Dan. v.* 23. *Conf. Esa. ix.* 6. *Jer. xxiii.* 6. και επιστρεψῃ ὁ χους επι την γην ὡς ην, και το πνευμα επιστρεψῃ προς τον Θεον ὃς εδωκεν αυτο; *Eccles. xii.* 7. [χοϊκος· πηλινος, γηϊνος. *Hesych.*] *Conf. Sir. xl.* 1.

48 Οἱος ὁ χοϊκος, τοιουτοι και οἱ χοϊκοι· και οἱος ὁ επουρανιος, τοιουτοι και οἱ επουρανιοι·

οἱος—Ενωχ—τοιουτος. *Sir. xlix.* 14. αυτος την κατοικιαν επουρανιον εχων. 2 *Mac. iii.* 39. *Joan. iii.* 6. τις γαρ καθαρος εσται απο ῥυπου; αλλ᾽ ουθεις. *Job. xiv.* 4.

49 Και καθως εφορεσαμεν την εικονα του χοϊκου, φορεσομεν και την εικονα του επουρανιου.

ὁ δε ανυπονοητος εφορεσε διαδημα. *Sir. xi.* 5. *xl.* 4. επι δε χειλεσι φορεσει επιγνωμοσυνην. *Prov. xvi.* 23. και εικονα της ιδιας ιδιοτητος εποιησεν αυτον. *Sap. ii.* 23. και εικων της αγαθοτητος αυτου. *vii.* 26. κατ᾽ εικονα Θεου εποιησεν αυτον. *Gen. i.* 27. *Sir. xvii.* 3. εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου, κ. τ. λ. *Ps. xvi.* 15. [δυο γαρ ανθρωπων γενη, το δε κατα την εικονα γεγονος, και το απεπλασμενον εκ γης. *Philo.* 3 *Alleg. sub. init.* θειον λογον, και Θεου λογον, εικονα λεγει Θεου. *de Opific. p.* 5. *Loesner ad loc.*] *Conf. Gen. v.* 3. *Matt. xiii.* 43. *Joan. iii.* 31. *Rom. viii.* 25. 2 *Cor. iii.* 18. *Phil. iii.* 21. 1 *Joan. iii.* 2.

50 Τουτο δε φημι, αδελφοι, ὁτι σαρξ και αἱμα βασιλειαν Θεου κληρονομησαι ου δυνανται, ουδε ἡ φθορα την αφθαρσιαν κληρονομει.

και πονηρος ενθυμηθησεται σαρκα και αἱμα. *Sir. xvii.* 31. γενεα σαρκος και αἱματος. *xiv.* 18. ποιον εθνος ουκ εκληρονομησε βασιλειαν; 1 *Mac. ii.* 10. κληρονομησει δοξαν. *Sir. iv.* 13. εν γαρ τῳ αποθανειν ανθρωπον κληρονομησει ἑρπετα και θηρια και σκωληκας. *x.* 11. *xix.* 3. αφθαρσια δε εγγυς ειναι ποιει Θεου· επιθυμια αρα σοφιας αναγει επι βασιλειαν. *Sap. vi.* 19, 20. ἑνεκεν ακαθαρσιας διεφθαρητε φθορᾳ. *Mich. ii.* 10.

51 Ιδου, μυστηριον ὑμιν λεγω· παντες μεν ου κοιμηθησομεθα· παντες δε αλλαγησομεθα,

μετηλλαξε τον βιον αυτου. 1 *Esd. i.* 31. δια την του μετηλλαχοτος σωφροσυνην. 2 *Mac. iv.* 37. κριτης ζωντων και νεκρων. *Act. x.* 42. *Conf.* 1 *Thess. iv.* 15-17. ὑπομενω ἑως παλιν γενωμαι. *LXX.* ελπιω, ἑως αν ελθῃ το αλλαγμα μου. *Aq. Theod. Sym. Job. xiv.* 14, 15. μυστηριον. *Dan. ii.* 18, 19. 27. 29.

52 Εν ατομῳ, εν ῥιπῃ οφθαλμου, εν τῃ εσχατῃ σαλπιγγι· σαλπισει γαρ, και οἱ νεκροι εγερθησονται αφθαρτοι, και ἡμεις αλλαγησομεθα.

και εσται ὡς στιγμη παραχρημα. *Esa.* xxix. 5. και Κυριος παντοκρατωρ εν σαλπιγγι σαλπιει. *Zach.* ix. 14. ἡμερα σαλπιγγος και κραυγης. *Sophon.* i. 17. αναστησονται οἱ νεκροι και εγερθησονται. *Esa.* xxvi. 19. αφθαρτον σου πνευμα εστιν εν πασι. *Sap.* xii. 1. σαλπιγγος δε σημαινουσης. *Job.* xxxix. 25. *Conf. Matt.* xxiv. 31. *Cap.* xiv. 8. *Joan.* v. 25. [εν ατομῳ· εν ῥιπηματι, εν ταχει. *Hesych.*] *Conf. Esa.* xviii. 3. xxvii. 13. *Ezech.* xxxiii. 3.

53 Δει γαρ το φθαρτον τουτο ενδυσασθαι αφθαρσιαν, και το θνητον τουτο ενδυσασθαι αθανασιαν.

54 Ὁταν δε το φθαρτον τουτο ενδυσηται αφθαρσιαν, και το θνητον τουτο ενδυσηται αθανασιαν, τοτε γενησεται ὁ λογος ὁ γεγραμμενος, Κατεποθη ὁ θανατος εις νικος.

53, 54.] ενδυσαι την ισχυν. *Esa.* li. 9. ευπρεπειαν ενεδυσατο, ενεδυσατο Κυριος δυναμιν. *Ps.* xcii. 1. οἱ ἱερεις σου ενδυσονται δικαιοσυνην. cxxxi. 9, 16. *Conf. Zach.* iii. 4-6. ἡ ελπις αυτων αθανασιας πληρης. *Sap.* iii. 4. ανθρωπος θνητος. *Esa.* li. 12. Κατεπιεν ὁ θανατος ισχυσας. *Esa.* xxv. 8. εις νικος, *in sempiternum*. *Conf. Matt.* xii. 20. 2 *Reg.* ii. 26. *Job.* xxxvi. 7. ὁταν βασιλευς δικαιος καθισῃ επι θρονου, ουκ εναντιουται εν οφθαλμοις αυτου παν πονηρον. *Prov.* xx. 8. κατεποθη. *Gen.* xli. 7. *Exod.* vii. 12. 2 *Cor.* v. 4. CITAT. 204.

55 Που σου, θανατε, το κεντρον; Που σου, ᾁδη, το νικος;

που ἡ δικη σου, θανατε; που το κεντρον σου, ᾁδη; *Ose.* xiii. 14. *Conf. Luc.* xvi. 23. *Act.* ii. 27. *Apoc.* ix. 10. xx. 14. CITAT. 205.

56 Το δε κεντρον του θανατου, ἡ ἁμαρτια· ἡ δε δυναμις της ἁμαρτιας, ὁ νομος·

δυναμις σοφιας. *Job.* xi. 6. *Conf. Rom.* iv. 15. v. 13. *Gal.* iii. 10-13. *Gen.* iii. 17-19. *Ps.* lxxxix. 3-11. *Deut.* xxviii. 15-21.

57 Τῳ δε Θεῳ χαρις τῳ διδοντι ἡμιν το νικος δια του Κυριου ἡμων Ιησου Χριστου.

και το νικος αυτοις διδοντι. 2 *Mac.* x. 38. *Conf.* 1 *Joan.* v. 5. *Rom.* vii. 25. [τῳ Θεῳ ευχαριστω δοντι μοι την νικην. *Jos. Ant.* vi. 7. 4.] και γνωσεσθε ὁτι εγω ειμι Κυριος, εν τῳ ανοιξαι με τους ταφους ὑμων, και αναγαγειν με εκ των ταφων τον λαον μου. *Ezech.* xxxvii. 13. *Conf.* 1 *Par.* xxii. 11. *Ps.* xcvii. 1.

58 Ὡστε, αδελφοι μου αγαπητοι, ἑδραιοι γινεσθε, αμετακι-

νητοι, περισσευοντες εν τῳ εργῳ του Κυριου παντοτε, ειδοτες ὁτι ὁ κοπος ὑμων ουκ εστι κενος εν Κυριῳ.

ἑδραια ἡ καρδια μου. Ps. lvi. 8. Sym. Conf. Hab. ii. 3, 4. *τον κοπον των χειρων μου.* Gen. xxxi. 42. *πονος ακαρπος.* Sap. xv. 4. *οἱ δε εκλεκτοι μου ου κοπιασουσιν εις κενον. κ. τ. λ.* Esa. lxv. 23. Col. i. 23. *ὁτι εις τον αιωνα ου σαλευθησεται. εις μνημοσυνον αιωνιον εσται δικαιος.* Ps. cxi. 6. *και γαρ ὁ δουλος σου φυλασσει αυτα, εν τῳ φυλασσειν αυτα ανταποδοσις πολλη.* xviii. 11. lv. 9.

Κεφ. ιϛ. 16.

ΠΕΡΙ *δε της λογιας της εις τους ἁγιους, ὡσπερ διεταξα ταις εκκλησιαις της Γαλατιας, οὑτω και ὑμεις ποιησατε.*

[*λογια· συλλογη.* Theod. Suid.] *ιδου ευλογια ὑμων απο των σκυλων.* 1 Reg. xxx. 26. Ald. *διεταξα.* Conf. Matt. xi. 1. Dan. i. 5. Act. xi. 29. Rom. xii. 13. 2 Cor. viii. 4. *και συνηγαγον αργυριον, καθο ἑκαστου ηδυνατο ἡ χειρ, κ. τ. λ.* Bar. i. 6, 7. Tob. i. 3.

2 *Κατα μιαν σαββατων ἑκαστος ὑμων παρ᾽ ἑαυτῳ τιθετω θησαυριζων ὁ τι αν ευοδωται· ἱνα μη ὁταν ελθω, τοτε λογιαι γινωνται.*

κατα μιαν σαββατων. Matt. xxviii. 1. *θες ασφαλως.* Tob. vi. 4. *και οψομαι ὁ, τι εαν ῃ.* 1 Reg. xix. 3. Exod. xxii. 9. Ald. *εσπειρε δε Ισαακ εν τῃ γῃ εκεινῃ· και εὑρεν εν τῳ ενιαυτῳ εκεινῳ ἑκατοστευουσαν κριθην. ευλογησε δε αυτον Κυριος.* Gen. xxvi. 12. Deut. viii. 18. 1 Par. xxix. 14. *θεμα γαρ αγαθον θησαυριζεις σεαυτῳ εις ἡμεραν αναγκης.* Tob. iv. 8, 9. 1 Tim. vi. 19. *ευοδωται.* Gen. xxiv. 27. alii.

3 *Ὁταν δε παραγενωμαι, οὑς εαν δοκιμασητε, δι᾽ επιστολων τουτους πεμψω απενεγκειν την χαριν ὑμων εις Ἱερουσαλημ·*

παραγενωμαι. Gen. xxvi. 32. Exod. ii. 16, 17. *απηνεγκαν ξενια τῳ βασιλει.* Ose. x. 6. *χαριτας εγγυου μη επιλαθῃ.* Sir. xxix. 15. 2 Cor. viii. 16-19. Phil. i. 7. Sir. xvii. 18. *ὡς αμπελος βλαστησασα χαριν, κ. τ. λ.* xxiv. 17. [*οἱ δε δοκιμασθεντες ὑπο πληθους, κ. τ. λ.* Jos. Ant. iii. 4. 1.]

4 *Εαν δε ῃ αξιον του καμε πορευεσθαι, συν εμοι πορευσονται.*

ου γαρ αξιος ὁ διαβολος της αυλης του βασιλεως. Est. vii. 4.

5 *Ελευσομαι δε προς ὑμας, ὁταν Μακεδονιαν διελθω· (Μακεδονιαν γαρ διερχομαι·)*

6 Προς ὑμας δε τυχον παραμενω, ἡ και παραχειμασω, ἱνα ὑμεις με προπεμψητε οὑ εαν πορευωμαι.

νυν ουν παραμενω σοι. Gen. xliv. 33. εαν ευκαιριας τυχω. 1 Mac. xi. 42.

7 Ου θελω γαρ ὑμας αρτι εν παροδῳ ιδειν· ελπιζω δε χρονον τινα επιμειναι προς ὑμας, εαν ὁ Κυριος επιτρεπῃ.

οιδα Κυριε ὁτι ουχι του ανθρωπου ἡ ὁδος αυτου, ουδε ανηρ πορευσεται και κατορθωσει πορειαν αυτου. Jer. x. 23. Jac. iv. 15.

8 Επιμενω δε εν Εφεσῳ ἑως της πεντηκοστης·

εν τῃ πεντηκοστῃ ἑορτῃ. Tob. ii. 1. Exod. xxiii. 16. Lev. xxiii. 15-21. Conf. Act. xix. 21. και ουκ ηδυνηθησαν επιμειναι. Exod. xii. 39.

9 Θυρα γαρ μοι ανεῳγε μεγαλη και ενεργης, και αντικειμενοι πολλοι.

αντικεισομαι τοις αντικειμενοις σου. Exod. xxiii. 22. Conf. Esa. xxii. 22. Act. xiv. 27. 2 Cor. i. 8. Col. iv. 3. Apoc. iii. 7. εις θυραν ελπιδος. Ose. ii. 15. Sym. ενεργημα. Sir. xvi. 16. Comp.

10 Εαν δε ελθῃ Τιμοθεος, βλεπετε ἱνα αφοβως γενηται προς ὑμας· το γαρ εργον Κυριου εργαζεται, ὡς και εγω·

εργαζεσθε το εργον ὑμων προ καιρου. Sir. li. 30. Hab. i. 5. κριμα εργαζεσθε και δικαιοσυνην. Sophon. ii. 3. Conf. cap. iv. 17. Phil. ii. 19. 1 Thess. iii. 2. και ἡσυχασει αφοβως απο παντος κακου. Prov. i. 33. βλεπετε = ὁρατε. Conf. Exod. xxxiii. 5.

11 Μη τις ουν αυτον εξουθενησῃ. προπεμψατε δε αυτον εν ειρηνῃ, ἱνα ελθῃ προς με· εκδεχομαι γαρ αυτον μετα των αδελφων.

εξουθενησῃ. Prov. i. 7. ἱνα προπεμψωσιν αυτον και τους μετ' αυτου παντας αναβαινοντας οικοδομησαι την Ἱερουσαλημ. 1 Esd. iv. 47. 1 Mac. xii. 4. Conf. 1 Tim. iv. 12. [τους δε απεσταλμενους αφ' ἡμων Κλαυδιον κ. τ. λ.—εν ειρηνῃ μετα χαρας εν ταχει αναπεμψατε προς ἡμας κ. τ. λ. Clem. Rom. 1. Epist. sub fine.]

12 Περι δε Απολλω του αδελφου, πολλα παρεκαλεσα αυτον, ἱνα ελθῃ προς ὑμας μετα των αδελφων· και παντως ουκ ην θελημα ἱνα νυν ελθῃ, ελευσεται δε ὁταν ευκαιρησῃ.

τοις πασιν ὁ χρονος, και καιρος τῳ παντι πραγματι ὑπο τον ουρανον. Eccles. iii. 1. ευκαιρησῃ. Act. xvii. 21. [Conf. Sturz. p. 168.]

13 Γρηγορειτε, στηκετε εν τῃ πιστει· ανδριζεσθε, κραταιουσθε·

αγρυπνειτε και τηρειτε. Esd. viii. 29. 1 Mac. xii. 27. ισχυσατε

και ανδριζεσθε εν τῳ νομῳ. ii. 64. *Deut. xxxi.* 6, 7. *Jos. x.* 25. *ανδριζεσθε, και κραταιουσθω ἡ καρδια ὑμων. Ps. xxx.* 24. 1 *Reg. iv.* 9. *θαρσειτε, στηκετε. Exod. xiv.* 13. *Alex. Comp.*

14 Παντα ὑμων εν αγαπῃ γινεσθω.

εν αγαπησει κεκοσμημενοι. Sir. xlviii. 11. *Ps. cxxxii.* 1. *Cant. vii.* 6.

15 Παρακαλω δε ὑμας, αδελφοι· οιδατε την οικιαν Στεφανα, ὁτι εστιν απαρχη της Αχαΐας, και εις διακονιαν τοις ἁγιοις εταξαν ἑαυτους·

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. *και εταξαν ἑαυτοις το γλυπτον. Jud. xviii.* 31. *Ald. Comp. και ταξεις την καρδιαν σου εις την εισοδον του οικου. Ezech. xliv.* 5. *ἡ απαρχη των ἁγιων. Ezech. xlviii.* 21. *Act. xiii.* 48. [*εκομισαν χρηματα πολλα εις διακονιαν των χηρων. Act. Thom. c.* 56.] *εγω δε και ἡ οικια μου λατρευσομεν Κυριῳ. Jos. xxiv.* 15.

16 Ἱνα και ὑμεις ὑποτασσησθε τοις τοιουτοις, και παντι τῳ συνεργουντι και κοπιωντι.

συνεργουντες τοις πρεσβυτεροις των ἱερεων. 1 *Esd. vii.* 2. *Ald.* 2 *Par. xx.* 20. *Deut. xii.* 19. *Phil. ii.* 29. 1 *Thess. v.* 12. *Heb. xiii.* 17. *Conf. Sap. ix.* 10. *Prov. xvii.* 17.

17 Χαιρω δε επι τῃ παρουσιᾳ Στεφανα και Φουρτουνατου και Αχαϊκου, ὁτι το ὑμων ὑστερημα οὑτοι ανεπληρωσαν·

παρουσια. 2 *Mac. xv.* 21. *ουκ εστιν ὑστερημα παντος πραγματος. Jud. xix.* 19. *Ps. xxxiii.* 9. [*αναπληρωσειν το λειπον. Jos. Ant. v.* 6. 3.]

18 Ανεπαυσαν γαρ το εμον πνευμα και το ὑμων. επιγινωσκετε ουν τους τοιουτους. Ασπαζονται ὑμας αἱ εκκλησιαι της Ασιας·

ὁ εισακουων Κυριου αναπαυσει μητερα αυτου. Sir. iii. 6. *Jer. xl.* 6. *δια στενοχωριαν πνευματος. Sap. v.* 3. *ηκηδιασεν επ' εμε το πνευμα μου, κ. τ. λ. Ps. cxlii.* 4. *χαριν εν οφθαλμοις σου του επιγνωναι με. Ruth. ii.* 10. 19. *αναπαυσει σε Κυριος απο της οδυνης και του θυμου σου κ. τ. λ. Esa. xiv.* 3. *Ezech. xxxiv.* 15. *Conf.* 1 *Thess. v.* 12. *και επεγνω ὁ Θεος τους οντας αυτου και τους ἁγιους. Num. xvi.* 5. *alii. Ps. cxli.* 4. *ὡσπερ εξοδος χιονος εν αμητῳ —οὑτως αγγελος πιστος τους αποστειλαντας αυτον, κ. τ. λ. Prov. xxv.* 13. *μη εὑρησομεν ανθρωπον τοιουτον; Gen. xli.* 38.

19 Ασπαζονται ὑμας εν Κυριῳ πολλα Ακυλας και Πρισκιλλα, συν τῃ κατ' οικον αυτων εκκλησιᾳ.

και εκκλησια πιστων μετ᾽ αυτου. 1 *Mac. iii.* 13. *των Ιουδαιων διαπεμψαμενων προς αυτον—τους ασπασομενους αυτον, κ. τ. λ.* 3 *Mac. i.* 8. *Conf. Col. iv.* 15. *Philem.* 2.

20 Ασπαζονται ὑμας οἱ αδελφοι παντες. Ασπασασθε αλληλους εν φιληματι ἁγιῳ.

ησπασαντο αλληλους. Exod. xviii. 7. *και εξηλθον απο των ἱερεων —ασπασασθαι αυτον ειρηνικως.* 1 *Mac. vii.* 33. *Rom. xvi.* 16. 2 *Cor. xiii.* 12. 1 *Pet. v.* 14. *φιλησατω με απο φιληματων στοματος αυτου. Cant. i.* 2. *Prov. xxvii.* 6. *ασπασασθε—την Ἱερουσαλημ. Ps. cxxi.* 6. *Sym.*

21 Ὁ ασπασμος τῃ εμῃ χειρι Παυλου·

Conf. Col. iv. 18. 2 *Thess. iii.* 17. [*ασπασμος. Act. Thom.* § 11.]

22 Ει τις ου φιλει τον Κυριον Ιησουν Χριστον, ητω αναθεμα, μαραν αθα.

εγω τους εμε φιλουντας αγαπω. Prov. viii. 17. *Conf. Rom. ix.* 3. *Gal. i.* 8. *Cap. xii.* 3. *Jud. xiv.* 15. [*μαραναθα·* ὁ Κυριος *ηλθεν. η, ειδον τον* Κυριον. *Hesych.*] מרנא אתה = Κυριος *ερχεται.* [*αναθεμα· επαρατος, ακοινωνητος.* Μαραναθαν· ὁ Κυριος *ηλθε. Alberti Gloss. p.* 141.] [*εξηχη βοη τις ατοπος* Μαριν *αποκαλουντων· οὑτως δε φασιν τον* Κυριον *ονομαζεσθαι παρα* Συροις. *Philo. in Flacc. p.* 970.] *ει ἁμαρτωλῳ συ βοηθεις, η μισουμενῳ ὑπο* Κυριου *φιλιαζεις;* 2 *Par. xix.* 2. *Ps. cxxxviii.* 21. *Conf. Ottium ad loc.*

23 Ἡ χαρις του Κυριου Ιησου Χριστου μεθ᾽ ὑμων·

Θεὸς *μετα σου.* 1 *Par. xvii.* 2. *Rom. xvi.* 20. *εὑρε χαριν εναντιον* Κυριου. *Gen. vi.* 8. *Ps. xliv.* 2. *ἡ εκ του ουρανου βοηθεια εστω μεθ᾽ ὑμων.* 1 *Mac. xvi.* 3.

24 Ἡ αγαπη μου μετα παντων ὑμων εν Χριστῳ Ιησου. αμην.

και ερει πας ὁ λαος, Αμην. 1 *Par. xvi.* 36. *Neh. v.* 13. *viii.* 6. *ευθηνεια τοις αγαπωσι σε. Ps. cxxi.* 6-9. *Esa. lxvi.* 10.

[Προς Κορινθιους *πρωτη εγραφη απο* Φιλιππων *δια* Στεφανα, *και* Φουρτουνατου, *και* Αχαϊκου, *και* Τιμοθεου.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ αποστολος Ιησου Χριστου, δια θεληματος Θεου, και Τιμοθεος ὁ αδελφος, τῃ εκκλησιᾳ του Θεου τῃ ουσῃ εν Κορινθῳ, συν τοις ἁγιοις πασι τοις ουσιν εν ὁλῃ τῃ Αχαΐᾳ·

εκκλησια Θεου. *Neh. xiii.* 1. *Conf.* 1 *Cor. i.* 1, 2. *Rom. i.* 7. οἱ ἁγιοι. *Dan. vii.* 22. *Conf. Gal. i.* 3. *Ephes. i.* 2. 1 *Pet. i.* 2. εκκλησια Ὑψιστου. *Sir. xxiv.* 2. εκκλησια πιστων. 1 *Mac. iii.* 13.

2 Χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου Ιησου Χριστου.

και Κυριος ποιησει μετα σου ελεος και αληθειαν. 2 *Reg. xv.* 20. ειρηνη ειρηνη σοι, και ειρηνη τοις βοηθοις σου, ὁτι εβοηθησε σοι ὁ Θεος σου. 1 *Par. xii.* 18. *Conf. Ps. cxxi.* 6-8.

1, 2.] Τοις αδελφοις τοις κατ' Αιγυπτον Ιουδαιοις χαιρειν. οἱ αδελφοι οἱ εν Ἱεροσολυμοις Ιουδαιοι, και οἱ εν τῃ χωρᾳ της Ιουδαιας, ειρηνην αγαθην. κ. τ. λ. 2 *Mac. i.* 1-5.

3 Ευλογητος ὁ Θεος και πατηρ του Κυριου ἡμων Ιησου Χριστου, ὁ πατηρ των οικτιρμων και Θεος πασης παρακλησεως,

Conf. Joan. xx. 17. *Rom. i.* 25. *ix.* 5. Κυριος ὁ Θεος οικτιρμων και ελεημων. *Exod. xxxiv.* 6. Θεος και πατηρ. *Conf. Col. iii.* 17. 1 *Pet. i.* 3. [*Conf. Middleton. cap. iii.* § 2.] ὁτι συ, Κυριε, εβοηθησας μοι, και παρεκαλεσας με. *Ps. lxxxv.* 17. ευλογητος Κυριος ὁ Θεος. *Gen. ix.* 26. ευλογητος ὁ Θεος της αληθειας. 1 *Esd. iv.* 40. *Tob. xiii.* 18. *Judith. ix.* 14. ελεημονα Θεον αυτων και πατερα. 3 *Mac. v.* 7. μνησθητι των οικτιρμων σου Κυριε, και τα ελεη σου, ὁτι απο του αιωνος εισι. *Ps. xxiv.* 6. κατα το πληθος των οικτιρμων σου επιβλεψον επ' εμε. *lxviii.* 16.

4 Ὁ παρακαλων ἡμας επι πασῃ τῃ θλιψει ἡμων, εις το δυνασθαι ἡμας παρακαλειν τους εν πασῃ θλιψει, δια της παρακλησεως ἡς παρακαλουμεθα αυτοι ὑπο του Θεου·

παρακαλεσαι παντας τους πενθουντας. *Esa. lxi.* 2. *Conf.* 2 *Cor. vii.* 6. *Act. ix.* 31. Εγω Ειμι, Εγω Ειμι, ὁ παρακαλων σε, κ. τ. λ. *li.* 12. τοις ουσιν εν θλιψει. 1 *Mac. v.* 16. και εδωκα αυτῳ παρακλησιν αληθινην. *Esa. lvii.* 18. αἱ παρακλησεις σου ηγαπησαν την ψυχην μου. *Ps. xciii.* 19. επλεονασας την δικαιοσυνην σου, και επιστρεψας παρεκαλεσας με, και εκ των αβυσσων της γης παλιν ανηγαγες με. *lxx.* 21. *cxviii.* 52.

5 Ὁτι καθως περισσευει τα παθηματα του Χριστου εις ἡμας, οὑτω δια Χριστου περισσευει και ἡ παρακλησις ἡμων.

εαν δωται περι ἁμαρτιας, ἡ ψυχη ἡμων οψεται σπερμα μακροβιον. *Esa. liii.* 10. *Ald. Conf. Ps. xxxiii.* 9, 10, 19. *xciii.* 19. *Act. ix.* 4. *Cap. iv.* 10. *Col. i.* 24. εκ πασης θλιψεως αυτων—αυτος εσωσεν αυτους, δια το αγαπαν αυτους κ. τ. λ. *Esa. lxiii.* 9. *Conf. Sir. xvi.* 12.

6 Ειτε δε θλιβομεθα, ὑπερ της ὑμων παρακλησεως και σωτηριας, της ενεργουμενης εν ὑπομονῃ των αυτων παθηματων ὡν και ἡμεις πασχομεν· ειτε παρακαλουμεθα, ὑπερ της ὑμων παρακλησεως και σωτηριας· και ἡ ελπις ἡμων βεβαια ὑπερ ὑμων·

ὑπερ. *Sir. xxix.* 15. 2 *Mac. xii.* 44. και εν τῃ θλιψει σου, ᾗ θλιψει σε ὁ εχθρος σου. *Deut. xxviii.* 53. *Esa. li.* 13. *Cap. iv.* 15-17. ἡτοιμασας ενωπιον μου τραπεζαν, εξεναντιας των θλιβοντων με. *Ps. xxii.* 5. [παθηματα. *Jos. Ant. ii.* 14. 2.] βεβαιον, ασφαλες. *Sap. vii.* 22.

7 Ειδοτες ὁτι ὡσπερ κοινωνοι εστε των παθηματων, οὑτω και της παρακλησεως·

ειδοτες *pro* ειδοτων. *Conf. Marc. xii.* 40. *Apoc. i.* 5. *et Raphel. in loc.* και εστι φιλος κοινωνος τραπεζων. *Sir. vi.* 10. *Conf. Prov. xvii.* 17. 2 *Thess. ii.* 13. *Heb. vi.* 9, 10. *Rom. v.* 3. *viii.* 17. οἱ σπειροντες εν δακρυσιν, εν αγαλλιασει θεριουσι. *Ps. cxxv.* 5. πορευομενοι επορευοντο, και εκλαιον βαλλοντες τα σπερματα αυτων κ. τ. λ. *cxxvi.* 6. *Matt. v.* 4.

8 Ου γαρ θελομεν ὑμας αγνοειν, αδελφοι, ὑπερ της θλιψεως ἡμων της γενομενης ἡμιν εν τῃ Ασιᾳ, ὁτι καθ᾽ ὑπερβολην εβαρηθημεν ὑπερ δυναμιν, ὡστε εξαπορηθηναι ἡμας και του ζην·

και εταπεινωθην και εξηπορηθην. *Ps. lxxxvii.* 15. [δια την λυπην εβαρηθη. *Act. Thom,* § 21.] *Conf.* 1 *Cor. xv.* 32. του ζην *substantivo pro* ἡ ζωη. = 2 *Mac. iii.* 33. *vii.* 22. εμπεπλησται αναμεσον εμου και του θανατου. 1 *Reg. xx.* 3. *Ps. lxxxvii.* 3, 4.

9 Αλλα αυτοι εν ἑαυτοις το αποκριμα του θανατου εσχηκαμεν, ἱνα μη πεποιθοτες ωμεν εφ᾽ ἑαυτοις, αλλ᾽ επι τῳ Θεῳ τῳ εγειροντι τους νεκρους·

σωτηρ μου, πεποιθως εσομαι επ᾽ αυτῳ. *Esa. xii.* 2. ισθι πεποιθως εν ὁλῃ τῃ καρδιᾳ επι Θεῳ. *Prov. iii.* 5. ὁ εγειρας νεκρον εκ θανατου. *Sir. xlviii.* 5. κριμα θανατου. *xli.* 3. επικαταρατος ὁ ανθρωπος, ὁς την ελπιδα εχει επ᾽ ανθρωπον—και ευλογημενος ὁ ανθρωπος, ὁς πεποιθεν επι τῳ Κυριῳ, και εσται Κυριος ελπις αυτου. *Jer. xvii.* 1-7. *Job. xxvii.* 8. ὁμολογησω ὁτι δυναται ἡ δεξια σου σωσαι. *Job. xl.* 9. *Conf. Sophon. iii.* 8. *Dan. xii.* 13.

10 Ὁς εκ τηλικουτου θανατου ερρυσατο ἡμας και ῥυεται, εις ὁν ηλπικαμεν ὁτι και ετι ῥυσεται,

τηλικουτο—δυσεβημα. *2 Mac. xii.* 3. και τῳ θανατῳ ου παρεδωκε με. *Ps. cxvii.* 18. ῥυσασθαι εκ θανατου τας ψυχας αυτων. *xxxii.* 19. *Prov. x.* 2. *1 Reg. xv.* 32. και ερρυσατο την ψυχην μου εκ θανατου, ἱνα ἡ ζωη μου εν φωτι αινῃ αυτον. *Job. xxxiii.* 30.

11 Συνυπουργουντων και ὑμων ὑπερ ἡμων τῃ δεησει, ἱνα εκ πολλων προσωπων το εις ἡμας χαρισμα δια πολλων ευχαριστηθῃ ὑπερ ἡμων.

και το προσωπον σου πορευομενον εν μεσῳ αυτων. *2 Reg. xvii.* 11. πυρ απο προσωπου αυτου. *Ps. xvii.* 8. *Dan. vi.* 26. ευχαριστηθῃ. *Judith. viii.* 25. *Conf. 1 Esd. vii.* 2. *Rom. xv.* 30. *Phil. i.* 19. *Philem.* 22. *Cap. iv.* 15. και δεηθησῃ προς Κυριον σου περι των καταλελειμμενων τουτων. *Esa. xxxvii.* 4. ευνοιαν εις εμε. *2 Mac. ix.* 26. *Prov. i.* 7. *Conf. Jac. v.* 16.

12 Ἡ γαρ καυχησις ἡμων αὑτη εστι, το μαρτυριον της συνειδησεως ἡμων, ὁτι εν ἁπλοτητι και ειλικρινειᾳ Θεου, ουκ εν σοφιᾳ σαρκικῃ, αλλ᾽ εν χαριτι Θεου ανεστραφημεν εν τῳ κοσμῳ, περισσοτερως δε προς ὑμας.

και πορευομενοι τῃ ἁπλοτητι αυτων. *2 Reg. xv.* 11. ειλικρινης. *Sap. vii.* 25. συνειδησις. *Sap. xvii.* 11. ὁς αναστρεφεται αμωμος εν δικαιοσυνῃ. *Prov. xx.* 7. καυχησις. *Jer. xii.* 13. μετα αυτου βραχιονες σαρκινοι [σαρκικοι. *Comp.*], μεθ᾽ ἡμων Κυριος κ.τ.λ. *2 Par. xxxii.* 8. τεσσαρακοντα και δυο ετη ανεστραπται Ισραηλ εν τῃ ερημῳ. *Jos. v.* 5. μακαριος ὁς εν τουτοις αναστραφησεται, κ. τ. λ. *Sir. l.* 28. εν καθαρᾳ καρδιᾳ και εν δικαιοσυνῃ χειρων εποιησα τουτο. *Gen. xx.* 5. ισθι πεποιθως εν ὁλῃ τῃ καρδιᾳ επι Θεῳ, επι δε τῃ σοφιᾳ μη επαιρου. *Prov. iii.* 5. και αὑτη εστιν ἡ απαρχη. *Exod. xxv.* 3. προς ὑμας. *Conf. Jer. xi.* 20.

13 Ου γαρ αλλα γραφομεν ὑμιν, αλλ' η ἁ αναγινωσκετε, η
και επιγινωσκετε, ελπιζω δε ὁτι και ἑως τελους επιγνωσεσθε,

ἡ κυρεια αυτου ἑως τελους. *Dan. vi.* 26. *Conf.* 2 *Mac. ix.* 25-27. αλλ' η. *Conf. Luc. xii.* 51. [*Paronomasia. Winer.* § 62.]

14 Καθως και επεγνωτε ἡμας απο μερους, ὁτι καυχημα ὑμων
εσμεν, καθαπερ και ὑμεις ἡμων, εν τη ἡμερᾳ του Κυριου Ιησου.

καθαπερ. *Conf. Lev. xxvii.* 8. *Gen. xii.* 4. ἡμερα Κυριου. *Joel. ii.* 31. *i.* 15. *Esa. ii.* 12. *Cap. v.* 12. *Phil. ii.* 16. 1 *Thess. ii.* 19, 20.

15 Και ταυτῃ τῃ πεποιθησει εβουλομην προς ὑμας ελθειν προ-
τερον, ἱνα δευτεραν χαριν εχητε·

και κατοικιω αυτους εν πεποιθησει. *Ose. ii.* 18. *Theod.* εις πεποιθησιν. *Aq.* επ' ελπιδι. *LXX.* *Conf. Rom. i.* 11. ὁ Κυριος του ουρανου και της γης δωη σοι χαριν αντι της λυπης σου ταυτης. *Tob. vii.* 18.

16 Και δι' ὑμων διελθειν εις Μακεδονιαν, και παλιν απο Μα-
κεδονιας ελθειν προς ὑμας, και ὑφ' ὑμων προπεμφθηναι εις την
Ιουδαιαν.

και αφ' ἡμων προπεμψουσι σε. *Judith. x.* 15. ὁπως προπεμπωσιν αυτους εις γην Ιουδα. 1 *Mac. xii.* 4. 1 *Esd. iv.* 47.

17 Τουτο ουν βουλευομενος, μη τι αρα τῃ ελαφριᾳ εχρησαμην;
η ἁ βουλευομαι, κατα σαρκα βουλευομαι, ἱνα ῃ παρ' εμοι το
ναι ναι, και το ου ου;

παντα, ὁσα βεβουλευμαι, ποιησω. *Esa. xlvi.* 10. ελαφρος. *Job. vii.* 6. *xxiv.* 18. *Conf. cap. iv.* 17. 1 *Cor. iv.* 19. [ελαφρια· κουφοτης. *Hesych.*] *Conf. Jud. ix.* 4. *Jer. xxiii.* 32. *Sophon. iii.* 4.

18 Πιστος δε ὁ Θεος, ὁτι ὁ λογος ἡμων ὁ προς ὑμας ουκ εγενετο
ναι και ου·

ομουνται τον Θεον τον αληθινον. *Esa. lxv.* 16. Ζω εγω, λεγει Κυριος ὁ Θεος. *Jer. xxvi.* 18. *Conf. Matt. v.* 37. *Jac. v.* 12. *Judith. xi.* 5. *xii.* 4. Ζῃ Κυριος, κ. τ. λ. *Jer. xii.* 16. *li.* 26.

19 Ὁ γαρ του Θεου υἱος Ιησους Χριστος ὁ εν ὑμιν δι' ἡμων
κηρυχθεις, δι' εμου και Σιλουανου και Τιμοθεου, ουκ εγενετο
ναι και ου, αλλα ναι εν αυτῳ γεγονεν·

20 Ὁσαι γαρ επαγγελιαι Θεου, εν αυτῳ το ναι, και εν αυτῳ
το αμην, τῳ Θεῳ προς δοξαν, δι' ἡμων.

επαγγελια. *Est. iv.* 7. 1 *Mac. x.* 15. [μονοις σοφιαν μαρτυρουσι

3 *P*

τοις τα νομιμα σαφως επισταμενοις, και την των ἱερων γραμματων δυναμιν ἑρμηνευσαι δυναμενοις. κ. τ. λ. Jos. Ant. sub fin.] ναι δη επ' αληθειας. Job. xix. 4. Conf. Num. xxiii. 19.

21 Ὁ δε βεβαιων ἡμας συν ὑμιν εις Χριστον, και χρισας ἡμας, Θεος·

βεβαιωσον με εν τοις λογοις σου. Ps. cxviii. 28. εχρισε σε ὁ Θεος ὁ Θεος σου ελαιον αγαλλιασεως παρα τους μετοχους σου. xliv. 7. εχρισε με ευαγγελισασθαι πτωχοις. Esa. lxi. 1. Conf. cap. v. 5. 1 Joan. ii. 20. 27. [και αλειψας αυτους τῳ σῳ ελαιῳ απο της περιεχουσης αυτους πλανης. Act. Thom. c. 25.]

22 Ὁ και σφραγισαμενος ἡμας, και δους τον αρῥαβωνα του Πνευματος εν ταις καρδιαις ἡμων.

θες με ὡς σφραγιδα επι την καρδιαν σου. Cant. viii. 6. Agg. ii. 24. Deut. xxxii. 34. εαν δῳς μοι αρῥαβωνα, ἑως του αποστειλαι σε. Gen. xxxviii. 17-20. Conf. Rom. viii. 16. Cap. v. 5. Ephes. i. 13. [αρῥαβων· προδομα. Hesych. αρῥαβων· ἡ εν ταις ωναις περι των ωνουμενων διδομενη προκαταβολη ὑπερ της ασφαλειας. Etym. Mag.] [παρεχων της πιστεως σου τον αρῥαβωνα. Act. Thom. c. 51.] επι καρδιας αυτων γραψω κ. τ. λ. Jer. xxxviii. 33.

23 Εγω δε μαρτυρα τον Θεον επικαλουμαι επι την εμην ψυχην, ὁτι φειδομενος ὑμων ουκετι ηλθον εις Κορινθον·

Θεος μαρτυς μεταξυ εμου και μεταξυ σου. Gen. xxxi. 50. αντιλογιας περας εις βεβαιωσιν ὁ ὁρκος. Heb. vi. 16. φεισεται πτωχου και πενητος. Ps. lxxi. 13. Rom. i. 9. Cap. xi. 31. Gal. i. 20.

24 Ουχ ὁτι κυριευομεν ὑμων της πιστεως, αλλα συνεργοι εσμεν της χαρας ὑμων, τῃ γαρ πιστει ἑστηκατε·

ἑως οὑ εκυριευσαν αυτων οἱ λεοντες. Dan. vi. 24. συνεργους ελαμβανε. 2 Mac. viii. 7. συνεργουντες τοις πρεσβυτεροις των Ιουδαιων. 1 Esd. vii. 2. και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 Reg. xxiii. 3. και Κυριος επιστρεψει ἑκαστῳ κατα τας δικαιοσυνας αυτου και την πιστιν αυτου· κ. τ. λ. 1 Reg. xxvi. 23. εμπιστευσατε εν τῳ Κυριῳ Θεῳ ὑμων, και εμπιστευθησεσθε, κ. τ. λ. 2 Par. xx. 20. δοθησεται γαρ αυτῳ της πιστεως χαρις εκλεκτη. Sap. iii. 14.

ΚΕΦ. β. 2.

ΕΚΡΙΝΑ δε εμαυτῳ τουτο, το μη παλιν ελθειν εν λυπῃ προς ὑμας.

εκρινα τοινυν—ειδως ὁτι. Sap. viii. 9. καθως δε αν αυτῳ κριθειη.

2 *Mac. xv.* 21. ου γαρ συνοιδα εμαυτῳ. *Job. xxvii.* 6. *Conf.* 1 *Cor. ii.* 2. *iv.* 21. *Cap. i.* 23. εν λυπῃ. *Gen. xlii.* 38. *Jon. iv.* 1.

2 Ει γαρ εγω λυπω ὑμας, και τις εστιν ὁ ευφραινων με, ει μη
ὁ λυπουμενος εξ εμου;

οἱ λυπουντες με. *Jer. xv.* 18. *Conf. Deut. xv.* 10. 2 *Reg. xix.* 2. τα δικαιωματα Κυριου ευθεα ευφραινοντα καρδιαν. *Ps. xviii.* 8.

3 Και εγραψα ὑμιν τουτο αυτο, ἱνα μη ελθων λυπην εχω αφ᾽
ὡν εδει με χαιρειν· πεποιθως επι παντας ὑμας, ὁτι ἡ εμη
χαρα παντων ὑμων εστιν.

αγαθον πεποιθεναι επι Κυριον. *Ps. cxvii.* 8. *cxxv.* 2. *Conf. Job. xv.* 3. *Cap. viii.* 22. *Gal. v.* 10. *Jer. xxxviii.* 9. *Ezech. xxxvii.* 26.

4 Εκ γαρ πολλης θλιψεως και συνοχης καρδιας εγραψα ὑμιν
δια πολλων δακρυων, ουχ ἱνα λυπηθητε, αλλα την αγαπην
ἱνα γνωτε ἡν εχω περισσοτερως εις ὑμας.

συνοχην και ταλαιπωριαν. *Job. xxx.* 3. *Ps. xxiv.* 17. *Aq.* δακρυω δε εγω συνεχομενος φοβῳ. *Job. iii.* 24. εις ὑμας. διεξοδους ὑδατων κατεβησαν οἱ οφθαλμοι μου, κ.τ.λ. *Ps. cxviii.* 136. *Jer. xiii.* 15-17. [συνοχη· ταραχη. *Hesych.*]

3, 4.] γεγραφα δε προς αυτον τα ὑπογραμμενα· Παρακαλω ουν ὑμας και αξιω, μεμνημενους των ευεργεσιων κοινῃ και κατ᾽ ιδιαν, ἑκαστον συντηρειν την ουσαν ευνοιαν εις εμε και τον υἱον μου. 2 *Mac. ix.* 25, 26. *Conf. Lev. xix.* 17, 18. *Prov. xxvii.* 5.

5 Ει δε τις λελυπηκεν, ουκ εμε λελυπηκεν, αλλ᾽ απο μερους,
ἱνα μη επιβαρω, παντας ὑμας.

ελυπηθην εν τῃ αδολεσχιᾳ μου. *Ps. liv.* 2. επιβαρυνειν. *Conf. Exod. xxi.* 30. *Ald.* 1 *Cor. v.* 1. χαρητε ἁμα αυτῃ χαρᾳ παντες ὁσοι πενθειτε επ᾽ αυτῃ. *Esa. lxvi.* 15. *Conf. Prov. xvii.* 25. *Gal. iv.* 12. *Sir. xiii.* 2.

6 Ἱκανον τῳ τοιουτῳ ἡ επιτιμια αὑτη ἡ ὑπο των πλειονων·

το ἱκανον, ὡστε αποδουναι αυτῳ. *Lev. xxv.* 28. *xii.* 8. οἱ δε ασεβεις καθα ελογισαντο ἑξουσιν επιτιμιαν. *Sap. iii.* 10. οἱ πλειονες, (*præstantiores*). του μη ειναι αυτους πλειονας εν τοις εθνεσι. *Ezech. xxix.* 15. *Conf.* 1 *Cor. v.* 5. *Cap. xiii.* 10. *Sir. viii.* 5. ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 2 *Mac. vii.* 32.

7 Ὡστε τουναντιον μαλλον ὑμας χαρισασθαι και παρακαλε-
σαι, μηπως τῃ περισσοτερᾳ λυπῃ καταποθῃ ὁ τοιουτος.

τουναντιον. 3 Mac. iii. 22. χαρισασθαι. Conf. Luc. vii. 42. ου μη σβεσθῃ ἑως αν καταποθῃ. Sir. xxiii. 16. παρακαλειτε παρακαλειτε τον λαον μου. Esa. xl. 1. ἱνατι καταποντιζεις κληρονομιαν Κυριου; 2 Reg. xx. 19, 20. Prov. xvii. 22.

8 Διο παρακαλω ὑμας κυρωσαι εις αυτον αγαπην.

κυρωσαι. Gen. xxiii. 20. Lev. xxv. 30. 1 Reg. xv. 13. Aq. [και κυρωσειν την προαιρεσιν αυτων. Jos. Ant. x. 11. 6.]

9 Εις τουτο γαρ και εγραψα, ἱνα γνω την δοκιμην ὑμων, ει εις παντα ὑπηκοοι εστε.

ὁπως πειρασω αυτους ει πορευσονται τῳ νομῳ μου, η ου. Exod. xvi. 4. Deut. viii. 2. 16. εις δοκιμην. Ezech. xvi. 61. Alex. Ps. lxvii. 31. Sym. [ὑπηκοον γενομενον. Jos. Ant. ii. 4. 3.]

10 Ὡ δε τι χαριζεσθε, και εγω· και γαρ εγω ει τι κεχαρισμαι, ᾡ κεχαρισμαι, δι' ὑμας, εν προσωπῳ Χριστου,

Conf. 1 Cor. v. 3. [χαριζομαι· δωρουμαι. Thom. Mag.]

11 Ἱνα μη πλεονεκτηθωμεν ὑπο του Σατανα· ου γαρ αυτου τα νοηματα αγνοουμεν.

αποστρεψαι ἑκαστον απο των νοηματων της καρδιας αυτων της πονηρας. Bar. ii. 8. 3 Mac. v. 30. Conf. Luc. xxii. 31. 1 Cor. vii. 5. και ὁ διαβολος εἱστηκει εκ δεξιων αυτου, του αντικεισθαι αυτῳ. Zach. iii. 1. Conf. Job. i. 11, 12. ii. 3. 5. 1 Par. xxi. 1, 2. ουκ αγνοων. Sap. xii. 10. [χηρας πλεονεκτουντες. Act. Thom. § 12.]

12 Ελθων δε εις την Τρωαδα εις το ευαγγελιον του Χριστου, και θυρας μοι ανεῳγμενης εν Κυριῳ,

Conf. Act. xvi. 8. 1 Cor. xvi. 9. εις θυραν ελπιδος. Ose. ii. 13. Sym.

13 Ουκ εσχηκα ανεσιν τῳ πνευματι μου, τῳ μη εὑρειν με Τιτον τον αδελφον μου· αλλα αποταξαμενος αυτοις, εξηλθον εις Μακεδονιαν.

εὑρουσα ανεσιν. Sir. xxvi. 10. Conf. cap. vii. 5. και οἱ αδελφοι αυτου ἱερεις. Esd. iii. 2. ουαι αδελφε. 3 Reg. xiii. 30. [αποταξαμενος αυτοις εἱπετο. Jos. Ant. viii. 13. 7.]

14 Τῳ δε Θεῳ χαρις τῳ παντοτε θριαμβευοντι ἡμας εν τῳ Χριστῳ, και την οσμην της γνωσεως αὑτου φανερουντι δι' ἡμων εν παντι τοπῳ.

θριαμβευοντι (Hiphil). = και εβασιλευσα εφ' ὑμας βασιλεα. 1 Reg. xii. 1. επισπευδειν. Est. vi. 14. Conf. Grot. οσμη. Conf.

Sir. xxiv. 15. και γινωσκοντας γνωσιν. *Dan. i.* 4. ὁτι εβδελυξατε την οσμην ἡμων εναντιον Φαραω. *Exod. v.* 21. *Conf. Ps. cvi.* 47. *Col. i.* 27. *Rom. viii.* 37.

15 Ὁτι Χριστου ευωδια εσμεν τῳ Θεῳ εν τοις σωζομενοις και εν τοις απολλυμενοις·

και ωσφρανθη Κυριος ὁ Θεος οσμην ευωδιας. *Gen. viii.* 21. *xxvii.* 27. *Sir. l.* 15. οσμη ευωδιας τῳ Κυριῳ. *Lev. i.* 9. 17. *Conf.* 1 *Cor. i.* 18. *Cap. ii.* 15. *Prov. xvi.* 4. 33. αἱ ὁδοι αυτου τοις ὁσιοις ευθειαι, οὑτως τοις ανομοις προσκομματα. κ. τ. λ. *Sir. xxxix.* 24, 25. *Exod. xxx.* 23. *Ps. cxxxii.* 2. *Prov. xii.* 28. *Ps. lxxv.* 10.

16 Οἱς μεν, οσμη θανατου εις θανατον· οἱς δε, οσμη ζωης εις ζωην. και προς ταυτα τις ἱκανος;

οἱ δε τραυματιαι αυτων ῥιφησονται, και οἱ νεκροι, και αναβησεται αυτων ἡ οσμη. *Esa. xxxiv.* 3. *Exod. xxx.* 23. *Ezech. xx.* 41. εἱλοντο τον θανατον η την ζωην. *Jer. viii.* 3. οἱς μεν—οἱς δε. *Sturz.* 205. οσμη μυρων σου ὑπερ παντα τα αρωματα. *Cant. i.* 3. *Conf. Gen. xxxiv.* 30. και τις εσται ἱκανος αυτῃ; *Joel. ii.* 11. εναντι ανθρωπων ἡ ζωη και ὁ θανατος, και ὁ εαν ευδοκησῃ δοθησεται αυτῳ. *Sir. xv.* 17. *Conf. Deut. xxx.* 15. *Jer. xxi.* 8. και το εργον μεγα, ὁτι ουκ ανθρωπῳ, αλλ' η Κυριῳ Θεῳ. 1 *Par. xxix.* 1. ιδου εγω διδωμι ενωπιον ὑμων σημερον την ευλογιαν και την καταραν, κ. τ. λ. *Deut. xi.* 26-28. οὑτοι εις ζωην αιωνιον, και οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. *Dan. xii.* 2.

17 Ου γαρ εσμεν ὡς οἱ πολλοι, καπηλευοντες τον λογον του Θεου, αλλ' ὡς εξ ειλικρινειας, αλλ' ὡς εκ Θεου, κατενωπιον του Θεου εν Χριστῳ λαλουμεν.

το αργυριον ὑμων αδοκιμον, οἱ καπηλοι σου μισγουσι τον οινον ὑδατι. *Esa. i.* 22. και εσομαι εναντιον αυτου ὡς καταφρονων. *Gen. xxvii.* 12. ου δικαιωθησεται καπηλος απο ἁμαρτιας. *Sir. xxvi.* 29. *Cap. iv.* 2. 1 *Tim. vi.* 5. *Tit. i.* 11. 2 *Pet. ii.* 3. [οἱ Χριστεμποροι τον λογον καπηλευοντες, και τον Ιησον πωλουντες. *Ignat. ad Magnes. p.* 149. ου Χριστιανοι αλλα Χριστεμποροι, ἀπατῃ περιφεροντες το ονομα Χριστου, και καπηλευοντες τον λογον, κ. τ. λ. *ad Trall. p.* 159. *Edit. Vossii.*] και ελαλησεν Ααρων παντα τα ῥηματα ταυτα, ἁ ελαλησεν ὁ Θεος προς Μωυσην. *Exod. iv.* 30.

ΚΕΦ. γ. 3.

ΑΡΧΟΜΕΘΑ παλιν ἑαυτους συνιστανειν; ει μη χρῃζομεν, ὡς τινες, συστατικων επιστολων προς ὑμας, η εξ ὑμων συστατικων;

προς Θεον εστειλαντο φιλιαν δια τας εκ παιδειας δωρεας συσταθεντες. *Sap. vii.* 14. και επεδεξατο αυτον ενδοξας, και συνεστησεν αυτον πασι τοις φιλοις αυτου. 1 *Mac. xii.* 43. [συστατικα γραμματα. *Theod. Conf. Suicer.*] ει μη—εφαγες; *Gen. iii.* 11.

2 Ἡ επιστολη ἡμων ὑμεις εστε, εγγεγραμμενη εν ταις καρδιαις ἡμων, γινωσκομενη και αναγινωσκομενη ὑπο παντων ανθρωπων·

επι καρδιας αυτων γραψω. *Jer. xxxviii.* 33. [ταις ψυχαις εγγραφεντας νομους. *Jos. Ant. iv.* 8. 12.] γραψον ὁρασιν—ὁπως διωκῃ ὁ αναγινωσκων αυτα. *Hab. ii.* 2. *Conf. Prov. vii.* 3. [*Winer.* § 62.]

3 Φανερουμενοι ὁτι εστε επιστολη Χριστου διακονηθεισα ὑφ' ἡμων, εγγεγραμμενη ου μελανι, αλλα Πνευματι Θεου ζωντος, ουκ εν πλαξι λιθιναις, αλλ' εν πλαξι καρδιας σαρκιναις.

και εδωκε—πλακας λιθινας γεγραμμενας. *Exod. xxxi.* 12. λαξευσον σεαυτῳ δυο πλακας λιθινας. *xxxiv.* 1. εγραψεν αυτα επι δυο πλακας λιθινας. *Deut. iv.* 13. και αφελω την καρδιαν λιθινην —και δωσω ὑμιν καρδιαν σαρκινην. *Ezech. xxxvi.* 26. *xi.* 19. *Conf. Jer. xxxviii.* 33. *Heb. viii.* 10. 1 *Cor. iii.* 5. πας δε ανθρωπος εκ νεοτητος επι τα πονηρα, και ουκ ισχυσαν τας καρδιας αυτων αντι λιθινων ποιησαι σαρκινας. *Sir. xvii.* 16. *Comp.* και εγραψεν επι των πλακων τα ῥηματα ταυτα της διαθηκης. *Exod. xxxiv.* 28. *Deut. ix.* 10. *x.* 1-4. [τα προσταγματα του Κυριου επι τα πλακη της καρδιας ὑμων εγεγραπτο. *Clem. Rom. i.* 2.] *Num. xiv.* 21.

4 Πεποιθησιν δε τοιαυτην εχομεν δια του Χριστου προς τον Θεον·

τι ἡ πεποιθησις αὑτη ἡν πεποιθας; 4 *Reg. xviii.* 19. *Ose. ii.* 18. *Aq. Theod.* αγαθον πεποιθεναι επι Κυριον η πεποιθεναι επ' ανθρωπον. *Ps. cxvii.* 8. *lxxxiii.* 12. προς τον Θεον. *Exod. xviii.* 19.

5 Ουχ ὁτι ἱκανοι εσμεν αφ' ἑαυτων, λογισασθαι τι, ὡς εξ ἑαυτων, αλλ' ἡ ἱκανοτης ἡμων εκ του Θεου·

ἱκανος ειμι προ της χθες. *Exod. iv.* 10. *Joel. ii.* 11. *Conf. Gen. xli.* 16. λογιζομενοι ποιησαι μοι πονηριαν. *Neh. vi.* 2. αδικιαν ελο-

γισατο. Ps. li. 2. και ειπα,—ιδου ουκ επισταμαι λαλειν, ὁτι νεωτερος εγω ειμι, κ. τ. λ. Jer. i. 6, 7. μη ειπης εν τῃ καρδιᾳ σου, Ἡ ισχυς μου, και το κρατος της χειρος μου εποιησε μοι την δυναμιν την μεγαλην ταυτην, κ. τ. λ. Deut. viii. 17. Conf. Gen. xli. 16. μη ἡμιν Κυριε, μη ἡμιν, αλλ᾽ η τῳ ονοματι σου δος δοξαν, επι τῳ ελεει σου και τῃ αληθειᾳ σου. Ps. cxiii. 1. Conf. 1 Par. xxix. 1. Κυριος ὁ Θεος ελαλησε, και τις ου προφητευσει; Amos. iii. 8. [την αιτιαν ἱκανος μεν ειμι αποδουναι και νυν. Jos. Ant. i. 1. 1.] ουκ εστιν ἡμιν ισχυς του αντιστηναι προς το πληθος το πολυ τουτο —αλλ᾽ η επι σοι οἱ οφθαλμοι ἡμων. 2 Par. xx. 12.

6 *Ὁς και ἱκανωσεν ἡμας διακονους καινης διαθηκης, ου γραμματος, αλλα πνευματος· το γαρ γραμμα αποκτεινει, το δε πνευμα ζωοποιει.*

και εκχεω την ευλογιαν—ἑως του ἱκανωθηναι. Mal. iii. 10. ἱκανουσθω ὑμιν. Num. xvi. 7. Deut. i. 6. αποκτεινει (i.e. mortem denunciat.) εκολληθη τῳ εδαφει ἡ ψυχη μου, ζησον με κατα τον λογον σου. Ps. cxviii. 25. εν τῃ δικαιοσυνῃ σου ζησον με. 40. Conf. Ephes. i. 5. του αποκτειναι ψυχας ἁς ουκ εδει αποθανειν. Ezech. xiii. 19. και επιστρεψας εζωοποιησας με. Ps. lxx. 20. Conf. Deut. xxvii. 26. διαθηκην καινην. Jer. xxxviii. 31. ἡ σοφια ζωοποιησει τον παρ᾽ αυτης. Eccles. vii. 13.

7 *Ει δε ἡ διακονια του θανατου εν γραμμασιν εντετυπωμενη εν λιθοις εγενηθη εν δοξῃ, ὡστε μη δυνασθαι ατενισαι τους υἱους Ισραηλ εις το προσωπον Μωσεως, δια την δοξαν του προσωπου αυτου την καταργουμενην,*

ὡστε. Jos. x. 14. ατενισαι. 1 Esd. vi. 28. και ην δεδοξασμενη ἡ οψις του χρωματος του προσωπου. Exod. xxxiv. 29, 30. [εντυπουμενον· εγγραφομενον. Hesych.] οἱ υἱοι Ισραηλ. Neh. i. 6. ii. 10. και ἡ δοξα εκ προσωπου σου. 1 Par. xxix. 12. Comp. Conf. Deut. v. x. 1. Exod. xxiv. 12. [καταργησει Βελιαρ και τους ὑπηρετουντας αυτῳ. Test. XII Patr. p. 731.] [Conf. Philo de Vit. Mos. lib. 3. p. 665.] [De Mose refert Philo—ὡς τους ὁρωντας τεθηπεναι και καταπεπληχθαι και μηδεν επιπλεον αντεχειν τοις οφθαλμοις δυνασθαι κατα την προσβολην ἡλιοειδους φεγγους απαστραπτοντος. lib. iii. p. 665.]

8 *Πως ουχι μαλλον ἡ διακονια του πνευματος εσται εν δοξῃ;*

και ἁγιασθησομαι εν δοξῃ μου. Exod. xxix. 43. και το πνευμα μου εφεστηκεν εν μεσῳ ὑμων. Agg. ii. 5. ᾁδης και απωλεια φανερα παρα τῳ Κυριῳ· πως ουχι και αἱ καρδιαι των ανθρωπων; Prov. xv. 11.

9 Ει γαρ ἡ διακονια της κατακρισεως δοξα, πολλῳ μαλλον περισσευει ἡ διακονια της δικαιοσυνης εν δοξῃ.

και τι επερισσευσεν ὁ ανθρωπος παρα το κτηνος; Eccles. iii. 19. περισσευων εν φρονησει. Sir. xix. 24. 1 Mac. iii. 30. Conf. Rom. i. 17. iii. 21. πας ὁ αψαμενος του ορους, θανατῳ τελευτησει, κ. τ. λ. Exod. xix. 12, 13. ηγγισα την δικαιοσυνην μου, και την σωτηριαν την παρ' εμου ου βραδυνω. κ. τ. λ. Esa. xlvi. 13. Conf. Esa. xi. 2. xliv. 3. lix. 21. Joel. ii. 23.

10 Και γαρ ουδε δεδοξασται το δεδοξασμενον εν τουτῳ τῳ μερει, ἑνεκεν της ὑπερβαλλουσης δοξης.

μη δοξασθησεται αξινη ανευ του κοπτοντος. Esa. x. 15. ὑπερβαλλει με ἡ γνωσις σου. Ps. cxxxviii. 6. Sym. ὑπερβαλλουσαν αναγνειαν. 2 Mac. iv. 13. μεγας Κυριος παρα παντας τους θεους ἑνεκεν τουτου. Exod. xviii. 11. Ps. lxxix. 9. ει σεληνη συντασσει, και ουκ επιφαυσκει, αστρα δε ου καθαρα εναντιον αυτου. κ. τ. λ. Job. xxv. 5, 6.

11 Ει γαρ το καταργουμενον, δια δοξης, πολλῳ μαλλον το μενον, εν δοξῃ.

διοτι μεγαλη εσται ἡ δοξα οικου τουτου ἡ εσχατη, ὑπερ την πρωτην, κ. τ. λ. Agg. ii. 10.

12 Εχοντες ουν τοιαυτην ελπιδα, πολλῃ παρρησιᾳ χρωμεθα·

εις ουρανον την ελπιδα εχων. 2 Mac. ix. 20. τοτε στησεται εν παρρησιᾳ πολλῃ ὁ δικαιος. Sap. v. 1. Prov. xiii. 5. ἡ ελπις αυτων αθανασιας πληρης. Sap. iii. 4. Conf. Ephes. vi. 19. [πασῃ χρησαμενος σπουδῃ και φιλοτιμιᾳ. Jos. Ant. x. 2. 1.]

13 Και ου καθαπερ Μωσης ετιθει καλυμμα επι το προσωπον ἑαυτου, προς το μη ατενισαι τους υἱους Ισραηλ εις το τελος του καταργουμενου·

επεθηκεν επι το προσωπον αυτου καλυμμα. Exod. xxxiv. 33. τελος λογου. Eccles. xii. 13. ατενισαι. Conf. Act. i. 10. Rom. x. 4. Gal. iii. 23. προς το μη πιειν. Jer. xlii. 8, 9. xxxvi. 25. CITAT. 206.

14 Αλλ' επωρωθη τα νοηματα αυτων. αχρι γαρ της σημερον το αυτο καλυμμα επι τῃ αναγνωσει της παλαιας διαθηκης μενει μη ανακαλυπτομενον, ὁ τι εν Χριστῳ καταργειται·

πεπωρωνται γαρ απο οργης οἱ οφθαλμοι μου. Job. xvii. 7. Sap. ii. 21. ἑως σημερον. Sir. xlvii. 7. εν τῃ αναγνωσει. Neh. viii. 8. Conf. Suicer. p. 247. Esa. vi. 10. ανακαλυπτειν. Job. xii. 22. ὁ, τι. Conf. 1 Reg. xix. 3. ταυτα ελογισαντο, και επλανηθησαν· απετυφλωσε

γαρ αυτους ἡ κακια αυτων. και ουκ εγνωσαν μυστηρια Θεου, ουδε μισθον ηλπισαν ὁσιοτητος, κ. τ. λ. Sap. ii. 21. Esa. vi. 10.

15 *Αλλ᾽ ἑως σημερον, ἡνικα αναγινωσκεται Μωσης, καλυμμα επι την καρδιαν αυτων κειται·*

ζυγος ὁ επ᾽ αυτων κειμενος. Esa. ix. 4. Sir. xxxviii. 29. [*ου και το καλυμμα προηγειται σκοτος.* Act. Thom. § 34.] *του νομου και των προφητων και των αλλων πατριων βιβλιων αναγνωσιν.* Prol. Sir.

16 *Ἡνικα δ᾽ αν επιστρεψῃ προς Κυριον, περιαιρειται το καλυμμα.*

επιστραφητε προς με, και λυτρωσομαι σε. Esa. xliv. 22. *και περιελεις τα ἱματια της αιχμαλωσιας απ᾽ αυτης.* Deut. xxi. 13. Conf. Ose. iii. 4, 5. Deut. xxx. 10. *ἡνικα δ᾽ αν εισεπορευετο Μωυσης εναντι Κυριου λαλειν αυτῳ, περιῃρειτο το καλυμμα ἑως του εκπορευεσθαι.* Exod. xxxiv. 34. *περιαιρειται.* Conf. Act. xxvii. 40. *ὁ Θεος επιστρεψον ἡμας, και επιφανον το προσωπον σου, και σωθησομεθα.* Ps. lxxix. 3. 19. Conf. Deut. iv. 29. [Laudat Philo, de Profug. p. 367. Edit. Col.] Conf. Jer. xxxviii. 34. Joan. vi. 45.

17 *Ὁ δε Κυριος το πνευμα εστιν· οὑ δε το Πνευμα Κυριου, εκει ελευθερια.*

Πνευματι ἡγεμονικῳ στηριξον με. Ps. l. 12. cxviii. 45. *κηρυξαι αιχμαλωτοις αφεσιν.* Esa. lxi. 1. *και ου συνεκλεισας με εις χειρας εχθρου, εστησας εν ευρυχωρῳ τους ποδας μου.* Ps. xxx. 8.=*οὑ εαν εισελθῃ ὑβρις, εκει και ατιμια.* Prov. xi. 2.

18 *Ἡμεις δε παντες ανακεκαλυμμενῳ προσωπῳ την δοξαν Κυριου κατοπτριζομενοι, την αυτην εικονα μεταμορφουμεθα απο δοξης εις δοξαν, καθαπερ απο Κυριου πνευματος.*

και ανακαλυψει το προσωπον αυτης. Esa. xxiv. 1. *μεταμορφουμεθα.* Ps. xxxiii. 1. Sym. Conf. Lev. xix. 2. 1 Pet. i. 16. Conf. 1 Cor. xiii. 12. Cap. v. 17. Rom. viii. 29. *πορευσονται εκ δυναμεως εις δυναμιν, οφθησεται ὁ Θεος των θεων εν Σιων.* Ps. lxxxiii. 7. [*μη γαρ εμφανισθειης μοι δι᾽ ουρανου, η γης, η ὑδατος, η αερος, η τινος ἁπλως των εν γενεσει, μηδε κατοπτρισαιμην εν αλλῳ τινι την σην ιδεαν, η εν σοι τῳ Θεῳ.* Philo. 2 Alleg. p. 79.] *ὑπομενω ἑως παλιν γενωμαι.* Job. xiv. 14. *ελπιω ἑως αν ελθῃ το ανταλλαγμα μου.* Aq. Theod. *ἑως αν ελθῃ ἡ ἁγια φυσις μου.* Sym.

ΚΕΦ. δ. 4.

ΔΙΑ τουτο εχοντες την διακονιαν ταυτην, καθως ηλεηθημεν, ουκ εκκακουμεν,

ειπατε τῳ αδελφῳ ὑμων, Λαος μου, και τῃ αδελφῃ ὑμων, Ηλεημενη. Ose. ii. 1. οἱ ὑπομενοντες τον Θεον, αλλαξουσιν ισχυν, κ. τ. λ. Esa. xl. 31. τα παιδια, οἱς ηλεησεν ὁ Θεος τον παιδα σου. Gen. xxxiii. 5. [ηδημονησεν· εξεκακησε. Hesych.] [διακονιαν· του κηρυγματος λειτουργιαν. Theodor.]

2 Αλλ' απειπαμεθα τα κρυπτα της αισχυνης, μη περιπατουντες εν πανουργιᾳ, μηδε δολουντες τον λογον του Θεου, αλλα τῃ φανερωσει της αληθειας συνιστωντες ἑαυτους προς πασαν συνειδησιν ανθρωπων, ενωπιον του Θεου.

ανεκαλυψα τα κρυπτα αυτων. Jer. xxix. 10. ὁτι απειπω εργα χειρων σου. Job. x. 3. συνειδησις. Sap. xvii. 11. εν ὁδοις δικαιοσυνης περιπατω. Prov. viii. 20. εστι πανουργια πληθυνουσα πικριαν. Sir. xxi. 12. Jos. ix. 4. ουκ εδολωσεν εν γλωσσῃ αυτου. Ps. xiv. 3. xxxvi. 3. ενωπιον Κυριου. Deut. iv. 25. Conf. Num. xxv. 18. [τα κρυπτα μεν των ἁμαρτηματων ηδοξηκατε κ.τ.λ. Jos. Bell. Jud. v. 4. p. 1243.] [κλεπτειν δε απειπων, ευθυς ψευδομαρτυρειν απαγορευει. Philo de Decal. p. 763.] και φανερωσω αυτοις—ειρηνην και πιστιν. Jer. xl. 6. Ald. Comp. Conf. Sir. xiv. 2.

3 Ει δε και εστι κεκαλυμμενον το ευαγγελιον ἡμων, εν τοις απολλυμενοις εστι κεκαλυμμενον·

ακουσατε μου οἱ απολωλεκοτες την καρδιαν, οἱ μακραν απο της δικαιοσυνης. Esa. xlvi. 12. Prov. xi. 23. Job. iv. 7-9.

4 Εν οἱς ὁ θεος του αιωνος τουτου ετυφλωσε τα νοηματα των απιστων, εις το μη αυγασαι αυτοις τον φωτισμον του ευαγγελιου της δοξης του Χριστου, ὁς εστιν εικων του Θεου.

και ετυφλωθησαν οἱ δουλοι του Θεου. Esa. xlii. 19. Sap. xviii. 4. αποστρεψαι ἑκαστον απο των νοηματων της καρδιας. Bar. ii. 8. μειναντες αυγην εν αωριᾳ περιεπατησαν. Esa. lix. 9. ὑπομειναντων αυτων, φως εγενετο αυτοις σκοτος. Ib. εις φωτισμον μη ελθοι. Job. iii. 9. Κυριος φωτισμος μου και σωτηρ μου. Ps. xxvi. 1. lxxxix. 8. και εικονα της ιδιας ιδιοτητος εποιησεν αυτον. Sap. ii. 23. Conf. Esa. vi. 10. Matt. iv. 8. Joan. xii. 31. Ephes. vi. 12. εαν μη πιστευσητε, ουδε μη συνετε. Esa. vii. 9. [ετυφλωσε με ὁ αρχων της πλανης, και ηγνοησα ὡς ανθρωπος, και ὡς σαρξ κ. τ. λ Test. XII

Patr. p. 611.] ου μη καταμεινη το πνευμα μου εν τοις ανθρωποις τουτοις εις τον αιωνα, δια το ειναι αυτους σαρκας. *Gen. vi.* 3. [το φως του κοσμου, το δοθεν εν ὑμιν εις φωτισμον παντος ανθρωπου. *Test. XII Patr. p.* 578.]=μιαναι το σκηνωμα της καταπαυσεως του ονοματος της δοξης σου. *Judith. ix.* 8. *x.* 3. *xiii.* 18. ουκ ισχυσαν ειδεναι τον Οντα. *Sap. xiii.* 1. [της ἑαυτου εικονος χαρακτηρ. *Clem. Rom. Epist.* 1.]

5 Ου γαρ ἑαυτους κηρυσσομεν, αλλα Χριστον Ιησουν Κυριον· ἑαυτους δε, δουλους ὑμων δια Ιησουν.

κηρυσσειν την σοφιαν. *Prov. viii.* 1. 2 *Cor. i.* 24. δια. *Conf.* 2 *Mac. iii.* 33. δουλος Κυριου ειμι εγω. *Jon. i.* 9. *Ezech. xiii.* 3.

6 Ὁτι ὁ Θεος ὁ ειπων εκ σκοτους φως λαμψαι, ὁς ελαμψεν εν ταις καρδιαις ἡμων, προς φωτισμον της γνωσεως της δοξης του Θεου εν προσωπῳ Ιησου Χριστου.

και ειπεν ὁ Θεος, Γενηθητω φως, και εγενετω φως. *Gen. i.* 3. εδωκα σε—εις φως εθνων. *Esa. xlii.* 6. φως ποιησας εκ σκοτους. *Job. xxxvii.* 15. ὁ φωτισμος του προσωπου σου. *Ps. xliii.* 3. ὁ λαος ὁ πορευομενος εν σκοτει—φως λαμψει εφ᾽ ὑμας. *Esa. ix.* 2. *xl.* 5. απαυγασμα της δοξης. *Heb. i.* 3. τους εν προσωπῳ του βασιλεως. *Jer. lii.* 25. *Conf. sup. cap. iii.* 7. εγω ὁ κατασκευασας φως, και ποιησας σκοτος, ὁ ποιων ειρηνην, και κτιζων κακα, κ. τ. λ. *Esa. xlv.* 7. φωτιζου φωτιζου Ἱερουσαλημ, ἡκει γαρ σου το φως κ. τ. λ. *lx.* 1, 2. *Ps. lxxxix.* 17.

7 Εχομεν δε τον θησαυρον τουτον εν οστρακινοις σκευεσιν, ἱνα ἡ ὑπερβολη της δυναμεως ᾐ του Θεου, και μη εξ ἡμων·

εγω δε ειμι γη και σποδος. *Gen. xviii.* 27. ὁ Θεος—εδωκεν ὑμιν θυσαυρους εν τοις μαρσιπποις ὑμων. *xliii.* 23. *Ezech. xxvii.* 24. *Sir. vi.* 14. οἱ δε κατοικουντες οικιας πηλινας. *Job. iv.* 19. ισα πηλῳ, εν γῃ και σποδῳ μου ἡ μερις. *xxx.* 19. ελογισθησαν εις αγγεια οστρακινα. *Thren. iv.* 2. καθως συντριβεται αγγος οστρακινον. *Jer. xix.* 11. *xxxix.* 14. και το πτωμα αυτης εσται ὡς συντριμμα αγγειου οστρακινου. *Esa. xxx.* 14. *Conf. Esa. lxiv.* 8. *Rom. ii.* 21. *Job. x.* 12. [ὑπερβολην πλουτου. *Philo.* 2 *Alleg. p.* 46. ὑπερβαλλουσα δυναμις. *de Opif. p.* 34. ἡ ὑπερβολη της θρησκειας. *Jos. Ant. i.* 13. 4. ἡ ὑπερβολη των αγαθων. *ii.* 2. 1.] ανευ του Θεου ουκ αποκριθησεται το σωτηριον. *Gen. xli.* 16.

8 Εν παντι θλιβομενοι, αλλ᾽ ου στενοχωρουμενοι· απορουμενοι, αλλ᾽ ουκ εξαπορουμενοι·

στενοχωρουμενοι. *Esa. xxviii. 20. xlix. 19. Deut. xxviii. 53.* εφοβηθη δε Ιακωβ σφοδρα, και ηπορειτο. *Gen. xxxii. 7. Esa. viii. 22.* [θλιβομενον εν γυμνοτητι χειμωνος. *Test. XII Patr. p.* 641.] ὑψωθεις δε εταπεινωθην και εξηπορηθην. *Ps. lxxxvii.* 15. *Job. xxi.* 5. *Aq. Cap. i.* 8. *vii.* 5. και κατα τουτον τον τροπον, το πνευμα στενοχωρουμενος, και το σωμα αγχομενος, ελεγε, κ. τ. λ. 4 *Mac.* 11. απορουμενοι, αλλ' ουκ εξαπορουμενοι. (*Paronomasia.*) = *Susan. liv.* 55. *Sap. xiv.* 5. 1 *Esd. iv.* 62. *Winer.* § 62.

9 Διωκομενοι, αλλ' ουκ εγκαταλειπομενοι· καταβαλλομενοι, αλλ' ουκ απολλυμενοι·

και ου μη εγκαταλιπητε. *Mal. ii.* 16. ουκ εγκαταλειψει σε. *Deut. iv.* 31. *Jos. i.* 5. *Esa. xli.* 9. παν ξυλον αγαθον καταβαλειτε. 4 *Reg. iii.* 19. *Esa. xvi.* 9. ὁταν πεσῃ, ου καταῤῥαχθησεται. *Ps. xxxvi.* 24. *Cap. i.* 10. *Heb. xiii.* 5. απολλυμενοι, *sed non interficimur.* ὁτι ακριτως απολλυτε ἡμας. 1 *Mac. ii.* 37. και απαγομενης αυτης απολεσθαι. *Susan.* 45. πολλαι αἱ θλιψεις των δικαιων, και εκ πασων αυτων ῥυσεται αυτους ὁ Κυριος. *Ps. xxxiii.* 19. σωσον με εκ παντων των διωκοντων με. *vii.* 1. *Jer. xvii.* 18.

10 Παντοτε την νεκρωσιν του Κυριου Ιησου εν τῳ σωματι περιφεροντες, ἱνα και ἡ ζωη του Ιησου εν τῳ σωματι ἡμων φανερωθῃ.

Conf. Ps. lxxviii. 2. *xliii.* 11. 1 *Pet. iv.* 13. [μη γαρ αλλο ποιησειη ἑκαστος ἡμων η νεκροφορειν το νεκρον εξ ἑαυτου σωμα. *Philo. p.* 73. αμιγη την ευδαιμονιαν της αρετης ἑαυτοις περιφεροντας. *p.* 883. *Conf. Loesner.*] εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, και ζησομεθα ενωπιον αυτου. *Ose. vi.* 3.

11 Αει γαρ ἡμεις οἱ ζωντες εις θανατον παραδιδομεθα δια Ιησουν, ἱνα και ἡ ζωη του Ιησου φανερωθῃ εν τῃ θνητῃ σαρκι ἡμων.

ανθ' ὡν παρεδοθη εις θανατον ἡ ψυχη αυτου. *Esa. liii.* 12. ὁτι ἑνεκα σου θανατουμεθα ὁλην την ἡμεραν, κ. τ. λ. *Ps. xliii.* 22. *Matt. v.* 11. *Rom. viii.* 36. *Col. iii.* 4.

12 Ὡστε ὁ μεν θανατος εν ἡμιν ενεργειται, ἡ δε ζωη εν ὑμιν.

τις δῳη τον θανατον μου αντι σου; 2 *Reg. xviii.* 33. χαριτας εγγυου μη επιλαθῃ, κ. τ. λ. *Sir. xxix.* 15.

13 Εχοντες δε το αυτο πνευμα της πιστεως, κατα το γεγραμμενον, Επιστευσα, διο ελαλησα, και ἡμεις πιστευομεν, διο και λαλουμεν·

επιστευσα, διο ελαλησα. *Ps. cxv.* 10. *CITAT.* 207.

14 Ειδοτες ὁτι ὁ εγειρας τον Κυριον Ιησουν και ἡμας δια Ιησου εγερει, και παραστησει συν ὑμιν.

και παρεστησεν αυτους αυτῳ. Gen. xl. 4. Ald. Lev. xvi. 7. Ald. Comp. Conf. Rom. viii. 11. 1 Cor. vi. 14. Act. ii. 24. ὁ εγειρας νεκρον του θανατου και εξ ᾁδου εν λογῳ Ὑψιστου. Sir. xlviii. 5. γεγραπται δε, αυτον [Ιωβ] παλιν αναστησεσθαι μεθ' ὡν ὁ Κυριος ανιστησι. Job. xlii. 17. Dan. xii. 13.

15 Τα γαρ παντα δι' ὑμας, ἱνα ἡ χαρις πλεονασασα δια των πλειονων την ευχαριστιαν περισσευσῃ εις την δοξαν του Θεου.

πλεονασασα. Exod. xxvi. 12. Prov. xv. 5. περισσευων εν φρονησει. Sir. xix. 24. δια των πλειονων. Conf. 2 Mac. xi. 12.

16 Διο ουκ εκκακουμεν· αλλ' ει και ὁ εξω ἡμων ανθρωπος διαφθειρεται, αλλ' ὁ εσωθεν ανακαινουται ἡμερᾳ και ἡμερᾳ.

ὁ εξω ἡμων. Conf. 4 Reg. xvi. 18. Job. xix. 25-27. Esa. lvii. 1, 2. ανακαινισθησεται ὡς αετου ἡ νεοτης σου. Ps. cii. 5. και πνευμα ευθες εγκαινισον εν τοις εγκατοις. l. 10. ἡμεραν καθ' ἡμεραν. lxvii. 19. 1 Par. ix. 32. Rom. vii. 22. Ephes. iii. 16. Col. iii. 10. 1 Pet. iii. 4. οἱ δε ὑπομενοντες τον Θεον, αλλαξουσιν ισχυν, πτεροφυησουσιν ὡς αετοι, δραμουνται και ου κοπιασουσι, βαδιουνται και ου πεινασουσι. Esa. xl. 31. και δωσω αυτοις καρδιαν ἑτεραν και πνευμα καινον. Ezech. xi. 19. xxxvi. 26. Conf. Tit. iii. 5. εξελιπεν ἡ καρδια μου και ἡ σαρξ μου, ὁ Θεος της καρδιας μου, και ἡ μερις μου ὁ Θεος εις τον αιωνα. Ps. lxxii. 26.

17 Το γαρ παραυτικα ελαφρον της θλιψεως ἡμων καθ' ὑπερβολην εις ὑπερβολην αιωνιον βαρος δοξης κατεργαζεται ἡμιν,

παν δε ῥημα ελαφρον εκρινον. Exod. xviii. 26. Ald. Comp. Job. vii. 6. ix. 25. xl. 3. Conf. Ps. xxix. 5. Matt. v. 12. Rom. viii. 18. 1 Pet. i. 6. μισθον—αποδος αυτῳ παραυτικα. Tob. iv. 14. ελαφρον της θλιψεως = η ελαφρα θλιψις. βαρος της οσμης. 2 Mac. ix. 10. προ του με ταπεινωθηναι, εγω επλημμελησα, δια τουτο το λογιον σου εφυλαξα. Ps. cxviii. 67. εν δυναμει βαρειᾳ σφοδρα. 3 Reg. x. 2. 4 Reg. xviii. 17. [το βαρος· αντι του, το πληθος· την ισχυν. Suid.] [την παραυτικα χρησιν και απολαυσιν. Philo. p. 926.] εν ελεει αιωνιῳ ελεησω σε. Esa. liv. 8.

18 Μη σκοπουντων ἡμων τα βλεπομενα, αλλα τα μη βλεπομενα· τα γαρ βλεπομενα, προσκαιρα· τα δε μη βλεπομενα, αιωνια.

το δε συμφερον κοινῃ κατ' ιδιαν παντι τῳ πληθει σκοπων. 2 Mac. iv. 5. προσκαιρα. 4 Mac. 15. [οἱ των φαινομενων παντα τροπον

ἡττηνται. *Philo, de Migr. Abrah. p.* 403.] ἐγω δε εν δικαιοσυνη οφθησομαι τῳ προσωπῳ σου, χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. *Ps. xvi.* 15. πιστευω του ιδειν τα αγαθα Κυριου εν γῃ ζωντων. *xxvi.* 13. καλα τα βλεπομενα. *Sap. xiii.* 7.

Κεφ. ε. 5.

ΟΙΔΑΜΕΝ γαρ, ὁτι εαν ἡ επιγειος ἡμων οικια του σκηνους καταλυθῃ, οικοδομην εκ Θεου εχομεν, οικιαν αχειροποιητον, αιωνιον, εν τοις ουρανοις.

τον οικον τουτον κατελυσε. *Esd. v.* 12. ὡσπερ ὁ καταλυων σκηνην πηξας. *Esa. xxxviii.* 12. *Alex. Ald. Comp.* το γεωδες σκηνος. *Sap. ix.* 15. οἱ κατοικουντες οικιας πηλινας. *Job. iv.* 19. *Conf. Joan. xiv.* 2. ναον αχειροποιητον. *Marc. xiv.* 58. χειροποιητα ἁγια. *Heb. ix.* 24. *Conf. cap. iv.* 7. 2 *Pet. i.* 13, 14. απο ορους ετμηθη λιθος ανευ χειρων. *Dan. ii.* 45. οιδα γαρ ὁτι θανατος με εντριψει, οικια γαρ παντι θνητῳ γη. *Job. xxx.* 23. οιδα γαρ ὁτι αενναος εστιν ὁ εκλυειν με μελλων επι γης κ. τ. λ. *xix.* 25, 26. του θεμενου την ψυχην μου εις ζωην, κ. τ. λ. *Ps. lxv.* 9.

2 Και γαρ εν τουτῳ στεναζομεν, το οικητηριον ἡμων το εξ ουρανου επενδυσασθαι επιποθουντες·

στενα μοι παντοθεν. *Susan.* 22. και στεναξουσιν οἱ ἁλιεις. *Esa. xix.* 8. ακουσατε δη ὁτι στεναζω εγω, ουκ εστιν ὁ παρακαλων. *Thren. i.* 21. απο του οικτηριου του ἁγιου δωσει φωνην αυτου. *Jer. xxv.* 30. *Ald.* φθαρτον γαρ σωμα βαρυνει ψυχην, και βριθει το γεωδες σκηνος νουν πολυφροντιδα. *Sap. ix.* 15. επιποθει και εκλειπει ἡ ψυχη μου εις τας αυλας του Κυριου. *Ps. lxxxiv.* 2. ποθουσιν απελθουσαν. *Sap. iv.* 2. επενδυσασθαι. *Conf.* 1 *Cor. xv.* 47. 53. *Rom. viii.* 23. *Job. xxx.* 22. επενδυτης. 1 *Reg. xviii.* 4. *Alex. Ald.* 2 *Reg. xiii.* 18. και δια στενοχωριαν πνευματος στεναξονται. *Sap. v.* 3. *Alex. Comp.* και γαρ ἡμεις ζωῃ ζησομεθα. *Sir. xlviii.* 11.

3 Ει γε και ενδυσαμενοι, ου γυμνοι, εὑρεθησομεθα.

δερμα δε και κρεας με ενεδυσας. *Job. x.* 11. καθ' ἑαυτους ενεδυσεν αυτους ισχυν, και κατ' εικονα αυτου εποιησεν αυτους. *Sir. xvii.* 3. ει γε, *saltem. Hoogev. p.* 235. *Conf. Gen. iii.* 7-11. *Matt. xxii.* 11. *Gal. iii.* 27. *Apoc. iii.* 18. *xvi.* 15. [*De Mose jam moriente Philo.* εκ του καθ' ολιγον συνησθανετο της εξ ὡν συνεκεκρατο διαζευξεως, του μεν σωματος οστεου δικην περιαιρουμενου, της δε ψυχης απογυμνουμενης. *de Carit. p.* 701.] και εφοβηθην ὁτι γυμνος ειμι, και εκρυβην. *Gen. iii.* 10. εὑρεθησομεθα. *Conf. Exod. xxxv.* 23.

4 Και γαρ οἱ οντες εν τῳ σκηνει στεναζομεν βαρουμενοι· επειδη ου θελομεν εκδυσασθαι, αλλ᾽ επενδυσασθαι, ἱνα καταποθῃ το θνητον ὑπο της ζωης.

καταποθῃ. *Conf.* 1 *Cor. xv.* 54. *Rom. viii.* 11. ανθρωπος θνητος. *Esa. li.* 12. κατεπιειν ὁ θανατος ισχυσας, κ. τ. λ. *Esa. xxv.* 8. ζυγος βαρυς επι υἱους Αδαμ. *Sir. xl.* 1. εκδυσασθαι, αλλ᾽ επενδυσασθαι. (*paronomasia.*) *Conf. Susan.* 54, 55. *Sap. xiv.* 5. *Winer.* § 62. εκλειπει εις το σωτηριον σου ἡ ψυχη μου. *Ps. cxviii.* 81.

5 Ὁ δε κατεργασαμενος ἡμας εις αυτο τουτο, Θεος, ὁ και δους ἡμιν τον αῤῥαβωνα του Πνευματος.

δυναμωσον ὁ Θεος τουτο ὁ κατειργασω εν ὑμιν. *Ps. lxvii.* 28. *Ald. Comp.* τινα τον αῤῥαβωνα σοι δωσω; *Gen. xxxviii.* 18. θες με ὡς σφραγιδα επι τον βραχιονα σου. *Cant. viii.* 6. *Joel. ii.* 28. *Rom. viii.* 16. *Cap. i.* 22. *Ephes. i.* 13. και, *etenim.* *Conf. Ps. cvii.* 12. *Mich. vii.* 8.

6 Θαῤῥουντες ουν παντοτε, και ειδοτες ὁτι ενδημουντες εν τῳ σωματι, εκδημουμεν απο του Κυριου·

θαρσει (*Ald.* θαῤῥει) επ᾽ αυτῃ. *Prov. xxxi.* 11. [ενδημειν. *Jos. Ant. iii.* 11. 3. εκδημειν. *ix.* 4. 6.] *Conf.* 1 *Par. xxix.* 15. *Heb. xi.* 13. 1 *Pet. ii.* 11. ὁτι παροικος εγω ειμι εν τῃ γῃ και παρεπιδημος, καθως παντες οἱ πατερες μου. *Ps. xxxviii.* 12. *cxviii.* 19. ου γαρ ἡκατε ἑως του νυν εις την καταπαυσιν, κ. τ. λ. *Deut. xii.* 9.

7 (Δια πιστεως γαρ περιπατουμεν, ου δια ειδους·)

Sir. xx. 13. *Comp.* εν ὁδοις δικαιοσυνης περιπατω. *Prov. viii.* 20. *Conf.* υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. *Rom. viii.* 24. 1 *Cor. xiii.* 12. *Cap. iii.* 18. *Heb. xi.* 1.

8 Θαῤῥουμεν δε και ευδοκουμεν μαλλον εκδημησαι εκ του σωματος, και ενδημησαι προς τον Κυριον.

ευδοκησω. *Sir. xxv.* 16. εκδημησαι. *Conf.* 3 *Mac. iv.* 11. *Phil. i.* 23. 1 *Pet. ii.* 11. [εις το οφειλομενον αυτοις τοπον εισι παρα τῳ Κυριῳ. *Polycarp. Epist.* § 9.] πλην ὁ Θεος λυτρωσεται την ψυχην μου εκ χειρος ᾀδου, ὁταν λαμβανῃ με. *Ps. xlviii.* 15.

9 Διο και φιλοτιμουμεθα, ειτε ενδημουντες, ειτε εκδημουντες, ευαρεστοι αυτῳ ειναι.

φιλοτιμος. 3 *Mac. iv.* 15. *Susan.* 12. ευαρεστος τῳ Θεῳ γενομενος ηγαπηθη. *Sap. iv.* 10. τοις ὑπερ του Ιουδαϊσμου φιλοτιμως ανδραγαθησασι. 2 *Mac. ii.* 21. και ευηρεστησεν Ενωχ τῳ Θεῳ. *Gen. v.* 24. ευαρεστησω ενωπιον Κυριου εν χωρᾳ ζωντων. *Ps. cxiv.* 9. *Conf.*

Rom. xv. 20. 1 *Thess. iv.* 11. [Πτολεμαιος—εφιλοτιμηθη τον ἡμετεραν νομον—εις την Ἑλλαδα φωνην μεταβαλειν. *Jos. Præf. ad Ant.* 3.]

10 Τους γαρ παντας ἡμας φανερωθηναι δει εμπροσθεν του βηματος του Χριστου, ἱνα κομισηται ἑκαστος τα δια του σωματος, προς ἁ επραξεν, ειτε αγαθον, ειτε κακον.

Conf. Dan. xii. 2. *Matt. xvi.* 27. *Joan. i.* 31. *Rom. xiv.* 10. *Ps. lxi.* 12. προσηλθον επι το βημα Λυσιας. 2 *Mac. xiii.* 26. οἱτινες αξιον της δυσσεβειας εκομισαντο μισθον. 2 *Mac. viii.* 33. 3 *Mac. i.* 3. ὁτι συμπαν το ποιημα ὁ Θεος αξει εν κρισει—εαν αγαθον και εαν πονηρον. *Eccles. xii.* 14. *Matt. xxv.* 32. *Jer. xvii.* 10. *Job. xxxiv.* 11. *Rom. ii.* 6. 1 *Cor. iii.* 8. *Gal. vi.* 5. *Ephes. vi.* 8. ἡτοιμασεν εν κρισει τον θρονον αυτου, κ. τ. λ. *Ps. ix.* 7, 8. κρινει την οικουμενην εν δικαιοσυνῃ, και λαους εν τῃ αληθειᾳ αυτου. *xcv.* 13. και φανερωσω αυτοις, κ. τ. λ. *Jer. xl.* 6.

11 Ειδοτες ουν τον φοβον του Κυριου, ανθρωπους πειθομεν, Θεῳ δε πεφανερωμεθα· ελπιζω δε και εν ταις συνειδησεσιν ὑμων πεφανερωσθαι.

δουλευσατε τῳ Κυριῳ εν φοβῳ. *Ps. ii.* 11. *xxxv.* 1. [ἡ συνειδησις μου συνεχει με περι της ἁμαρτιας. *Test. XII Patr.*] εν καθαρᾳ καρδιᾳ και εν δικαιοσυνῃ χειρων εποιησα τουτο. *Gen. xx.* 5, 6. φοβος γαρ Κυριου συνεσχε με, κ. τ. λ. *Job. xxxi.* 23.

12 Ου γαρ παλιν ἑαυτους συνιστανομεν ὑμιν, αλλα αφορμην διδοντες ὑμιν καυχηματος ὑπερ ἡμων, ἱνα εχητε προς τους εν προσωπῳ καυχωμενους, και ου καρδιᾳ.

εγκωμιαζετω σε ὁ πελας και μη το σον στομα, αλλοτριος και μη τα σα χειλη. *Prov. xxvii.* 2. *Conf. cap. iii.* 1. αφορμην δε λαβουσα. *Rom. vii.* 8. 11. ὁτι ανθρωπος οψεται εις προσωπον, ὁ δε Θεος οψεται εις καρδιαν. 1 *Reg. xvi.* 7. καυχασθαι εν ταις αινεσεσι σου. 1 *Par. xvi.* 35. ὑπερ. 2 *Reg. xviii.* 5. των λαλουντων ειρηνην—κακα δε εν ταις καρδιαις. *Ps. xxvii.* 3.

13 Ειτε γαρ εξεστημεν, Θεῳ· ειτε σωφρονουμεν, ὑμιν.

εξεστημεν. *Conf. cap. xi.* 16, 17. *Job. xii.* 17. *Marc. iii.* 21. σωφρονουμεν. *v.* 15. [σωον το φρονημα εχομεν. *Alberti Gloss.*] [οἱ ἡγεμονες και οἱ ασεβεις ὡς εξεστηκοτα των φρενων αυτου (*Jeremiam*), οὑτως εξεφαυλιζον. *Jos. Ant. x.* 7. 3.] *Conf. Matt. xi.* 16-19.

14 Ἡ γαρ αγαπη του Χριστου συνεχει ἡμας,

φοβος γαρ Κυριου συνεσχε με. Job. xxxi. 23. Conf. 1 Reg. xxiii. 8. 2 Mac. ix. 2. Luc. xii. 50. ὁτι κραταια ὡς θανατος αγαπη. Cant. viii. 6. i. 4. ὁτι τετρωμενη αγαπης εγω ειμι. v. 8.

15 *Κριναντας τουτο, ὁτι ει εἱς ὑπερ παντων απεθανεν, αρα οἱ παντες απεθανον· και ὑπερ παντων απεθανεν, ἱνα οἱ ζωντες μηκετι ἑαυτοις ζωσιν, αλλα τῳ ὑπερ αυτων αποθανοντι και εγερθεντι.*

ὑπερ ἁμαρτιας. Ezech. xliii. 21-25. Alex. Ald. xliv. 29. xlv. 17. αυτος ἁμαρτιας πολλων ανηνεγκε, και δια τας ανομιας αυτων παρεδοθη. Esa. liii. 12. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. Sir. xxix. 15. εριφον ὑπερ ἁμαρτιας. Ezech. xliii. 25. 2 Mac. i. 26. iii. 32. και ποιησει ὁ αφηγουμενος εν εκεινῃ τῃ ἡμερᾳ ὑπερ αυτου, και ὑπερ του οικου, και ὑπερ παντος του λαου της γης, μοσχον ὑπερ ἁμαρτιας. Ezech. xlv. 22. αρα. Ps. lvii. 14. Conf. Rom. vi. 12. xiv. 7, 8. 1 Cor. vi. 19. Gal. ii. 20. 1 Thess. v. 10. 1 Pet. iv. 2. και διηλθον επι σε, και ιδον σε πεφυρμενην εν τῳ αἱματι σου· και ειπα σοι, Εκ του αἱματος σου ζωη, κ. τ. λ. Ezech. xvi. 6, 7. ουχ᾽ ἁμαρτησομεθα δε, ειδοτες ὁτι σοι λελογισμεθα. Sap. xv. 2. ὁτι. = και ωμοσεν—ὁτι χρονος ουκετι εσται. Apoc. xii. 7.

16 *Ὡστε ἡμεις απο του νυν ουδενα οιδαμεν κατα σαρκα· ει δε και εγνωκαμεν κατα σαρκα Χριστον, αλλα νυν ουκ ετι γινωσκομεν.*

ὡστε. Sap. vi. 25. απο του νυν και ἑως του αιωνος. Ps. cxii. 2. Mich. iv. 7. Col. iii. 11. Matt. xii. 50. Joan. xv. 14. 1 Cor. xvi. 18.

17 *Ὡστε ει τις εν Χριστῳ, καινη κτισις· τα αρχαια παρηλθεν· ιδου, γεγονε καινα τα παντα.*

και καινιει σε εν τῃ αγαπησει αυτου. Sophon. iii. 17. τοις δε δουλευσουσι μοι κληθησεται ονομα καινον. Esa. lxv. 15. ιδου ἡκασι, και καινα ἁ εγω αναγγελλω. xlii. 9. lxv. 17. και πνευμα καινον δωσω εν αυτοις. Ezech. xi. 19. xviii. 31. xxxvi. 26. καρδια καινη. xviii. 31. καρδιαν καθαραν κτισον εν εμοι. Ps. l. 10. ανομιων αρχαιων. lxxviii. 8. τα αρχαια, præterita. Sap. viii. 8. διηλθε θερος, παρηλθον αμητος. Jer. viii. 20. μη μνημονευετε τα πρωτα, και τα αρχαια μη συλλογιζεσθε· Ιδου εγω ποιω καινα, κ. τ. λ. Esa. xliii. 18, 19. εν Χριστῳ. Conf. Joan. xv. 2-5. vi. 56.

18 *Τα δε παντα εκ του Θεου, του καταλλαξαντος ἡμας ἑαυτῳ δια Ιησου Χριστου, και δοντος ἡμιν την διακονιαν της καταλλαγης·*

εν τῃ του μεγαλου δεσποτου καταλλαγῃ. 2 Mac. v. 20. vii. 33. του συντελεσθηναι ἁμαρτιαν, και του σφραγισαι ἁμαρτιας, και απαλειψαι τας αδικιας, κ. τ. λ. Dan. ix. 24. ποδες ευαγγελιζομενου ακοην ειρηνης, κ. τ. λ. Esa. lii. 7. lvii. 19. ὁ σος Κυριε *λογος ὁ παντα ιωμενος. Sap. xvi. 12.*

19 Ὡς ὁτι Θεος ην εν Χριστῳ κοσμον καταλλασσων ἑαυτῳ, μη λογιζομενος αυτοις τα παραπτωματα αυτων, και θεμενος εν ἡμιν τον λογον της καταλλαγης.

μακαριος ανηρ ᾧ ου μη λογισηται Κυριος *ἁμαρτιαν. Ps. xxxi. 2. ισως εσται μακροθυμος τοις παραπτωμασι σου. Dan. iv. 24. εθετο εν αυτοις τους λογους των σημειων αυτου. Ps. civ. 27. Amos. v. 7. Conf. Exod. iv. 15. Rom. iii. 24. [ὡς* Πομπαιος, *κ. τ. λ. Conf. Jos. Bell. Jud. i. 7.] τον ελεημονα* Κυριον *ηξιουν εις τελος, καταλλαγηναι τοις αυτου δουλοις. 2 Mac. viii. 29.* Εγω Ειμι, Εγω Ειμι *ὁ εξαλειφων τας ανομιας σου ἑνεκεν εμου, και τας ἁμαρτιας σου, και ου μη μνησθησομαι. Esa. xliii. 25. [μη λογισῃ ἡμων τα παραπτωματα και τα πρωτα σφαλματα. Act. Thom. c. 56.]*

20 Ὑπερ Χριστου ουν πρεσβευομεν, ὡς του Θεου παρακαλουντος δι' ἡμων· δεομεθα ὑπερ Χριστου, καταλλαγητε τῳ Θεῳ·

του ποιησαμενου την πρεσβειαν ὑπερ φιλιας. 2 Mac. iv. 11. [πρεσβευειν. Jos. Ant. xii. 4. 2.] και επακουσαι ὑμων των δεησεων και καταλλαγειη ὑμιν. 2 Mac. i. 5. Conf. cap. iii. 6. Mal. ii. 7. Job. xxxiii. 23, 24. ζητησατε τον Κυριον, *και εν τῳ εὑρισκειν αυτον, επικαλεσασθε. ἡνικα δ' αν εγγιζῃ ὑμιν, κ. τ. λ. Esa. lv. 6, 7.*

21 Τον γαρ μη γνοντα ἁμαρτιαν, ὑπερ ἡμων ἁμαρτιαν εποιησεν, ἱνα ἡμεις γινωμεθα δικαιοσυνη Θεου εν αυτῳ.

Conf. Joan. viii. 46. απο των ανομιων του λαου μου ηχθη εις θανατον. Esa. liii. 8. ὁτι ανομιων ουκ εποιησε. 9. εν τοις ανομοις ελογισθη. 12. περικαθαρμα δε δικαιου ανομος. Prov. xxi. 18. εποιησε τον μοσχον τον της ἁμαρτιας. Lev. iv. 20. επι την κεφαλην του της ἁμαρτιας. 33. ἁμαρτια γαρ εστι. v. 9. Ose. iv. 8. και ελογισθη αυτῳ εις δικαιοσυνην. Gen. xv. 6. εν τῃ δικαιοσυνῃ σου ῥυσαι με. Ps. xxx. 1. ὁ φυλασσων εντολην ου γνωσεται ῥημα πονηρον. Eccles. viii. 5. Ps. xxxiv. 11. Conf. Rom. v. 19. Gal. iii. 13. 1 Joan. iii. 5. 1 Pet. ii. 22. Heb. vii. 26. 27. ix. 14. Joan. viii. 46. εν ταις ἡμεραις αυτου και σωθησεται Ιουδας, *και* Ισραηλ *κατασκηνωσει πεποιθως, και τουτο το ονομα αυτου, ὁ καλεσει αυτον* Κυριος, Ιωσεδεκ *εν τοις προφηταις. Jer. xxiii. 6. και* Κυριος *βουλεται καθαρισαι αυτον της πληγης, κ. τ. λ. Esa. liii. 10. απο* Κυριου *δικαιωθησονται, κ. τ. λ. xlv. 25. Sir. xviii. 2.*

ΚΕΦ. ϛ. 6.

ΣΥΝΕΡΓΟΥΝΤΕΣ δε και παρακαλουμεν, μη εις κενον την χαριν του Θεου δεξασθαι ὑμας·

συνεργουντες τοις πρεσβυτεροις. 1 Esd. vii. 2. τελειως πραγμα ποιησει μετα σου ὁ Θεος. Judith. xi. 6. παρακαλω—και αξιω. 2 Mac. ix. 26. κοπιαζουσι λαοι εις κενον. Jer. xxviii. 58. και δεξαι εμους λογους. Prov. iv. 10. Conf. Luc. xviii. 17. 1 Cor. iii. 9. Heb. xii. 15. Joan. i. 17. Tit. ii. 11. εξαποστειλον αυτην (σοφιαν) εξ ἁγιων ουρανων, και απο θρονου δοξης σου πεμψον αυτην, ἱνα συμπαρουσα μοι κοπιασῃ κ. τ. λ. Sap. ix. 10.

2 Λεγει γαρ, Καιρῳ δεκτῳ επηκουσα σου, και εν ἡμερᾳ σωτηριας εβοηθησα σοι. ιδου, νυν καιρος ευπροσδεκτος, ιδου νυν ἡμερα σωτηριας.

Esa. xlix. 8. καιρῳ δεκτῳ κ. τ. λ. ιδου. Esa. vii. 14. Matt. i. 20. 23. μη μεινῃς ἑως θανατου δικαιωθηναι. Sir. xviii. 22. CITAT. 208.

3 Μηδεμιαν εν μηδενι διδοντες προσκοπην, ἱνα μη μωμηθῃ ἡ διακονια·

μη σοι γενηται προσκομμα εν ὑμιν. Exod. xxxiv. 12. ψευδεις τε εδειξε τους μωμησαμενους αυτον. Sap. x. 14. ἱνα μη εν τῃ ασχημοσυνῃ σου προσκοψῃ. Sir. xxx. 13. Eccles. ix. 8. Esa. lii. 5. Joel. i. 9.

4 Αλλ᾽ εν παντι συνιστωντες ἑαυτους, ὡς Θεου διακονοι, εν ὑπομονῃ πολλῃ, εν θλιψεσιν, εν αναγκαις, εν στενοχωριαις,

ὁ Θεος ευ συνεστησεν αυτης την ὁδον. Job. xxviii. 23. εν τῃ θλιψει και εν τῃ στενοχωριᾳ. Esa. xxx. 6. Alex. καιρος στενοχωριας σου. Sir. x. 26. θλιψεις και αναγκαι. Ps. cxviii. 142. Prov. xvii. 17. 1 Mac. xii. 13. ὑμεις δε ἱερεις Κυριου κληθησεσθε, λειτουργοι Θεου, κ. τ. λ. Esa. lxi. 6. οἱ διακονοι του βασιλεως. Est. ii. 2.

5 Εν πληγαις, εν φυλακαις, εν ακαταστασιαις, εν κοποις, εν αγρυπνιαις, εν νηστειαις,

Conf. 2 Par. xvi. 10. Jer. xliv. 15. xlv. 6. ἱδρωτος δε και αγρυπνιας το πραγμα. 2 Mac. ii. 27. Conf. 3 Reg. xxii. 24-27. ακαταστασιαις. Prov. xxvi. 28. Sir. xxvi. 27. Comp. ὁτι ἑνεκα σου ὑπηνεγκα ονειδισμον, κ. τ. λ. Ps. lxviii. 7-9. οἱ φιλοι μου και οἱ πλησιον μου εξ εναντιας μου ηγγισαν και εστησαν, κ. τ. λ. xxxvii. 11-14.

6 Εν ἁγνοτητι, εν γνωσει, εν μακροθυμιᾳ, εν χρηστοτητι, εν Πνευματι ἁγιῳ, εν αγαπῃ ανυποκριτῳ,

Conf. Jud. xvi. 15. *Ezech. xxxiii.* 31. ενδυσεται θωρακα δικαιοσυνην, και περιθησεται κορυθα κρισιν ανυποκριτον. *Sap. v.* 18.

7 Εν λογῳ αληθειας, εν δυναμει Θεου, δια των ὁπλων της δικαιοσυνης των δεξιων και αριστερων,

εκ δεξιων και εξ αριστερων. 1 *Par. xii.* 2. εν λογῳ Ὑψιστου. *Sir. xlviii.* 5. ὡς ὁπλῳ ευδοκιας εστεφανωσας ἡμας. *Ps. v.* 12. *Conf. Sap. xviii.* 22. *Ps. cxviii.* 43. *xlv.* 3-5. *Esa. xi.* 5. *lix.* 17.

8 Δια δοξης και ατιμιας, δια δυσφημιας και ευφημιας· ὡς πλανοι, και αληθεις·

δοξα και ατιμια εν λαλιᾳ. *Sir. v.* 15. *Conf. Matt. xxvii.* 63. *Joan vii.* 12. *Gen. xxvii.* 12. παντα δισσα, κ. τ. λ. *Sir. xlii.* 24.

9 Ὡς αγνοουμενοι, και επιγινωσκομενοι· ὡς αποθνησκοντες, και ιδου, ζωμεν· ὡς παιδευομενοι, και μη θανατουμενοι·

ὁτι ἑνεκα σου θανατουμεθα ὁλην την ἡμεραν. *Ps. xliii.* 22. *Conf. Gen. xlviii.* 21. παιδευων επαιδευσε με ὁ Κυριος, και τῳ θανατῳ ου παρεδωκε με. *Ps. cxvii.* 18. *Conf. Esa. xxvi.* 19. *Gal. vi.* 17. και ἡ παιδεια σου ανωρθωσε με, κ. τ. λ. *Ps. xvii.* 35. *Theod.*

10 Ὡς λυπουμενοι, αει δε χαιροντες· ὡς πτωχοι, πολλους δε πλουτιζοντες· ὡς μηδεν εχοντες, και παντα κατεχοντες.

εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες, και εισιν οἱ ταπεινουντες ἑαυτους εν πολλῳ πλουτῳ. *Prov. xiii.* 7. *Conf. Tob. iv.* 21. *Matt. v.* 12. *Marc. x.* 29. *Rom. v.* 3. χαρητε ἁμα αυτῃ χαρᾳ παντες ὁσοι πενθειτε. *Esa. lxvi.* 10. *Sir. xxxvi.* 15.

11 Το στομα ἡμων ανεῳγε προς ὑμας, Κορινθιοι, ἡ καρδια ἡμων πεπλατυνται·

εν μεσῳ εκκλησιας ανοιξει στομα αυτου. *Sir. xv.* 5. *xxii.* 22. *xxix.* 24. επλατυνας την καρδιαν μου. *Ps. cxviii.* 32. 45. επλατυνθη επ' εχθρους μου το στομα μου. 1 *Reg. ii.* 1. και εξηγαγε με εις πλατυσμον. 2 *Reg. xxii.* 20. Κυριε τα χειλη μου ανοιξεις, και το στομα μου αναγγελει την αινεσιν σου. *Ps. l.* 15. *Conf. cap. ii.* 3. *vii.* 2. *Job. xxxii.* 20. *Phil. i.* 8.

12 Ου στενοχωρεισθε εν ἡμιν, στενοχωρεισθε δε εν τοις σπλαγχνοις ὑμων·

στενοχωρια του πνευματος. *Sap. v.* 3. στενοχωρουμενοι ου δυναμεθα μαχεσθαι. *Esa. xxviii.* 20. σπλαγχνα. *Gen. xliii.* 30. *Aq. Sym.* [εστερνισμενοι ητε τοις σπλαγχνοις. *Clem. Rom. i.* 2.] *Conf. Exod. vi.* 9. *Prov. iv.* 12. 1 *Joan. iii.* 17.

13 Την δε αυτην αντιμισθιαν, ὡς τεκνοις λεγω, πλατυνθητε και ὑμεις.

τουτους μεν ὡς πατηρ νουθετων εδοκιμασας. *Sap. xi.* 10. εισηκουσε μου—εν θλιψει επλατυνας μοι. *Ps. iv.* 1. *Esa. lx.* 5. *Conf.* 1 *Cor. iv.* 14. σιδηρος σιδηρον οξυνει, ανηρ δε παροξυνει προσωπον ἑταιρου. *Prov. xxvii.* 17. πλατυνον το στομα σου, και πληρωσω αυτο. *Ps. lxxx.* 10. [κατηξιωθησαν την αντιμισθιαν ταυτην λαβειν. *Theoph. ad Autolyc. lib. ii. p.* 78. *Edit.* 1684.]

14 Μη γινεσθε ἑτεροζυγουντες απιστοις· τις γαρ μετοχη δικαιοσυνῃ και ανομιᾳ; τις δε κοινωνια φωτι προς σκοτος;

τα κτηνη σου ου κατοχευσεις ἑτεροζυγῳ. *Lev. xix.* 19. *Deut. vii.* 3. *Exod. xxxiv.* 16. *Conf. Tob. iv.* 12. *Esa. vii.* 2. και ελαβε γυναικα—και ησαν εριζουσαι τῳ Ισαακ και τῃ Ῥεβεκκᾳ. *Gen. xxvi.* 34, 35. *xxvii.* 46. *Ephes. v.* 7. 11. μη ευδοκησῃς εν ευδοκιᾳ ασεβων, μνησθητι ὁτι ἑως ᾁδου ου μη δικαιωθωσι. *Sir. ix.* 12. ουκ αροτριασεις εν μοσχῳ και ονῳ επι το αυτο. *Deut. xxii.* 10. [εν μετοχῃ ἁμαρτιας αυτων. *Psalt. Sal. p.* 954.] *Conf. Ps. xlix.* 18. μη ζηλωσῃς κακους ανδρας, μηδε επιθυμησῃς ειναι μετ᾽ αυτων, κ. τ. λ. *Prov. xxiv.* 1. [τις ουν κοινωνια προς Απολλωνα τῳ μηδεν οικειον η συγγενες επιτετηδευκοτι; *Philo. leg ad Cai. p.* 1007.] = μη γινεσθε, κ. τ. λ. *Ps. xxxi.* 9.

15 Τις δε συμφωνησις Χριστῳ προς Βελιαρ; η τις μερις πιστῳ μετα απιστου;

τις ἡμων μερις εν Δαυιδ; 3 *Reg. xii.* 16. *Conf. Ezra. iv.* 3. και μετα θηριων αγριων ἡ μερις αυτου. *Dan. iv.* 20. Βελιαλ. *Jud. xix.* 22. *Theod.* [Βελιαρ *princeps Dæmonum vocatur Test. XII Patr. pp.* 539, 587, 619.] παρανομοι. *LXX. Conf. Act. viii.* 21. *Deut. xiv.* 27. 1 *Reg. v.* 2-4. τι κοινωνησει χυτρα προς λεβητα; *Sir. xiii.* 2. τι κοινωνησει λυκος αμνῳ; οὑτως ἁμαρτωλος προς ευσεβη. 17. *Conf. Esd. iv.* 3. *Ps. c.* 6, 7.

16 Τις δε συγκαταθεσις ναῳ Θεου μετ᾽ ειδωλων; ὑμεις γαρ ναος Θεου εστε ζωντος, καθως ειπεν ὁ Θεος, ὁτι, Ενοικησω εν αυτοις, και εμπεριπατησω, και εσομαι αυτων Θεος· και αυτοι εσονται μοι λαος.

ου συγκαταθησῃ μετα του αδικου. *Exod. xxiii.* 1. τι αυτῳ ετι και ειδωλοις; *Ose. xiv.* 9. ναος Κυριου, ναος Κυριου εστι. *Jer. vii.* 4. φωνη Θεου ζωντος. *Deut. iv.* 33, *et pass.* και θησω την σκηνην μου εν ὑμιν—και εμπεριπατησω εν ὑμιν. και εσομαι ὑμιν Θεος, και ὑμεις εσεσθε μοι λαος. *Lev. xxvi.* 11, 12. ζω εγω, και ζων το ονομα μου. *Num. xiv.* 21. *Dan. vi.* 26. *Conf. Ezech. xxxvii.* 26. *Ephes. ii.* 21. 1 *Cor. iii.* 16. *Heb. iii.* 6. 1 *Pet. ii.* 5. αρχη γαρ πορνειας

επινοια ειδωλων, ὑρεσις δε αυτων φθορα ζωης. *Sap. xiv.* 12. και ερω, Λαος μου οὑτος εστι· και αυτος ερει, Κυριος ὁ Θεος μου. *Zach. xiii.* 9. [σπουδασον, ω ψυχη, Θεου οικος γενεσθαι ἱερον ἁγιον. *Philo de Somn. p.* 587. παντος μεν ασεβους μακραν αφεστηκεν, αρετωσαις δ' εμπεριπατει ψυχαις· περιπατησω γαρ, φησιν, εν ὑμιν, και εσομαι ὑμων Θεος. *de Nom. Mut. p.* 840. *de Som.* 456. *Edit. Col.*] *CITAT.* 209.

17 Διο εξελθετε εκ μεσου αυτων και αφορισθητε, λεγει Κυριος, και ακαθαρτου μη ἁπτεσθε· καγω εισδεξομαι ὑμας,

αποστητε, αποστητε, εξελθατε εκειθεν, και ακαθαρτου μη ἁψησθε, εξελθετε εκ μεσου αυτης, αφορισθητε—και ὁ επισυναγων ὑμας Θεος Ισραηλ. *Esa. lii.* 11, 12. *Num. xvi.* 20. εαν ἁψηται παντος πραγματος ακαθαρτου. *Lev. v.* 2, 3. *vii.* 9. 11. εισδεξομαι ὑμας εκ των χειρων. *Ezech. xx.* 34. 41. *Conf. Apoc. xviii.* 4. 1 *Cor. x.* 20. *Jer. xxviii.* 6. [μηδενος αδικηματος ἑκουσιου προσαψασθαι. *Philo.* 2 *Vit. Mos. p.* 662.] *CITAT.* 210.

18 Και εσομαι ὑμιν εις πατερα, και ὑμεις εσεσθε μοι εις υἱους και θυγατερας, λεγει Κυριος παντοκρατωρ.

εγω εσομαι αυτῳ εις πατερα, και αυτος εσται μοι εις υἱον. 2 *Reg. vii.* 14. *Conf. Heb. i.* 5. λεγει Κυριος παντοκρατωρ. 2 *Reg. vii.* 8. 1 *Par. xi.* 9. *Jer. v.* 14. *Apoc. xxi.* 7. *Judith. ix.* 7. *CITAT.* 211.

ΚΕΦ. ζ. 7.

ΤΑΥΤΑΣ ουν εχοντες τας επαγγελιας, αγαπητοι, καθαρισωμεν ἑαυτους απο παντος μολυσμου σαρκος και πνευματος, επιτελουντες ἁγιωσυνην εν φοβῳ Θεου.

επιστραφητε και αποστρεψατε εκ πασων των ασεβειων ὑμων, κ. τ. λ. *Ezech. xviii.* 30. απο πασης ἁμαρτιας καθαρισον καρδιαν. *Sir. xxxviii.* 10. απο ἁμαρτιας ου μη καθαρισθῃ. *xxiii.* 10. *Conf.* 1 *Tim. iv.* 8. 1 *Joan. iii.* 3. 1 *Cor. vi.* 20. καγω ουκ εποιησα οὑτως απο προσωπου φοβου Θεου. *Neh. v.* 15. λουσασθε, καθαροι γενεσθε, κ. τ. λ. *Esa. i.* 16. προς το μη μετασχειν του μολυσμου. 2 *Mac. v.* 27. *Jer. xiii.* 27. 1 *Esd. viii.* 83. και τα αλλα παντα επιτελειτε; 1 *Esd. vi.* 4. 14. 2 *Mac. xv.* 5. εν φοβῳ Κυριου, εν αληθειᾳ. 2 *Par. xix.* 9. αρχη σοφιας φοβος Κυριου. *Ps. cx.* 10.

2 Χωρησατε ἡμας· ουδενα ηδικησαμεν, ουδενα εφθειραμεν, ουδενα επλεονεκτησαμεν.

επλεονεκτησαμεν. *Hab. ii.* 9. εφθειραμεν. *Esa. liv.* 16. *Dan. viii.*

24. ουκ ηδικησας ἡμας, κ. τ. λ. 1 *Reg.* xii. 4. [Χωρησατε, τουτεστι, Δεξασθε ἡμας και τα ἡμων ῥηματα. *Chrysost.*]

3 Ου προς κατακρισιν λεγω· προειρηκα γαρ ὁτι εν ταις καρδιαις ἡμων εστε εις το συναποθανειν και συζην.

θες με ὡς σφραγιδα επι την καρδιαν σου. *Cant.* viii. 6. συναποθανετω σοι. *Sir.* xix. 10. *Cap.* vi. 11-13. *Ruth.* i. 16, 17. 1 *Reg.* i. 23.

4 Πολλη μοι παῤῥησια προς ὑμας, πολλη μοι καυχησις ὑπερ ὑμων· πεπληρωμαι τῃ παρακλησει, ὑπερπερισσευομαι τῃ χαρᾳ επι πασῃ τῃ θλιψει ἡμων.

τοτε στησεται εν παῤῥησιᾳ πολλῃ ὁ δικαιος. *Sap.* v. 1. γενναιῳ πεπληρωμενη φρονηματι. 2 *Mac.* vii. 21. *Conf. Matt.* v. 12. *Act.* v. 41. *Rom.* v. 3. *Esa.* lxvi. 10. [παῤῥησιαν λαμβανει προς τον Θεον. *Jos. Ant.* v. 1. 13.] παρακλησις. 1 *Mac.* xii. 9. 2 *Mac.* vii. 24.

5 Και γαρ ελθοντων ἡμων εις Μακεδονιαν, ουδεμιαν εσχηκεν ανεσιν ἡ σαρξ ἡμων, αλλ᾽ εν παντι θλιβομενοι· εξωθεν μαχαι, εσωθεν φοβοι.

ἡ σαρξ ἡμων, = *ego, corpus meum.* ἡ σαρξ μου κατασκηνωσει επ᾽ ελπιδι. *Ps.* xv. 9. *Conf. Act.* ii. 26-31. εξωθεν ατεκνωσει αυτους μαχαιρα, και εκ των ταμιειων φοβος κ. τ. λ. *Deut.* xxxii. 25. *Conf. Gen.* viii. 9. *Esa.* xxiii. 12. *Jer.* viii. 18. *Job.* xviii. 11.

6 Αλλ᾽ ὁ παρακαλων τους ταπεινους παρεκαλεσεν ἡμας ὁ Θεος εν τῃ παρουσιᾳ Τιτου·

και τους ταπεινους του λαου αυτου παρεκαλεσε. *Esa.* xlix. 13. παρακαλεσαι παντας τους πενθουντας. lxi. 2. *Job.* xxix. 25. εγγυς Κυριος τοις συντετριμμενοις την καρδιαν, και τους ταπεινους τῳ πνευματι σωσει. *Ps.* xxxiii. 18. παρουσια. 2 *Mac.* xv. 21. αὑτη με παρεκαλεσεν εν τῃ ταπεινωσει μου. *Ps.* cxviii. 50. *Esa.* lvii. 18. *Cap.* i. 4. ii. 12. και επι τινα επιβλεψω, αλλ᾽ η επι τον ταπεινον και ἡσυχιον, και τρεμοντα τους λογους μου; *Esa.* lxvi. 2. [ταπεινοι, των αναγκαιων ενδεεις, κ. τ. λ. *Philo.* p. 161.]

7 Ου μονον δε εν τῃ παρουσιᾳ αυτου, αλλα και εν τῃ παρακλησει ᾗ παρεκληθη εφ᾽ ὑμιν, αναγγελλων ἡμιν την ὑμων επιποθησιν, τον ὑμων οδυρμον, τον ὑμων ζηλον ὑπερ εμου, ὡστε με μαλλον χαρηναι.

οδυρμος. *Conf. Jer.* xxxviii. 15. ὁ ζηλος του οικου σου. *Ps.* lxviii. 9. ποθουσα το σον προσωπον. *Prov.* vii. 15. επιποθησις. *Ezech.* xxiii. 11. *Aq.* ὁν τροπον παθεινους παρακαλων. *Job.* xxix. 25.

8 Ὁτι ει και ελυπησα ὑμας εν τῃ επιστολῃ, ου μεταμελομαι,

ει και μετεμελομην· βλεπω γαρ ὁτι ἡ επιστολη εκεινη ει και προς ὡραν ελυπησεν ὑμας.

και μεταμεληθησεσθε επι τα κακα. Ezech. xiv. 22. Sap. xix. 2. Sir. xxxv. 19. Cap. ii. 4. 1 Cor. iv. 18. Jer. xx. 7-9.

9 Νυν χαιρω, ουχ ὁτι ελυπηθητε, αλλ᾽ ὁτι ελυπηθητε εις μετανοιαν· ελυπηθητε γαρ κατα Θεον, ἱνα εν μηδενι ζημιωθητε εξ ἡμων.

και παροραᾳς ἁμαρτηματα ανθρωπων εις μετανοιαν. Sap. xi. 23. κακοφρων ανηρ πολλα ζημιωθησεται. Prov. xix. 19. κατα Θεον. Conf. 1 Pet. iv. 6. Rom. iii. 5. Cap. xi. 17. 2 Mac. vi. 11. Conf. Jon. iii. 5-10. Sir. xxix. 8. Eccles. vii. 3. Jer. xxxviii. 19, 20.

10 Ἡ γαρ κατα Θεον λυπη μετανοιαν εις σωτηριαν αμεταμελητον κατεργαζεται· ἡ δε του κοσμου λυπη θανατον κατεργαζεται·

και εσῃ μοι εις σωτηριαν. 1 Par. xix. 12. αμεταμελητον. Conf. Num. xxiii. 19. 1 Reg. xv. 29. πολλους γαρ απεκτεινεν ἡ λυπη. Sir. xxx. 23. Prov. xvii. 22. xxv. 20. απο λυπης γαρ εκβαινει θανατος xxxviii. 18. Conf. 2 Reg. xii. 13. Matt. xxvi. 75. 1 Pet. ii. 19. πορευομενοι επορευοντο, και εκλαιον βαλλοντες τα σπερματα αυτων, κ. τ. λ. Ps. cxxv. 6. και ειπε, Καλον μοι αποθανειν με η ζην. Jon. iv. 8. [οργαι δεσποτου θανατον απεργαζονται, η παραπλησιον τι θανατῳ. Philo. leg. ad Cai. p. 1026.]

11 Ιδου γαρ, αυτο τουτο το κατα Θεον λυπηθηναι ὑμας, ποσην κατειργασατο ὑμιν σπουδην; αλλα απολογιαν, αλλα αγανακτησιν, αλλα φοβον, αλλα επιποθησιν, αλλα ζηλον, αλλ᾽ εκδικησιν. εν παντι συνεστησατε ἑαυτους ἁγνους ειναι εν τῳ πραγματι.

εν εκδικησει θυμου. Ezech. v. 15. ιδου, profecto. Gen. i. 29. Jos. viii. 8. αλλα—αλλα. Conf. Hoogev. p. 13. τῳ παντι πραγματι. Eccles. iii. 1. 1 Esd. viii. 95. εν καθαρᾳ καρδιᾳ και εν δικαιοσυνῃ χειρων εποιησα τουτο. Gen. xx. 5. Conf. Gen. xliv. 15. Esa. lxvi. 2. Zach. xii. 10-14. 2 Reg. xii. 5. Job. xlii. 6.

12 Αρα ει και εγραψα ὑμιν, ουχ εἱνεκεν του αδικησαντος, ουδε εἱνεκεν του αδικηθεντος· αλλ᾽ εἱνεκεν του φανερωθηναι την σπουδην ἡμων την ὑπερ ὑμων προς ὑμας ενωπιον του Θεου.

ενωπιον Κυριου. 1 Reg. xii. 3. τινος ἑνεκεν; Jon. i. 7. Conf. Ose. vi. 6. αρα. Ps. cxxxviii. 11. Conf. 1 Cor. v. 1. Ps. xxxviii. 9. lxviii. 9. Joan. xii. 30. 2 Pet. i. 20.

13 *Δια τουτο παρακεκλημεθα επι τη παρακλησει ὑμων· περισσοτερως δε μαλλον εχαρημεν επι τη χαρα Τιτου, ὁτι αναπεπαυται το πνευμα αυτου απο παντων ὑμων·*

ὁ εισακουων Κυριου αναπαυσει μητερα αυτου. *Sir. iii.* 7. παιδευε ὑιον σου, και αναπαυσει σε. *Prov. xxix.* 17. τι το πνευμα σου τεταραγμενον; 3 *Reg. xx.* 5. *Ps. cxxxviii.* 7. (*pro relativo.*) πλειον ἀγαπα—μαλλον. 1 *Esd. iv.* 25. χαρητε ἁμα αυτη χαρα κ. τ. λ. *Esa. lxvi.* 10. χειρας ασθενους παρεκαλεσας. *Job. iv.* 3. αναπαυσει σε Κυριος απο της οδυνης, κ. τ. λ. *Esa. xiv.* 3.

14 *Ὁτι ει τι αυτω ὑπερ ὑμων κεκαυχημαι, ου κατησχυνθην· αλλ' ὡς παντα εν αληθεια ελαλησαμεν ὑμιν, οὑτω και ἡ καυχησις ἡμων ἡ επι Τιτου αληθεια εγενηθη·*

ὡς—οὑτως. *Eccles. xi.* 5. αληθεια. *Conf. Sir. vii.* 20.

15 *Και τα σπλαγχνα αυτου περισσοτερως εις ὑμας εστιν, αναμιμνησκομενου την παντων ὑμων ὑπακοην, ὡς μετα φοβου και τρομου εδεξασθε αυτον.*

εταραχθη δε Ιωσηφ· συνεστρεφετο γαρ τα εγκατα (σπλαγχνα. *Aq. Sym.*) αυτου επι τω αδελφω αυτου. *Gen. xliii.* 30. σπλαγχνα των ασεβων ανελεημονα. *Prov. xii.* 10. *Sap. x.* 5. δουλευσατε τω Κυριω εν φοβω, και αγαλλιασθε αυτω εν τρομω. *Ps. ii.* 11. εν ἡμερα θλιψεως σου αναμνησθησεται σου. *Sir. iii.* 15.

16 *Χαιρω ὁτι εν παντι θαρρω εν ὑμιν.*

θαρσει (θαρρει. *alii.*) επ' αυτη ἡ καρδια. *Prov. xxxi.* 11. εμπιστευσατε εν Κυριω—και εμπιστευθησεσθε· εμπιστευσατε εν προφητη αυτου, και ευοδωθησεσθε. 2 *Par. xx.* 20.

ΚΕΦ. η. 8.

ΓΝΩΡΙΖΟΜΕΝ *δε ὑμιν, αδελφοι, την χαριν του Θεου την δεδομενην εν ταις εκκλησιαις της Μακεδονιας·*

και γνωρισω σοι ἁ ποιησεις. 1 *Reg. x.* 8. και γνωριουμεν ὑμιν ῥημα. *xiv.* 12. της πιστεως χαρις εκλεκτη. *Sap. iii.* 14. [χαρις· δωρεα. *Hesych.* ευεργεσια ἑκουσιος. *Phav.*]

2 *Ὁτι εν πολλη δοκιμη θλιψεως ἡ περισσεια της χαρας αυτων, και ἡ κατα βαθους πτωχεια αυτων επερισσευσεν εις τον πλουτον της ἁπλοτητος αυτων·*

πτωχεια περισσευει. *Sir. xi.* 12. παν ὁ εαν περισσευση σοι, ποιει ελεημοσυνην. *Tob. iv.* 16. και εγω εν ἁπλοτητι καρδιας μου ἑκουσιασθην ταυτα παντα. 1 *Par. xxix.* 17. *Comp. Conf. Marc. xii.* 44.

Rom. xv. 26. 1 *Thess. i.* 7. και ἰδου εγω κατα την πτωχειαν μου ἡτοιμασα εις οικον Κυριου χρυσιου ταλαντων ἑκατον χιλιαδας. 1 *Par. xxii.* 14. αδελφοι δε εν αναγκαις χρησιμοι εστωσαν, τουτο γαρ χαριν γεννωνται. *Prov. xvii.* 17. ψυχη ευλογουμενη πασα ἁπλη. *Prov. xi.* 25. *Conf. Rom. xii.* 8. = βαθος πλουτου. *xi.* 33.

3 Ὁτι κατα δυναμιν, (μαρτυρω,) και ὑπερ δυναμιν αυθαιρετοι,

κατα πασαν την δυναμιν ἡτοιμακα. 1 *Par. xxix.* 2. αυθαιρετως. 2 *Mac. vi.* 19. *Neh. xi.* 2. αυθαιρετος. *Exod. xxxv.* 5. *Sym.* μετα σου ἡ αρχη εν ἡμερᾳ της δυναμεως σου, εν ταις λαμπροτησι των ἁγιων σου. *Ps. cix.* 3. [*Conf. Jos. Ant. iii.* 6. 1.]

4 Μετα πολλης παρακλησεως δεομενοι ἡμων, την χαριν και την κοινωνιαν της διακονιας της εις τους ἁγιους δεξασθαι ἡμας,

[εφ᾽ ἱκετιαν του Θεου και παρακλησιν ελθειν. *Jos. Ant. iii.* 1. 5.] κοινωνια λογου σοφιας. *Sap. viii.* 18. απεστειλεν αυτῳ χρυσωματα και διακονιαν. 1 *Mac. xi.* 58. 2 *Mac. ix.* 26. *Conf. Act. xi.* 29. *Rom. xv.* 26. 1 *Cor. xvi.* 1. *Cap. ix.* 1.

5 Και ου καθως ηλπισαμεν, αλλ᾽ ἑαυτους εδωκαν πρωτον τῳ Κυριῳ και ἡμιν δια θεληματος Θεου·

τοις ἁγιοις τοις εν τῃ γῃ αυτου, εθαυμαστωσε παντα τα θεληματα αυτου εν αυτοις. *Ps. xv.* 3. διδοναι ἑαυτον. *Conf. Prol. Sir.* οὑτος ερει, Του Θεου ειμι, και οὑτος βοησεται επι ονοματι Ιακωβ, κ.τ.λ. *Esa. xliv.* 5. και ερω, Λαος μου οὑτος εστι· και αυτος ερει, Κυριος ὁ Θεος μου. *Zach. xiii.* 9. [ελπιζει· προσδοκᾳ. *Hesych.*]

6 Εις το παρακαλεσαι ἡμας Τιτον, ἱνα καθως προενηρξατο, οὑτω και επιτελεσῃ εις ὑμας και την χαριν ταυτην.

αρξομαι και επιτελεσω. 1 *Reg. iii.* 12. *Conf.* 1 *Mac. ix.* 35.

7 Αλλ᾽ ὡσπερ εν παντι περισσευετε, πιστει και λογῳ και γνωσει και πασῃ σπουδῃ και τῃ εξ ὑμων εν ἡμιν αγαπῃ, ἱνα και εν ταυτῃ τῃ χαριτι περισσευητε·

Conf. 1 *Cor. i.* 5. θησω εις το εμφανες την γνωσιν αυτης (σοφιας). *Sap. vi.* 22. περισσευων εν φρονησει. *Sir. xix.* 24.

8 Ου κατ᾽ επιταγην λεγω, αλλα δια της ἑτερων σπουδης, και το της ὑμετερας αγαπης γνησιον δοκιμαζων·

κατα την επιταγην του βασιλεως. 1 *Esd. i.* 18. ουδεν γνησιον βουλονται φερειν. 3 *Mac. iii.* 19. *Conf.* 1 *Cor. vii.* 6. 25.

9 Γινωσκετε γαρ την χαριν του Κυριου ἡμων Ιησου Χριστου,

ὁτι δι᾽ ὑμας επτωχευσε πλουσιος ων, ἱνα ὑμεις τῃ εκεινου πτωχειᾳ πλουτησητε·

πλουσιοι επτωχευσαν. Ps. xxxiii. 10. εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες, και εισιν οἱ ταπεινουντες ἑαυτους εν πολλῳ πλουτῳ. Prov. xiii. 7. xxviii. 11. εκενωσεν ἑαυτον. Phil. ii. 7. Heb. xii. 2. Conf. Luc. ix. 58. Ps. ci. 25-27. Esa. lxv. 8. liii. 3.

10 Και γνωμην εν τουτῳ διδωμι. τουτο γαρ ὑμιν συμφερει, οἱτινες ου μονον το ποιησαι, αλλα και το θελειν προενηρξασθε απο περυσι·

ακουσον τεκνον και δεξαι γνωμην μου. Sir. vi. 23. ου γαρ παντα πασι συμφερει. xxxvii. 28. ου συμφερει αφρονι τρυφη. Prov. xix. 10. εναρχουμενου τῃ τεσσαρεσκαιδεκατῃ ἡμερᾳ. Num. ix. 5. δανειζει Θεῳ ὁ ελεων πτωχον, κατα δε το δομα αυτου ανταποδωσει αυτῳ. Prov. xix. 17. Conf. 1 Cor. vii. 7. Matt. x. 42. [περυσι· ὁ παρεληλυθως χρονος. Hesych.]

11 Νυνι δε και το ποιησαι επιτελεσατε, ὁπως καθαπερ ἡ προθυμια του θελειν, οὑτω και το επιτελεσαι εκ του εχειν.

προθυμος τῃ καρδιᾳ. 2 Par. xxix. 31. στησαι αυτον—εν αγαθοτητι προθυμιας ψυχης αυτου. Sir. xlv. 32. τοις μη εχουσι. Neh. viii. 10. Conf. Tob. iv. 7-9. Sir. iv. 31.

12 Ει γαρ ἡ προθυμια προκειται, καθο εαν εχῃ τις, ευπροσδεκτος, ου καθο ουκ εχει.

ιδετε ὁτι πονηρια προσκειται ὑμιν. Exod. x. 10. καρπος ανδρι ελεημοσυνη, κρεισσων δε πτωχος δικαιος η πλουσιος ψευδης. Prov. xix. 22. 1 Par. xxix. 3. 18. 2 Par. vi. 8. οἱς αν δοξῃ τῃ καρδιᾳ. Exod. xxv. 2. πας ὁ καταδεχομενος τῃ καρδιᾳ, οισουσι τας απαρχας Κυριῳ. xxxv. 5. Conf. Sir. xxxii. 9, 10. [ει σοι παντως προσκειται. Jos. Ant. xviii. 8. 20. επιτυχειν τε του προκειμενου κατα νουν, εφασκε. vii. 8. 4.] Conf. Marc. xii. 43. Luc. xxi. 3. 1 Pet. iv. 10.

13 Ου γαρ ἱνα αλλοις ανεσις, ὑμιν δε θλιψις· αλλ᾽ εξ ισοτητος, εν τῳ νυν καιρῳ το ὑμων περισσευμα εις το εκεινων ὑστερημα·

εν τῳ νυν καιρῳ. Gen. xxix. 34. Conf. Act. iv. 34.

14 Ἱνα και το εκεινων περισσευμα γενηται εις το ὑμων ὑστερημα· ὁπως γενηται ισοτης,

ὑστερων ισχυϊ, και πτωχειᾳ περισσευει. Sir. xi. 12. ὑστερημα. Ps. xxxiii. 9. Prov. xxi. 5. ισοτης. Job. xxxvi. 29. Zach. iv. 7.

15 Καθως γεγραπται, Ὁ το πολυ, ουκ επλεονασε· και ὁ το ολιγον, ουκ ηλαττονησε.

ουκ επλεονασεν ὁ το πολυ, και ὁ το ελαττον ουκ ηλαττονησε. Exod. xvi. 18. [*Philo. p.* 396.] *καθως γεγραπται. Dan. ix.* 13. *CITAT.* 212.

16 Χαρις δε τῳ Θεῳ τῳ διδοντι την αυτην σπουδην ὑπερ ὑμων εν τῃ καρδιᾳ Τιτου·

ευλογητος Κυριος *ὁ Θεος των πατερων ἡμων, ὁς εδωκεν εν καρδιᾳ του βασιλεως οὑτως, κ. τ. λ. Esd. vii.* 27. *Neh. ii.* 12. *σπουδη και φιλοπονια. Prol. Sir. Conf. Apoc. xvii.* 17.

17 Ὁτι την μεν παρακλησιν εδεξατο, σπουδαιοτερος δε ὑπαρχων, αυθαιρετος εξηλθε προς ὑμας.

Conf. Heb. xiii. 22. *Eccles. ix.* 10. *Gen. xlix.* 8.

18 Συνεπεμψαμεν δε μετ' αυτου τον αδελφον, οὑ ὁ επαινος εν τῳ ευαγγελιῳ δια πασων των εκκλησιων·

τον επαινον αυτου εξαγγελει εκκλησια. Sir. xxxix. 10. *xliv.* 15.

19 (Ου μονον δε, αλλα και χειροτονηθεις ὑπο των εκκλησιων συνεκδημος ἡμων, συν τῃ χαριτι ταυτῃ τῃ διακονουμενῃ ὑφ' ἡμων, προς την αυτου του Κυριου δοξαν και προθυμιαν ὑμων·)

και ουχ ὑμιν μονοις—αλλα και. Deut xxix. 14, 15. *ου μονον δε —αλλα και.* 3 *Mac. iii.* 23. [*φιλους τε και συνεκδημους εποιησαμην. Jos. Vit.* § 14.] *χειροτονηθεις. Conf. Act. xiv.* 23. [*αποστειλῃς θανατον συν εντολῃ αυτῳ περι ἡμων. Psalt. Sal. vii.* 4.]

20 Στελλομενοι τουτο, μητις ἡμας μωμησηται εν τῃ ἁδροτητι ταυτῃ τῃ διακονουμενῃ ὑφ' ἡμων.

ψευδεις τε εδειξε τους μωμησαμενους αυτον. Sap. x. 14. *ἁδροι. Job. xxix.* 9. *Jer. v.* 5. *στελλομενοι. Mal. ii.* 5. 2 *Thess. iii.* 6. [*στελλεται· φοβειται. Hesych. ἁδροτης· δυναμις, μεγεθος. Id.*]

21 Προνοουμενοι καλα ου μονον ενωπιον Κυριου, αλλα και ενωπιον ανθρωπων.

και προνοου καλα ενωπιον Κυριου *και ανθρωπων. Prov. iii.* 4. *Conf. Rom. xii.* 17. *Phil. iv.* 8. 1 *Pet. ii.* 12. *CITAT.* 213.

22 Συνεπεμψαμεν δε αυτοις τον αδελφον ἡμων, ὁν εδοκιμασαμεν εν πολλοις πολλακις σπουδαιον οντα, νυνι δε πολυ σπουδαιοτερον πεποιθησει πολλῃ τῃ εις ὑμας·

και ενετειλαμην τῳ Ανανιᾳ αδελφῳ μου —ὁτι αυτος ὡς ανηρ αληθης, και φοβουμενος τον Θεον. Neh. vii. 2. *δοκιμαζειν. Conf. Jer. xvii.* 10. *Sap. ii.* 19. *χρησωμεθα τη κτισει ὡς νεοτητι σπουδαιως. Sap. ii.* 6. *εις ὑμας. Conf.* 2 *Mac. ix.* 26.

23 Ειτε ὑπερ Τιτου, κοινωνος εμος και εις ὑμας συνεργος· ειτε αδελφοι ἡμων, αποστολοι εκκλησιων, δοξα Χριστου.

ὑπερ Τιτου. Conf. Judith. xv. 4. κοινωνος. Sir. xli. 18.

24 Την ουν ενδειξιν της αγαπης ὑμων, και ἡμων καυχησεως ὑπερ ὑμων, εις αυτους ενδειξασθε, και εις προσωπον των εκκλησιων.

κακα ἁ ενεδειξαμεθα εις αυτον. Gen. l. 15. απο προσωπου της συναγωγης. Num. xx. 6. εν μεσῳ εκκλησιας ὑμνησω σε. Ps. xxi. 22.

ΚΕΦ. θ. 9.

ΠΕΡΙ μεν γαρ της διακονιας της εις τους ἁγιους, περισσον μοι εστι το γραφειν ὑμιν.

απεστειλεν αυτῳ χρυσωματα και διακονιαν. 1 Mac. xi. 58. περισσον αν ην και ληρωδες ὑπερ νεκρων προσευχεσθαι. 2 Mac. xii. 44. γραφειν. Conf. 2 Mac. ix. 25. Esd. iii. 2. Neh. x. 34. 36. κατα των ἁγιων σου. Ps. lxxxii. 3.

2 Οιδα γαρ την προθυμιαν ὑμων, ἡν ὑπερ ὑμων καυχωμαι Μακεδοσιν, ὁτι Αχαϊα παρεσκευασται απο περυσι· και ὁ εξ ὑμων ζηλος ηρεθισε τους πλειονας.

προθυμια. Conf. cap. viii. 11. ὑπερ αυτων. Joel. i. 3. και τις ὁ προθυμουμενος πληρωσαι τας χειρας αυτου σημερον Κυριῳ. 1 Par. xxix. 5. περυσι. Cap. viii. 10. πλειονας. 2 Mac. xi. 13.

3 Επεμψα δε τους αδελφους, ἱνα μη το καυχημα ἡμων το ὑπερ ὑμων κενωθῃ εν τῳ μερει τουτῳ· ἱνα, καθως ελεγον, παρεσκευασμενοι ητε,

ῥηματα κενα. Job. vi. 6. Conf. 1 Cor. xvi. 1. Tit. iii. 1. [κενωθη· ματαιον αποφανθη. Hesych.] [εν μερει χαριτος. Philo. p. 989.]

4 Μηπως εαν ελθωσι συν εμοι Μακεδονες, και εὑρωσιν ὑμας απαρασκευαστους, καταισχυνθωμεν ἡμεις, (ἱνα μη λεγωμεν ὑμεις,) εν τῃ ὑποστασει ταυτῃ της καυχησεως.

και την ὑποστασιν της ισχυος σου επι την γην καταξει. Ezech. xxvi. 11. [το αμεταλλακτον αυτων της ὑπο τουτοις ὑποστασεως. Jos. Ant. xviii. 1. 6.] ου μη καταισχυνθῃ ὁ λαος μου. Joel. ii. 26.

5 Αναγκαιον ουν ἡγησαμην παρακαλεσαι τους αδελφους, ἱνα προελθωσιν εις ὑμας, και προκαταρτισωσι την προκατηγγελ-

μενην ευλογιαν ὑμων ταυτην ἑτοιμην ειναι, οὑτως ὡς ευλογιαν, και μη ὡσπερ πλεονεξιαν.

αναγκαιον ἡγησαμην. 2 *Mac. ix.* 21. *παρεκαλει χειρωσασθαι τον Ονιαν. iv.* 34. *κατηρτισω αινον. Ps. viii.* 2. *xxxix.* 6. *και νυν λαβε την ευλογιαν ταυτην.* 1 *Reg. xxv.* 27. = *προδεδηλωμενη λατρεια.* 3 *Mac. iv.* 14. *Conf. Gen. xxxiii.* 11. *εστι μοι πολλα, αδελφε· εστω σοι τα σα κ. τ. λ. Gen. xxxiii.* 9, 10. *Exod. xxxv.* 5, 6. *εν καρδιᾳ τελειᾳ και ψυχῃ θελουσῃ, κ. τ. λ.* 1 *Par. xxviii.* 9. *ουδε ἡ καρδια σου καλη, αλλα εις την πλεονεξιαν σου. Jer. xxii.* 17. *Hab. ii.* 9.

6 *Τουτο δε, ὁ σπειρων φειδομενως, φειδομενως και θερισει· και ὁ σπειρων επ᾽ ευλογιαις, επ᾽ ευλογιαις και θερισει.*

λεγω δε τουτο. 1 *Cor. i.* 12. *ὁ σπειρων φαυλα, θερισει κακα. Prov. xxii.* 8. *xi.* 24. [*ευλογια· πληθυσμος αγαθων εξ ἑκουσιοτητος διδομενος. Phav.*] *ὑετον ευλογιας. Ezech. xxxiv.* 26. *ὁ δε δικαιος ελεᾳ και οικτειρει αφειδως. Prov. xxi.* 26. *ψυχη ευλογουμενη. xi.* 25. *εισιν, οἱ τα ιδια σπειροντες πλειονα ποιουσιν· εισι δε και οἱ συναγοντες ελαττονουνται. xi.* 24. *Conf. Esa. xxviii.* 24, 25. *Gal. vi.* 8. 1 *Pet. iv.* 10, 11. *Apoc. xxii.* 12.

7 *Ἑκαστος καθως προαιρειται τῃ καρδιᾳ· μη εκ λυπης η εξ αναγκης· ἱλαρον γαρ δοτην αγαπᾳ ὁ Θεος.*

Συχεμ ὁ υἱος μου προειλετο τῃ ψυχῃ την θυγατερα ὑμων. Gen. xxxiv. 8. *ου γαρ προαιρουνται αἱ χειρες αυτου ποιειν τι. Prov. xxi.* 25. *οἱς αν δοξῃ τῃ καρδιᾳ. Exod. xxv.* 2. *εν πασῃ δοσει μη δῳς λυπην λογων. Sir. xviii.* 15. *ανδρα ἱλαρον και δοτην ευλογει ὁ Θεος. Prov. xxii.* 8. *Conf. Rom. xii.* 8. *εν πασῃ δοσει ἱλαρωσον το προσωπον σου. Sir. xxxv.* 9. *Tob. iv.* 7-9. *Ps. xl.* 1. *και ου λυπηθησῃ τῃ καρδιᾳ σου διδοντος σου αυτῳ. Deut. xv.* 10. *vii.* 6, 7. *xv.* 7. *CITAT.* 214.

8 *Δυνατος δε ὁ Θεος πασαν χαριν περισσευσαι εις ὑμας, ἱνα εν παντι παντοτε πασαν αυταρκειαν εχοντες, περισσευητε εις παν εργον αγαθον·*

δυνατος εσομαι λαλησαι τι; Num. xxii. 38. *Κυριος ὁ Θεος σου εν σοι, ὁ δυνατος σωσει σε. Sophon. iii.* 17. *χαριν. Conf. sup. viii.* 1. 1 *Thess. iii.* 12. *παν ὁ εαν περισσευσῃ σοι, ποιει ελεημοσυνην. Tob. iv.* 16. *και εκχεω την ευλογιαν μου ὑμιν, ἑως του ἱκανωθηναι. Mal. iii.* 10. *συνταξον δε μοι τα δεοντα και τα αυταρκη. Prov. xxx.* 8. 2 *Par. xxxi.* 10. *εστι τῳ Κυριῳ δουναι σοι πλειστα τουτων.*

2 Par. xxv. 9. Conf. Prov. iii. 9, 10. εμον το αργυριον, και εμον το χρυσιον, λεγει Κυριος. *Agg. ii. 9.* παντοτε. *Sap. xix. 18.*

9 Καθως γεγραπται, Εσκορπισεν, εδωκε τοις πενησιν, ἡ δικαιοσυνη αυτου μενει εις τον αιωνα.

—μενει εις αιωνα του αιωνος. *Ps. cxi. 9. CITAT. 215.*

10 Ὁ δε επιχορηγων σπερμα τῳ σπειροντι, και αρτον εις βρωσιν χορηγησαι, και πληθυναι τον σπορον ὑμων, και αυξησαι τα γεννηματα της δικαιοσυνης ὑμων.

ταις πολεσιν εχορηγησε βρωματα. *1 Mac. xiv. 10.* Κυριος χορηγησει σοι αυτην. *Sir. i. 25.* και δῳ σπερμα τῳ σπειροντι, και αρτον εις βρωσιν, οὑτως εσται το ῥημα μου κ. τ. λ. *Esa. lv. 10, 11.* ἑως του ελθειν γεννηματα δικαιοσυνης. *Ose. x. 13.* πληθυνον τα γεννηματα αυτης. *Ps. lxiv. 10. Gen. xxvi. 4. 24. Conf. Esa. lxi. 11. Prov. xi. 18. Eccles. xi. 6. Ose. x. 12.* [χωρηγος (*Deus*) των αγαθων. *Jos. Ant. vi. 14. 4.*] *CITAT. 216.*

11 Εν παντι πλουτιζομενοι εις πασαν ἁπλοτητα, ἡτις κατεργαζεται δι' ἡμων ευχαριστιαν τῳ Θεῳ,

εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες. *Prov. xiii. 7.* παρα σου ὁ πλουτος και ἡ δοξα, κ. τ. λ. *1 Par. xxix. 12. Conf. cap. i. 11. iv. 15. Rom. xii. 8.* εργαζομενος δικαιοσυνην. *Ps. xiv. 2.* [ἁπλοτης, *liberalitas. Jos. Ant. vii. 13. 4.*] *Conf. 1 Mac. i. 11.*

12 Ὁτι ἡ διακονια της λειτουργιας ταυτης ου μονον εστι προσαναπληρουσα τα ὑστερηματα των ἁγιων, αλλα και περισσευουσα δια πολλων ευχαριστιων τῳ Θεῳ,

δια την των πολλων ευχαριστιαν. *2 Mac. ii. 28.* παρα ταυτα παντα ευχαριστησωμεν Κυριῳ. *Judith. viii. 25.* ὁπως κατισχυσωσιν εν τῃ λειτουργιᾳ οικου Κυριου. *2 Par. xxxi. 4.* ἱνα την λειπουσαν —προσαναπληρωσωσιν κολασιν. *Sap. xix. 4. Conf. Sir. xlii. 2, 3.*

13 Δια της δοκιμης της διακονιας ταυτης δοξαζοντες τον Θεον, επι τῃ ὑποταγῃ της ὁμολογιας ὑμων εις το ευαγγελιον του Χριστου, και ἁπλοτητι της κοινωνιας εις αυτους και εις παντας,

Conf. Matt. v. 16. Rom. xv. 16. Heb. xiii. 16. εμμειναασαι ενεμεινατε ταις ὁμολογιαις ὑμων. *Jer. li. 25.* ἑκαστον συντηρειν την ουσαν ευνοιαν εις εμε και τον υἱον μου. *2 Mac. ix. 26.* ὑποταγηθι τῳ Κυριῳ, και ἱκετευσον αυτον. *Ps. xxxv. 7.* πλην τῳ Θεῳ ὑποταγηθι ἡ ψυχη μου. *lxi. 5.* θυσια αινεσεως δοξασει με, κ. τ. λ. *xlix. 23.* το ευαγγελιον του Θεου. *1 Thess. ii. 2.* κοινωνια. *Sap. viii. 18.*

14 Και αυτων δεησει ὑπερ ὑμων, επιποθουντων ὑμας, δια την ὑπερβαλλουσαν χαριν του Θεου εφ' ὑμιν.

και ὑπερ θανατου ῥυσεως εδεηθην. Sir. li. 9. Conf. 1 Cor. i. 5. Esd. vi. 8-10. μακαριος ὁ συνιων επι πτωχον κ. τ. λ. Ps. xl. 1. Prov. xi. 26. δια την—ὑπερβαλλουσαν αναγνειαν. 2 Mac. iv. 13.

15 Χαρις δε τῳ Θεῳ επι τῃ ανεκδιηγητῳ αυτου δωρεᾳ.

δοματα και δωρεας—ληψεσθε παρ' εμου. Dan. ii. 6. δωρον γαρ αγαθον δωρουμαι ὑμιν, τον εμον νομον μη εγκαταλιπητε. Prov. iv. 2. ὁτι παιδιον εγεννηθη ἡμιν, υἱος και εδοθη ἡμιν, κ. τ. λ. Esa. ix. 6. Ιδου δεδωκα σε εις διαθηκην γενους, εις φως εθνων, κ. τ. λ. xlix. 6. [ανεκδιηγητος. Athenag. Apol. p. 10.]

ΚΕΦ. ι. 10.

ΑΥΤΟΣ δε εγω Παυλος παρακαλω ὑμας δια της πρᾳοτητος και επιεικειας του Χριστου, ὁς κατα προσωπον μεν ταπεινος εν ὑμιν, απων δε θαρῤῥω εις ὑμας.

ὑμας ω ανθρωποι παρακαλω. Prov. viii. 4. παρακαλω ουν ὑμας και αξιω. 2 Mac. ix. 26. συ δε δεσποζων ισχυος εν επιεικειᾳ κρινεις. Sap. xii. 18. Conf. 1 Cor. ii. 3. Gal. iv. 13. ὁτι πρᾳος ειμι, και ταπεινος τῃ καρδιᾳ. Matt. xi. 29. Zach. ix. 9.

2 Δεομαι δε, το μη παρων θαῤῥησαι τῃ πεποιθησει ᾗ λογιζομαι τολμησαι επι τινας τους λογιζομενους ἡμας ὡς κατα σαρκα περιπατουντας.

δεομαι Κυριε. Jos. vii. 7. συ οιδας ἁ λογιζονται εφ' ἡμας. 1 Mac. iii. 52. εν ὁδοις δικαιοσυνης περιπατω. Prov. viii. 20. ουχ ὡς πηλος του κεραμεως λογισθησεσθε; Esa. xxix. 16. Sap. v. 4. xi. 11. 1 Reg. i. 13. τι ετολμησεν ἡ καρδια σου; Job. xv. 12. Conf. 1 Cor. iv. 21. Cap. i. 17. Ephes. ii. 2.

3 Εν σαρκι γαρ περιπατουντες, ου κατα σαρκα στρατευομεθα·

ἱεραν και ευγενη στρατειαν στρατευεσθαι ὑπερ της ευσεβειας. 4 Mac. 9. 1 Tim. i. 18. εν αωριᾳ περιεπατησαν. Esa. lix. 9.

4 (Τα γαρ ὁπλα της στρατειας ἡμων ου σαρκικα, αλλα δυνατα τῳ Θεῳ προς καθαιρεσιν οχυρωματων·)

ἱππων σαρκας, και ουκ εστι βοηθεια. Esa. xxxi. 3. δυνατα τῳ Θεῳ. Conf. Act. vii. 20. ὁπλα αισθησεως χειλη σοφα. Prov. xiv. 7.

ουχ ὁπλων ενεργεια, αλλα λογῳ. *Sap. xviii.* 22 μετα αυτου βραχιονες σαρκινοι, [*Comp.* σαρκικοι,] μεθ᾽ ὑμων δε Κυριος ὁ Θεος. 2 *Par. xxxii.* 8. πολις μεγαλη τῳ Θεῳ. *Jon. iii.* 3. *Conf. Act. vii.* 20. ου φοβηθησομαι τι ποιησει μοι σαρξ. *Ps. lv.* 4. οχυρωμα ὁσιου φοβος Κυριου. *Prov. x.* 30. Κυριε πετρα μου και οχυρωμα μου. 2 *Reg. xxii.* 2. πολεις οχυρας επεβη σοφος, και καθειλε το οχυρωμα εφ᾽ ᾧ επεποιθεισαν οἱ ασεβεις. *Prov. xxi.* 22. *Thren. ii.* 2. 5. *Conf.* 1 *Tim. i.* 18. 2 *Tim. ii.* 3. *Ephes. vi.* 13. 1 *Cor. i.* 28. 1 *Thess. v.* 8. συ ερχῃ προς με εν ῥομφαιᾳ και εν δορατι και εν ασπιδι, καγω πορευομαι προς σε εν ονοματι Κυριου κ. τ. λ. 1 *Reg. xvii.* 45. ουκ εν δυναμει μεγαλῃ, ουδε εν ισχυϊ, αλλα εν πνευματι μου. *Zach. iv.* 6.

5 Λογισμους καθαιρουντες και παν ὑψωμα επαιρομενον κατα της γνωσεως του Θεου, και αιχμαλωτιζοντες παν νοημα εις την ὑπακοην του Χριστου,

Κυριος—αθετει δε λογισμους λαων. *Ps. xxxii.* 10. πολλοι λογισμοι εν καρδιᾳ ανδρος. *Prov. xix.* 21. αποστρεψαι ἑκαστον απο των νοηματων της καρδιας. *Baruch. ii.* 8. *Jer. i.* 10. ᾐχμαλωτευσας αιχμαλωσιαν. *Ps. lxvii.* 18. επαιρομενον. *Dan. xi.* 14. *Esd. iv.* 19. και καθειλε το οχυρωμα αυτης. 1 *Mac. v.* 65. και ὑψωθησεται ἡ καρδια αυτου. *Dan. xi.* 12. 36. *Ose. xiii.* 6. πολλους γαρ εκακωσε το ὑψωμα αυτου. *Job. xxiv.* 24. *Conf. Act. xix.* 17. και ταπεινωθησεται το ὑψος των ανθρωπων, και ὑψωθησεται Κυριος μονος εν τῃ ἡμερᾳ εκεινῃ, κ. τ. λ. *Esa. ii.* 11-17. τα βελη σου ηκονημενα κ. τ. λ. *Ps. xliv.* 5. [*Conf. Loesner. ad loc.*]

6 Και εν ἑτοιμῳ εχοντες εκδικησαι πασαν παρακοην, ὁταν πληρωθῃ ὑμων ἡ ὑπακοη.

ὑπακοη. *Conf.* 1 *Reg. xv.* 22. εν ἡμερᾳ εκδικησεως ανταποδωσω κ. τ. λ. *Deut. xxxii.* 35. 41. [αποθνησκομεν τῃ του ανθρωπου παρακοῃ. *Just. Mart. de Resur. p.* 213.] *Conf. Num. xvi.* 26-30.

7 Τα κατα προσωπον βλεπετε; ει τις πεποιθεν ἑαυτῳ Χριστου ειναι, τουτο λογιζεσθω παλιν αφ᾽ ἑαυτου, ὁτι καθως αυτος Χριστου, οὑτω και ἡμεις Χριστου.

ὁτι ανθρωπος οψεται εις προσωπον. 1 *Reg. xvi.* 7. μη πεποιθατε ἑαυτοις επι λογοις ψευδεσι. *Jer. vii.* 4. *Comp.* [*al.* εφ᾽ ἑαυτοις.] αυτος Χριστου. *Conf.* 1 *Cor. i.* 12. *xiv.* 37. 1 *Joan. iv.* 6. *Gal. i.* 1. καμοι μεν καρδια καθ᾽ ὑμας εστι. *Job. xii.* 3.

8 Εαν τε γαρ και περισσοτερον τι καυχησωμαι περι της εξουσιας ἡμων, ἡς εδωκεν ὁ Κυριος ἡμιν, εις οικοδομην και ουκ εις καθαιρεσιν ὑμων, ουκ αισχυνθησομαι·

μη καυχασθε και μη λαλειτε ὑψηλα. 1 *Reg. ii.* 3. εἱς οικοδομῶν, και εἱς καθαιρων. *Sir. xxxi.* 23. *xlix.* 7. και ανοικοδομησω αὐτους, και ου μη καθελω. *Jer. xxiv.* 6. *i.* 10. *Ps. xxvii.* 5. *Conf. cap. xii.* 6. *xiii.* 10. 1 *Tim. i.* 20. 2 *Tim. i.* 12. εγω δε εκτισα σε, ουκ εις απωλειαν φθειραι. *Esa. liv.* 16.

9 Ἱνα μη δοξω ὡς αν εκφοβειν ὑμας δια των επιστολων.

και ουκ εσται ὑμας ὁ εκφοβων. *Lev. xxvi.* 6. και επιστολας απεστειλε Τωβιας φοβερισαι με. *Neh. vi.* 19. 1 *Cor. v.* 9. 11.

10 Ὁτι αἱ μεν επιστολαι, φησι, βαρειαι και ισχυραι· ἡ δε παρουσια του σωματος ασθενης, και ὁ λογος εξουθενημενος.

τα βαρυτερα του νομου. *Matt. xxiii.* 23. *Conf. Sap. ii.* 11. 1 *Cor. i.* 17. ισχνοφωνος και βραδυγλωσσος εγω ειμι. *Exod. iv.* 10. *Jer. i.* 6. *Conf.* 1 *Reg. xvi.* 7. *Luc. xix.* 3.

11 Τουτο λογιζεσθω ὁ τοιουτος, ὁτι οἱοι εσμεν τῳ λογῳ δι' επιστολων αποντες, τοιουτοι και παροντες τῳ εργῳ.

οἱοι—τοιουτοι. *Sir. xlix.* 14. αποντες δε και παροντες. *Sap. xi.* 11. *xiv.* 17. *Conf.* 1 *Cor. iv.* 19, 20. *Tit. ii.* 15.

12 Ου γαρ τολμωμεν εγκριναι η συγκριναι ἑαυτους τισι των ἑαυτους συνισταναντων, αλλα αυτοι εν ἑαυτοις ἑαυτους μετρουντες, και συγκρινοντες ἑαυτους ἑαυτοις, ου συνιουσιν·

φωτι συγκρινομενη εὑρισκεται προτερα. *Sap. vii.* 29. ετολμα λεγειν. 2 *Mac. iv.* 2. *Judith. xiv.* 13. γηρας γαρ τιμιον—ουδε αριθμῳ ετων μεμετρηται. *Sap. iv.* 8. *Dan. xii.* 10. *Conf. cap. iii.* 1. *v.* 12. *Luc. xviii.* 11. [ανεμεσητον δ' οιμαι και Ααρωνα προσδεξασθαι συγκριθησομενον. *Jos. Ant. iv.* 2. 4.] εγκωμιαζετω σε ὁ πελας, και μη το σον στομα. *Prov. xxvii.* 2.

13 Ἡμεις δε ουχι εις τα αμετρα καυχησομεθα, αλλα κατα το μετρον του κανονος οὑ εμερισεν ἡμιν ὁ Θεος μετρου, εφικεσθαι αχρι και ὑμων·

καυχασθαι εν ταις αινεσεσι σου. 1 *Par. xvi.* 35. κανων. *Conf. Gal. vi.* 16. *Job. xxxviii.* 5. *Aq.* παντα μετρῳ και αριθμῳ και σταθμῳ διεταξας. *Sap. xi.* 20. [αμετρος ωμοτης. *Jos. B. J. iv.* 5. 4.] απαρχας προτογεννηματων εμερισεν αυτοις. *Sir. xlv.* 20. πολλα ερουμεν, και ου μη εφικωμεθα. *xliii.* 27. 30. *Conf.* 1 *Cor. xii.* 11. *Cap. xi.* 18. *Ephes. iv.* 7. *Rom. xii.* 3. *Ps. xviii.* 4. *Zach. ii.* 1.

14 Ου γαρ ὡς μη εφικνουμενοι εις ὑμας ὑπερεκτεινομεν ἑαυτους· αχρι γαρ και ὑμων εφθασαμεν εν τῳ ευαγγελιῳ του Χριστου·

εφθασεν ἑως του ουρανου. *Dan. iv.* 8. εφθασεν εις τον ουρανον. *ver.* 18. *Conf. Matt. xii.* 28. και μεχρι ὑμων συνησω. *Job. xxxii.* 12. και θησω κρισιν εις ελπιδα, ἡ δε ελεημοσυνη μου εις σταθμους, κ. τ. λ. *Esa. xxviii.* 17.

15 Ουκ εις τα αμετρα καυχωμενοι εν αλλοτριοις κοποις, ελπιδα δε εχοντες, αυξανομενης της πιστεως ὑμων, εν ὑμιν μεγαλυνθηναι κατα τον κανονα ἡμων εις περισσειαν,

ελπιδα εχει. *Jer. xvii.* 5. 2 *Mac. ix.* 20. εις περισσειαν. *Prov. xxi.* 5. εμεγαλυνθην και προσεθηκα σοφιαν. *Eccles. i.* 16. *Conf. Rom. xv.* 20. ουχι ἑτερῳ καταλειψεις τους πονους σου, και τους κοπους σου εις διαιρεσιν κληρου; *Sir. xiv.* 15.

16 Εις τα ὑπερεκεινα ὑμων ευαγγελισασθαι, ουκ εν αλλοτριῳ κανονι εις τα ἑτοιμα καυχησασθαι.

επεκεινα ποταμων Αιθιοπιας. *Esa. xviii.* 1. επεκεινα Δαμασκου. *Amos. v.* 27. [επεκεινα ῥητορες λεγουσιν· ὑπερεκεινα δε, μονοι οἱ συρφαγες. *Thom. Mag.*] και ἑτοιμον αρτον αυτοις απ᾽ ουρανου επεμψας. *Sap. xvi.* 20. [κανων, *regula. Jos. c. Ap. ii.* 17.]

17 Ὁ δε καυχωμενος, εν Κυριῳ καυχασθω·

μη καυχασθω ὁ σοφος εν τῃ σοφιᾳ αυτου—αλλ᾽ εν τουτῳ—ὁτι εγω ειμι Κυριος κ. τ. λ. *Jer. ix.* 24, 25.

18 Ου γαρ ὁ ἑαυτον συνιστων, εκεινος εστι δοκιμος, αλλ᾽ ὁν ὁ Κυριος συνιστησιν.

χρυσιῳ δοκιμῳ. 2 *Par. ix.* 17. *Zach. xi.* 13. προς Θεον εστειλαντο φιλιαν δια τας εκ παιδειας δωρεας συσταθεντες. *Sap. vii.* 14. και συνεστησεν αυτον πασι τοις φιλοις αυτου. 1 *Mac. xii.* 43. ὁτι ουχ ὡς εμβλεψεται ανθρωπος, οψεται ὁ Θεος· ὁτι ανθρωπος οψεται εις προσωπον, ὁ δε Θεος οψεται εις καρδιαν. 1 *Reg. xvi.* 7. πας ανηρ φαινεται ἑαυτῳ δικαιος, κατευθυνει δε καρδιας Κυριος. *Prov. xxi.* 2.

ΚΕΦ. ια. 11.

ΟΦΕΛΟΝ ανειχεσθε μου μικρον τῃ αφροσυνῃ· αλλα και ανεχεσθε μου.

ἑως γηρως—εγω ανεχομαι ὑμων. *Esa. xlvi.* 4. οφελον κατευθυνθειησαν αἱ ὁδοι μου. *Ps. cxviii.* 5. *Job. xvi.* 4. *Aq. Exod. xvi.* 3. *Num. xiv.* 3. [*Conf. Sturz. de voc. Alexand. p.* 186.] 4 *Reg. v.* 3. *Conf. cap. v.* 13. *xi.* 16. *xii.* 11. αλλα και. 1 *Reg. xvi.* 6.

2 Ζηλω γαρ ὑμας Θεου ζηλῳ· ἡρμοσαμην γαρ ὑμας ἑνι ανδρι παρθενον ἁγνην παραστησαι τῳ Χριστῳ·

εζηλωκα την Ἱηρουσαλημ και την Σιων ζηλον μεγαν. *Zach. i.* 14. παρα δε Κυριου ἁρμοζεται γυνη ανδρι. *Prov. xix.* 14. παρθενος θυγατηρ Σιων. *Esa. xxxvii.* 22. *Conf. lxi.* 10. και ὡς συνοικων νεανισκος παρθενῳ κ. τ. λ. *lxii.* 5. και παραστησει αυτους εναντι Κυριου. *Lev. xvi.* 7. *Ald. Comp. Conf. Lev. xxi.* 13. *Gal. iv.* 17. *Jer. ii.* 2. και μνηστευσομαι σε εμαυτῳ εις τον αιωνα, κ. τ. λ. *Ose. ii.* 19, 20. και χηραν και εκβεβλημενην ου ληψονται ἑαυτοις εις γυναικα, αλλ' η παρθενον εκ του σπερματος Ισραηλ. *Ezech. xliv.* 22. [ἡρμοσαμην· εμνηστευσαμην. *Phav.*] [τουτῳ και παρθενος εκ του ἱερου γενους ἁρμοζεται. *Philo, de Profug. p.* 466.]

3 Φοβουμαι δε μηπως ὡς ὁ οφις Ευαν εξηπατησεν εν τῃ πανουργιᾳ αὑτου, οὑτω φθαρῃ τα νοηματα ὑμων απο της ἁπλοτητος της εις τον Χριστον.

το καλλος εξηπατησε σε. *Susan.* 56. *Exod. viii.* 29. ὁ οφις ηπατησε με. *Gen. iii.* 13. εφθαρη δε ἡ γη εναντιον του Θεου, κ. τ. λ. *Gen. vi.* 11. εστι πανουργια πληθυνουσα πικριαν. *Sir. xxi.* 12. οφις ην πανουργος. *Gen. iii.* 1. *Aq.* αποστρεψαι ἑκαστον απο των νοηματων της καρδιας αυτων της πονηρας. *Bar. ii.* 8. 3 *Mac. v.* 30. και πορευομενοι εν ἁπλοτητι αυτων. 2 *Reg. xv.* 11. *Alex. Comp. Conf. Ps. cxviii.* 53. *Joan. viii.* 44. *Gal. i.* 6. *Phil. iii.* 18. *Conf. Sap. ii.* 24. αποθανωμεν παντες εν τῃ ἁπλοτητι ἡμων. 1 *Mac. ii.* 37. 60. [και εφαγες απο του ξυλου οὑ ενετειλαμην σοι τουτου μονου μη φαγειν. *Philo,* 2 *Alleg. p.* 81. *Edit. Col. Jos. Ant. i.* 1. 4.]

4 Ει μεν γαρ ὁ ερχομενος αλλον Ιησουν κηρυσσει ὁν ουκ εκηρυξαμεν, η Πνευμα ἑτερον λαμβανετε ὁ ουκ ελαβετε, η ευαγγελιον ἑτερον ὁ ουκ εδεξασθε, καλως ηνειχεσθε.

ελθων—ελαβε. *Gen. xxvii.* 35. πνευμα λαμβανειν. *Conf. Joan. vii.* 39. *xx.* 22. *Act. i.* 8. και δεξαι εμους λογους. *Prov. iv.* 10. σοφος καρδιᾳ δεξεται εντολας. *x.* 8. καλως εγω διαθησομαι. 2 *Reg. iii.* 13. *Conf. Gal. i.* 8. ουκ ανεχομαι. *Esa. i.* 13.

5 Λογιζομαι γαρ μηδεν ὑστερηκεναι των ὑπερ λιαν αποστολων.

λογιζομαι. *Sap. viii.* 17. και εὑρεθη ὑστερουσα. *Dan. v.* 27. *Conf.* 1 *Cor. xv.* 10. *Cap. xii.* 11. *Gal. ii.* 6. ειτα ὑμεις εστε ανθρωποι, η μεθ' ὑμων τελευτησει σοφια; κ. τ. λ. *Job. xii.* 2, 3. [τα λιαν αγαθα. *Philo de Abrah. p.* 369.] ὑπερ αγαν. 2 *Mac. viii.* 35. *x.* 34.

6 Ει δε και ιδιωτης τῳ λογῳ, αλλ' ου τῃ γνωσει· αλλ' εν παντι φανερωθεντες εν πασιν εις ὑμας.

Conf. 1 *Cor. i.* 17. *Ephes. iii.* 4. *Cap. iv.* 2. ἑως του φανερα γενεσθαι. *Gen. xlii.* 16. τοτε φανεροι εσονται οἱ σφραγιζομενοι. *Esa. viii.* 16. [πλην απορω, πως αν ιδιωτης ανηρ και μηδεμιας ισχυος ευπορων, η πεισω λογοις τους οικειους, κ. τ. λ. *Jos. Ant. ii.* 12. 2. *Conf. Krebs. ad loc.*] ει δε και. 1 *Cor. iv.* 7. *Cap. v.* 15.

7 Η ἁμαρτιαν εποιησα, εμαυτον ταπεινων ἱνα ὑμεις ὑψωθητε, ὁτι δωρεαν το του Θεου ευαγγελιον ευηγγελισαμην ὑμιν;

ταπεινου σεαυτον. *Sir. iii.* 18. *Job. xxii.* 23. ὑψωθεις δε εταπεινωθην. *Ps. lxxxvii.* 16. δωρεαν ανευ αργυριου. *Exod. xxi.* 11. *Esa. lii.* 3. και το σωτηριον Κυριου ευαγγελιουνται. *lx.* 6. ευηγγελισαμην δικαιοσυνην εν εκκλησιᾳ μεγαλῃ. *Ps. xxxix.* 9. *Conf.* 1 *Cor. ix.* 6. 12. *Act. xviii.* 3. 1 *Reg. xii.* 3.

8 Αλλας εκκλησιας εσυλησα, λαβων οψωνιον προς την ὑμων διακονιαν· και παρων προς ὑμας, και ὑστερηθεις, ου κατεναρκησα ουδενος·

εσυλησα. *Epist. Jer.* 18. *Exod. iii.* 22. *Aq.* πληθος οστων αυτου εναρκησε. *Job. xxxiii.* 19. *Gen. xxxii.* 32. [εναρκησα· εβαρυνα. *Hesych.*] ὑστερηθεις. *Sir. xi.* 11. *Conf. Neh. v.* 15. και εδωκεν οψωνια. 1 *Mac. iii.* 28. *xiv.* 32. 1 *Esd. iv.* 56.

9 Το γαρ ὑστερημα μου προσανεπληρωσαν οἱ αδελφοι ελθοντες απο Μακεδονιας· και εν παντι αβαρη ὑμιν εμαυτον ετηρησα και τηρησω.

ἱνα την λειπουσαν—προσαναπληρωσωσι κολασιν. *Sap. xix.* 4. αβαρη. *Conf.* 1 *Thess. ii.* 9. ετηρησεν αυτον αμεμπτον Θεῳ. *Sap. x.* 5. *Conf. Act. xx.* 33. *Cap. xii.* 13. *Phil. iv.* 10-16. [ενδειαν εκπλησαι. *Philo.* 1 *Vit. Mos. p.* 641.]

10 Εστιν αληθεια Χριστου εν εμοι, ὁτι ἡ καυχησις αὑτη ου φραγησεται εις εμε εν τοις κλιμασι της Αχαΐας.

ὁς φρασσει τα ωτα αυτου του μη επακουσαι. *Prov. xxi.* 13. φραξεις δε παν στομα αδικον. *Conf. Rom. ix.* 1. 1 *Cor. ix.* 15. [προς κλιμα βορειον επεστρεφε. *Jos. Bell. Jud. v.* 12. 2.]

11 Διατι; ὁτι ουκ αγαπω ὑμας; ὁ Θεος οιδεν·

Κυριε Κυριε, συ επιστῃ ταυτα. *Ezech. xxxvii.* 3. *Conf. cap. vi.* 11. ὁ Θεος Κυριος εστι, και ὁ Θεος Θεος αυτος οιδε. *Jos. xxii.* 22. *Conf. Ps. lxix.* 5. *xliii.* 21. *Gal. iv.* 16.

12 Ὁ δε ποιω, και ποιησω, ἱνα εκκοψω την αφορμην των θελοντων αφορμην, ἱνα εν ᾡ καυχωνται, εὑρεθωσι καθως και ἡμεις.

αφορμης διδομενης εις διαθεσιν. 3 Mac. iii. 2. Prov. ix. 9. καθα και. Judith. viii. 25. Conf. 1 Cor. ix. 12. 1 Tim. v. 14. εξεκοψε ὡσπερ δενδρον την ελπιδα μου. Job. xix. 10. [εκκοψας ει τι πονηρον ην εν αυτῃ. Jos. Ant. viii. 12. 1.]

13 Οἱ γαρ τοιουτοι ψευδαποστολοι, εργαται δολιοι, μετασχηματιζομενοι εις αποστολους Χριστου·

μετεσχηματισαντο εις ανθρωπους. 4 Mac. 9. 22. καγω προφητης ειμι καθως συ—και εψευσατο αυτῳ. 3 Reg. xiii. 18. Ps. xi. 2. Prov. xii. 6.

14 Και ου θαυμαστον· αυτος γαρ ὁ Σατανας μετασχηματιζεται εις αγγελον φωτος·

ὁ δε οφις ην φρονιμωτατος παντων των θηριων κ. τ. λ. Gen. iii. 1-5. ιδου ηλθον οἱ αγγελοι του Θεου παραστηναι ενωπιον του Κυριου, και ὁ διαβολος ηλθε μετ᾽ αυτων. Job. i. 6. [ὁ Βελιαρ το αγαθον εν πονηριᾳ μεταστρεφει. Test. XII Patr. p. 688.] [και μετεσχηματιζοντο εις ανθρωπους (de angelis ante diluvium). p. 530.] αγγελος θανατου. Prov. xvi. 14. = υἱοι φωτος. Luc. xvi. 8. τεκνα φωτος. Ephes. v. 8.

15 Ου μεγα ουν ει και οἱ διακονοι αυτου μετασχηματιζονται ὡς διακονοι δικαιοσυνης, ὡν το τελος εσται κατα τα εργα αυτων.

ανταποδῳ ανθρωπῳ κατα τας πραξεις αυτου. Sir. xxxii. 19. μεγα [χρημα, sc.] μοι εστιν, ει ετι Ιωσηφ ὁ υἱος μου ζῃ. Gen. xlv. 28. δος αυτοις κατα τα εργα αυτων. Ps. xxvii. 4. γενεας γαρ αδικου χαλεπα τα τελη. Sap. iii. 19. Job. xxiii. 3. Conf. Phil. iii. 19. παν ζωον αγαπᾳ το ὁμοιον αυτῳ. Sir. xiii. 15, 16.

16 Παλιν λεγω, μη τις με δοξῃ αφρονα ειναι· ει δε μη γε, καν ὡς αφρονα δεξασθε με, ἱνα μικρον τι καγω καυχησωμαι.

ει δε μη. Draco. 29. Gen. xxx. 1. [Winer. § 66. Hoogev. p. 242.] μικρον. Job. x. 20. Prov. vi. 10. Conf. cap. xii. 6.

17 Ὁ λαλω, ου λαλω κατα Κυριον, αλλ᾽ ὡς εν αφροσυνῃ, εν ταυτῃ τῃ ὑποστασει της καυχησεως.

κατα παντα ὁσα ενετειλατο αυτοις. 2 Par. xxiii. 8. xxiii. 8. κατα το ῥημα ἱερεων. Esd. vi. 9. [της ὑπο τοιουτοις ὑποστασεως. Jos.

Ant. xviii. 1. 6.] αποκρινου αφρονι κατα την αφροσυνην αυτου, ἵνα μη φαινηται σοφος παρ' ἑαυτῳ. *Prov. xxvi.* 5. αισχυνθητε απο καυχησεως ὑμων. *Jer. xii.* 13.

18 Επει πολλοι καυχωνται κατα την σαρκα, καγω καυχησομαι.

Conf. cap. x. 13. *Phil. iii.* 3. επει. *Conf.* 2 *Mac. xiv.* 29. 3 *Mac. i.* 16. εσται ἡ διαθηκη μου επι της σαρκος ὑμων. *Gen. xvii.* 13.

19 Ἡδεως γαρ ανεχεσθε των αφρονων, φρονιμοι οντες·

φαγε, πιε, και ἡδεως γινου. *Tob. vii.* 9. *Conf.* 1 *Cor. iv.* 10.

20 Ανεχεσθε γαρ, ει τις ὑμας καταδουλοι, ει τις κατεσθιει, ει τις λαμβανει, ει τις επαιρεται, ει τις ὑμας εις προσωπον δερει.

δωσει τῳ παιοντι αυτον σιαγονα, κ. τ. λ. *Thren. iii.* 30. ὁτι κατεσθιετε τας οικιας των χηρων. *Matt. xxiii.* 14. ου κατεδουλωσαμην σε εν θυσιαις. *Esa. xliii.* 23. *Aq. Sym. Gen. xlvii.* 21. και επαταξε τον Μιχαιαν επι την σιαγονα. 3 *Reg. xxii.* 24. *Conf. Matt. xxvi.* 67. *Rom. xvi.* 17. *Gal. ii.* 4. *Phil. iii.* 19. επι δε σῃ σοφιᾳ μη επαιρου. *Prov. iii.* 5. μη επαιρου τῃ ψυχῃ σου. *xix.* 18. *Jer. xiii.* 15.

21 Κατα ατιμιαν λεγω, ὡς ὁτι ἡμεις ησθενησαμεν· εν ᾡ δ' αν τις τολμᾳ, (εν αφροσυνῃ λεγω,) τολμω καγω.

ὁς αποκρινεται λογον πριν ακουσαι, αφροσυνη αυτῳ εστι και ονειδος. *Prov. xviii.* 13. *Conf. cap. x.* 10. *Phil. iii.* 4, 5. τι ετολμησεν ἡ καρδια σου; *Job. xv.* 12. [κατα την τιμην του Θεου τουτο ποιων. *Jos. Ant. iii.* 11. 4.] *Conf. Esa. xxiii.* 9.

22 Ἑβραιοι εισι; καγω· Ισραηλιται εισι; καγω· σπερμα Αβρααμ εισι; καγω·

σπερμα Ἀβρααμ, δουλοι αυτου. *Ps. civ.* 6. ὁ Θεος των Ἑβραιων. *Exod. iii.* 18. *v.* 3. Ισραηλιται. *Gen. xxii.* 28. καμοι μεν καρδια καθ' ὑμας. *Job. xii.* 3.

23 Διακονοι Χριστου εισι; (παραφρονων λαλω,) ὑπερ εγω· εν κοποις περισσοτερως, εν πληγαις ὑπερβαλλοντως, εν φυλακαις περισσοτερως, εν θανατοις πολλακις.

μεγαλως ὑπερβαλλοντως λελαληκας. *Job. xv.* 11. παραφρονειν. *Zach. vii.* 11. πλεονακις ἑως θανατου εκινδυνευσα. *Sir. xxxi.* 12. [πολλους θανατους ὑπομενων. *Philo, p.* 990.]

24 Ὑπο Ιουδαιων πεντακις τεσσαρακοντα παρα μιαν ελαβον,

και αριθμῳ τεσσαρακοντα μαστιγωσουσιν αυτον· ου προσθησουσι.

Deut. xxv. 3. [πληγας μιας λιπουσης τεσσαρακοντα. *Jos. Ant. iv.* 8. 21. 23. *Philo, in Flacc. p.* 754-756. *Edit. Col.*]

25 Τρις εῤῥαβδισθην, ἁπαξ ελιθασθην, τρις εναυαγησα, νυχθημερον εν τῳ βυθῳ πεποιηκα·

πεποιηκα.—δικαιοι ποιησουσιν εν πλουτῳ ετη πολλα. *Prov. xiii.* 23. θαυμασια αυτου εν τῳ βυθῳ. *Ps. cvi.* 24. *Exod. xv.* 5. *Conf. Act. xiv.* 19. *xvi.* 22. [νυχθημερον. *Sturz. p.* 186.] λιθαζειν εν λιθοις. 2 *Reg. xvi.* 6. 13. [βαπτισθεντος γαρ ἡμων του πλοιου κατα μεσον τον Αδριαν,—δι' ὁλης της νυκτος ενηξαμεθα. *Jos. Vit.* § 3.]

26 Ὁδοιποριαις πολλακις· κινδυνοις ποταμων, κινδυνοις ληστων, κινδυνοις εκ γενους, κινδυνοις εξ εθνων, κινδυνοις εν πολει, κινδυνοις εν ερημιᾳ, κινδυνοις εν θαλασσῃ, κινδυνοις εν ψευδαδελφοις·

κινδυνον ᾁδου. *Ps. cxiv.* 3. ὁδοιπορια. 1 *Mac. vi.* 41. *Sap. xiii.* 18. *xviii.* 3. ὁσας εδειξας μοι θλιψεις; κ. τ. λ. *Ps. lxx.* 20.

27 Εν κοπῳ και μοχθῳ, εν αγρυπνιαις πολλακις, εν λιμῳ και διψει, εν νηστειαις πολλακις, εν ψυχει και γυμνοτητι.

εν αγρυπνιαις. *Sir. xxxviii.* 26. 30. *xlii.* 9. εν λιμῳ, και εν διψει, και εν γυμνωτητι. *Deut. xxviii.* 48. ψυχος και καυμα. *Gen. viii.* 22. εν νηστειαις. *Dan. ix.* 3. εν κοποις. *Ps. cvi.* 12. *Conf. Jer. xxxviii.* 9. *Act. xvi.* 26. 1 *Cor. iv.* 11. *Phil. iv.* 12. 2 *Thess. iii.* 8.

28 Χωρις των παρεκτος, ἡ επισυστασις μου ἡ καθ' ἡμεραν, ἡ μεριμνα πασων των εκκλησιων·

των παρεκτος (*sc.* τυγχανοντων). *Conf. Deut. i.* 36. *Aq. Conf. Sturz. p.* 210. *Matt. v.* 32. οἱ επισυσταντες επι Μωσην—εν τῃ συναγωγῃ. *Num. xxvi.* 9. ἡ μεριμνα επι το εργον. *Sir. xxxviii.* 29. *Conf. Act. xx.* 18-21. *Rom. i.* 14. *xi.* 13. *Col. ii.* 1.

29 Τις ασθενει, και ουκ ασθενω; τις σκανδαλιζεται, και ουκ εγω πυρουμαι;

στεναγμοις πεπυρωμενης—καρδιας. 3 *Mac. iv.* 2. 2 *Mac. x.* 35. διδωμι επι τον λαον τουτον ασθενειαν, και ασθενησουσι. *Jer. vi.* 21. *xviii.* 15. *Conf.* 1 *Cor. viii.* 13. *ix.* 22. *Esd. ix.* 1-3. *Neh. v.* 6-13.

30 Ει καυχασθαι δει, τα της ασθενειας μου καυχησομαι.

μη καυχω τα εις αυριον. *Prov. xxvii.* 1. *xx.* 9. *Conf. cap. xii.* 5. μη καυχασθω ὁ σοφος εν τῃ σοφιᾳ αυτου, κ. τ. λ. *Jer. ix.* 23. ὡς αἱ ἡμεραι σου, ἡ ισχυς σου. *Deut. xxxiii.* 25.

31 Ὁ Θεος και πατηρ του Κυριου ἡμων Ιησου Χριστου οιδεν, ὁ Ων ευλογητος εις τους αιωνας, ὁτι ου ψευδομαι·

ευλογητος Κυριος εις τον αιωνα. *Ps. lxxxviii.* 52. *Gen. ix.* 26. ὁ Θεος και πατηρ. *Conf.* 1 *Cor. xv.* 24. ου ψευσομαι. *Job. vi.* 28. *Conf. Ezech. xxxvii.* 3. *Rom. i.* 9. *Cap. i.* 23. *Gal. i.* 20. ὁ Θεος και Πατηρ—Κυριε πατερ και δεσποτα ζωης μου. *Sir. xxiii.* 1. [ὁ Κυριος και Θεος ευεργετης εστι. *Philo. p.* 309. *Edit.* 1640. *Conf. Middleton, p.* 58. 315.] [Χριστος, ὁ Κυριος και Θεος ἡμων. *Suid.*] *Conf. Sap. ix.* 1. *Judith. ix.* 12. Εγω ειμι ὁ Ων. *Exod. iii.* 13. 14. ὁ Ων Κυριε. *Jer. xiv.* 13. *xxxix.* 17. ειδεναι τον Οντα. *Sap. xiii.* 1. *Conf. Joan. i.* 18. *iii.* 13. *vi.* 46. *viii.* 47. *Rom. ix.* 5. *Apoc. i.* 8, 11, 17, 18. [Πατηρ μεν των ὁλων, ὁ μεσος, ὁς εν ταις ἱεραις γραφαις κυριῳ ονοματι καλειται ὁ Ων κ. τ. λ. *Philo de Abrah. p.* 287. *Edit. Col. Conf. omnino de Nom. Mutat. p.* 809.] [ὁ Ων *est vocis* יהוה *explicatio. Capell. Crit. Sac. p.* 704.] ὁ υἱος του ευλογητου. *Marc. xiv.* 61.

32 Εν Δαμασκῳ ὁ εθναρχης Αρετα του βασιλεως εφρουρει την Δαμασκηνων πολιν, πιασαι με θελων·

εθναρχης των Ιουδαιων. 1 *Mac. xiv.* 47. [*Conf. Jos. Ant. xiv.* 7. 2. *xviii.* 6. 1. *xix.* 5. 2.] και εφρουρησε τας πολεις τας ὑψηλας. *Judith. iii.* 6. 1 *Esd. iv.* 56. και οὑ ουχ ὑπενοησε πιασθησεται. *Sir. xxiii.* 21. εγκλεισθεις προς Αρεταν τον των Αραβων τυραννον. 2 *Mac. v.* 8. [*Conf. Loesner. ad loc.*]

33 Και δια θυριδος εν σαργανῃ εχαλασθην δια του τειχους, και εξεφυγον τας χειρας αυτου.

και κατεχαλασεν αυτους δια της θυριδος. *Jos. ii.* 15-18. παραδουναι ἡμας εις χειρας Αμορῥαιων. *Deut. i.* 27. ουκ εκφευξομαι τας χειρας ὑμων. *Susan.* 22. 2 *Mac. vii.* 35. και καταγει ἡ Μελχολ τον Δαυιδ δια της θυριδος, και απηλθε και εφυγε και σωζεται. 1 *Reg. xix.* 12. *Ps. xcvi.* 10. *Act. ix.* 24, 25. σαργανη = σπυρις.

ΚΕΦ. ιβ. 12.

ΚΑΥΧΑΣΘΑΙ δη ου συμφερει μοι· ελευσομαι γαρ εις οπτασιας και αποκαλυψεις Κυριου.

τι συμφερει καρπωσις ειδωλῳ; *Sir. xxx.* 18. *Conf. Jer. xxxiii.* 14. ου συμφερει αφρονι τρυφη. *Prov. xix.* 10. και συνεσις εδοθη αυτῳ εν τῃ οπτασιᾳ. *Dan. x.* 1. *Conf. Mal. iii.* 2. αποκαλυπτων μυστηρια. *Dan. ii.* 28. *Sir. xxii.* 22. *Conf. Gal. i.* 12. *ii.* 2. *Joel. ii.* 28, 29.

2 Οιδα ανθρωπον εν Χριστῳ, προ ετων δεκατεσσαρων, (ειτε

εν σωματι, ουκ οιδα, ειτε εκτος του σωματος, ουκ οιδα, ὁ Θεος οιδεν,) ἁρπαγεντα τον τοιουτον ἑως τριτου ουρανου.

ἁρπαζειν εκ του βιου. *Sap. iv.* 11. *Ezech. xxxvii.* 3. ἑως του ουρανου. *Dan. iv.* 8. ανεληφθη ἑως εις τον ουρανον. 1 *Mac. ii.* 58. και πνευμα Κυριου αιρει σε εις την γην ἡν ουκ οιδα. 3 *Reg. xviii.* 12. [και ειδον τριτον ουρανον πολυ φωτεινοτερον παρα τους δυο· και γαρ ὑψος ην εν αυτῳ απειρον. *Test. XII Patr. p.* 545.] *Conf. Num. xii.* 6. *Ezech. i.* 1. *viii.* 1-3. *xi.* 24. *Dan. x.* 5-10. 4 *Reg. ii.* 16. εν Χριστῳ [*sc.* οντα.] *Conf. Joan. xv.* 4. 2 *Cor. xiii.* 5. *Rom. viii.* 1. ὁ ουρανος και ὁ ουρανος του ουρανου. 3 *Reg. viii.* 27. *Conf. Gen. i.* 14-20. ὁ Θεος οιδε. *Cap. xi.* 11. ειτε—ειτε. *Ruth. iii.* 10. *alii.*

3 Και οιδα τον τοιουτον ανθρωπον, (ειτε εν σωματι, ειτε εκτος του σωματος, ουκ οιδα, ὁ Θεος οιδεν,)

4 Ὁτι ἡρπαγη εις τον παραδεισον, και ηκουσεν αρῤητα ῥηματα, ἁ ουκ εξον ανθρωπῳ λαλησαι.

το ακοινωνητον ονομα. *Sap. xiv.* 21. ου γαρ ην αυτῳ εξον εισελθειν εις την αυλην. *Est. iv.* 2. *Conf. Matt. xii.* 4. και εζηλωσαν αυτον τα ξυλα του παραδεισου της τρυφης του Θεου. *Ezech. xxxi.* 9. *Conf. Luc. xxiii.* 43. *Apoc. ii.* 7. ἡρπαγη. *Jud. xxi.* 21. *Conf. Matt. iv.* 8. [και ὁ Θεος αυτῳ (Μωυσῃ) σημαινει την ἑαυτου προσηγοριαν, ου προτερον εις ανθρωπους παρελθουσαν· περι ἡς ου μοι θεμις ειπειν. *Jos. Ant. ii.* 12. 4.] [οὑτω μεντοι το ον αρῤητον εστι, ὡστ' ουδε αἱ ὑπηρετουμεναι δυναμεις κυριον ονομα ἡμιν λεγουσι. *Philo de Nom. Mutat. p.* 810. *Edit. Col.*]

5 Ὑπερ του τοιουτου καυχησομαι· ὑπερ δε εμαυτου ου καυχησομαι, ει μη εν ταις ασθενειαις μου.

Conf. cap. xi. 30. *Num. xvi.* 28.

6 Εαν γαρ θελησω καυχησασθαι, ουκ εσομαι αφρων· αληθειαν γαρ ερω· φειδομαι δε, μη τις εις εμε λογισηται ὑπερ ὁ βλεπει με, η ακουει τι εξ εμου.

και απο καταλαλιας φεισασθε γλωσσης. *Sap. i.* 11. ουκ ην λογιζομενον εν ταις ἡμεραις Σαλωμων. 3 *Reg. x.* 21. *Conf. cap. x.* 8. *xi.* 16. ει δε μη, τις εστιν ὁ φαμενος ψευδη με λεγειν, και θησει εις ουδεν τα ῥηματα μου; *Job. xxiv.* 25.

7 Και τῃ ὑπερβολῃ των αποκαλυψεων ἱνα μη ὑπεραιρωμαι, εδοθη μοι σκολοψ τῃ σαρκι, αγγελος Σαταν ἱνα με κολαφιζῃ, ἱνα μη ὑπεραιρωμαι.

ὑπεραιρομαι. 2 *Mac.* v. 23. *Prov.* xix. 18. *Deut.* viii. 14. *Dan.* v. 20. ιδου εγω διδωμι επι λαον τουτον ασθενειαν. *Jer.* vi. 21. [ὑπερβολη του μεγεθους. *Jos. Ant.* xii. 2. 8.] σκολοψ πικριας. *Ezech.* xxviii. 24. σκολοπες εν τοις οφθαλμοις ὑμων. *Num.* xxxiii. 55. και αγγελος Κυριου εκθλιβων αυτους. *Ps.* xxxiv. 6, 7. *Conf.* *Job.* ii. 6. 7. εστραφην εις ταλαιπωριαν εν τῳ εμπαγηναι ακανθαν. *Ps.* xxxi. 4. [του Σατανα και των πνευματων αυτου. *Test.* *XII Patr.* p. 657. κολαφισει τα τεκνα. p. 708.]

8 Ὑπερ τουτου τρις τον Κυριον παρεκαλεσα, ἱνα αποστῃ απ᾽
εμου·

αποστα απ᾽ εμου. *Job.* vii. 16. και ουκ αποστησεται απο του οικου αυτου μαστιξ. *Sir.* xxiii. 11. *Conf. Matt.* xxvi. 44. *Deut.* iii. 23. *Jer.* i. 6-9. απο τριων ευλαβηθη ἡ καρδια μου, και επι τῳ τεταρτῳ προσωπῳ εδεηθην. *Sir.* xxvi. 5. 1 *Reg.* xx. 41. 4 *Reg.* xiii. 18.

9 Και ειρηκε μοι, Αρκει σοι ἡ χαρις μου· ἡ γαρ δυναμις μου
εν ασθενειᾳ τελειουται. Ἡδιστα ουν μαλλον καυχησομαι εν
ταις ασθενειαις μου, ἱνα επισκηνωσῃ επ᾽ εμε ἡ δυναμις του
Χριστου.

αρκει. *Num.* xi. 22. εδοκιμασθη εν αυτῳ και ετελειωθη. *Sir.* xxxiv. 10. *Conf. Esa.* xl. 29. 3 *Reg.* xix. 12. ὁ Θεος Κυριος δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. *Ps.* lxvii. 11. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job.* xii. 10. εκ στοματος νηπιων και θηλαζοντων κατηρτισω αινον. *Ps.* viii. 2. και πασῃ τῃ δοξῃ σκεπασθησεται. *Esa.* iv. 5. και ἡ δοξα του Θεου επι το ορος, και εσκηνωσεν αυτο. *Exod.* xxiv. 16. *Aq.* *Sophon.* iii. 17. 4 *Reg.* ii. 13. *Deut.* xxxiii. 25-27.

10 Διο ευδοκω εν ασθενειαις, εν ὑβρεσιν, εν αναγκαις, εν διωγ-
μοις, εν στενοχωριαις, ὑπερ Χριστου· ὁταν γαρ ασθενω, τοτε
δυνατος ειμι.

ηυδοκησεν εν εμοι. 2 *Reg.* xxii. 20. *Esa.* lxii. 4. ὑβρεσιν. *Sir.* x. 8. xxi. 4. αναγκαις. *Job.* xxx. 25. των ὑπερ Θεου νομον ἑως θανατου. 4 *Mac.* i. 9. τας στενοχωριας ἁς ειδομεν. 1 *Mac.* xiii. 3. ὁτι ουκ εν ισχυϊ δυνατος ανηρ. 1 *Reg.* ii. 9. *Conf. Rom.* v. 3. [το ασθενες ὑμων δυναμις εστι. *Philo.* 1 *Vit. Mos.* p. 613.] νεωτερος εγω ειμι και εξουδενωμενος, τα δικαιωματα σου ουκ επελαθομην. *Ps.* cxviii. 141. 1 *Par.* xxix. 12. *Sir.* iii. 18.

11 Γεγονα αφρων καυχωμενος· ὑμεις με ηναγκασατε. εγω γαρ
ωφειλον ὑφ᾽ ὑμων συνιστασθαι· ουδεν γαρ ὑστερησα των ὑπερ
λιαν αποστολων, ει και ουδεν ειμι.

ουθεν ων. *Job.* xxxix. 34. xxv. 6. *Jer.* xiii. 7. 1 *Cor.* iv. 9. *Cap.* xi. 1. 16. *Ephes.* iii. 8. εγω δε ειμι γη και σποδος. *Gen.* xviii. 27. ὑπερλιαν = ὑπεραγαν. 2 *Mac.* x. 34.

12 Τα μεν σημεια του αποστολου κατειργασθη εν ὑμιν εν πασῃ ὑπομονῃ, εν σημειοις και τερασι και δυναμεσι.

αρετης μεν σημειον ουδεν εχομεν δειξαι. *Sap.* v. 13. εν πειρασμῳ, και εν σημειοις, και εν τερασι. *Deut.* iv. 34. δυναμωσον ὁ Θεος τουτο, ὁ κατειργασω εν ἡμιν. *Ps.* lxvii. 28. *Ald. Comp.*

13 Τι γαρ εστιν ὁ ἡττηθητε ὑπερ τας λοιπας εκκλησιας, ει μη ὁτι αυτος εγω ου κατεναρκησα ὑμων; χαρισασθε μοι την αδικιαν ταυτην.

κατεναρκησα. *Conf. sup. cap.* xi. 8. 1 *Cor.* ix. 12. κρεισσων εγω ειμι ὑπερ τους πατερας μου. 3 *Reg.* xix. 4. *Conf. Gen.* l. 7.

14 Ιδου, τριτον ἑτοιμως εχω ελθειν προς ὑμας, και ου καταναρκησω ὑμων· ου γαρ ζητω τα ὑμων, αλλ᾽ ὑμας. ου γαρ οφειλει τα τεκνα τοις γονευσι θησαυριζειν, αλλ᾽ οἱ γονεις τοις τεκνοις·

νυν ουν ει εχετε ετοιμως. *Dan.* iii. 15. φρονειν τα τινος. 1 *Mac.* x. 20. *Cap.* xiii. 1. *Phil.* iv. 17. οικον και ὑπαρξιν μεριζουσι πατερες παισι, κ. τ. λ. *Prov.* xix. 14. Ιδου ἡκω προς σε νυν. *Num.* xxii. 38. θησαυριζειν. 4 *Reg.* xx. 17. κατανοησατε ὁτι ουκ εμοι μονῳ εκοπιασα, αλλα πασι τοις ζητουσι παιδειαν—κρεισσον γαρ εστι τα τεκνα δεηθηναι σου, η σε εμβλεπειν εις χειρας υἱων σου. *Sir.* xxx. 17. 21. μη βοσκουσι ποιμενες ἑαυτους; ου τα προβατα βοσκουσιν οἱ ποιμενες; *Ezech.* xxxiv. 2. 8-10.

15 Εγω δε ἡδιστα δαπανησω και εκδαπανηθησομαι ὑπερ των ψυχων ὑμων· ει και περισσοτερως ὑμας αγαπων, ἡττον αγαπωμαι.

και εδαπανησε χρηματα πολλα των ἑαυτου. 1 *Mac.* xiv. 32. και τα της θυσιας εδαπανησε. 2 *Mac.* ii. 10. i. 23. *Conf. Jer.* xv. 10. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir.* xxix. 15. και εθεντο κατ᾽ εμου κακα αντι αγαθων, και μισος αντι της αγαπησεως μου. *Ps.* cviii. 4, 5. 2 *Reg.* xviii. 33.

16 Εστω δε, εγω ου κατεβαρησα ὑμας. αλλ᾽ ὑπαρχων πανουργος, δολῳ ὑμας ελαβον.

σοφια πανουργων επιγνωσεται τας ὁδους αυτων. *Prov.* xiv. 8. xiii. 1. *Sir.* vi. 32. κατεβαρησα = καταβαρυνω. 2 *Reg.* xiii. 25. ουκ ανους δε ὑπαρχων. 2 *Mac.* xi. 13. [ὑπαρχων· πεφυκως, ων.

Hesych.] και παρεβιασατο αυτον λαβειν, και ηπειθησε. κ. τ. λ. 4 *Reg.* v. 16, 17. γινεσθε ουν φρονιμοι ὡς οἱ οφεις, και ακεραιοι ὡς αἱ περιστεραι. *Matt.* x. 16.

17 Μη τινα ὡν απεσταλκα προς ὑμας, δι' αυτου επλεονεκτησα ὑμας;

Conf. cap. vii. 2. 1 *Cor.* xvi. 10. 1 *Reg.* xii. 2-6.

18 Παρεκαλεσα Τιτον, και συναπεστειλα τον αδελφον· μη τι επλεονεκτησεν ὑμας Τιτος; ου τῳ αυτῳ πνευματι περιεπατησαμεν; ου τοις αυτοις ιχνεσι;

ὁν συναποστελεις μετ' εμου. *Exod.* xxxiii. 12. ὁτι πνευμα ἑτερον εν αυτῳ. *Num.* xiv. 24. 4 *Reg.* ii. 9. εν ὁδοις δικαιοσυνης περιπατω. *Prov.* viii. 20. μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου. 4 *Reg.* xx. 3. *Conf. cap.* viii. 6. 16. 18. 22. *Neh.* v. 14.

19 Παλιν δοκειτε ὁτι ὑμιν απολογουμεθα; κατενωπιον του Θεου εν Χριστῳ λαλουμεν· τα δε παντα, αγαπητοι, ὑπερ της ὑμων οικοδομης.

ὡρκισεν αυτους ενωπιον Κυριου. 4 *Reg.* xi. 4. *Comp. Cap.* v. 12. ὁτι εν σοι ὁ Θεος εστι, και ουκ εστι Θεος πλην σου· συ γαρ ει Θεος, και ουκ ᾐδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. *Esa.* xlv. 14, 15. απολογησομαι προς σε. *Jer.* xii. 1. ὑπερ. *Job.* xiii. 17. *Sym.*

20 Φοβουμαι γαρ, μη πως ελθων ουχ οἱους θελω εὑρω ὑμας, καγω εὑρεθω ὑμιν οἱον ου θελετε· μη πως ερεις, ζηλοι, θυμοι, εριθειαι, καταλαλιαι, ψιθυρισμοι, φυσιωσεις, ακαταστασιαι·

οἱος εγω; *Gen.* xliv. 15. ἑκαστος κατα τα εργα αυτου εὑρησει. *Sir.* xvi. 14. xxxiv. 22. κατ' εμου εψιθυριζον παντες οἱ εχθροι μου. *Ps.* xl. 7. [φυσιωσις· επαρσις, ὑψηλοφροσυνη. *Hesych.*] *Conf.* 1 *Cor.* iv. 21. *Cap.* x. 2. *Exod.* xvi. 8. *Ps.* xiv. 3. μη κληθῃς ψιθυρος, και τῃ γλωσσῃ σου μη ενεδρευε. *Sir.* v. 14. στομα δε αστεγον ποιει ακαταστασιας. *Prov.* xxvi. 28. φυλαξασθε τοινυν γογγυσμον ανωφελη, και απο καταλαλιας φεισασθε γλωσσης, κ. τ. λ. *Sap.* i. 11.

21 Μη παλιν ελθοντα με ταπεινωσῃ ὁ Θεος μου προς ὑμας, και πενθησω πολλους των προημαρτηκοτων, και μη μετανοησαντων επι τῃ ακαθαρσιᾳ και πορνειᾳ και ασελγειᾳ ᾗ επραξαν.

εταπεινωθην ἑως σφοδρα. *Ps.* cxviii. 107. πενια ανδρα ταπεινοι. *Prov.* x. 4. και επενθησαν τον Ιωναθαν. 1 *Mac.* xii. 52. *Gen.* l. 3. εν πασι τουτοις ου μετενοησεν ὁ λαος. *Sir.* xlviii. 15. *Jona.* iii.

8.10. *Conf. cap. xiii.* 2. 1 *Cor. v.* 1. *Esd. ix. iii*-15. *Jer. ix.* 1. *xiii.* 17. *διεξοδους ὑδατων κατεβησαν οἱ οφθαλμοι μου, επει ουκ εφυλαξα τον νομον σου. Ps. cxviii.* 36. *ακαθαρσια. Ezech. xxii.* 15. *xxxvi.* 25. *γαμων αταξια, μοιχεια, και ασελγεια. Sap. xiv.* 26. *και επι πασι τουτοις—εταπεινωσας ἡμας σφοδρα. Esa. lxiv.* 12.

ΚΕΦ. ιγ. 13.

ΤΡΙΤΟΝ *τουτο ερχομαι προς ὑμας· επι στοματος δυο μαρτυρων και τριων σταθησεται παν ῥημα.*

τριτον. Num. xxiv. 10. *επι στοματος δυο μαρτυρων, και επι στοματος τριων μαρτυρων στησεται παν ῥημα. Deut. xix.* 15. *xvii.* 6. *Conf. Matt. xviii.* 16. *Joan. viii.* 17. *Num. xxxv.* 30. 3 *Reg. xx.* 10. *Heb. x.* 28. *CITAT.* 217.

2 *Προειρηκα και προλεγω, ὡς παρων το δευτερον, και απων νυν γραφω, τοις προημαρτηκοσι και τοις λοιποις πασιν, ὁτι εαν ελθω εις το παλιν, ου φεισομαι·*

ου φεισεται εν ἡμερᾳ κρισεως. Prov. vi. 34. *και ου φεισομαι. Jer. xiii.* 14. *το δευτερον. Gen. xli.* 5. *Lev. xiii.* 5. *αποντες δε και παροντες. Sap. xi.* 11. *Conf. cap. x.* 1. *xii.* 20. 1 *Cor. iv.* 19.

3 *Επει δοκιμην ζητειτε του εν εμοι λαλουντος Χριστου, ὁς εις ὑμας ουκ ασθενει, αλλα δυνατει εν ὑμιν.*

δοκιμη αργυριου. Ps. lxvii. 30. *Sym. Conf. Matt. x.* 20. *Luc. xxi.* 15. 1 *Cor. ix.* 1-3. *επει.* 2 *Mac. xiv.* 29. 3 *Mac. ii.* 16.

4 *Και γαρ ει εσταυρωθη εξ ασθενειας, αλλα ζῃ εκ δυναμεως Θεου· και γαρ ἡμεις ασθενουμεν εν αυτῳ, αλλα ζησομεθα συν αυτῳ εκ δυναμεως Θεου εις ὑμας.*

και γαρ ει, nam etsi. [*Hoogev. p.* 387.] *και γαρ ἡμεις ζωῃ ζησομεθα. Sir. xlviii.* 11. *Ose. vi.* 3. *Ps. xxxv.* 9. *Phil. ii.* 7, 8. 1 *Pet. iii.* 18. *Rom. vi.* 4.

5 *Ἑαυτους πειραζετε ει εστε εν τῃ πιστει, ἑαυτους δοκιμαζετε· η ουκ επιγινωσκετε ἑαυτους, ὁτι Ιησους Χριστος εν ὑμιν εστιν; ει μη τι αδοκιμοι εστε.*

δοκιμασον με, Κυριε, και πειρασον με. Ps. xxv. 2. *Esa. i.* 22. *Conf. Thren. iii.* 40. *Gal. vi.* 4. *ει εστι Κυριος εν ἡμων η ου. Exod. xvii.* 7. *αργυριον αποδεδοκιμασμενον καλεσατε αυτους, ὁτι απεδοκιμασεν αυτους Κυριος. Jer. vi.* 30. *και ιδε ει ὁδος ανομιας εν εμοι. Ps. cxxxviii.* 24.

6 Ελπιζω δε ότι γνωσεσθε ότι ἡμεις ουκ εσμεν αδοκιμοι.

δοκιμαστην δεδωκα σε εν λαοις δεδοκιμασμενοις, και γνωσῃ με εν τῳ δοκιμασαι με την ὁδον αυτων, κ. τ. λ. Jer. vi. 27. 30.

7 Ευχομαι δε προς τον Θεον, μη ποιησαι ὑμας κακον μηδεν, ουχ ἱνα ἡμεις δοκιμοι φανωμεν, αλλ' ἱνα ὑμεις το καλον ποιητε, ἡμεις δε ὡς αδοκιμοι ωμεν.

και ευξομαι προς τον Θεον. Exod. viii. 29. ευχομαι μεν τῳ Θεῳ. 2 Mac. ix. 20. παυσασθε απο των πονηριων ὑμων, μαθετε καλον ποιειν. Esa. i. 16, 17. Conf. cap. vi. 9. Prov. xxvii. 21.

8 Ου γαρ δυναμεθα τι κατα της αληθειας, αλλ' ὑπερ της αληθειας.

και ουκ ηδυναντο λαλειν αυτῳ ουδεν ειρηνικον. Gen. xxxvii. 4. ὑπερ νεκρων προσευχεσθαι. 2 Mac. xii. 44. Conf. 1 Tim. i. 9. μη αντιλεγε τῃ αληθειᾳ κατα μηδεν. Sir. iv. 25. Comp. ὑπερ δε παντα νικᾳ ἡ αληθεια. 1 Esd. iii. 12. iv. 35-40.

9 Χαιρομεν γαρ ὁταν ἡμεις ασθενωμεν, ὑμεις δε δυνατοι ητε· τουτο δε και ευχομεθα, την ὑμων καταρτισιν.

ὁ καρτιζων ποδας μου. Ps. xvii. 33. Alex. ησθενησε, συ δε κατηρτισω αυτην. lxvii. 9. Conf. cap. xi. 30. xii. 5. ix. 10. και γνωσομεθα· διωξωμεν του γνωναι τον Κυριον, κ. τ. λ. Ose. vi. 4.

10 Δια τουτο ταυτα απων γραφω, ἱνα παρων μη αποτομως χρησωμαι, κατα την εξουσιαν ἡν εδωκε μοι ὁ Κυριος εις οικοδομην, και ουκ εις καθαιρεσιν.

αποτομως. Sap. v. 22. οξυνει δε αποτομον οργην. v. 20. εἰς οικοδομων, και εἰς καθαιρων. Sir. xxxi. 23. οικοδομησω ὑμας, και ου μη καθελω. Jer. xlix. 10. εδωκεν αυτοις εξουσιαν των επ' αυτης. Sir. xvii. 2. οικοδομειν και καταφυτευειν. xlix. 7. Conf. 1 Cor. iv. 21. Cap. ii. 3. xii. 20, 21. εγω δε εκτισα σε, ουκ εις απωλειαν φθειραι. Esa. liv. 16. Conf. 2 Mac. ix. 25-27.

11 Λοιπον, αδελφοι, χαιρετε, καταρτιζεσθε, παρακαλεισθε, το αυτο φρονειτε, ειρηνευετε· και ὁ Θεος της αγαπης και ειρηνης εσται μεθ' ὑμων.

Conf. 1 Mac. x. 20. ὡς ανηρ εἰς. Neh. viii. 1. εν ὁμονοιᾳ. Ps. liv. 14. ειρηνευετε. Sir. vi. 6. xxviii. 9. ειρηνη ὑμιν πληθυνθειη. Dan. iii. 31. αρχων ειρηνης. Esa. ix. 6. Theod. ει πορευσονται δυο επιτοαυτο καθολου, εαν μη γνωρισωσιν ἑαυτους; Amos. iii. 3. ὁ Θεος της αληθειας. 1 Esd. iv. 40. και ὁ Θεος. = 1 Reg. xv. 16. ανες, και απαγγελω σοι κ. τ. λ. [τα αυτα φρονειν. Jos. Bell. Jud. v. 7. 4.] ιδου δη τι καλον, η τι τερπνον, αλλ' η το κατοικειν αδελφους επιτο-

αυτο; *Ps. cxxxii.* 1. λαλησει ειρηνην επι τον λαον αυτου, κ.τ.λ. *lxxxiv.* 8. Κυριε ὁ Θεος ἡμων, ειρηνην δος ἡμιν. *Esa. xxvi.* 12. ὁ Θεος αγαπη εστι. 1 *Joan. iv.* 8.

12 Ασπασασθε αλληλους εν ἁγιῳ φιληματι· ασπαζονται ὑμας οἱ ἁγιοι παντες.

και ησπασαντο αλληλους ειρηνικως. 1 *Mac. vii.* 29. *Rom. xvi.* 16. 1 *Cor. xvi.* 20. 1 *Thess. v.* 26. εν ἁγιοις ὁ κληρος αυτου εστι. *Sap. v.* 5. ἁγιοι κληθησονται παντες οἱ γραφεντες εις ζωην εν Ἱερουσαλημ. *Esa. iv.* 3. των δε Ιουδαιων διαπεμψαμενων προς αυτον απο της γερουσιας και των πρεσβυτερων τους ασπασομενους αυτον, κ.τ.λ. 3 *Mac. i.* 8.

13 Ἡ χαρις του Κυριου Ιησου Χριστου, και ἡ αγαπη του Θεου, και ἡ κοινωνια του ἁγιου Πνευματος μετα παντων ὑμων. Αμην.

Κυριος απεστειλε με, και το Πνευμα αυτου. *Esa. xlviii.* 16. ὁ Θεος μετα σου εν πασιν, οις εαν ποιῃς. *Gen. xxi.* 22. αγαπησιν αιωνιον ηγαπησα σε. *Jer. xxxviii.* 3. εν κοινωνιᾳ λογων αυτης (σοφιας). *Sap. viii.* 18. Κυριος ὁ Θεος σου εν σοι, ὁ δυνατος σωσει σε, επαξει επι σε ευφροσυνην, και καινιει σε εν τῃ αγαπησει αυτου. *Sophon. iii.* 17. Αμην. *Neh. v.* 13. *viii.* 8. 1 *Mac. xvi.* 3.

[Προς Κορινθιους δευτερα εγραφη απο Φιλιππων της Μακεδονιας, δια Τιτου και Λουκα.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ αποστολος, ουκ απ' ανθρωπων ουδε δι' ανθρωπου, αλλα δια Ιησου Χριστου και Θεου πατρος του εγειραντος αυτον εκ νεκρων,

ὁ εγειρας νεκρον εκ θανατου και εξ ᾅδου. *Sir. xlviii.* 5. *Conf.* 1 *Cor. i.* 1. δια θεληματος Θεου. *Ephes. i.* 1. *Conf. infra*, 11, 12. *Tit. i.* 3. *Act. ii.* 24. *Rom. iv.* 24. οἱ ανδρες εν πιστει επι των εργων·

και επ' αυτων επισκοποι, κ. τ. λ. 2 *Par. xxxiv.* 12. *απ' ανθρωπων. Esa. xliv.* 11. *Marc. xi.* 30. [*Conf. Clem. Rom. Epist.* 1. *ab. init.*]

2 Και οἱ συν εμοι παντες αδελφοι, ταις εκκλησιαις της Γαλατιας·

Ιουδας δε ὁ Μακκαβαιος και οἱ συν αυτῳ. 2 *Mac. viii.* 1. *Conf.* 1 *Mac. xii.* 6. *xv.* 15. 2 *Mac. i.* 1. Γαλατιας. *Conf.* 2 *Mac. viii.* 20.

3 Χαρις ὑμιν και ειρηνη απο Θεου πατρος και Κυριου ἡμων Ιησου Χριστου,

Conf. Rom. i. 7. 1 *Cor. i.* 3. 1 *Pet. i.* 2. ειρηνη σοι και ειρηνη τοις βοηθοις σου. 1 *Par. xii.* 18. *Conf.* 2 *Mac. i.* 6. *Ephes. i.* 2.

4 Του δοντος ἑαυτον ὑπερ των ἁμαρτιων ἡμων, ὁπως εξεληται ἡμας εκ του ενεστωτος αιωνος πονηρου, κατα το θελημα του Θεου και πατρος ἡμων,

χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. εαν δωτε περι ἁμαρτιας, κ. τ. λ. *Esa. liii.* 10. και δοτε τας ψυχας ὑμων ὑπερ διαθηκης. 1 *Mac. ii.* 50. εξελου με εκ χειρος του αδελφου μου. *Gen. xxxii.* 11. *Esa. xlii.* 22. δια τον ενεστωτα χειμωνα. 2 *Mac. iii.* 17. 1 *Esd. v.* 47. ληψονται τον μοσχον τον ὑπερ ἁμαρτιας. *Ezech. xliii.* 21-25. *Alex. Ald.* προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου. 2 *Mac. i.* 26. κατα το θελημα αυτου ποιει εν τῃ δυναμει. *Dan. iv.* 32. *Conf. Matt. xx.* 28. *Ephes. v.* 2. *Tit. ii.* 14. *Heb. ix.* 14. και ῥυσεται αυτους, και εξελειται αυτους εξ ἁμαρτωλων, κ. τ. λ. *Ps. xxxvi.* 40. αιων. *Eccles. iii.* 11. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον. *Sap. ii.* 24.

5 Ὡ ἡ δοξα εις τους αιωνας των αιωνων. αμην.

ἑως εις τους αιωνας. *Mich. iv.* 7. ευλογητος Κυριος—απο του αιωνος, και ἑως του αιωνος. *Ps. cv.* 48. *Conf. Matt. vi.* 13. ἑως αιωνος των αιωνων. *Dan. vii.* 18. δοτε μεγαλωσυνην τῳ Θεῳ ἡμων. *Deut. xxxii.* 3. ητω ἡ δοξα Κυριου εις τον αιωνα. *Ps. ciii.* 31. ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. in fine.*

6 Θαυμαζω ὁτι οὑτω ταχεως μετατιθεσθε, απο του καλεσαντος ὑμας εν χαριτι Χριστου, εις ἑτερον ευαγγελιον·

μεταθεμενος απο των πατριων νομων. 2 *Mac. vii.* 24. 3 *Reg. xxi.* 25. εταχυναν, επελαθοντο των εργων αυτου. *Ps. cv.* 13. εγω Κυριος ὁ Θεος εκαλεσα σε εν δικαιοσυνῃ. *Esa. xlii.* 6.

7 Ὁ ουκ εστιν αλλο, ει μη τινες εισιν οἱ ταρασσοντες ὑμας, και θελοντες μεταστρεψαι το ευαγγελιον του Χριστου.

Conf. Act. xv. 1. 2 *Cor. xi.* 4. *Cap. v.* 15. τα αγαθα εις κακα μεταστρεφων. *Sir. xi.* 31. ει μη, [αλλα.] *Hoogev. p.* 247. ου μη φοβηθητε ουδε μη ταραχθητε. *Esa. viii.* 12. *Conf. Jer. xxiii.* 26. [καν αγαθον τι πραξῃ, εν πονηριᾳ αυτο μεταστρεφει. *Test. XII Patr. p.* 688.] *Conf.* 3 *Reg. xviii.* 17, 18.

8 Αλλα και εαν ἡμεις η αγγελος εξ ουρανου ευαγγελιζηται ὑμιν παρ᾽ ὁ ευηγγελισαμεθα ὑμιν, αναθεμα εστω·

ευηγγελισαμην δικαιοσυνην εν εκκλησιᾳ μεγαλῃ. *Ps. xxxix.* 9. ευαγγελιζομενος ακοην ειρηνης. *Esa. lii.* 7. και αναθεμα εσῃ ὡσπερ τουτο. *Deut. vii.* 26. *Conf.* 1 *Cor. xvi.* 22. 2 *Cor. xi.* 14. επικαταρατος Χανααν. *Gen. ix.* 25. *Conf. Deut. xxvii.* 13. *Jos. ix.* 23. 1 *Reg. xxvi.* 19. αλλα και. 1 *Reg. xvi.* 6. *Conf. Marc. xi.* 32. *Jer. xi.* 36.

9 Ὡς προειρηκαμεν, και αρτι παλιν λεγω, ει τις ὑμας ευαγγελιζεται παρ᾽ ὁ παρελαβετε, αναθεμα εστω.

ου προσθησετε προς το ῥημα ὁ εγω εντελλομαι ὑμιν, κ. τ. λ. *Deut. iv.* 2. *xii.* 32. *xiii.* 1-11. *Apoc. xxii.* 18.

10 Αρτι γαρ ανθρωπους πειθω η τον Θεον; η ζητω ανθρωποις αρεσκειν; ει γαρ ετι ανθρωποις ηρεσκον, Χριστου δουλος ουκ αν ημην.

πεισαντος Βλαστον. *Act. xii.* 20. 2 *Mac. iv.* 45. [αρτι. *Jos. Ant. i.* 6. 1. *ii.* 12. 2.] και επεισε Δαυιδ τους ανδρας αυτου εν λογοις. 2 *Reg. xxiv.* 8. δουλος. *Joel. ii.* 29. *Jer. iii.* 22. 4 *Reg. x.* 23. ανθρωπαρεσκοι. *Ps. lii.* 5. *Col. iii.* 22. [*de Balamo.* φερε βωμους τε ἑτερους αυθις εγειρωμεν, και θυσιας ταις πριν παραπλησιας επιτελεσωμεν, ει πεισαι τον Θεον δυνηθειην. *Jos. Ant. iv.* 6. 5.] [ην, Αττικως· ημην, Ἑλληνικως. *Moeris.*]

11 Γνωριζω δε ὑμιν, αδελφοι, το ευαγγελιον το ευαγγελισθεν ὑπ᾽ εμου, ὁτι ουκ εστι κατα ανθρωπον·

κατα ανθρωπον, *i. e.* κατα σαρκα. *Conf.* 1 *Cor. iii.* 3. *Matt. vi.* 24. δωσει ῥημα τοις ευαγγελιζομενοις κ. τ. λ. *Ps. lxvii.* 11.

12 Ουδε γαρ εγω παρα ανθρωπου παρελαβον αυτο ουτε εδιδαχθην, αλλα δι᾽ αποκαλυψεως Ιησου Χριστου.

μυστηριου αποκαλυψις. *Sir. xxii.* 22. *Conf. Ephes. iii.* 3.

13 Ηκουσατε γαρ την εμην αναστροφην ποτε εν τῳ Ιουδαϊσμῳ, ὁτι καθ᾽ ὑπερβολην εδιωκον την εκκλησιαν του Θεου, και επορθουν αυτην·

και ισθι πεπαιδευμενος εν παση αναστροφῃ σου. Tob. iv. 14. 2 *Mac. v.* 8. *εν εκκλησιᾳ Θεου. Neh. xiii.* 1. *σωσον με εκ παντων των διωκοντων με. Ps. vii.* 1. [*πορθειν. Jos. Ant. x.* 8. 2.] *καθ' ὑπερβολην. Rom. vii.* 13. 2 *Cor. i.* 8.

14 Και προεκοπτον εν τῳ Ιουδαϊσμῳ ὑπερ πολλους συνηλικιωτας εν τῳ γενει μου, περισσοτερως ζηλωτης ὑπαρχων των πατρικων μου παραδοσεων.

προκοπη εγενετο μοι εν αυτῃ. Sir. li. 17. *προκοπτε. Ps. xliv.* 4. *alii.* Ιουδαϊζειν. *Est. viii.* 17. *παρα τα παιδαρια τα συνηλικα ὑμων. Dan. i.* 10. *και ζηλωτην των νομων.* 2 *Mac. iv.* 2. *xiv.* 38. *οἱ ὑπερ του Ιουδαϊσμου φιλοτιμως ανδραγαθησαντες.* 2 *Mac. ii.* 21. *επορευθησαν οπισω των—ἁ εδιδαξαν αυτους οἱ πατερες αυτων. Jer. ix.* 14. *ὑπερ πρεσβυτερους συνηκα. Ps. cxviii.* 100. [*ει τις ζηλωτης εστι των πατριων εθων, και της του Θεου θρησκειας, ἑπεσθω εμοι. Jos. Ant. xii.* 6. 2.] [*ζηλωται των Αιγυπτιακων γινονται πλασματων. Philo.* 3 *Vit. Mos. p.* 677.] *Conf.* 1 *Mac. ii.* 27.

15 Ὁτε δε ευδοκησεν ὁ Θεος ὁ αφορισας με εκ κοιλιας μητρος μου, και καλεσας δια της χαριτος αὑτου,

εκ κοιλιας μητρος μου εκαλεσε το ονομα μου. Esa. xlix. 1. *Ps. lxx.* 6. *ευδοκησον Κυριε του ῥυσασθαι με. Ps. xxxix.* 13. *ὁ λυτρουμενος σε, και πλασσων σε εκ κοιλιας. Esa. xliv.* 24. *ὁ αφορισας. Lev. xx.* 26. *προ του με πλασαι σε εν κοιλιᾳ, επισταμαι σε. Jer. i.* 5. *εγω εκαλεσα. Esa. xlviii.* 15. *li.* 2. *Deut. vii.* 7.

16 Αποκαλυψαι τον υἱον αὑτου εν εμοι, ἱνα ευαγγελιζωμαι αυτον εν τοις εθνεσιν, ευθεως ου προσανεθεμην σαρκι και αἱματι,

γενεα σαρκος και αἱματος. Sir. xiv. 18. *εν τοις εθνεσι. Mal. i.* 11. *Cap. ii.* 8. *ὁ λεγων τῳ πατρι και τῃ μητρι, Ουχ ἑωρακα σε, κ. τ. λ. Deut. xxxiii.* 9. *Conf. Esa. lxii.* 2. *lxvi.* 19. *Jer. xvi.* 19.

17 Ουδε ανηλθον εις Ἱεροσολυμα προς τους προ εμου αποστολους, αλλ' απηλθον εις Αραβιαν, και παλιν ὑπεστρεψα εις Δαμασκον.

ουκ ανηλθεν ανηρ εις την παρεμβολην. Jud. xxi. 8. *Ald.* 1 *Reg. xvi.* 5. *και ὑπεστρεψαν εις την κληρονομιαν αυτων. Jud. xxi.* 23.

18 Επειτα μετα ετη τρια ανηλθον εις Ἱεροσολυμα ἱστορησαι Πετρον, και επεμεινα προς αυτον ἡμερας δεκαπεντε·

Conf. Act. ix. 26. [*ουκ ασημος ανηρ, ὁν εγω κατ' εκεινον ἱστορησα*

τον πολεμον. *Jos. Bell. Jud. vi.* 1. 8. *Conf. Loesner.*] [ἱστορω· το πολυν τοπον διερχομαι. *Thom. Mag.*]

19 Ἑτερον δε των αποστολων ουκ ειδον, ει μη Ιακωβον τον αδελφον του Κυριου.

[αδελφον Ιησου του λεγομενου Χριστου Ιακωβον. *Jos. Ant. xx.* 9. 1.]

20 Ἁ δε γραφω ὑμιν, ιδου ενωπιον του Θεου, ὁτι, Ου ψευδομαι.

ου ψευσομαι. *Job. vi.* 28. *Rom. ix.* 1. 2 *Cor. xi.* 31. γεγραφα δε προς αυτον τα ὑπογεγραμμενα. 2 *Mac. ix.* 25. ὡρκισεν αυτους ενωπιον Κυριου. 4 *Reg. xi.* 4. *Comp.* = Θεος μαρτυς. *Gen. xxxi.* 50. *Conf.* 1 *Tim. v.* 21. *vi.* 13. *Rom. i.* 9. ὁτι. *Jer. xliv.* 19. [*Hoogev. p.* 583.]

21 Επειτα ηλθον εις τα κλιματα της Συριας και της Κιλικιας·

Conf. Act. ix. 30. *xxi.* 39. τα κλιματα. 2 *Cor. xi.* 10.

22 Ημην δε αγνοουμενος τῳ προσωπῳ ταις εκκλησιαις της Ιουδαιας ταις εν Χριστῳ·

και ειδεν Ιακωβ το προσωπον του Λαβαν. *Gen. xxxi.* 2. ημην αγνοουμενος = εστω διαχωριζον. *Gen. i.* 6. αἱ εκκλησιαι εν Χριστῳ, *i. e. Eccles. Christianæ. Ita,* μητηρ εν αδοξιᾳ, *i. e.* αδοξος. *Sir. iii.* 11. = εν Κυριῳ. *Rom. xvi.* 2. 22. 1 *Cor. vii.* 39.

23 Μονον δε ακουοντες ησαν, ὁτι, Ὁ διωκων ἡμας ποτε, νυν ευαγγελιζεται την πιστιν ἡν ποτε επορθει·

ὁ διωκων = ὁ διωξας. *Conf. Sir. xlviii.* 6-8. και το σωτηριον Κυριου ευαγγελιουνται. *Esa. lx.* 6. 1 *Tim. i.* 13. *Conf.* 1 *Reg. x.* 9.

24 Και εδοξαζον εν εμοι τον Θεον.

και ὁ Θεος ὁ ἁγιος δοξασθησεται εν δικαιοσυνῃ. *Esa. v.* 16. εν εμοι, [" *de me.*" *Beza.*] *Sir. xi.* 2. *Sap. xviii.* 13. κατα καιρον ῥηθησεται Ιακωβ, και τῳ Ισραηλ, τι επιτελεσει ὁ Θεος; *Num. xxiii.* 23.

ΚΕΦ. β. 2.

ΕΠΕΙΤΑ δια δεκατεσσαρων ετων παλιν ανεβην εις Ἱεροσολυμα μετα Βαρναβα, συμπαραλαβων και Τιτον·

δια τεσσαρακοντα ἡμερων. *Deut. ix.* 11. *xv.* 1. αναβαινειν εις Ἱερουσαλημ. 3 *Reg. xii.* 28. συμπαραλαμβανοντες ἁμα και τας τρεις αδελφας αυτων. *Job. i.* 4. *Conf. Act. xv.* 2-4.

2 Ανεβην δε κατα αποκαλυψιν, και ανεθεμην αυτοις το ευαγ-

γελιον ὁ κηρυσσω εν τοις εθνεσι, κατ' ιδιαν δε τοις δοκουσι, μη πως εις κενον τρεχω η εδραμον.

ανεθετο περι του γεγονοτος εμφανισμου. 2 Mac. iii. 9. Conf. Mich. vii. 5. εξαποστελω εξ αυτων σεσωσμενους εις τα εθνη. Esa. lxvi. 19. κατ' ιδιαν. 2 Mac. iv. 5. Ps. iv. 8. Aq. ουκ απεστελλον τους προφητας, και αυτοι ετρεχον. Jer. xxiii. 21. ανευ ανομιας εδραμον και κατευθυνα. Ps. lviii. 4. οἱ εκλεκτοι μου ου κοπιασουσιν εις κενον. Esa. lxv. 23. Conf. 2 Thess. iii. 1. Phil. ii. 16. ὁδον εντολων σου εδραμον. Ps. cxviii. 32. Prov. i. 15. Esa. lix. 7. [δοκουντες αυτων εξεχειν. Jos. Ant. xix. 6. 3. οἱ προυχειν δοκουντες. Bell. Jud. i. 5. 3.] οἱ δοκουντες αρχειν. Marc. x. 42.

3 Αλλ' ουδε Τιτος ὁ συν εμοι, Ἑλλην ων, ηναγκασθη περιτμηθηναι·

αλλα μην ουδε. Job. xxxii. 21. Conf. 1 Mac. ii. 25.

4 Δια δε τους παρεισακτους ψευδαδελφους, οιτινες παρεισηλθον κατασκοπησαι την ελευθεριαν ἡμων ἡν εχομεν εν Χριστῳ Ιησου, ἱνα ἡμας καταδουλωσωνται·

προλογος παρεισακτος αδηλου. Prol. Sir. apud Schleus. V. T. Lex. [παρεισακτον· αλλοτριον. Hesych. νοθον. Cyrill. Lex.] ερευνησωσι—και κατασκοπησωσι. 2 Reg. x. 3. οἱ ειπαν τῃ ψυχῃ σου, Κυψον, ἱνα παρελθωμεν. Esa. li. 23. οἱ Αιγυπτιοι καταδουλουνται αυτους. Exod. vi. 5. 1 Mac. viii. 10. Conf. Act. xv. 24. 2 Cor. xi. 20. και επορευομην εν πλατυσμῳ. Ps. cxviii. 45.

5 Οἱς ουδε προς ὡραν ειξαμεν τῃ ὑποταγῃ, ἱνα ἡ αληθεια του ευαγγελιου διαμεινῃ προς ὑμας.

τουτοις ειξεν ὁ ολοθρευων. Sap. xviii. 25. 4 Mac. 1. 6. ισχυς ἑως γηρους διεμεινεν αυτῳ. Sir. xlvi. 9. Conf. 1 Thess. ii. 17. ὑποταγηθι τῳ Κυριῳ. Ps. xxxvi. 7.

6 Απο δε των δοκουντων ειναι τι, ὁποιοι ποτε ησαν, ουδεν μοι διαφερει· προσωπον Θεος ανθρωπου ου λαμβανει· εμοι γαρ οἱ δοκουντες ουδεν προσανεθεντο,

δοκει ειδεναι τι. 1 Cor. viii. 2. μη λαβῃς προσωπον. Sir. iv. 22. Conf. Luc. xx. 21. ὁστις (Θεος) ου θαυμαζει προσωπον. Deut. x. 17. 2 Par. xix. 7. ουδεν συμβαλειται σοι. Job. xxxv. 3. Aug. Sym. Conf. Job. xii. 2, 3. xxxii. 6. 22. xxxiv. 19. Sap. vi. 7. Sir. xxxii. 13. CITAT. 218.

7 Αλλα τουναντιον, ιδοντες ὁτι πεπιστευμαι το ευαγγελιον της ακροβυστιας, καθως Πετρος της περιτομης·

τουναντιον. 3 *Mac. iii.* 22. δια τουτο και ελαχιστῳ ξυλῳ πιστευουσιν ανθρωποι ψυχας. *Sap. xiv.* 5. 2 *Mac. iii.* 22. [ὁ πεπιστευμενος την φυλακην. *Jos. Vit.* 28.] της ακροβυστιας. *Gen. xvii.* 11. *Lev. xii.* 3. *Judith. xiv.* 10. = απεριτμητοι. *Jud. xiv.* 3. *Esa. lii.* 1. 2 *Tim. i.* 11.

8 (Ὁ γαρ ενεργησας Πετρῳ εις αποστολην της περιτομης, ενηργησε και εμοι εις τα εθνη·)

ποιουντες εις τα εργα. 1 *Esd. v.* 58. *Sir. xl.* 7. γυνη ανδρεια ενεργει τῳ ανδρι εις αγαθα. *Prov. xxxi.* 12. προφητην εις εθνη τεθεικα σε. *Jer. i.* 5. *Conf. Act. ix.* 15. *Cap. i.* 16. *Ephes. iii.* 8.

9 Και γνοντες την χαριν την δοθεισαν μοι Ιακωβος και Κηφας και Ιωαννης, οἱ δοκουντες στυλοι ειναι, δεξιας εδωκαν εμοι και Βαρναβᾳ κοινωνιας, ἱνα ἡμεις εις τα εθνη, αυτοι δε εις την περιτομην·

στυλος αναπαυσεων. *Sir. xxxvi.* 24. πασας τας γωνιας του Ισραηλ. 1 *Reg. xiv.* 38. *Conf.* 2 *Par. iii.* 17. *Apoc. iii.* 12. δος ἡμιν δεξιας, κ. τ. λ. 1 *Mac. xi.* 50. *xiii.* 45. *vi.* 58. *et Grot. ibid.* και ελαλησα προς την αιχμαλωσιαν παντας τους λογους. *Ezech. xi.* 25. *Conf. Matt. xvi.* 18. *Rom. i.* 5. *Ephes. ii.* 11. *Act. xv.* 5. 7. 13. 22-29.

10 Μονον των πτωχων ἱνα μνημονευωμεν, ὁ και εσπουδασα αυτο τουτο ποιησαι.

ὡς δεον εστι και πρεπον μνημονευειν αδελφων. 1 *Mac. xii.* 11. εσπουδακα. *Job. xxiii.* 14. μνησθητι ἡμων, κ. τ. λ. *Ps. cv.* 4. *Conf. Luc. xxiii.* 42. εσπουδασεν ὁ πους μου. *Job. xxxi.* 5. *Act. xi.* 30. *Rom. xv.* 25. 1 *Cor. xvi.* 1. 2 *Cor. viii.* 1. *ix.* 1. μακαριος ὁ συνιων επι πτωχον και πενητα, κ. τ. λ. *Ps. xl.* 1. *Conf. Est. ix.* 22. εαν δε γενηται εν σοι ενδεης εκ των αδελφων σου—ουκ αποστερξεις την καρδιαν σου, ουδ᾽ ου μη συσφιγξεις την χειρα σου απο του αδελφου σου του επιδεομενου. κ. τ. λ. *Deut. xv.* 7-11. δανειζει Θεῳ ὁ ελεων πτωχον. *Prov. xix.* 17.

11 Ὁτε δε ηλθε Πετρος εις Αντιοχειαν, κατα προσωπον αυτῳ αντεστην, ὁτι κατεγνωσμενος ην.

σοφος παρ᾽ ἑαυτῳ ανηρ πλουσιος, πενης δε νοημων καταγνωσεται αυτου. *Prov. xxviii.* 11. *Sir. v.* 17. μακαριος ανηρ οὑ ου κατεγνω ἡ ψυχη αυτου. *Sir. xiv.* 2. *Alex.* και παραστησω κατα προσωπον σου. *Ps. l.* 21. τις αντιστησεται κατα προσωπον υἱων Εναχ; *Deut. ix.* 2. ουκ αντιστησεται ουθεις κατα προσωπον σου. *vii.* 24. *Ose. iv.* 5. κατεγνωσμενος ην. = ἡ καλαμινη ἡ τεθλασμενη. 4 *Reg. xviii.* 21. Τι εποιησε σοι ὁ λαος οὑτος, ὁτι επηγαγες επ᾽ αυτους

ἁμαρτιαν μεγαλην; κ. τ. λ. *Exod.* *xxxii.* 21, 22. *Prov.* *x.* 10. ανεζευξεν εις Αντιοχειαν. 2 *Mac.* *xiii.* 26.

12 Προ του γαρ ελθειν τινας απο Ιακωβου, μετα των εθνων συνησθιεν· ὁτε δε ηλθον, ὑπεστελλε και αφωριζεν ἑαυτον, φοβουμενος τους εκ περιτομης.

προ του ελθειν. *Conf.* *Gen.* *xiii.* 10. *Act.* *xv.* 5. ου γαρ εδυναντο οἱ Αιγυπτιοι συνεσθιειν μετα των Ἑβραιων αρτους. *Gen.* *xliii.* 32. τουτῳ ου συνησθιον. *Ps.* *c.* 5. αφωριζε. *Lev.* *xx.* 26. εαν ὑποστειληται, ουκ ευδοκει ἡ ψυχη μου εν αυτῳ. *Hab.* *ii.* 4. *Job.* *xiii.* 8. *Conf.* *Prov.* *xxix.* 25. *Gen.* *xii.* 11-19. *Exod.* *xxiii.* 21. *Jer.* *i.* 17.

13 Και συνυπεκριθησαν αυτῳ και οἱ λοιποι Ιουδαιοι, ὡστε και Βαρναβας συναπηχθη αυτων τῃ ὑποκρισει.

και αυτοι δια την εμην ὑποκρισιν—πλανηθωσι δι' εμε. 2 *Mac.* *vi.* 25. και παντα τον λαον αυτου συναπηγαγε μεθ' ἑαυτου. *Exod.* *xiv.* 6. ὡστε. *Jos.* *x.* 14. ὑποκρισει. 2 *Mac.* *vi.* 25.

14 Αλλ' ὁτε ειδον ὁτι ουκ ορθοποδουσι προς την αληθειαν του ευαγγελιου, ειπον τῳ Πετρῳ εμπροσθεν παντων, Ει συ, Ιουδαιος ὑπαρχων, εθνικως ζῃς και ουκ Ιουδαϊκως, τι τα εθνη αναγκαζεις Ιουδαϊζειν;

εμβιβαζω σε τροχιαις ορθαις. *Prov.* *iv.* 11. 27. και Ιουδαϊζον δια τον φοβον των Ιουδαιων. *Est.* *viii.* 17. τοις ζωσιν αδικως. *Sap.* *xiv.* 28. πορευομενος αμωμος, και εργαζομενος δικαιοσυνην, κ. τ. λ. *Ps.* *xiv.* 2, 3. ὁ πους μου εστη εν ευθυτητι. *xxv.* 12. εμπροσθεν ὑμων. *Gen.* *xlv.* 5. *Conf.* *Act.* *x.* 28. 1 *Tim.* *v.* 20. [απεσκευασθαι γαρ τους Ιουδαιους δοκουντες ἑκαστοι τους Ιουδαϊζοντας ειχον εν ὑποψιᾳ. *Jos.* *Bell.* *Jud.* *ii.* 17. 2.]

15 Ἡμεις φυσει Ιουδαιοι, και ουκ εξ εθνων ἁμαρτωλοι,

ματαιοι—φυσει. *Sap.* *xiii.* 1. ἁμαρτωλος. 1 *Mac.* *ii.* 44. 48. *Sap.* *xvii.* 2. [τον ἁμαρτωλον = εθνη αλλοτρια. *Sap.* *Psal.* *ii.* 1, 2.]

16 Ειδοτες ὁτι ου δικαιουται ανθρωπος εξ εργων νομου, εαν μη δια πιστεως Ιησου Χριστου, και ἡμεις εις Χριστον Ιησουν επιστευσαμεν, ἱνα δικαιωθωμεν εκ πιστεως Χριστου, και ουκ εξ εργων νομου· διοτι ου δικαιωθησεται εξ εργων νομου πασα σαρξ.

απο Κυριου δικαιωθησονται. *Esa.* *xlv.* 26. *l.* 8. ὁτι ου δικαιωθησεται ενωπιον σου πας ζων. *Ps.* *cxlii.* 2. εαν μη. *Exod.* *iii.* 19. μη δικαιου εναντι Κυριου. *Sir.* *vii.* 5. *Conf.* *Esa.* *xliii.* 23-25. *Rom.* *viii.* 34. *Cap.* *iii.* 11. *Heb.* *vii.* 18. ει σεληνῃ συντασσει, και ουκ επι-

φαυσκει, αστρα δε ου καθαρα εναντιον αυτου· εα δε, ανθρωπος σαπρια, και υἱος ανθρωπου σκωληξ. Job. xxv. 5, 6. μη αισχυνθῃς —περι νομου Ὑψιστου και διαθηκης, και περι κριματος δικαιωσαι τον ασεβη. Sir. xlii. 1, 2. [δυναμενον αυτον και χωρις της περιτομης το θειον σεβειν, κ. τ. λ. Jos. Ant. xx. 2. 5.]

17 Ει δε ζητουντες δικαιωθηναι εν Χριστῳ εὑρεθημεν και αυτοι ἁμαρτωλοι, αρα Χριστος ἁμαρτιας διακονος; Μη γενοιτο.

Conf. Rom. iii. 19. 1 Joan. iii. 8, 9. Jac. ii. 10. ω μητηρ—και εργοις εὑρεθης ανδρος και λογοις δυνατοτερα. 4 Mac. 16. μη γενοιτο. Gen. xliv. 7. 17.

18 Ει γαρ ἁ κατελυσα, ταυτα παλιν οικοδομω, παραβατην εμαυτον συνιστημι.

και τους μελλοντας καταλυεσθαι νομους επανορθωσαι. 2 Mac. ii. 22. iv. 11. παραβατης. Ps. xvi. 5. Sym. συνιστημι. Job. xxviii. 23. [συνιστων ἑαυτους ὡς ευνους. Jos. Ant. vii. 2. 1. συνιστησιν αυτον προφητην. Philo, p. 517.] Conf. Rom. iii. 5. 2 Cor. vi. 4.

19 Εγω γαρ δια νομου νομῳ απεθανον, ἱνα Θεῳ ζησω.

εγω καθευδω, και ἡ καρδια μου αγρυπνει. Cant. v. 2. Conf. Matt. viii. 22. Rom. vi. 11-14. 2 Cor. v. 15. 1 Thess. v. 10. 1 Pet. iv. 2.

20 Χριστῳ συνεσταυρωμαι· ζω δε ουκ ετι εγω, ζῃ δε εν εμοι Χριστος· ὁ δε νυν ζω εν σαρκι, εν πιστει ζω τῃ του υἱου του Θεου, του αγαπησαντος με και παραδοντος ἑαυτον ὑπερ εμου.

εἱλου γαρ μου την ψυχην, ἱνα μη αποληται. Esa. xxxviii. 17. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. Hab. ii. 4. ὁτι εν πιστει ἡγνισαν το ἁγιον. 2 Par. xxxi. 18. xxxiv. 12. αγαπησιν αιωνιον ηγαπησα σε· διατουτο εἱλκυσα σε εις οικτειρημα. Jer. xxxviii. 3. ανθ' ὡν παρεδοθη εις θανατον—και δια τας ανομιας αυτων παρεδοθη. Esa. liii. 12. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. Sir. xxix. 15. τετρωμενη αγαπης εγω ειμι. Cant. v. 8. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. Ps. xxxv. 9. ουχ ἁμαρτησομεθα δε, ειδοτες ὁτι σοι λελογισμεθα. Sap. xv. 2.

21 Ουκ αθετω την χαριν του Θεου· ει γαρ δια νομου δικαιοσυνη, αρα Χριστος δωρεαν απεθανεν.

ὁτι ηθετουν την θυσιαν Κυριου. 1 Reg. ii. 17. εγω Κυριος, και ουκ εις δωρεαν λελαληκα. Ezech. vi. 10. Conf. Heb. vii. 11. οὑτως εσται το ῥημα μου ὁ εαν εξελθῃ εκ του στοματος μου, ου μη αποστραφῃ, ἑως αν τελεσθῃ ὁσα αν ηθελησα, κ. τ. λ. Esa. lv. 11. Conf. xlix. 4. αρα εστιν ὁ Θεος κρινων αυτους εν τῃ γῃ. Ps. lvii. 11.

ΚΕΦ. γ. 3.

Ω ΑΝΟΗΤΟΙ Γαλαται, τις ὑμας εβασκανε τῃ αληθειᾳ μη πειθεσθαι; οἱς κατ᾽ οφθαλμους Ιησους Χριστος προεγραφη εν ὑμιν εσταυρωμενος.

ούτω λαος μωρος και ουχι σοφος; Deut. xxxii. 6. ακουσατε ταυτα λαος μωρος. Jer. v. 21. πονηρος ὁ βασκαινων οφθαλμῳ. Sir. xiv. 8. πορευσομαι εν τῃ αληθειᾳ σου. Ps. lxxxv. 11. οἱς—εν αυτοις. Deut. xxxii. 20. εαν σου δεηται ὁ εχθρος—μη πεισθῃς. Prov. xxvi. 25. ὁν επαταξε Μωυσης αυτον. Jos. xiii. 21. κατ᾽ οφθαλμους. Deut. i. 30. Alex. οὑ τῳ μωλωπι αυτου ιαθητε. 1 Pet. ii. 24. προγραφειν. 1 Mac. x. 36. Conf. Susan. 48. Cap. v. 7. 2 Par. xx. 20.

2 Τουτο μονον θελω μαθειν αφ᾽ ὑμων, Εξ εργων νομου το Πνευμα ελαβετε, η εξ ακοης πιστεως;

και εσται μετα ταυτα, και εκχεω απο του Πνευματος μου επι πασαν σαρκα—και επι δουλους μου και επι τας δουλας εν ταις ἡμεραις εκειναις εχεω απο του Πνευματος μου. κ. τ. λ. Joel. ii. 28, 29. τοτε ανοιχθησονται οφθαλμοι τυφλων, κ. τ. λ. Esa. xxxv. 5-9. Πνευμα Κυριου επ᾽ εμε, κ. τ. λ. lxi. 1-3. Κυριος Κυριος απεστειλε με, και το Πνευμα αυτου. xlviii. 16. Conf. Act. ii. 1 Cor. xii. 1-11. την ακοην ειρηνης. Esa. lii. 7.

3 Οὑτως ανοητοι εστε; εναρξαμενοι Πνευματι, νυν σαρκι επιτελεισθε;

απεριτμητος καρδιᾳ, και απεριτμητος σαρκι. Ezech. xliv. 9. αγαθη εσχατη λογων ὑπερ αρχην αυτου. Eccles. vii. 9.

4 Τοσαυτα επαθετε εικη; ειγε και εικη.

Conf. Ezech. xviii. 24. ειγε και εικη, si modo frustra. Sir. xxv. 13.

5 Ὁ ουν επιχορηγων ὑμιν το Πνευμα, και ενεργων δυναμεις εν ὑμιν, εξ εργων νομου η εξ ακοης πιστεως;

επιχορηγων. Conf. 2 Cor. ix. 10. Sir. xxv. 22. Heb. vi. 4. εν τῳ Θεῳ ποιησομεν δυναμιν. Ps. cvii. 13. δυναστειας. cv. 2.

6 Καθως Αβρααμ επιστευσε τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην.

και επιστευσεν Ἀβραμ τῳ Θεῳ, κ. τ. λ. Gen. xv. 6. Conf. Rom. iv. 3. Jac. ii. 23. [Philo, p. 79. 385. Edit. Col.] CITAT. 219.

7 Γινωσκετε αρα ὁτι οἱ εκ πιστεως, οὑτοι εισιν υἱοι Αβρααμ.

Conf. Rom. iv. 11, 12, 16. Joan. viii. 39. αρα. Sap. vi. 20. υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. Deut. xxxii. 20. σπερμα Ἀβρααμ. Esa. xli. 8.

8 Προϊδουσα δε ἡ γραφη ὁτι εκ πιστεως δικαιοι τα εθνη ὁ Θεος, προευηγγελισατο τῳ Αβρααμ, ὁτι, Ενευλογηθησονται εν σοι παντα τα εθνη·

προϊδουσα. Sap. xix. 1. πασας τας ὁδους μου προειδες. Ps. cxxxviii. 3. —κατα την γραφην βιβλιου Μωυση. Esd. vi. 18. και ενευλογηθησονται εν σοι πασαι αἱ φυλαι της γης. Gen. xii. 3. και ενευλογηθησονται εν αυτῳ παντα τα εθνη της γης. xviii. 18. xxii. 18. xxvi. 4. Sir. xliv. 21. Act. iii. 25. Rom. ix. 17. [Laudat Philo. p. 318. 459. Edit. Col.] CITAT. 220.

9 Ὡστε οἱ εκ πιστεως, ευλογουνται συν τῳ πιστῳ Αβρααμ.

Ἀβρααμ ουχι εν πειρασμῳ εὑρεθη πιστος; 1 Mac. ii. 52. Conf. Esa. lxv. 23. μακαριος ανηρ ᾧ ου μη λογισηται Κυριος ἁμαρτιαν. Ps. xxxi. 2. ὡστε. Sap. vi. 25.

10 Ὁσοι γαρ εξ εργων νομου εισιν, ὑπο καταραν εισι· γεγραπται γαρ, Επικαταρατος πας ὁς ουκ εμμενει εν πασι τοις γεγραμμενοις εν τῳ βιβλιῳ του νομου, του ποιησαι αυτα.

επικαταρατος πας ανθρωπος ὁς ουκ εμμενει εν πασι τοις λογοις του νομου τουτου ποιησαι αυτους. Deut. xxvii. 26. Conf. Jer. xi. 3. [ουχ ὡς ανθρωπος διαψευσθηναι δυναται, ουδ᾽ ὡς υἱος ανθρωπου μετανοει, και ἁπαξ ειπων ουκ εμμενει. Philo. p. 646.] Conf. Jer. li. 25. CITAT. 221.

11 Ὁτι δε εν νομῳ ουδεις δικαιουται παρα τῳ Θεῳ δηλον, ὁτι—Ὁ δικαιος εκ πιστεως ζησεται·

ὁ δε δικαιος εκ πιστεως μου ζησεται. Hab. ii. 4. Conf. Heb. x. 38. Rom. i. 17. Cap. ii. 16. Sir. xlii. 1, 2. CITAT. 222.

12 Ὁ δε νομος ουκ εστιν εκ πιστεως, αλλ᾽, Ὁ ποιησας αυτα ανθρωπος ζησεται εν αυτοις.

ἁ ποιησας [ὁ ποιησας. Comp.] αυτα ανθρωπος ζησεται εν αυτοις. Lev. xviii. 5. Conf. Ezech. xx. 11. Rom. iv. 4, 5. x. 5, 6. Neh. ix. 29. CITAT. 223.

13 Χριστος ἡμας εξηγορασεν εκ της καταρας του νομου, γενομενος ὑπερ ἡμων καταρα· γεγραπται γαρ, Επικαταρατος πας ὁ κρεμαμενος επι ξυλου·

επηλθεν εφ᾽ ἡμας ἡ καταρα. Dan. ix. 11. Conf. Deut. xi. 26. κεκατηραμενος ὑπο Θεου πας κρεμαμενος επι ξυλου. Deut. xxi. 23. αγοραζων αγορασω εν αργυριῳ αξιῳ. 1 Par. xxi. 24. 2 Par. xxxiv. 11. [Conf. Schoettgen. Hor. Heb. ad loc.] Esa. liii. Jer. xliv. 22. xlix. 13. Dan. ix. 24. 26. Zach. xiii. 7. CITAT. 224.

14 Ἱνα εις τα εθνη ἡ ευλογια του Αβρααμ γενηται εν Χριστῳ Ιησου, ἱνα την επαγγελιαν του Πνευματος λαβωμεν δια της πιστεως.

ευλογια του Ιωσηφ. *2 Par. v. 2.* γενηται, *contingat. Jos. xv. 2. xvii. 6.* ἑως αν ελθῃ εφ᾽ ὑμας Πνευμα αφ᾽ ὑψηλου. *Esa. xxxii. 15. xiv. 3. Jer. xxxviii. 33.* ελαβε διαθηκην ἱερωσυνης αιωνιας. *1 Mac. ii. 54. Conf. Gen. xii. 2. 3. Esa. xl. 1-9. xli. 8. xlix. 6.* παντα τα εθνη ὁσα εποιησας ἡξουσι, και προσκυνησουσιν ενωπιον σου Κυριε, και δοξασουσι το ονομα σου. *Ps. lxxxv. 9. Conf. Act. iii. 25. Ezech. xi. 19, 20. Zach. xii. 10.*

15 Αδελφοι, κατα ανθρωπον λεγω, ὁμως ανθρωπου κεκυρωμενην διαθηκην ουδεις αθετει η επιδιατασσεται·

και εκυρωθη ὁ αγρος—τῳ Ἀβρααμ. *Gen. xxiii. 20. Lev. xxv. 30.* και γραψον εις αυτον γραφιδι ανθρωπου. *Esa. viii. 1.* [επιδιαθηκη. *Jos. Ant. xvii. 9. 4. B. Jud. ii. 3.*] διαθηκη. *1 Reg. xxiii. 18.* [διαθηκη· συνθηκη. *Suid.*] αθετει. *Conf. 1 Mac. xi. 36.* και ἡ διαθηκη μου ηθετημενη εσται. *Jer. xl. 21. Comp. Theodor.* = ανθρωπινον λεγω. *Rom. vi. 19.* ὁμως = ὁμοιως. *Conf. 1 Cor. xiv. 7.*

16 Τῳ δε Αβρααμ ερρἑηθησαν αἱ επαγγελιαι, και τῳ σπερματι αυτου· ου λεγει,—Και τοις σπερμασιν,—ὡς επι πολλων, αλλ᾽ ὡς εφ᾽ ἑνος,—Και τῳ σπερματι σου,—ὁς εστι Χριστος·

και ειπεν αυτῳ, Τῳ σπερματι σου δωσω την γην ταυτην. *Gen. xii. 7.* [*Philo. p. 410. Edit. Col.*] *xv. 18. xxii. 18.* του γενεσθαι ὑφ᾽ ἑνα. *1 Mac. x. 38.* ερρἑηθησαν. *Conf. Num. xxiii. 23. Gal. iii. 8. CITAT. 225.*

17 Τουτο δε λεγω, διαθηκην προκεκυρωμενην ὑπο του Θεου εις Χριστον, ὁ μετα ετη τετρακοσια και τριακοντα γεγονως νομος ουκ ακυροι, εις το καταργησαι την επαγγελιαν.

και μη ακυρους ποιησεις εμους λογους. *Prov. v. 7. 1 Esd. vi. 32. Ps. cxviii. 126. Aq.* και εγενετο μετα τα τετρακοσια τριακοντα ετη, κ. τ. λ. *Exod. xii. 40, 41. Conf. Gen. xv. 13. 16. Act. vii. 6.*

18 Ει γαρ εκ νομου ἡ κληρονομια, ουκ ετι εξ επαγγελιας· τῳ δε Αβρααμ δι᾽ επαγγελιας κεχαρισται ὁ Θεος.

σοι κεχαρισται το ζην ὁ Κυριος. *2 Mac. iii. 33. vii. 22.* [Ουαρῳ χαριζομενος, *in Vari gratiam. Jos. Ant. xvii. 9. 3.*] κληρονομια. *Thren. v. 2. 2 Mac. ii. 4. Conf. Sir. xliv. 19, 20.* των επηγγελμενων τῳ βασιλει χρηματων. *2 Mac. iv. 27.*

19 Τι ουν ὁ νομος; των παραβασεων χαριν προσετεθη, αχρις
οὑ ελθῃ το σπερμα ᾡ επηγγελται, διαταγεις δι' αγγελων, εν
χειρι μεσιτου·

εν νομῳ του Θεου, ὁς εδοθη εν χειρι Μωυση. Neh. x. 29. χαριν ἁμαρτιων. 3 Reg. xiv. 16. Alex. Sir. xxxii. 5. παραβασις. Ps. c. 3. Sap. xiv. 31. ειθε ην ὁ μεσιτης ἡμων. Job. ix. 33. εκ δεξιων αυτου αγγελοι μετ' αυτου. Deut. xxxiii. 2. Conf. Ps. lxvii. 17. αχρι οὑ (sc. χρονου.) Job. xxxii. 11. Sir. xxxi. 6. καγω εἱστηκειν αναμεσον Κυριου και ὑμων εν τῳ καιρῳ εκεινῳ αναγγειλαι ὑμιν τα ῥηματα Κυριου. Deut. v. 5. [ακουσομενον ὡν ὁ Θεος ειποι προς αυτον. Jos. Ant. iii. 5. 3.] Conf. Exod. xix. 3. 10. Joan. i. 17. Act. vii. 38. Rom. iv. 15. vii. 8. 1 Tim. i. 9. [δογματα τα εν τοις νομοις δι' αγγελων παρα του Θεου μαθοντα. Jos. Ant. xv. 5. 3. p. 674.] [πιστευειν απιστοις πραξεσι, και οἱα μεσιτης και διαιτητης—τας ὑπερ του εθνους ἱκεσιας και λιτας εποιειτο, συγγνωναι των ἡμαρτημενων δεομενος. Philo. 3 Vit. Mos. p. 678.] [μετεγγυος, Αττικως· μεσιτης, Ἑλληνικως. Moeris.] [Conf. Ottium, in loc.]

20 Ὁ δε μεσιτης ἑνος ουκ εστιν, ὁ δε Θεος εἱς εστιν.

ουκ ηλλοιωμαι. Mal. iii. 6. Conf. 1 Tim. ii. 5.

21 Ὁ ουν νομος κατα των επαγγελιων του Θεου; μη γενοιτο.
ει γαρ εδοθη νομος ὁ δυναμενος ζωοποιησαι, οντως αν εκ νομου
ην ἡ δικαιοσυνη·

ὁτι δυναμενος απολυθηναι του θανατου. 2 Mac. vi. 30. κατα. Ps. ii. 2. μη γενοιτο. Gen. xliv. 7. 17. οντως. Num. xxii. 37. (ἡ σοφια) ζωοποιησει τον παρ' αυτης. Eccles. vii. 13. καρδιας ασεβων ου μη ζωοποιησῃ. Job. xxxvi. 6. Ald. Conf. Exod. xx. 19.

22 Αλλα συνεκλεισεν ἡ γραφη τα παντα ὑπο ἁμαρτιαν, ἱνα ἡ
επαγγελια εκ πιστεως Ιησου Χριστου δοθῃ τοις πιστευουσι.

τα κτηνη αυτων εις θανατον συνεκλεισε. Ps. lxxvii. 50. συνεκλεισεν εις ῥομφαιαν τον λαον αυτου. 62. Amos. i. 6. 9. συγκλεισον ελεημοσυνην εν τοις ταμειοις σου. Sir. xxix. 12. και μη εισελθῃς εις κρισιν μετα του δουλου σου, ὁτι ου δικαιωθησεται ενωπιον σου πας ζων. Ps. cxlii. 2.

23 Προ του δε ελθειν την πιστιν, ὑπο νομον εφρουρουμεθα συγ-
κεκλεισμενοι εις την μελλουσαν πιστιν αποκαλυφθηναι·

εφρουρειτο εις την ασιδηρον εἱρκτην κατακλεισθεις. Sap. xvii. 16. Ps. lxxxvii. 9. Sym. συγκλειοντες. 1 Mac. vi. 18. ἑως του αναστηναι προφητην πιστον. xiv. 41. iv. 46. τη σωτηριαν περιμενων Κυριου. Gen. xlix. 18.*

24 Ὥστε ὁ νομος παιδαγωγος ἡμων γεγονεν εις Χριστον, ἱνα εκ πιστεως δικαιωθωμεν·

νομον γαρ εις βοηθειαν εδωκε. Esa. viii. 20. 2 *Par. xvii.* 9. *ὥστε. Sap. vi.* 25. *ὁ δε δικαιος εκ πιστεως μου ζησεται. Hab. ii.* 4.

25 Ελθουσης δε της πιστεως, ουκ ετι ὑπο παιδαγωγον εσμεν.

ὁτι εγγιζει ὁ δικαιωσας με. Esa. l. 8. *Ps. xxxv.* 9. *xlii.* 3.

26 Παντες γαρ υἱοι Θεου εστε δια της πιστεως εν Χριστῳ Ιησου·

υἱοι εστε Κυριου του Θεου ὑμων. Deut. xiv. 1. *υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. xxxii.* 20. *Esa. lvi.* 5.

27 Ὅσοι γαρ εις Χριστον εβαπτισθητε, Χριστον ενεδυσασθε.

ενεδυσε γαρ με ἱματιον σωτηριου. Esa. lxi. 10. *δικαιοσυνην ενδεδυκειν. Job. xxix.* 14. *οἱ ἱερεις σου ενδυσονται δικαιοσυνην. Ps. cxxxi.* 9. *Conf. Rom. vi.* 3. *xiii.* 14.

28 Ουκ ενι Ιουδαιος, ουδε Ἑλλην· ουκ ενι δουλος, ουδε ελευθερος· ουκ ενι αρσεν και θηλυ· παντες γαρ ὑμεις εἱς εστε εν Χριστῳ Ιησου·

ενι (ενεστι) ἑως θανατου. Sir. xxxvii. 2. *Job. xxix.* 14. [*Conf. Winer.* § 14.] *ελευθεροι.* 1 *Esd. iii.* 19. *Ἑλλην. Conf. Joan. vii.* 35. *Matt. xii.* 50. *του δουλευειν αυτῳ ὑπο ζυγον ἑνα. Sophon. iii.* 9.

29 Ει δε ὑμεις Χριστου, αρα του Αβρααμ σπερμα εστε, και κατ᾽ επαγγελιαν κληρονομοι.

ὁτι οὑτοι εισι σπερμα ηυλογημενον ὑπο Θεου. Esa. lxi. 9. *σπερμα Ἀβρααμ, ὁν ηγαπησα. xli.* 8. *αρα. Ps. lvii.* 11. *lxxiii.* 13. *οἱ πρᾳεις κληρονομησουσι γην. Ps. xxxvi.* 11. *cv.* 4, 5. *Conf. Rom. ix.* 7. *Heb. xi.* 18. *Ephes. iii.* 6. *Cap. iv.* 7. *εκβαλε την παιδισκην ταυτην, και τον υἱον αυτης, κ. τ. λ. Gen. xxi.* 10. *xii.* 3.

Κεφ. δ. 4.

ΛΕΓΩ δε, εφ᾽ ὁσον χρονον ὁ κληρονομος νηπιος εστιν, ουδεν διαφερει δουλου, κυριος παντων ων·

ὁσον χρονον εζη. Jos. iv. 14. *ὡς εστι νηπιος. Sir. xxx.* 12. *καταρωμενου ουδεν διαφερειν δοξει. Prov. xxvii.* 14. *ου διαφερει απειλη βασιλεως θυμου λεοντος. xx.* 2. *xxvii.* 14. *ὁ ανθρωπος ὁ κυριος της γης. Gen. xlii.* 30. 33. *Conf. Heb. v.* 8. *κληρονομος.* 2 *Reg. xiv.* 7.

2 Αλλα ὑπο επιτροπους εστι και οικονομους, αχρι της προθεσμιας του πατρος.

επιτροποι. 2 Mac. xi. 1. xiv. 2. προθεσμια. Job. xxviii. 3. Sym. αχρις οὑ. Job. xxxii. 11. Conf. Gen. xxiv. 2.

3 Οὑτω και ἡμεις, ὁτε ημεν νηπιοι, ὑπο τα στοιχεια του κοσμου ημεν δεδουλωμενοι·

Conf. Col. ii. 20. Heb. v. 11-14. vii. 16. ειδεναι συστασιν κοσμου και ενεργειαν στοιχειων. Sap. vii. 17. Sturz. de voc. Alex. p. 195.

4 Ὁτε δε ηλθε το πληρωμα του χρονου, εξαπεστειλεν ὁ Θεος τον υἱον αὑτου, γενομενον εκ γυναικος, γενομενον ὑπο νομον,

πληρωσις των ἡμερων. Ezech. v. 2. Dan. x. 3. ix. 24. τῳ Σηθ εγενετο υἱος. Gen. iv. 26. Job. i. 2. Lev. xxvii. 26. εκ γυναικος, ex virgine. Conf. Gen. xxiv. 4, 5. xlix. 10. Est. ii. 4. γενομενος, natus. Sap. vii. 3. Conf. Matt. v. 18. Ephes. i. 10. Phil. ii. 7. Heb. ii. 14. Gen. xlix. 10. Mal. iii. 1. ἑως ποτε αποστρεψεις θυγατηρ ητιμωμενη; ὁτι εκτισε Κυριος σωτηριαν εις καταφυτευσιν καινην, εν σωτηριᾳ περιελυσονται ανθρωποι. Jer. xxxviii. 22. Κυριος, Κυριος απεστειλε με, και το Πνευμα αυτου. Esa. xlviii. 16. ιδου εξαπεστειλα σε. Jud. vi. 14. Conf. Esa. vii. 14. ix. 6. Mich. v. 2. Zach. vi. 12, 13. Gen. iii. 15.

5 Ἱνα τους ὑπο νομον εξαγορασῃ, ἱνα την υἱοθεσιαν απολαβωμεν.

τοις ὑπ' αυτον. 1 Esd. iii. 1. ηγαγον αυτους ὑπο φορον. 1 Mac. viii. 2. [υἱοθεσια· ὁταν τις θετον υἱον λαμβανει. Hesych.] εξαγορασῃ. Conf. cap. iii. 13. 26. Matt. xx. 28. Tit. ii. 14. Joan. i. 12. απελαβον τους κληρους αυτων. Num. xxxiv. 14.

6 Ὁτι δε εστε υἱοι, εξαπεστειλεν ὁ Θεος το Πνευμα του υἱου αὑτου εις τας καρδιας ὑμων, κραζον, Αββα, ὁ πατηρ.

Conf. Rom. viii. 15. και εκχεω επι τον οικον Δαυιδ—πνευμα χαριτος και οικτιρμου. Zach. xii. 10. Conf. Mich. i. 14. εξαποστελεις το πνευμα σου, και κτισθησονται. Ps. ciii. 30. Esa. xliv. 3. ουχι πατηρ εἱς παντων ὑμων; ουχι Θεος εἱς εκτισεν ὑμας; κ. τ. λ. Mal. ii. 10. κεκραξον προς με, και αποκριθησομαι σοι. Jer. xl. 3.

7 Ὡστε ουκ ετι ει δουλος, αλλ' υἱος· ει δε υἱος, και κληρονομος Θεου δια Χριστου.

Conf. Rom. viii. 16. Cap. iii. 29. και δωσω σοι γην—κληρονομιαν Θεου παντοκρατορος. Jer. iii. 19. Κυριος μερις της κληρονομιας μου, κ. τ. λ. Ps. xv. 5. Jer. x. 16. Conf. Joan. xv. 15.

8 Αλλα τοτε μεν ουκ ειδοτες Θεον, εδουλευσατε τοις μη φυσει ουσι θεοις·

ματαιοι μεν γαρ παντες ανθρωποι φυσει. *Sap. xiii.* 1. συ γαρ ει Θεος, και ουκ ηδειμεν, κ. τ. λ. *Esa. xlv.* 15. και δουλευσεις εκει θεοις ἑτεροις. *Deut. xxviii.* 64. *Jos. xxiv.* 2. *Jer. xvi.* 12. *Mal. iii.* 18. τοις μη ουσι θεοις. *Additt. Est. xiv.* 11. *Conf. Act. xvii.* 29. 1 *Cor. viii.* 4. επ' ου Θεῳ. *Deut. xxxii.* 21. *Ps. cxxxiv.* 15-19. *Esa. xliv.* 9-20.

9 Νυν δε, γνοντες Θεον, μαλλον δε γνωσθεντες ὑπο Θεου, πως επιστρεφετε παλιν επι τα ασθενη και πτωχα στοιχεια, οἱς παλιν ανωθεν δουλευειν θελετε;

ὁτι γινωσκει Κυριος ὁδον δικαιων. *Ps. i.* 6. οἱ γινωσκοντες το ονομα σου. *ix.* 10. και επιστραφησῃ επι Κυριον τον Θεον σου. *Deut. xxx.* 2. σωζεται ὑπο Κυριου. *Esa. xlv.* 17. και επιστραφησονται επι θεους αλλοτριους. *xxxi.* 20. παλιν ανωθεν. *Sap. xix.* 6. *Conf. Hab. ii.* 4. 1 *Cor. viii.* 3. *Ephes. ii.* 11. και επειδεν ὁ Θεος τους υἱους Ισραηλ, και εγνωσθη αυτοις. *Exod. ii.* 25.

10 Ἡμερας παρατηρεισθε, και μηνας και καιρους και ενιαυτους.

μηνας, *novilunia. Lev. xxiii.* 24. καιροι. *Lev. xxiii.* 4. τρεις καιρους του ενιαυτου ἑορτασετε μοι. *Exod. xxiii.* 14. *Ald.* [παρατηρειν τας ἑβδομαδας. *Jos. Ant. iii.* 5. 5.] παρατηρησις. *Exod. xii.* 42. *Aq. Conf. Rom. xiv.* 5. *Col. ii.* 16.

11 Φοβουμαι ὑμας, μη πως εικη κεκοπιακα εις ὑμας.

ειπα, Κενως εκοπιασα, εις ματαιον και εις ουδεν εδωκα την ισχυν μου, κ. τ. λ. *Esa. xlix.* 4. *Act. xvi.* 6. 1 *Cor. xv.* 58.

12 Γινεσθε ὡς εγω, ὁτι καγω ὡς ὑμεις, αδελφοι, δεομαι ὑμων. ουδεν με ηδικησατε·

εαν γενησθε ὡς ἡμεις και ὑμεις. *Gen. xxxiv.* 15. 3 *Reg. xxii.* 5.

13 Οιδατε δε ὁτι δι' ασθενειαν της σαρκος ευηγγελισαμην ὑμιν το προτερον,

τον προτερον. *Lev. iv.* 21. *Jer. xxxvii.* 1. *Conf.* 1 *Cor. ii.* 3. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32.

14 Και τον πειρασμον μου τον εν τῃ σαρκι μου ουκ εξουθενησατε ουδε εξεπτυσατε, αλλ' ὡς αγγελον Θεου εδεξασθε με, ὡς Χριστον Ιησουν.

εξουδενωσε σε και εμυκτηρισε σε. 4 *Reg. xix.* 21. εξεπτυσατε. *Conf. Apoc. iii.* 16. και ὁ κυριος μου ὁ βασιλευς ὡς αγγελος του

Θεου. 2 *Reg. xix.* 27. *Conf. Mal. ii.* 7. *Zach. xii.* 8. *Matt. x.* 40. 1 *Thess. ii.* 13. και, *tamen.* 2 *Reg. iii.* 8. *Exod. vi.* 3.

15 Τις ουν ην ὁ μακαρισμος ὑμων; μαρτυρω γαρ ὑμιν ὁτι ει δυνατον, τους οφθαλμους ὑμων εξορυξαντες αν εδωκατε μοι.

φυλαξον με Κυριε ὡς κορην οφθαλμου. *Ps. xvi.* 8. εν τῳ εξορυξαι ὑμων παντα οφθαλμον δεξιον. 1 *Reg. xi.* 2. εμνησθην ελεους νεοτητος σου, και αγαπης κ. τ. λ. *Jer. ii.* 2.

16 Ὡστε εχθρος ὑμων γεγονα αληθευων ὑμιν;

ελεγχε σοφον, και αγαπησει σε. *Prov. ix.* 8. παντα αληθευσον. *Gen. xx.* 16. *xlii.* 16. *Conf. cap. ii.* 5. *iii.* 1. 2 *Par. xviii.* 7. αξιοπιστοτερα εστι τραυματα φιλου η ἑκουσια φιληματα εχθρου. *Prov. xxvii.* 6.

17 Ζηλουσιν ὑμας ου καλως, αλλα εκκλεισαι ὑμας θελουσιν, ἱνα αυτους ζηλουτε.

εκκλεισαι. 2 *Mac. xiii.* 21. *Judith. vii.* 4. και ιδιοποιειτο Αβεσσαλωμ την καρδιαν ανδρων Ισραηλ. 2 *Reg. xv.* 6. 13.

18 Καλον δε το ζηλουσθαι εν καλῳ παντοτε, και μη μονον εν τῳ παρειναι με προς ὑμας,

Conf. Eccles. ix. 10. καλον. *Gen. ii.* 18. ὁ ζηλος του οικου σου κατεφαγε με. *Ps. lxviii.* 9. *cxviii.* 139.

19 Τεκνια μου, οὑς παλιν ωδινω, αχρις οὑ μορφωθῃ Χριστος εν ὑμιν·

και ὡς ἡ ωδινουσα εγγιζει τεκειν επι τῃ ωδινι αυτης εκεκραξεν, οὑτως εγενηθημεν τῳ αγαπητῳ σου. *Esa. xxvi.* 17. *Conf. Exod. xxi.* 22. τεκνια. *Conf. Joan. xiii.* 33. 1 *Joan. ii.* 1. *Num. xi.* 12. [κυοφορει και ωδινει καλας πραξεις, ἁς ὁταν αποτεκη. *Philo, p.* 313.] μορφωθῃ. *Esa. xliv.* 13. *Phil. ii.* 6.

20 Ηθελον δε παρειναι προς ὑμας αρτι, και αλλαξαι την φωνην μου, ὁτι απορουμαι εν ὑμιν.

εφοβηθη δε Ιακωβ σφοδρα, και ηπορειτο. *Gen. xxxii.* 7. 1 *Mac. iii.* 31. *Jer. viii.* 18. αλλασσειν το δερμα. *Jer. xiii.* 23.

21 Λεγετε μοι, οἱ ὑπο νομον θελοντες ειναι, τον νομον ουκ ακουετε;

προκατασκευαζομενοις τα ηθη εν νομῳ βιοτευειν. *Prol. Sir.*

22 Γεγραπται γαρ, ὁτι Αβρααμ δυο υἱους εσχεν· ἑνα εκ της παιδισκης, και ἑνα εκ της ελευθερας·

Conf. Gen. xvi. 15. ην δε αυτῃ παιδισκη Αιγυπτια ῃ ονομα

καθως γεγραπται. 2 Par. xxv. 4. xxxv. 12. Neh. x. 34. ἑνα— ἑνα. 2 Par. iii. 17. οἱ ελευθεροι. Neh. xiii. 17. 1 Esd. iii. 19. (ingenui.) Conf. Act. vii. 8. Heb. xi. 11. Gen. xvi. 2-4. 15. xxi. 1-3.

23 Αλλ᾽ ὁ μεν εκ της παιδισκης κατα σαρκα γεγεννηται· ὁ δε εκ της ελευθερας, δια της επαγγελιας.

Conf. Gen. xviii. 10. Rom. ix. 7, 8.

24 Ἁ τινα εστιν αλληγορουμενα· αὑται γαρ εισιν αἱ δυο διαθηκαι· μια μεν απο ορους Σινα, εις δουλειαν γεννωσα, ἡτις εστιν Αγαρ.

Conf. Gen. xli. 26. Ezech. xx. 49. Ose. xii. 10. δυο διαθηκαι. Conf. Jer. xxxviii. 31-34. Rom. viii. 15. Cap. v. 1. 2 Tim. i. 7. [*παντα γαρ τῃ των ὁλων φυσει συμφωνον εχει την διαθεσιν· τα μεν αινιττομενου του νομοθετου δεξιως, τα δε αλληγορουντος μετα σεμνοτητος, κ. τ. λ. Jos. Proem. Ant. § 4. Conf. Ottium.*]

25 Το γαρ Αγαρ Σινα ορος εστιν εν τῃ Αραβιᾳ, συστοιχει δε τῃ νυν Ἱερουσαλημ, δουλευει δε μετα των τεκνων αὑτης.

εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους κ.τ.λ. Zach. ix. 11, 12.

26 Ἡ δε, ανω Ἱερουσαλημ, ελευθερα εστιν, ἡτις εστι μητηρ παντων ἡμων·

Γειων το ανω. 2 Par. xxxii. 30. Jos. xv. 19. και Ἱερουσαλημ ητω ἁγια και αφειμενη. 1 Mac. x. 31. Conf. Esa. ii. 2. ελευθεροι, nobiles. Jer. xxxvi. 2. 3 Reg. xx. 8. μητηρ. Esa. l. 1. Ose. ii. 2. 5. iv. 5. μακαριος ὁς εχει εν Σιων σπερμα, και οικειους εν Ἱερουσαλημ. Esa. xxxi. 9. [*προς την ανω πολιν ελθων. Jos. Bell. Jud. i. 2. 4.*]

27 Γεγραπται γαρ, Ευφρανθητι, στειρα ἡ ου τικτουσα· ῥηξον και βοησον ἡ ουκ ωδινουσα· ὁτι πολλα τα τεκνα της ερημου μαλλον η της εχουσης τον ανδρα.

Conf. Esa. xlix. 14. liv. 1. CITAT. 226.

28 Ἡμεις δε, αδελφοι, κατα Ισαακ, επαγγελιας τεκνα εσμεν.

τεκνα πορνειας. Ose. i. 2. ii. 4. τεκνα Σιων χαιρετε και ευφραινεσθε. Joel. ii. 23. ουκ εστι κατ᾽ αυτον επι της γης. Job. i. 8. κατα Ισαακ. = Thren. i. 12. Ephes. iv. 24. Heb. viii. 9. Rom. viii. 16. ix. 7, 8. Phil. ii. 15. Luc. vi. 35. Act. ii. 39. και ερεις εν τῃ καρδιᾳ σου, Τις εγεννησε μοι τουτους; κ. τ. λ. Esa. xlix. 21. 1 Reg. ii. 4, 5. Ps. cxii. 9. επαγγελια. Conf. Amos. ix. 6.

29 Αλλ᾽ ὡσπερ τοτε ὁ κατα σαρκα γεννηθεις εδιωκε τον κατα πνευμα, οὑτω και νυν·

Conf. Gen. xxi. 3. 9. ὁ ανηρ ὁς συνετελεσεν ἡμας και εδιωξεν ἡμας. 2 *Reg. xxi.* 5. βδελυγμα ἁμαρτωλῳ θεοσεβεια. *Sir. i.* 24. *Conf. Rom. viii.* 8. *Joan. iii.* 6. υἱους εγεννησα. *Esa. i.* 2.

30 Αλλα τι λεγει ἡ γραφη; Εκβαλε την παιδισκην και τον υἱον αυτης, ου γαρ μη κληρονομηση ὁ υἱος της παιδισκης μετα του υἱου της ελευθερας.

εκβαλη την παιδισκην ταυτην και τον υἱον αυτης· ου γαρ μη κληρονομησει ὁ υἱος της παιδισκης ταυτης μετα του υἱου μου Ισαακ. *Gen. xxi.* 10. *Conf. Joan. viii.* 35. ἡ γραφη. *Conf. Esd. vi.* 18. *CITAT.* 227.

31 Αρα, αδελφοι, ουκ εσμεν παιδισκης τεκνα, αλλα της ελευθερας.

αρα. *Ps. lvii.* 11. και εσται εν τῃ ἡμερᾳ εκεινῃ, αναπαυσει σε Κυριος απο της οδυνης και του θυμου σου, της δουλειας σου της σκληρας, ἡς εδουλευσας αυτοις. *Esa. xiv.* 3.

ΚΕΦ. ε. 5.

ΤΗ ελευθεριᾳ ουν ἡ Χριστος ἡμας ηλευθερωσε, στηκετε, και μη παλιν ζυγῳ δουλειας ενεχεσθε.

θαρσειτε, στηκετε. *Exod. xiv.* 13. *Comp.* και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 *Reg. xxiii.* 3. *Dan. xii.* 13. ιδου ὁμοθυμαδον συνετριψαν ζυγον, διερρηξαν δεσμους. *Jer. v.* 5. τον τραχηλον ὑμων ὑποθετε ὑπο ζυγον, και επιδεξασθω ἡ ψυχη ὑμων παιδειαν. *Sir. li.* 26. *Conf. Ps. li.* 12. *Esa. lxi.* 1. επι δουλειας Θεου εν Ἱερουσαλημ. *Esd. vi.* 18. τον δεσμον του τραχηλου σου ἡ αιχμαλωτος θυγατηρ Σιων. *Esa. lii.* 2.

2 Ιδε, εγω Παυλος λεγω ὑμιν, ὁτι, Εαν περιτεμνησθε, Χριστος ὑμας ουδεν ωφελησει·

ωφελειαν ουκ ωφελησουσι τον λαον τουτον. *Jer. xxiii.* 32. *Act. xv.* 1. *Gal. ii.* 21. και εγω απαγγελω την δικαιοσυνην σου, και τα κακα σου, ἁ ουκ ωφελησει σε. *Esa. lvii.* 12. ιδε. *Sir. xxviii.* 24.

3 Μαρτυρομαι δε παλιν παντι ανθρωπῳ περιτεμνομενῳ, ὁτι οφειλετης εστιν ὁλον τον νομον ποιησαι.

ποιειν τας εντολας σου. 1 *Par. xxix.* 19. μαρτυρομαι. *Conf. Gen. xxxi.* 47, 48. και τας εντολας και τον νομον φυλασσεσθε ποιειν. *Exod. xxiv.* 12. *Conf. Gal. iii.* 10. *Neh. ix.* 29. *Deut. viii.* 19. *xxxi.* 21. *Ezech. xviii.* 4. *Jac. ii.* 10. οφειλησει θανατον. *Tob. vi.* 12.

4 Κατηργηθητε απο του Χριστου, οἱτινες εν νομῳ δικαιουσθε, της χαριτος εξεπεσατε·

καταργηθητε. *Conf. Rom. vii.* 6. εξεπεσον (ελπιδος) ελπιζοντες επ᾽ αυτοις. *Sir. xxxi.* 7. εκπεσητε του ιδιου στηριγμου. 2 *Pet. iii.* 17. *Conf. cap. ii.* 21. περι νομου ὑψιστου και διαθηκης, και περι κριματος δικαιωσαι τον ασεβη. *Sir. xlii.* 2. *Zach. ix.* 10.

5 Ἡμεις γαρ πνευματι εκ πιστεως ελπιδα δικαιοσυνης απεκδεχομεθα.

τους εκδεχομενους παιδειαν ελεει. *Sir. xviii.* 14. 2 *Tim. iv.* 8. οἱ πεποιθοτες επ᾽ αυτῳ συνησουσιν αληθειαν, και οἱ πιστοι εν αγαπῃ προσμενουσιν αυτῳ, ὁτι χαρις και ελεος τοις εκλεκτοις αυτου. *Sap. iii.* 9. και γαρ παντες οἱ ὑπομενοντες σε ου μη καταισχυνθωσι. *Ps. xxiv.* 3. ὁτι εγγιζει ὁ δικαιωσας με. *Esa. l.* 8.

6 Εν γαρ Χριστῳ Ιησου ουτε περιτομη τι ισχυει, ουτε ακροβυστια, αλλα πιστις δι᾽ αγαπης ενεργουμενη.

ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab. ii.* 4. κραταια ὡς θανατος αγαπη. *Cant. viii.* 6. *Conf. Sap. iii.* 14. *vi.* 18.

7 Ετρεχετε καλως· τις ὑμας ανεκοψε τῃ αληθειᾳ μη πειθεσθαι;

ὁδον εντολων σου εδραμον. *Ps. cxviii.* 32. ανευ ανομιας εδραμον, και κατευθυνα. *lviii.* 4. εις κακιαν τρεχουσι. *Prov. i.* 16. *Alex. Ald. Comp. Esa. lix.* 7. διελιπεν ὁ τρεχων απο του δρομου αυτου. *Jer. viii.* 6. ανεκοψε την οργην. *Sap. xviii.* 23. εαν σου δεηται εχθρος—μη πεισθῃς. *Prov. xxvi.* 25. και Ισραηλ ουκ επεισθη μοι. *Ps. lxxx.* 12. *Sym.* πειθεσθαι—ἡ πεισμονη. [*Paronomasia. Winer.* § 62.]

8 Ἡ πεισμονη ουκ εκ του καλουντος ὑμας.

9 Μικρα ζυμη ὁλον το φυραμα ζυμοι.

Conf. Matt. xiii. 33. 1 *Cor. v.* 6. 2 *Tim. ii.* 17. προ του ζυμωθηναι τα φυραματα αυτων. *Exod. xii.* 34. *Sir. xiii.* 1.

10 Εγω πεποιθα εις ὑμας εν Κυριῳ, ὁτι ουδεν αλλο φρονησετε· ὁ δε ταρασσων ὑμας βαστασει το κριμα, ὁστις αν ᾐ.

βαστασει. *Conf. Joan. xix.* 17. *Luc. xiv.* 27. κριμα θανατου. *Deut. xxi.* 22. *Jer. iv.* 12. κακως εφρονησαν περι Θεου. *Sap. xiv.* 30. *Conf.* 2 *Cor. ii.* 3. *Cap. i.* 7. *Act. xv.* 1. πεπεισμαι γαρ κ. τ. λ. 2 *Mac. x.* 27. ἡ καρδια αυτης πεποιθυια επι Κυριῳ. *Susan.* 35. *Conf.* 3 *Reg. xviii.* 17, 18.

11 Εγω δε, αδελφοι, ει περιτομην ετι κηρυσσω, τι ετι διωκομαι; αρα κατηργηται το σκανδαλον του σταυρου·

ἱνα μη γενηται σκανδαλον. *Judith.* xii. 2. *Ps.* lxviii. 22. cxviii. 165. *Esa.* viii. 14. *Conf.* 1 *Cor.* i. 23.

12 Οφελον, και αποκοψονται οἱ αναστατουντες ὑμας.

οφελον απεθανομεν. *Exod.* xvi. 3. *Ps.* cxviii. 5. αποκεκομενος ουκ εισελευσεται εις εκκλησιαν Κυριου. *Deut.* xxiii. 1. 6. *Jos.* vii. 25. 1 *Cor.* v. 13. *Gen.* xvii. 14. *Exod.* xii. 15. αναστατειν. *Ps.* x. 2. *alii.*

13 Ὑμεις γαρ επ᾽ ελευθερια εκληθητε, αδελφοι· μονον μη την ελευθεριαν εις αφορμην τῃ σαρκι, αλλα δια της αγαπης δουλευετε αλληλοις.

αφορμης διδομενης εις διαθεσιν. 3 *Mac.* iii. 2. 1 *Cor.* viii. 9. *Cap.* vi. 2. 1 *Pet.* ii. 16. *Juda.* 4. και επορευομην εν πλατυσμῳ, ὁτι τας εντολας σου εξεζητησα. *Ps.* cxviii. 45. *Sap.* xv. 2.

14 Ὁ γαρ πας νομος εν ἑνι λογῳ πληρουται, εν τῳ, Αγαπησεις τον πλησιον σου ὡς ἑαυτον.

τους δεκα λογους. *Exod.* xxiv. 28. και αγαπησεις κ. τ. λ. *Lev.* xix. 18. *Rom.* xiii. 9. *Sap.* vi. 18. *CITAT.* 228.

15 Ει δε αλληλους δακνετε και κατεσθιετε, βλεπετε μη ὑπο αλληλων αναλωθητε.

εξαιφνης αναστησονται, δακνοντες αυτον. *Hab.* ii. 7. κατεσθιοντες τον Ισραηλ. *Esa.* ix. 20, 21. ψυχας. *Ezech.* xxii. 25. πας παρανομος αναλωθησεται. *Prov.* xxiii. 28. *Jer.* xxvii. 7. ὑπο. *Esa.* vii. 2. *Conf.* 2 *Cor.* xii. 20. *Jac.* iii. 14-18.

16 Λεγω δε, Πνευματι περιπατειτε, και επιθυμιαν σαρκος ου μη τελεσητε.

εν ὁδοις δικαιοσυνης περιπατω. *Prov.* viii. 20. μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου. 3 *Reg.* xx. 3. ασεβης επιθυμει ὁλην την ἡμεραν επιθυμιας κακας. *Prov.* xxi. 26. και πονηρον ενθυμηθησεται σαρξ και αἱμα. *Sir.* xvii. 31. *Alex.*

17 Ἡ γαρ σαρξ επιθυμει κατα του Πνευματος, το δε Πνευμα κατα της σαρκος· ταυτα δε αντικειται αλληλοις, ἱνα μη ἁ αν θελητε, ταυτα ποιητε.

και αντικεισομαι τοις αντικειμενοις σοι. *Exod.* xxiii. 22. σωμα σαρκος. *Sir.* xxiii. 16. εθηκεν αυτα αντιπροσωπα αλληλοις. *Gen.* xv. 10. *Conf. Ps.* xviii. 12, 13. *li.* 1-5. *Esa.* vi. 5. πορευεσθαι εν επιθυμιαις καρδιας. *Sir.* v. 2. *Rom.* vii. 15. *Sap.* xiii. 1.

18 Ει δε Πνευματι αγεσθε, ουκ εστε ὑπο νομον.

Conf. Rom. vi. 14. *viii.* 2. 14. *Luc. iv.* 1. οδηγησον με κ.τ.λ. *Ps. xxiv.* 5. *Esa. xlviii.* 16-18. το πνευμα το ἁγιον σου μη αντανελῃς απ᾽ εμου. *Ps. l.* 10-12.

19 Φανερα δε εστι τα εργα της σαρκος, ἁτινα εστι μοιχεια, πορνεια, ακαθαρσια, ασελγεια,

παντα τα εργα του ταπεινου φανερα παρα τῳ Θεῳ. *Prov. xvi.* 33. τα εργα των ανθρωπων κ. τ. λ. *Ps. xvi.* 4. γαμων αταξια μοιχεια, ασελγεια. *Sap. xiv.* 26. *Conf.* 1 *Cor. iii.* 3. *Ephes. v.* 3. *Col. iii.* 5. [που γαρ αλλαχοθι εριδες, μαχαι, φιλονεικιαι, πανθ᾽ ὁσα εργα ακαθαιρετου πολεμου, πλην εν τῳ μετα σωματος βιῳ; *Philo de Temul. p.* 254.] *Conf. Jac. iv.* 1. *Ezech. xxii.* 6-13.

20 Ειδωλολατρεια, φαρμακεια, εχθραι, ερεις, ζηλοι, θυμοι, εριθειαι, διχοστασιαι, αἱρεσεις,

θυμος, και ζηλος—και μηνιαμα και ερις. *Sir. xl.* 5. *Num. xxxv.* 20. *Prov. xxvi.* 26. φαρμακεια. *Exod. vii.* 11. *xxii.* 8. *Sap. xviii.* 13. εχθραι. 4 *Mac.* 2. 13. διχοστασιαι. 1 *Mac. iii.* 29. [σοφιστης ιδιας αἱρεσεως. *Jos. Bell. Jud. ii.* 8. 1.] *Conf. Gen. xiii.* 7, 8. *Ps. liv.* 9.

21 Φθονοι, φονοι, μεθαι, κωμοι, και τα ὁμοια τουτοις· ἁ προλεγω ὑμιν, καθως και προειπον, ὁτι οἱ τα τοιαυτα πρασσοντες βασιλειαν Θεου ου κληρονομησουσιν.

κληρονομησουσιν οἱ εκλεκτοι μου. *Esa. lxv.* 9. οὑτως οργην αυτου εθνη κληρονομησει. *Sir. xxxix.* 23. *xx.* 15. και παραληψονται την βασιλειαν ἁγιοι Ὑψιστου. *Dan. vii.* 18. φθονοι. 1 *Mac. viii.* 16. ου ποιησεις φονον. *Deut. xxii.* 8. μεθη. *Luc. xxi.* 34. κωμοι. 2 *Mac. vi.* 6.

22 Ὁ δε καρπος του Πνευματος εστιν αγαπη, χαρα, ειρηνη, μακροθυμια, χρηστοτης, αγαθωσυνη, πιστις,

23 Πρᾳοτης, εγκρατεια· κατα των τοιουτων ουκ εστι νομος.

δουναι ἑκαστῳ—κατα τους καρπους των επιτηδευματων αυτου. *Jer. xvii.* 10. εργα δικαιων ζωην ποιει, καρποι δε ασεβων ἁμαρτιας. *Prov. x.* 16. *Jac. iii.* 18. εξ εμου ὁ καρπος σου εὑρηται. *Ose. xiv.* 9. εκ καρπου δικαιοσυνης φυεται δενδρον ζωης. *Prov. xi.* 30. *Ephes. v.* 8. *Col. iii.* 12. μακροθυμος. *Ps. lxxxv.* 15. *Neh. ix.* 17. *Sap. xv.* 1. χρηστοτης. *Ps. xxx.* 19. *xxiv.* 8. πρᾳοτης. *xliv.* 4. *Sir. i.* 26. εγκρατεια. *xviii.* 30. πιστις. *Sap. iii.* 14. 1 *Tim. i.* 19. αγαθωσυνη. *Conf. Neh. ix.* 20. 25. νομον γαρ εις βοηθειαν εδωκε. *Esa. viii.* 20.

24 Οἱ δε του Χριστου, την σαρκα εσταυρωσαν συν τοις παθημασι και ταις επιθυμιαις.

Conf. Rom. vi. 6. *Cap. ii.* 20. 1 *Pet. ii.* 11. *Matt. x.* 38. *xvi.* 24.

25 Ει ζωμεν πνευματι, πνευματι και στοιχωμεν.

ου γινωσκεις ποιον στοιχησει. *Eccles. xi.* 6. *Conf. Rom. viii.* 5. πνευματι ἡγεμονικῳ στηριξον με. *Ps. l.* 12.

26 Μη γινωμεθα κενοδοξοι, αλληλους προκαλουμενοι, αλληλοις φθονουντες.

μη φθονεσατω σου ὁ οφθαλμος. *Tob. iv.* 16. κενοδοξια. *Sap. xiv.* 14. Κυριε ουχ ὑψωθη ἡ καρδια μου, κ. τ. λ. *Ps. cxxx.* 1.

ΚΕΦ. ϛ. 6.

ΑΔΕΛΦΟΙ, εαν και προληφθῃ ανθρωπος εν τινι παραπτωματι, ὑμεις οἱ πνευματικοι καταρτιζετε τον τοιουτον εν πνευματι πρᾳοτητος, σκοπων σεαυτον μη και συ πειρασθῃς.

μη ονειδιζε ανθρωπον αποστρεφοντα απο ἁμαρτιας, μνησθητι ὁτι παντες εσμεν εν επιτιμιοις. *Sir. viii.* 5. κλινον πτωχῳ το ους σου, και αποκριθητι αυτῳ ειρηνικα εν πρᾳϋτητι. *iv.* 8. νοει τα του πλησιον εκ σεαυτου. *xxxiv.* 15. προληφθεις την δυσαλυκτον εμενεν αναγκην. *Sap. xvii.* 17. και ησθενησε, συ δε κατηρτισω αυτην. *Ps. lxvii.* 9. παρεπεσον παραπτωματι. *Ezech. xv.* 8. *Sap. x.* 1. σκοπων σεαυτον. (*sing. pro plur.*) = ειδως *pro* ειδοτες. 1 *Tim. i.* 9. *Conf. Job. iv.* 3, 4. *Esa. xxxv.* 3, 4. *Ezech. xxxiv.* 16. *Jac. v.* 19. ἑπτακις γαρ πεσειται δικαιος και αναστησεται, κ. τ. λ. *Prov. xxiv.* 16. και μνησθησῃ ὁτι οικετης οισθα εν γῃ Αιγυπτου, και ελυτρωσατο Κυριος κ. τ. λ. *Deut. xv.* 15. *xvi.* 12. *xxiv.* 18. 22.

2 Αλληλων τα βαρη βασταζετε, και οὑτως αναπληρωσατε τον νομον του Χριστου.

Conf. Exod. xxiii. 5. και ανεπληρωθη το εργον. 3 *Reg. vii.* 51. βαρος ὑπερ σε μη αρῃς. *Sir. xiii.* 2. *Rom. xiv.* 1. [νομον δε φυσεως επιμπλας. *Philo de Abrah. p.* 384.] *Conf. Num. xi.* 11. *Deut. i.* 12. [πασαν εντολην αναπληρωσαι. *Barnab. Epist.*]

3 Ει γαρ δοκει τις ειναι τι, μηδεν ων, ἑαυτον φρεναπατᾳ·

Conf. cap. ii. 6. 1 *Cor. viii.* 2. *Prov. xxv.* 14. *xxvi.* 12. ουδεν ειμι. *Job. xxxix.* 34. [φρεναπατᾳ· χλευαζει. *Hesych.*]

4 Το δε εργον ἑαυτου δοκιμαζετω ἑκαστος, και τοτε εις ἑαυτον μονον το καυχημα ἑξει, και ουκ εις τον ἑτερον·

Κυριε εδοκιμας με και εγνως με. *Ps. cxxxviii.* 1. *xxv.* 2. εις ἑαυτον = εν ἑαυτῳ. *Conf. Esa. lxvi.* 17. *Est. i.* 5. *Prov. xiv.* 14.

5 Ἑκαστος γαρ το ιδιον φορτιον βαστασει.

φορτιον βαρυ εβαρυνθησαν επ' εμε. Ps. xxxvii. 4. lxi. 12. Esa. xlvi. 1. ιδιον. Sap. x. 1. xi. 13. Ezech. xviii. 20. 30. τοπῳ οὗ πεσειται το ξυλον, εκει εσται. Eccles. xi. 3. Conf. Jer. xvii. 10. ουαι τῳ ανομῳ, πονηρα κατα τα εργα των χειρων αυτου συμβησεται αυτῳ. Esa. iii. 11. ουκ αποθανουνται πατερες ὑπερ τεκνων, και οἱ υἱοι ουκ αποθανουνται ὑπερ πατερων, ἑκαστος εν τῃ ἑαυτου ἁμαρτιᾳ αποθανειται. Deut. xxiv. 16. 4 Reg. xiv. 6.

6 Κοινωνειτω δε ὁ κατηχουμενος τον λογον τῳ κατηχουντι, εν πασιν αγαθοις.

Conf. Deut. xii. 19. xxv. 4. Sir. xlii. 3. [αυτος σε πολλα κατηχησω των αγνοουμενων. Jos. Vit. § 65.]

7 Μη πλανασθε, Θεος ου μυκτηριζεται· ὁ γαρ εαν σπειρῃ ανθρωπος, τουτο και θερισει·

8 Ὁτι ὁ σπειρων εις την σαρκα ἑαυτου, εκ της σαρκος θερισει φθοραν· ὁ δε σπειρων εις το πνευμα, εκ του πνευματος θερισει ζωην αιωνιον.

αφρων μυκτηριζει παιδειαν πατρος. Prov. xv. 5. 3 Reg. xviii. 27. σπειρατε ἑαυτοις εις δικαιοσυνην, τρυγησατε εις καρπον ζωης, κ. τ. λ. Ose. x. 12. 13. ὁ σπειρων φαυλα, θερισει κακα. Prov. xxii. 8. Conf. Esa. xxviii. 24. ὁ δε σπειρων δικαιοσυνην ληψεται μισθον πιστον. xi. 21. Conf. Job. iv. 8. Sir. vii. 3. ἑνεκεν ακαθαρσιας. διεφθαρητε φθορᾳ. Mich. ii. 10. σωμα σαρκος. Sir. xxiii. 16. xvii. 31. οὗτοι εις ζωην αιωνιον, και οὗτοι εις ονειδισμον. Dan. xii. 2. Conf. Job. xv. 31. Jer. xliv. 9. Obd. iii. 2. Mac. vii. 18.

9 Το δε καλον ποιουντες μη εκκακωμεν· καιρῳ γαρ ιδιῳ θερισομεν, μη εκλυομενοι.

ισθι μη εκλυομενος. Prov. vi. 3. μη εκλυεσθω ἡ καρδια ὑμων. Deut. xx. 3. ἑως τινος εκλυθησεσθε κληρονομησαι; Jos. xviii. 3. και ὑμεις ισχυσατε, και μη εκλυεσθωσαν αἱ χειρες ὑμων, ὁτι εστι μισθος τῃ εργασιᾳ ὑμων. 2 Par. xv. 7. Sir. vi. 19. ελευσῃ δε εν ταφῳ ὡσπερ σιτος ὡριμος κ. τ. λ. Job. v. 26.

10 Αρα ουν ὡς καιρον εχομεν, εργαζωμεθα το αγαθον προς παντας, μαλιστα δε προς τους οικειους της πιστεως.

ὡς ετι καιρος εκζητησατε τον Κυριον. Ose. x. 13. 2 Par. xx. 37. κριμα εργαζεσθε, και δικαιοσυνην. Sophon. ii. 3. τα της αρετης οικεια. 2 Mac. xv. 12. Eccles. ix. 10. xi. 1. μακαριος ὁς εχει εν Σιων σπερμα, και οικειους εν Ἱερουσαλημ. Esa. xxxi. 9. ἑνεκα

των αδελφων μου, και των πλησιον μου κ. τ. λ. *Ps. cxxi.* 8. ει αρα εστι καρπος τῳ δικαιῳ, αρα εστιν ὁ Θεος κρινων αυτους εν τῃ γῃ. *lvii.* 11.

11 Ιδετε, πηλικοις ὑμιν γραμμασιν εγραψα τῃ εμῃ χειρι.

πηλικον το πλατος αυτης. *Zach. ii.* 2. γεγραφα δε προς αυτον τα ὑπογεγραμμενα. 2 *Mac. ix.* 25.

12 Ὁσοι θελουσιν ευπροσωπησαι εν σαρκι, οὑτοι αναγκαζουσιν ὑμας περιτεμνεσθαι, μονον ἱνα μη τῳ σταυρῳ του Χριστου διωκωνται.

των θελοντων φοβεισθαι το ονομα σου. *Neh. i.* 11. ευπροσωπιζομαι. *Ps. cxl.* 6. *Sym.* αδυνομαι. *LXX.* αναγκαζοντα. *Prov. vi.* 7. ευπροσωπος. *Gen. xii.* 12. 2 *Mac. vii.* 1. *Conf.* εις ματαιον ὡραϊσμος σου. κ. τ. λ. *Jer. iv.* 30.

13 Ουδε γαρ οἱ περιτεμνομενοι αυτοι νομον φυλασσουσιν· αλλα θελουσιν ὑμας περιτεμνεσθαι, ἱνα εν τῃ ὑμετερᾳ σαρκι καυχησωνται.

νομον φυλασσειν. *Ps. cxviii.* 44. *Jer. viii.* 8, 9.

14 Εμοι δε μη γενοιτο καυχασθαι ει μη εν τῳ σταυρῳ του Κυριου ἡμων Ιησου Χριστου· δι οὑ εμοι κοσμος εσταυρωται, καγω τῳ κοσμῳ.

[ὁ εμος ερως εσταυρωται, κ. τ. λ. *Ignat. ad Rom. p.* 60. *Edit. Voss.*] *Conf. Ezech. xxviii.* 2. ιασαι με Κυριε, και ιαθησομαι· σωσον με, και σωθησομαι, ὁτι καυχημα μου συ ει. *Jer. xvii.* 14. μη γενοιτο. *Gen. xliv.* 7. 17. μη καυχασθω ὁ σοφος εν τῃ σοφιᾳ αυτου, κ. τ. λ. *Jer. ix.* 23, 24. Κυριος Σαβαωθ εβουλευσατο παραλυσαι πασαν την ὑβριν των ενδοξων, κ. τ. λ. *Esa. xxiii.* 9.

15 Εν γαρ Χριστῳ Ιησου ουτε περιτομη τι ισχυει, ουτε ακροβυστια, αλλα καινη κτισις.

και δωσω αυτοις καρδιαν ἑτεραν, και πνευμα καινον. *Ezech. xi.* 19. *xviii.* 31. τα απ' αρχης ιδου ἡκασι, και καινα ἁ εγω αναγγελλω, και προ του αναγγειλαι εδηλωθη ἡμιν. *Esa. xlii.* 9. και καινιει σε εν τῃ αγαπησει αυτου. *Sophon. iii.* 17. εξαποστελεις το Πνευμα σου, και κτισθησονται. *Ps. ciii.* 31. καρδιαν καθαραν κτισον εν εμοι ὁ Θεος, και πνευμα ευθες εγκαινισον κ. τ. λ. *l.* 10. και περιτεμεισθε την σκληροκαρδιαν ὑμων. *Deut. x.* 16. 17. *xxx.* 6. *Jer. iv.* 4. *ix.* 25.

16 Και ὁσοι τῳ κανονι τουτῳ στοιχησουσιν, ειρηνη επ' αυτους και ελεος, και επι τον Ισραηλ του Θεου.

ελεος. *Exod. xx.* 6. *Ps. cxliii.* 2. ειρηνη επι τον Ισραηλ. *Ps. cxxiv.*

5. *cxxvii.* 6. λυτρωσαι ὁ Θεος τον Ισραηλ εκ πασων των θλιψεων αυτου. *xxiv.* 22. Ισραηλ σωσεται ὑπο Κυριου σωτηριαν αιωνιον. *Esa. xlv.* 17. μακαριος συ Ισραηλ. τις ὁμοιος σοι λαος σωζομενος ὑπο Κυριου; *Deut. xxxiii.* 29. δωη ἡμιν ευφροσυνην καρδιας, και γενεσθαι ειρηνην κ. τ. λ. *Sir. l.* 23. *Conf. Zach. xiv.* 17. *Rom. ii.* 29. *Cap. iii.* 29. *Phil. iii.* 3. *Esa. xlv.* 25. προς ὁλον τον της φιλοσοφιας κανονα ευσεβως φιλοσοφων. 4 *Mac. vii.* αγαθυνον Κυριε τοις αγαθοις και τοις ευθεσι τῃ καρδιᾳ. *Ps. cxxiv.* 4. ὁ λαος μου ὑμεις, κληθησονται και αυτοι υἱοι Θεου ζωντος. *Ose. i.* 10. [ὁρον εθηκεν αυτος και κανονα τον νομον, κ. τ. λ. *Jos. c. Ap. ii.* 17.]

17 Του λοιπου, κοπους μοι μηδεις παρεχετω· εγω γαρ τα στιγματα του Κυριου Ιησου εν τῳ σωματι μου βασταζω.

εις το λοιπον. 2 *Mac. xi.* 19. και παρεσχον πονον τοις βοηθησασιν αυτοις. *Sir. xxix.* 4. *Conf.* 2 *Cor. iv.* 10. *Cant. i.* 11. αγωνα παρεχειν. *Esa. vii.* 13. ὁτι προσεθηκε Κυριος κοπον επιπονον μοι. *Jer. xlv.* 3. ἑως τινος εγκοπον ποιησετε ψυχην μου; *Job. xix.* 2. *Conf. Col. i.* 24. τι αἱ πληγαι αὑται αναμεσον των χειρων σου; και ερει—Ἁς επληγην εν τῳ οικῳ τῳ αγαπητῳ μου. *Zach. xiii.* 6. μνησθητι Κυριε του ονειδισμου των δουλων σου, οὑ ὑπεσχον (εβαστασα. *Sym.*) εν τῳ κολπῳ μου. *Ps. lxxxviii.* 50.

18 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μετα του πνευματος ὑμων, αδελφοι. αμην.

επιφαναι Κυριος το προσωπον αυτου επι σε, και ελεησαι σε. κ. τ. λ. *Num. vi.* 25-27. και ερει πας ὁ λαος, Αμην. 1 *Par. xxvi.* 36. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *viii.* 6. *Conf.* 1 *Tim. iv.* 22. *Philem.* 25. *Rom. xvi.* 24.

[Προς Γαλατας εγραφη απο Ῥωμης.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ αποστολος Ιησου Χριστου δια θεληματος Θεου, τοις ἁγιοις τοις ουσιν εν Εφεσῳ και πιστοις εν Χριστῳ Ιησου·

Conf. Gal. i. 1. 1 *Cor. i.* 2 *Cor. i.* 1. *Rom. i. Col. i.* 1. 1 *Tim. i.* 1. και παραληψονται την βασιλειαν ἁγιοι ὑψιστου. *Dan. vii.* 18-27. οἱ πιστοι. *Sap. iii.* 9. τοις ἁγιοις τοις εν Ἱερουσαλημ. *x.* 39. εκκλησια πιστων. *iii.* 13.

2 Χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου Ιησου Χριστου.

Conf. Gal. i. 3. *Tit. i.* 4. ειρηνη ὑμιν πληθυνθειη. *Dan. iii.* 31.

3 Ευλογητος ὁ Θεος και πατηρ του Κυριου ἡμων Ιησου Χριστου, ὁ ευλογησας ἡμας εν πασῃ ευλογιᾳ πνευματικῃ εν τοις επουρανιοις Χριστῳ,

ὁ Θεος και πατηρ. *Conf.* 2 *Cor. i.* 3. *Col. iii.* 17. 1 *Pet. i.* 3. ευλογητος Κυριος ὁ Θεος του Σημ. *Gen. ix.* 26. *Exod. xviii.* 10. *Ps. xl.* 13. *cv.* 48. ὁ δε Κυριος ευλογησε τα εσχατα Ιωβ. *Job. xlii.* 12. αυτος γαρ ὁ την κοτοικιαν επουρανιον εχων. 2 *Mac. iii.* 39. [του Θεου τας καταρας εις ευλογιαν τρεποντος. *Philo. p.* 168.] [ευλογησει εν αγαθοις. *Test. XII Patr. p.* 722.] εστω το ονομα αυτου ευλογημενον εις τους αιωνας, προ του ἡλιου διαμενει το ονομα αυτου, κ. τ. λ. *Ps. lxxi.* 17. *lxvii.* 14-18. 1 *Esd. iv.* 40.

4 Καθως εξελεξατο ἡμας εν αυτῳ προ καταβολης κοσμου, ειναι ἡμας ἁγιους και αμωμους κατενωπιον αυτου εν αγαπῃ,

και εξελεξατο Κυριος ὑμας. *Deut. vii.* 6, 7. *Ps. cxxxv.* 4. *Esa. xli.* 8, 9. *xlii.* 1. *lxv.* 8-10. ὁτι πιστος εστιν ὁ ἁγιος Ισραηλ, και εξελεξαμην σε. *Esa. xlix.* 7. *Conf.* 1 *Par. xv.* 2. 2 *Par. vi.* 6. μνησθητι της συναγωγης σου ἡς εκτησω απ᾽ αρχης. *Ps. lxxiii.* 2. γερας ψυχων αμωμων. *Sap. ii.* 22. καταβολη. 2 *Mac. ii.* 29. και εσομαι αμωμος αυτῳ. 2 *Reg. xxii.* 24. *Prov. xx.* 7. εκ γαστρος προ Ἑωσ-

φορου εγεννησα σε. Ps. cix. 3. *εν αγαπησει κεκοσμημενοι, κ. τ. λ. Sir. xlviii.* 11. Κυριος ὁ Θεος εβουλευσατο ἱνα δικαιωθῃ, και μεγαλυνῃ αινεσιν. *Esa. xlii.* 21. *xliv.* 24. *lxv.* 8, 9. *εἱλου γαρ μου την ψυχην, ἱνα μη αποληται. xxxviii.* 17. *ειναι σε λαον ἁγιον* Κυριῳ *τῳ* Θεῳ *σου. Deut. xxvi.* 19. [*Balaami verba apud Philon. τις επ᾽ ακριβειας εὑρε την πρωτην καταβολην της τουτων γενεσεως*; 1 *Vit. Mos. p.* 645.] *Conf. Ps. cxxxviii.* 15, 16.

5 Προορισας ἡμας εις υἱοθεσιαν δια Ιησου Χριστου εις αὑτον, κατα την ευδοκιαν του θεληματος αὑτου,

υἱοι εστε Κυριου *του* Θεου *ὑμων. Deut. xiv.* 1. *Ose. i.* 10. *ευδοκια. Judith. ix.* 6. *Conf. Luc. xii.* 32. *κατα το θελημα αυτου. Dan. iv.* 32. [*εις τον ὡρισμενον καιρον. Jos. Ant. vi.* 5. 3.] *ευδοκησον* Κυριε *του ῥυσασθαι με. Ps. xxxix.* 13. [*ευδοκησαν—ηθελησαν. υἱοθεσια, ὁταν τις θετον υἱον λαμβανει. Hesych.*] *Conf. Jer. ix.* 24. *Ps. cxxxiv.* 6. *Deut. vii.* 6.

6 Εις επαινον δοξης της χαριτος αὑτου, εν ᾑ εχαριτωσεν ἡμας εν τῳ ηγαπημενῳ·

ὁς εταξας τον επαινον σου. Ps. viii. 2. *Sym. κλαδοι δοξης και χαριτος. Sir. xxiv.* 16. *αμπελων εγενηθη τῳ ηγαπημενῳ. Esa. v.* 1. *μετα κεχαριτωμενου χαριτωθησῃ. Ps. xvii.* 26. *alii. Conf. Matt. iii.* 17. *Joan. iii.* 35. *Rom. v.* 15. *λαον μου ὁν περιεποιησαμην τας αρετας μου διηγεισθαι. Esa. xliii.* 21. *Conf. Job. xxxiii.* 24. *Dan. ix.* 24. *Zach. xiii.* 7. [*εν φυλακῃ ημην, και ὁ σωτηρ εχαριτωσε με· εν δεσμοις, και ελυσε με. Test. XII Patr. p.* 698.] = *εις τραυμα κεφαλης. Judith. xiii.* 18.

7 Εν ᾡ εχομεν την απολυτρωσιν δια του αἱματος αυτου, την αφεσιν των παραπτωματων, κατα τον πλουτον της χαριτος αυτου,

μακαριοι ὡν αφεθησαν αἱ ανομιαι και ὡν επεκαλυφθησαν αἱ ἁμαρτιαι, κ. τ. λ. Ps. xxxi. 1, 2. *εν αἱματι διαθηκης σου, κ. τ. λ. Zach. ix.* 12. *δωσει λυτρια της ψυχης αυτου ὁσα εαν επιβαλωσιν αυτῳ. Exod. xxi.* 30. *απολυτρωσει αυτην. Exod. xxi.* 8. [*ὁ σπουδαιος του φαυλου λυτρον. Philo, apud Grot. ad loc.*] *περικαθαρμα δε δικαιου ανομος. Prov. xxi.* 18. *ὁ χρονος της απολυτρωσεως ηλθε. Dan. ix.* 32. *LXX. αφεσις.* 1 *Esd. iv.* 62. 1 *Mac. x.* 34. *κατα την μεγαλωσυνην του βραχιονος σου. Ps. lxxviii.* 11. *πλουτος θαλασσης. Deut. xxxiii.* 19. *Sap. vii.* 13. *παραπτωμα. Conf. Rom. v.* 15. *Cap. ii.* 7.

8 Ἡς επερισσευσεν εις ἡμας, εν πασῃ σοφιᾳ και φρονησει,

και εδωκε Κυριος σοφιαν και φρονησιν τῳ Σαλωμων. 3 *Reg. iv.* 29. *Ald.* περισσευων εν φρονησει. *Sir. xix.* 24. *Conf.* 2 *Cor. ix.* 8. 12. 1 *Cor. i.* 5. *xii.* 8. *Prov. viii.* 12. *Dan. ii.* 20, 21. ὡς εμεγαλυνθη τα εργα σου Κυριε, παντα εν σοφιᾳ εποιησας, κ. τ. λ. *Ps. ciii.* 24. Ιδου συνησει ὁ παις μου, και ὑψωθησεται, και δοξασθησεται σφοδρα. *Esa. lii.* 13.

9 Γνωρισας ἡμιν το μυστηριον του θεληματος αὑτου, κατα την ευδοκιαν αὑτου, ἡν προεθετο εν αὑτῳ

εθετο μετ᾽ αυτων το μυστηριον της βουλης αυτου. *Judith. ii.* 2. ὁ γαρ αυτος ηθελησε, και εποιησε. *Job. xxiii.* 13. και ὁ αποκαλυπτων μυστηρια εγνωρισε σοι. *Dan. ii.* 29. *Conf. Gen. xlix.* 10. *Prov. xxv.* 2. *Cap. iii.* 9. *Col. i.* 26. [προεθετο. *Jos. c. Ap. ii.* 40.]

10 Εις οικονομιαν του πληρωματος των καιρων, ανακεφαλαιωσασθαι τα παντα εν τῳ Χριστῳ, τα τε εν τοις ουρανοις και τα επι της γης· εν αυτῳ,

εις οικονομιαν, (εν οικονομιᾳ) = εις το γηρας. *Gen. xxi.* 2. καιροι. *Exod. xiii.* 10. πληρωσις των ἡμερων. *Ezech. v.* 2. *Dan. x.* 3. κεφαλαιωσον λογον. *Sir. xxxii.* 8. τα επι γης—τα εν ουρανοις. *Sap. ix.* 16. *Conf. Esa. ii.* 2-4. *Mich. iv.* 1, 2. *Dan. ii.* 44. *ix.* 24-27. *Amos. ix.* 11. *Mal. iii.* 1.

11 Εν ᾡ και εκληρωθημεν, προορισθεντες κατα προθεσιν του τα παντα ενεργουντος κατα την βουλην του θεληματος αὑτου,

και κληρουται Ιωναθαν και Σαουλ. 1 *Reg. xiv.* 41. [ἱνα κληρωθω αξιος γενεσθαι, κ. τ. λ. *Act. Thom.* § 24.] ειναι αυτῳ λαον εγκληρον. *Deut. iv.* 20. αναγγελλων προτερον τα εσχατα πριν γενεσθαι —και ειπα, Πασα ἡ βουλη μου στησεται, και παντα ὁσα βεβουλευμαι ποιησω. *Esa. xlvi.* 10. και ποιησει κατα το θελημα αυτου. *Dan. xi.* 3. την του βασιλεως προθεσιν επιτελεσων. 2 *Mac. iii.* 8. 3 *Mac. i.* 10. *Conf. Esa. xliii.* 7. *Rom. viii.* 17. *Col. i.* 12. γινωσκει Κυριος τας ὁδους των αμωμων, και ἡ κληρονομια αυτων εις τον αιωνα εσται. *Ps. xxxvi.* 18. *Esa. xi.* 10. παντα ὁσα ηθελησεν ὁ Κυριος, εποιησεν εν τῳ ουρανῳ, και εν τῃ γῃ, κ. τ. λ. *Ps. cxxxiv.* 6.

12 Εις το ειναι ἡμας εις επαινον της δοξης αυτου τους προηλπικοτας εν τῳ Χριστῳ·

και Κυριος εἱλετο σε σημερον γενεσθαι σε αυτῳ λαον περιουσιον. *Deut. xxvi.* 18. εκτισε γαρ εις το ειναι τα παντα. *Sap. i.* 14. μακαριοι παντες οἱ πεποιθοτες επ᾽ αυτῳ. *Ps. ii.* 12. εν τῳ ονοματι τῳ ἁγιῳ αυτου ηλπισαμεν. *xxxii.* 21.

13 Εν ῳ και ὑμεις, ακουσαντες τον λογον της αληθειας, το
ευαγγελιον της σωτηριας ὑμων· εν ῳ και πιστευσαντες εσφρα-
γισθητε τῳ Πνευματι της επαγγελιας τῳ ἁγιῳ,

και θησομαι σε ὡς σφραγιδα, διοτι σε ἡρετισα. *Agg. ii.* 24. και σφραγισον το αργυριον το εισενεχθεν εν οικῳ Κυριου. 4 *Reg. xxii.* 4. μη πιστευσῃς εν αυτοις. *Jer. xii.* 6. *Ps. lxxvii.* 32. και μη περιελῃς εκ του στοματος μου λογον αληθειας ἑως σφοδρα, ὁτι επι τοις κριμασι σου επηλπισα. *Ps. cxviii.* 43. *Conf. Joel. ii.* 28.

14 Ὁς εστιν αρῤαβων της κληρονομιας ἡμων, εις απολυτρωσιν
της περιποιησεως, εις επαινον της δοξης αυτου.

ελυτρωσω ῥαβδον κληρονομιας σου. *Ps. lxxiii.* 2. *lxxviii.* 55. και τον επαινον εξαγγελλει εκκλησια. *Sir. xliv.* 15. τινα τον αῤῥαβωνα σοι δωσω; *Gen. xxxviii.* 18. και εξελειται και περιποιησεται και σωσει. *Esa. xxxi.* 5. και εσονται μοι, λεγει Κυριος—εις περιποιησιν. *Mal. iii.* 17. *Conf. Esa. xliii.* 21. *Exod. xix.* 5. *Deut. vii.* 6. ὁπως αν ψαλῃ σοι ἡ δοξα μου. *Ps. xxix.* 12.

15 Δια τουτο καγω ακουσας την καθ᾽ ὑμας πιστιν εν τῳ
Κυριῳ Ιησου, και την αγαπην την εις παντας τους ἁγιους,

ευφρανθητωσαν επι σοι παντες οἱ ελπιζοντες επι σε, κ. τ. λ. *Ps. xxxix.* 16. *Esa. lxvi.* 10. *Ald. Comp.* συντηρειν την ουσαν ευνοιαν εις εμε. κ.τ.λ. 2 *Mac. ix.* 26. [τοις καθ᾽ ἡμας χρονοις. *Jos. c. Ap. i.* 7.]

16 Ου παυομαι ευχαριστων ὑπερ ὑμων, μνειαν ὑμων ποιουμε-
νος επι των προσευχων μου·

ου παυσομαι ευλογων σε. *Esa. xxxviii.* 20. μνειαν εποιησατο των θαυμασιων αυτου. *Ps. cx.* 4. *Conf. Esa. lxii.* 6. 1 *Reg. xii.* 23. και εμοι μηδαμως—ανιεναι του προσευχεσθαι περι ὑμων. 1 *Reg. xii.* 23.

17 Ἱνα ὁ Θεος του Κυριου ἡμων Ιησου Χριστου, ὁ πατηρ της
δοξης, δῳη ὑμιν πνευμα σοφιας και αποκαλυψεως, εν επιγνω-
σει αυτου·

και δῳη ὑμιν καρδιαν πασιν εις το σεβεσθαι αυτον, κ. τ. λ. 2 *Mac. i.* 3. *Sir. xlv.* 26. *Sap. vii.* 15. *x.* 10. ὁ Θεος της δοξης. *Act. vii.* 2. πνευμα σοφιας και αισθησεως. *Exod. xxviii.* 3. *Zach. xii.* 10. *Esa. xi.* 2. *Sap. vii.* 7. *Sir. xxxix.* 7. *Joel. ii.* 28. 1 *Cor. xii.* 8. *Jer. ix.* 24. ὁ Θεος του Κυριου. *Conf. Joan. xx.* 17. *Ps. cix.* 1.

18 Πεφωτισμενους τους οφθαλμους της διανοιας ὑμων, εις το
ειδεναι ὑμας τις εστιν ἡ ελπις της κλησεως αυτου, και τις ὁ
πλουτος της δοξης της κληρονομιας αυτου εν τοις ἁγιοις,

ἡ εντολη Κυριου τηλαυγης φωτιζουσα οφθαλμους. *Ps. xviii.* 8. ἡ

ελπις της σωτηριας. Job. ii. 9. και δωσει Κυριος *ισχυν ἡμιν, και φωτισει τους οφθαλμους ἡμων. Bar. i. 12. Ps. xxxiii. 5. Esd. ix. 8. ἡ δηλωσις των λογων σου φωτιει. Ps. cxviii. 130. Conf. Esa. vi. 10. Bar. ii. 31. ἡ δοξη της ισχυος αυτου. Esa. ii. 10. κατα το πληθος της δικαιοσυνης. Esa. lxiii. 7.* [*φωτιζειν την διανοιαν. Jos. Ant. viii. 5. 3.*] *Conf. Act. xxvi. 18. Cap. ii. 7. αποκαλυψον τους οφθαλμους μου, και κατανοησω τα θαυμασια εκ του νομου σου. Ps. cxviii. 18. ἡμερα κλησεως*—*Αναστητε, και αναβητε εις* Σιων *κ.τ.λ. Jer. xxxviii. 6.*

19 Και *τι το ὑπερβαλλον μεγεθος της δυναμεως αυτου εις ἡμας τους πιστευοντας κατα την ενεργειαν του κρατους της ισχυος αυτου,*

μεγεθει βραχιονος σου. Exod. xv. 16. 2 Mac. xv. 24. μεγαλως ὑπερβαλλοντως. Job. xv. 11. κατα το πληθος της δικαιοσυνης αυτου. Esa. lxiii. 7. 1 Esd. i. 5. κρατος της ισχυος. Dan. iv. 27. Theod. Esa. xl. 26. Sir. xviii. 5. της του Θεου *ενεργειας. Sap. vii. 26. Conf. Prov. xviii. 10. Col. ii. 12. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. Job. xii. 10. ῥαβδον δυναμεως εξαποστελει σοι* Κυριος *κ. τ. λ. Ps. cix. 2. Esa. liii. 1. και ὑπο ισχυν βραχιονων αεναων. Deut. xxxiii. 27.*

20 Ἡν *ενηργησεν εν τῳ* Χριστῳ, *εγειρας αυτον εκ νεκρων, και εκαθισεν εν δεξιᾳ αὑτου εν τοις επουρανιοις,*

ὁ εγειρας νεκρον εκ θανατου. Sir. xlviii. 5. εκαθισεν επι θρονου αυτου. 1 Par. xxix. 23. εν τῃ δεξιᾳ. Ps. xv. 11. xliv. 11. καθου μετ᾽ εμου. 1 Reg. xxii. 23. 1 Cor. xv. 25. Heb. i. 3. Phil. ii. 9. καθου εκ δεξιων μου, κ. τ. λ. Ps. cix. 1. Zach. vi. 13. ὁ ουρανος των ουρανων. 3 Reg. viii. 27. Comp. [*τα επουρανια. Conf. Test. XII Patr. p. 546. ακουσον ουν περι των ἑπτα ουρανων, κ. τ. λ. εν δε τῳ μετ᾽ αυτον εισι θρονοι, εξουσιαι, κ. τ. λ. p. 548.*]

21 Ὑπερανω *πασης αρχης και εξουσιας και δυναμεως και κυριοτητος και παντος ονοματος ονομαζομενου, ου μονον εν τῳ αιωνι τουτῳ, αλλα και εν τῳ μελλοντι·*

ου πρεσβυς, ουδε αγγελος, αλλ᾽ αυτος κ. τ. λ. Esa. lxiii. 9, 10. εκλελογισμενος απο μυριαδων. Cant. v. 10. Ald. Comp. και ἡ δοξα Θεου Ισραηλ *επ᾽ αυτα ὑπερανω αυτων. Ezech. xi. 22. του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 Mac. viii. 15. και ειναι σε ὑπερανω παντων των εθνων. Deut. xxvi. 19. το ἁρμα του* Θεου *μυριοπλασιον, χιλιαδες ευθηνουντων,* Κυριος *εν αυτοις κ. τ. λ. Ps. lxvii. 17. ὁ καθημενος επι των χερουβιμ. lxxix. 1. τις εν νεφελαις ισωθησεται τῳ* Κυριῳ; *κ. τ. λ. lxxxviii. 6-8. ὁ γαρ* Κυριος *ὁ* Θεος

ζηλωτον ονομα, Θεος ζηλωτης εστι. Exod. xxxiv. 14. Conf. Jos. xxiii. 7. Heb. i. 4. Phil. ii. 9. Est. ix. 5. Col. ii. 10. Esa. xxvi. 13. ωνομασθη ἑως εσχατου της γης. 1 Mac. iii. 9. αιων. Sap. xiv. 6.

22 Και παντα ὑπεταξεν ὑπο τους ποδας αυτου· και αυτον εδωκε κεφαλην ὑπερ παντα τῃ εκκλησιᾳ,

παντα ὑπεταξας ὑποκατω των ποδων αυτου. Ps. viii. 6. κεφαλη γωνιας. cxvii. 22. εις κεφαλην και εις αρχηγον. Jud. xi. 11. εγω δε δεδωκα σε θεον Φαραω. Exod. vii. 1. 2 Par. ii. 11. ix. 8. Conf. Joan. i. 14. μεγαλης βουλης αγγελος. Esa. ix. 6.

23 Ἡτις εστι το σωμα αυτου, το πληρωμα του παντα εν πασι πληρουμενου.

πνευμα Κυριου πεπληρωκε την οικουμενην. Sap. i. 7. [παντα γαρ πεπληρωκεν ὁ Θεος, και δια παντων διεληλυθει, και κενον ουδεν ουδε ερημον απολελοιπεν ἑαυτου. Philo, 2 Alleg. p. 61. πεπληρωκως παντα δια παντων, κ. τ. λ. Sacrific. Cain. et Abel. p. 141. ὑπο του Θεου πεπληρωται τα παντα. de Confus. Ling. p. 339.] ουχι τον ουρανον και την γην εγω πληρω; Jer. xxiii. 24. Ps. cxxxviii. 7. του Κυριου ἡ γη και το πληρωμα αυτης. xxiii. 1. το γαρ αφθαρτον σου Πνευμα εστιν εν πασι. Sap. xii. 1. ιδου πληρης δοξης ὁ Κυριου οικος. Ezech. xliii. 5. xliv. 4. Esa. vi. 1. 2 Par. vii. 1. Matt. xxviii. 18. 1 Cor. xv. 25-28. Heb. ii. 8.

ΚΕΦ. β. 2.

ΚΑΙ ὑμας οντας νεκρους τοις παραπτωμασι και ταις ἁμαρτιαις,

και ιδον σε πεφυρμενην εν τῳ αἱματι σου. Ezech. xvi. 6. παραπτωματα. xiv. 13. xv. 8. Conf. 1 Tim. v. 6. Matt. viii. 22. Col. ii. 13. Joan. v. 24. [εν τῃ βαρβαρῳ φιλοσοφιᾳ νεκρους καλουσι τους εκπεσοντας των δογματων, και καθυποταξαντας τον νουν τοις παθεσι τοις ψυχικοις. Clem. Strom. 4.] [και ὁ βιος ἡμων ὁλος αλλο ουδεν ην ει μη θανατος, κ. τ. λ. Clem. Rom. Epist. ii. 1.] Κυριε απο των νεκρων ενδεδυκοτων, ἡ μερις εν ζωῃ, κ. τ. λ. Ps. xvi. 14. Sym. απο τεθνηκοτων. Aq. ει ζησεται τα οστεα ταυτα; Ezech. xxxvii. 3. Conf. Esa. xxvi. 14. Cap. v. 14.

2 Εν αἱς ποτε περιεπατησατε κατα τον αιωνα του κοσμου τουτου, κατα τον αρχοντα της εξουσιας του αερος, του πνευματος του νυν ενεργουντος εν τοις υἱοις της απειθειας·

εξουσια. Ps. cxiii. 2. τα τεκνα αδικιας. Ose. x. 9. τεκνα απωλειας.

Esa. lvii. 4. υἱοι παρανομων. *Jud. xix.* 22. *Conf. Esa. xxx.* 1. *Ose. ix.* 10. εν ὁδοις δικαιοσυνης περιπατω. *Prov. viii.* 20. 4 *Reg. xx.* 3. [πας πολεμος καταργειται αεριων και επιγειων πνευματων. *Ignat. ad Ephes.* § 13.] ὁ διαβολος—ειπε—περιελθων την γην, και εμπεριπατησας την ὑπ᾽ ουρανου παρειμι. *Job. i.* 7. 16. 19. [του αεριου Πνευματος του Βελιαρ. *Test. XII Patr. p.* 729.] *Joan. xii.* 31. *xvi.* 11. και εγενετο ὁ δρομος αυτων πονηρος, και ἡ ισχυς αυτων οὑτως. *Jer. xxiii.* 10. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον. *Sap. ii.* 24. εστι πνευματα ἁ εις εκδικησιν εκτισται. *Sir. xxxix.* 28.

3 Εν οἱς και ἡμεις παντες ανεστραφημεν ποτε εν ταις επιθυμιαις της σαρκος ἡμων, ποιουντες τα θεληματα της σαρκος και των διανοιων, και ημεν τεκνα φυσει οργης, ὡς και οἱ λοιποι·

αναστρεφομενος εν εργοις αυτων. *Sir. xxxviii.* 25. πορευεσθαι εν επιθυμιαις καρδιας. *xiii.* 30. εὑρισκετε τα θεληματα ὑμων. *Esa. lviii.* 3. προφητευειν τα θεληματα της καρδιας. *Jer. xxiii.* 26. *Conf. Sir. xvii.* 31. τεκνα απωλειας. *Esa. lvii.* 4. τεκνα αδικιας. *Ose. x.* 9. ματαιοι μεν γαρ παντες ανθρωποι φυσει. *Sap. xiii.* 1. μνηματα της επιθυμιας. *Conf. Num. xi.* 34. *Deut. xxxii.* 5. 20. *Esa. lvii.* 5. *Col. iii.* 7. *Tit. iii.* 3. *Job. xv.* 14. εμφυτος ἡ κακια. *Sap. xii.* 10. σωμα σαρκος. *Sir. xxiii.* 23. μη ποτε οἱ υἱοι μου εν τῃ διανοιᾳ αυτων κακα ενενοησαν προς Θεον. *Job. i.* 5. παντες ὡς προβατα επλανηθημεν, κ. τ. λ. *Esa. liii.* 6. *lxiv.* 6, 7. ἡμαρτομεν, ηδικησαμεν, ηνοησαμεν, κ. τ. λ. *Dan. ix.* 5. της γαρ καθαρος εσται απο ῥυπου; *Job. xiv.* 4. εν ανομιαις συνεληφθην, και εν ἁμαρτιαις εκισσησε με ἡ μητηρ μου. *Ps. l.* 5. [ακοινωνητον γαρ φυσει κακῳ το αγαθον. *Philo de Noe. p.* 283.] [φυσει παντας ειναι φιλαυτους. *Jos. Ant. iii.* 8. 1.]

4 Ὁ δε Θεος, πλουσιος ων εν ελεει, δια την πολλην αγαπην αὑτου ἡν ηγαπησεν ἡμας,

Κυριε του ελεους. *Sap. ix.* 1. Θεος πολυελεος. *Exod. xxxiv.* 6. αγαπησιν αιωνιον ηγαπησα σε. *Jer. xxxviii.* 3. και καινιει σε εν τῃ αγαπησει αυτου. *Sophon. iii.* 17. *Rom. ii.* 4. *x.* 12. 1 *Joan. iv.* 8. εἱλου γαρ μου την ψυχην, ἱνα μη αποληται. *Esa. xxxviii.* 17.

5 Και οντας ἡμας νεκρους τοις παραπτωμασι συνεζωοποιησε τῳ Χριστῳ· χαριτι εστε σεσωσμενοι·

το λογιον σου εζησε με. *Ps. cxviii.* 50. πεφυρμενη εν τῳ αἱματι σου εζησας. *Ezech. xvi.* 22.

6 Και συνηγειρε, και συνεκαθισεν εν τοις επουρανιοις, εν Χριστῳ Ιησου·

Conf. cap. i. 20. *Rom. v.* 6-10. *Col. ii.* 12. *Tit. iii.* 5. συνηγερθησαν σοι παντες οἱ γιγαντες. *Esa. xiv.* 9. εξεγειρου, αναστηθι, κ. τ. λ. *li.* 17. επουρανια. *Cap. i.* 20. *Conf.* 1 *Reg. xxii.* 23. *Matt. xxvi.* 29. *Apoc. iii.* 21.

7 Ἱνα ενδειξηται εν τοις αιωσι τοις επερχομενοις τον ὑπερβαλλοντα πλουτον της χαριτος αὑτου εν χρηστοτητι εφ' ἡμας εν Χριστῳ Ιησου·

εν τοις αιωσι τοις γενομενοις. *Eccles. i.* 10. *Conf. Esa. xli.* 4. 22. *xliv.* 7. *xlv.* 11. κατα το ελεος αυτου και κατα το πληθος της δικαιοσυνης αυτου. *Esa. lxiii.* 7. και γαρ ὁ Κυριος δωσει χρηστοτητα. *Ps. lxxiii.* 12. *ciii.* 28. δωρεα της οικιας. *Dan. v.* 17. *Conf. Ps. xl.* 13. *Esa. lx.* 15. ἱνα ενδειξωμαι εν σοι την ισχυν μου. *Exod. ix.* 16. [φιλοδωρος ων ὁ Θεος, χαριζεται τα αγαθα πασι—τον περιττον πλουτον επιδεικνυμενος αυτου—τι ἑτερον παριστησιν, η την ὑπερβολην του πλουτου και της αγαθοτητος αυτου; *Philo* 1 *Alleg. p.* 46.] *Conf. Sap. iii.* 17.

8 Τῃ γαρ χαριτι εστε σεσωσμενοι δια της πιστεως· και τουτο ουκ εξ ὑμων, Θεου το δωρον·

και σωσει αυτους, ὁτι ηλπισαν επ' αυτον. *Ps. xxxvi.* 40. δωρα Θεου. *Sir. i.* 18. *Comp. Conf. Matt. xvi.* 17. *Rom. iii.* 24. *Phil. i.* 29. *Tit. iii.* 5. *Sap. xiii.* 1. δικαιοσυνη δικαιου ου μη εξελειται αυτον, κ. τ. λ. *Ezech. xxxiii.* 12. ανευ του Θεου ουκ αποκοιθησεται το σωτηριον. *Gen. xli.* 16. δοθησεται γαρ αυτῳ της πιστεως χαρις. *Sap. iii.* 14. δωρον παρα του Θεου. 2 *Mac. xv.* 16.

9 Ουκ εξ εργων, ἱνα μη τις καυχησηται.

μη καυχασθω ὁ σοφος εν τῃ σοφιᾳ κ. τ. λ. *Jer. ix.* 23. τις καυχησεται ἁγνην εχειν την καρδιαν, η τις παῤῥησιασεται καθαρος ειναι απο ἁμαρτιων; *Prov. xx.* 9. η απο των εργων αυτου αμεμπτος ανηρ; *Job. iv.* 17.

10 Αυτου γαρ εσμεν ποιημα, κτισθεντες εν Χριστῳ Ιησου επι εργοις αγαθοις, οἱς προητοιμασεν ὁ Θεος, ἱνα εν αυτοις περιπατησωμεν.

μη ερει το ποιημα τῳ ποιησαντι; *Esa. xxix.* 16. *xliii.* 7. 21. *xliv.* 21. ουκ αυτος οὑτος σου πατηρ εκτησατο σε, και εποιησε σε και επλασε σε; *Deut. xxxii.* 6. τα τεκνα αυτων, τα εργα μου. *Esa. xxix.* 23. καρδιαν καθαραν κτισον εν εμοι. *Ps. li.* 11. σκηνης—ἡν προητοιμασας απ' αρχης. *Sap. ix.* 8. *Esa. xxviii.* 24. ου γαρ εκαλεσεν

ἡμας ὁ Θεος επι ακαθαρσιᾳ. 1 *Thess. iv.* 7. *Conf. Joel. ii.* 32. μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου. 4 *Reg. xx.* 3. Κυριε το ελεος σου εις τον αιωνα, τα εργα των χειρων σου μη παριδῃς. *Ps. cxxxvii.* 8. [ὁ Θεος τα εν κοσμῳ παντα προητοιμασατο εις ερωτα και ποθον αυτου. *Philo de Opif. p.* 17.] *Conf. Sir. xvii.* 19. *Comp. Rom. iv.* 12.

11 Διο μνημονευετε, ὁτι ὑμεις ποτε τα εθνη εν σαρκι, (οἱ λεγο-
μενοι ακροβυστια ὑπο της λεγομενης περιτομης εν σαρκι χει-
ροποιητου,)

και εν σαρκι αυτου εστησεν διαθηκην. *Sir. xliv.* 20. εσται ἡ διαθηκη μου επι της σαρκος ὑμων. *Gen. xvii.* 13. ὁτι ακροβυστοι ἠσαν. *Jos. v.* 7. *Ald. Comp.* των απεριτμητων. *Jud. xiv.* 3. *xv.* 18. *Esa. lii.* 1. *Conf. Jer. ix.* 24. ακροβυστια καρδιας. *Deut. x.* 16. *Aq.* απεριτμητος καρδιᾳ, και απεριτμητος σαρκι. *Ezech. xliv.* 9. *Conf. Esa. li.* 1, 2. *Deut. v.* 15. *xv.* 15.

12 Ὁτι ἠτε εν τῳ καιρῳ εκεινῳ χωρις Χριστου, απηλλοτριω-
μενοι της πολιτειας του Ισραηλ, και ξενοι των διαθηκων της
επαγγελιας, ελπιδα μη εχοντες, και αθεοι, εν τῳ κοσμῳ·

απαλλοτριωσει σε των ιδιων σου. *Sir. xi.* 35. *Ezech. xiv.* 5. απηλλοτριωμενος εγενηθην τοις αδελφοις μου, και ξενος τοις υἱοις της μητρος μου. *Ps. lxviii.* 8. των πατριων δογματων απηλλοτριωμενος. 3 *Mac. i.* 3. τας νομιμους καταλυων πολιτειας. 2 *Mac. iv.* 11. διεθεμην διαθηκην τοις εκλεκτοις μου. *Ps. lxxxviii.* 3. *Conf. Esa. lxi.* 5. *Ose. iii.* 4. και εν αυτῳ εχει την ελπιδα. *Deut. xxiv.* 15. εις ουρανον την ελπιδα εχων. 2 *Mac. ix.* 20. *Conf. Rom. ix.* 4. και τις γαρ εστιν ελπις ασεβει, κ. τ. λ. *Job. xxvii.* 8. [απηλλοτριωμενος. *Conf. Jos. Ant. xi.* 6. 4. *Ottium et Krebs. in loc. et ad Col. i.* 21. *p.* 335.] [και μηδεμιαν ελπιδα εχοντες σωτηριας, ει μη την παρ' αυτου. *Clem. Rom. Epist. ii.* 1.] *Conf. Sap. iii.* 18. *xiii.* 1.

13 Νυνι δε εν Χριστῳ Ιησου, ὑμεις οἱ ποτε οντες μακραν εγγυς
εγενηθητε, εν τῳ αἱματι του Χριστου.

νυνι δε. *Job. xxx.* 1. 9. και οἱ μακραν μνησθησονται μου. *Zach. x.* 9. *Est. ix.* 20. και συ εν αἱματι διαθηκης σου εξαπεστειλας. *ix.* 11. *Conf. Ose. i.* 10. αφθαρσια δε εγγυς ειναι ποιει Θεου. *Sap. vi.* 19. *Conf. Esa. xi.* 10. *lvii.* 19. *Act. ii.* 39. ὁ φοβουμενος Κυριον ευθυνει φιλιαν αυτου, ὁτι κατ' αυτον οὑτως και ὁ πλησιον αυτου. *Sir. vi.* 17. *Conf. Ps. xxi.* 27. *Jer. xvi.* 19.

14 Αυτος γαρ εστιν ἡ ειρηνη ἡμων, ὁ ποιησας τα αμφοτερα ἑν,
και το μεσοτοιχον του φραγμου λυσας,

εις ἑν. *Joan. xi.* 52. *xvii.* 23. και εσται αυτη ειρηνη. *Mich. v.* 5. αφελω τον φραγμον αυτου. *Esa. v.* 5. *Esd. ix.* 9. φραγμος εντευθεν,

και φραγμος εντευθεν. *Num. xxii.* 24. και συνηλασεν αυτους εις ειρηνην. *Act. vii.* 26. ελυσαν τα τειχη. 1 *Esd. i.* 55. *Conf. Esa. xiii.* 14. *Apoc. xi.* 1, 2. μεγαλη ἡ αρχη αυτου, και της ειρηνης αυτου ουκ εστιν ὁριον κ.τ.λ. *Esa. ix.* 7. *Zach. vi.* 13. και εσονται εις ῥαβδον μιαν τῃ χειρι Ιουδα. *Ezech. xxxvii.* 19. του δουλευειν αυτῳ ὑπο ζυγον ἑνα. *Sophon. iii.* 9. εν τῃ ἡμερᾳ εκεινῃ εσται Κυριος εἱς, και το ονομα αυτου ἑν. *Zach. xiv.* 9. ουχι πατηρ εἱς παντων ὑμων, κ. τ. λ. *Mal. ii.* 10. [μηδενι εξον αλλοφυλῳ εις τον περιβολον εισιεναι του ἱερου. *Jos. Ant. xii.* 3. *Bell. Jud. v.* 5. διελων δε τον ναον εις δυο, τον μεν ενδοθεν οικον, εικοσι πηχων, εποιησεν αδυτον ειναι· τον δε, τεσσαρακοντα πηχων, ἁγιον νεον απεδειξεν· εκτεμων δε τον μεσον τοιχον, κ.τ.λ. *Ant. viii.* 3. 3. *Conf. Ottium et Krebs.*]

15 Την εχθραν εν τῃ σαρκι αὑτου, τον νομον των εντολων εν δογμασι καταργησας· ἱνα τους δυο κτισῃ εν ἑαυτῳ εις ἑνα καινον ανθρωπον, ποιων ειρηνην·

ποιησας ἡμιν ειρηνην. 3 *Mac. ii.* 20. [εποιησαμεν ειρηνην μετ᾽ αυτων. *Test. XII Patr. p.* 597.] γεωργιαν ὑπο ὑψιστου εκτισμενην. *Sir. vii.* 15. καρδια καινη. *Ezech. xviii.* 31. και γαρ αυτον εκτισε Κυριος. *Sir. xxxviii.* 1. *xlix.* 14. και καινιει σε εν τῃ αγαπησει αυτου. *Sophon. iii.* 17. ειναι παντας λαον ἑνα. 1 *Mac. i.* 41. 2 *Cor. v.* 17. *Gal. vi.* 15. *Col. ii.* 14. ελεος και αληθεια συνηντησαν, δικαιοσυνη και ειρηνη κατεφιλησαν. κ. τ. λ. *Ps. lxxxiv.* 10-13. *Conf. Joan. i.* 17. [ἑν σωμα γινονται. *Jos. Bell. Jud. vi.* 6. 1. *Ottius.*]

16 Και αποκαταλλαξῃ τους αμφοτερους εν ἑνι σωματι τῳ Θεῳ δια του σταυρου, αποκτεινας την εχθραν εν αυτῳ·

και παλιν καταλλαγησεται τοις ἑαυτου δουλοις. 2 *Mac. vii.* 33. *i.* 5. εν τῃ του μεγαλου δεσποτου καταλλαγῃ. *v.* 20. *Conf. Rom. vi.* 6. *viii.* 3. [αποκαταλλαξαι· φιλον ποιησαι. *Hesych.*] αποκτεινας. *Conf. Ps. lxxvii.* 47. εχθρα. *Gen. iii.* 15.

17 Και ελθων ευηγγελισατο ειρηνην ὑμιν τοις μακραν και τοις εγγυς,

ειρηνην επ᾽ ειρηνῃ τοις μακραν και τοις εγγυς ουσι. *Esa. lvii.* 19. και ποιησω και ειρηνην και πιστιν. *Jer. xl.* 6. *Nah. i.* 15. ελθων ελαβε. *Gen. xxvii.* 35. ελθων ζητησω. *Prov. xxiii.* 35. *Conf. Ps. cxlvii.* 14. *Zach. ix.* 6. *Act. ii.* 39. 1 *Pet. iii.* 18. ακουσατε μου οἱ απολωλεκοτες την καρδιαν, οἱ μακραν απο της δικαιοσυνης, κ.τ.λ. *Esa. xlvi.* 12. *CITAT.* 229.

18 Ὁτι δι᾽ αυτου εχομεν την προσαγωγην οἱ αμφοτεροι εν ἑνι Πνευματι προς τον πατερα.

και εκχεω επι τον οικον Δαυιδ—πνευμα χαριτος και οικτιρμου, κ. τ. λ. *Zach. xii.* 10. ὁ ἱερευς ὁ προσαγων ὁλοκαυτωμα ανθρωπου. *Lev. vi.* 38. προσαγηοχασι τα περι τῆς ἁμαρτιας αυτων. *x.* 19. *Conf. Ose. i.* 11. *Ezech. xxxiv.* 23. *xxxvii.* 24. *Esa. xlviii.* 16.

19 Αρα ουν ουκετι εστε ξενοι και παροικοι, αλλα συμπολιται των ἁγιων και οικειοι του Θεου,

τα της αρετης οικεια. 2 *Mac. xv.* 12. μακαριος ὁς εχει εν Σιων σπερμα, και οικειους εν Ἱερουσαλημ. *Esa. xxxi.* 9. μνησθεις Ἀβρααμ και Ισαακ των σων οικετων. *Exod. xxxii.* 13. [συμπολιται. *Jos. Ant. xix.* 2. 2.] *Conf. Gal. vi.* 10. *Phil. iii.* 20. *Heb. xii.* 22, 23. τι ὁτι εὑρον χαριν εν οφθαλμοις σου του επιγνωναι με, και εγω ειμι ξενη; *Ruth. ii.* 10. *Esa. xxxii.* 4.

20 Εποικοδομηθεντες επι τῳ θεμελιῳ των αποστολων και προφητων, οντος ακρογωνιαιου αυτου Ιησου Χριστου,

δια τουτο οὑτω λεγει Κυριος, Κυριος, Ιδου εγω εμβαλλω εις τα θεμελια Σιων λιθον πολυτελη, εκλεκτον, ακρογωναιον—και ὁ πιστευων ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. οὑτος εγενηθη εις κεφαλην γωνιας. *Ps. cxvii.* 22. *Matt. xvi.* 18. 1 *Cor. iii.* 9, 10. 3 *Reg. v.* 16. *vii.* 9. *Gal. ii.* 9. 1 *Pet. ii.* 6.

21 Εν ᾡ πασα ἡ οικοδομη συναρμολογουμενη αυξει εις ναον ἁγιον εν Κυριῳ,

ναος Κυριου. *Jer. vii.* 4. ὡς ὁμοιωμα ναου. *Ps. cxliii.* 12. *Conf. Exod. xxvi.* 3 *Reg. vi. vii.* τῳ οικῳ σου πρεπει ἁγιασμα. *Ps. xcii.* 5. *Conf.* 1 *Esd. v.* 68. αναμεσον ἁρμων λιθων παγησεται πασσαλος, αναμεσον πρασεως και αγορασμου συντριβησεται ἁμαρτια. *Sir. xxvii.* 2. και ποιησεις μοι ἁγιασμα, και οφθησομαι εν ὑμιν. *Exod. xxv.* 8. και θησω την σκηνην μου εν ὑμιν—και εμπεριπατησω εν ὑμιν. και εσομαι ὑμων Θεος, και ὑμεις εσεσθε μοι λαος. *Lev. xxvi.* 11, 12. και εξοισω τον λιθον της κληρονομιας, ισοτητα χαριτος χαριτα αυτης. *Zach. iv.* 7.

22 Εν ᾡ και ὑμεις συνοικοδομεισθε, εις κατοικητηριον του Θεου εν Πνευματι.

συνοικοδομησειν. 1 *Pet. ii.* 5. και το κατοικητηριον αυτου εν Σιων. *Ps. lxxv.* 2. *Jer. xxi.* 13. γενηθητω δη διπλα εν πνευματι σου επ᾽ εμε. 4 *Reg. ii.* 9.

ΚΕΦ. γ. 3.

ΤΟΥΤΟΥ χαριν εγω Παυλος ὁ δεσμιος του Χριστου Ιησου ὑπερ ὑμων των εθνων·

τουτου χαριν. Prov. xvii. 17. *των ὑπερ Θεου νομον ἑως θανατου πονων ὑπεριδοντες.* 4 *Mac.* 1. 9. *Sir. xxix.* 15. *Conf. Act. xxi.* 33. *Cap. iv.* 1. *Col. i.* 24. *καθησεσθε εν οχυρωμασι δεσμιοι της συναγωγης, κ. τ. λ. Zach. ix.* 12. *Eccles. iv.* 14. *Jer. xl.* 1.

2 Ειγε ηκουσατε την οικονομιαν της χαριτος του Θεου της δοθεισης μοι εις ὑμας,

Conf. 1 *Cor. ix.* 17. *Rom. i.* 5. *Gal. i.* 16. *και την οἰκονομιαν σου δωσω εις τας χειρας. Esa. xxii.* 21. *εις ὑμας. Conf.* 2 *Mac. ix.* 26. *ειγε. Job. xvi.* 4. *Alex. Hoogev. p.* 235. *si quidem.*

3 Ὁτι κατα αποκαλυψιν εγνωρισε μοι το μυστηριον, καθως προεγραψα εν ολιγῳ·

και ὁ αποκαλυπτων μυστηρια εγνωρισε σοι. Dan. ii. 29. *Ps. xxiv.* 14. *xxxviii.* 4. *εν ολιγῳ, paulo ante. = προ ολιγου. Sap. xiv.* 20. *μετ' ολιγον, paulo post. xv.* 8. *προεγραφειν.* 1 *Esd. vi.* 32. *Conf. Act. xxii.* 17. *Rom. xvi.* 25. *Cap. i.* 9.

4 Προς ὁ δυνασθε αναγινωσκοντες νοησαι την συνεσιν μου εν τῳ μυστηριῳ του Χριστου·

προς ὁ. = προς σε το πραγμα. 1 *Esd. viii.* 95. *προς τουτον εστι.* 2 *Mac. iv.* 28. *αναγινωσκοντες. Deut. xvii.* 19. *και οἱ νοημονες συνησουσι. Dan. xii.* 10. *συνιεντας εν παση σοφιᾳ. i.* 4. *συνεσις. Deut. iv.* 6. *και ουκ αποκρυψω ὑμιν μυστηρια, αλλ' απ' αρχης γενεσεως εξιχνιασω, κ. τ. λ. Sap. vi.* 22.

5 Ὁ εν ἑτεραις γενεαις ουκ εγνωρισθη τοις υἱοις των ανθρωπων, ὡς νυν απεκαλυφθη τοις ἁγιοις αποστολοις αυτου και προφηταις εν Πνευματι·

οἱ υἱοι των ανθρωπων. Ps. xxxv. 7. *Marc. iii.* 28. *και το Πνευμα σου το αγαθον εδωκας συνετισαι αυτους. Neh. ix.* 20. *Conf. Act. x.* 28. *Joan. xvi.* 13. 1 *Cor. ii.* 12. *Cap. ii.* 20. *Esa. xxv.* 6. *xxxiii.* 12. *xlix.* 8. *li.* 4, 5. *lxii.* 10. *εν Πνευματι.* 4 *Reg. ii.* 9. *Joel. ii.* 28.

6 Ειναι τα εθνη συγκληρονομα και συσσωμα και συμμετοχα της επαγγελιας αυτου εν τῳ Χριστῳ, δια του ευαγγελιου,

συγκληρονομειν. Sir. xxii. 26. *συμμετεχειν.* 2 *Mac. v.* 20. *ευφρανθητε εθνη μετα του λαου αυτου. Deut. xxxii.* 43. *Esa. xxxv.* 1. *lxii.* 2. *Cap. ii.* 15, 16. *Rom. viii.* 15. *xv.* 10.

7 Οὑ εγενομην διακονος κατα την δωρεαν της χαριτος του Θεου, την δοθεισαν μοι κατα την ενεργειαν της δυναμεως αυτου·

της του Θεου ενεργειας. Sap. vii. 26. *δοματα και δωρεας. Dan.*

ii. 6. 2 *Mac. iv.* 30. δοθησεται γαρ αυτῳ της πιστεως χαρις εκλεκτη. *Sap. iii.* 14. [ἡ δυναμις ἡ απτοητος, (*epitheton Christi*). *Act. Thom. c.* 10.]

8 Εμοι τῳ ελαχιστοτερῳ παντων των ἁγιων εδοθη ἡ χαρις αὑτη, εν τοις εθνεσιν ευαγγελισασθαι τον ανεξιχνιαστον πλουτον του Χριστου,

και συνεσις εδοθη αυτῳ εν τῃ οπτασιᾳ. *Dan. x.* 1. και εγω ειμι μικροτερος εν οικῳ. *Jud. vi.* 15. *Conf.* 1 *Par. xvii.* 16. Δαυιδ δε ὁ μικρωτερος, και οἱ τρεις οἱ μειζονες. 1 *Reg. xvii.* 14. *Ald. Comp.* ὁ ελαχιστος—ὁ δυνατος. *Sap. vi.* 6. ουθεν ειμι. *Job. xxxix.* 34. ευηγγελισαμην δικαιοσυνην εκ εκκλησιᾳ μεγαλῃ. *Ps. xxxix.* 9. τον ποιουντα μεγαλα και ανεξιχνιαστα. *Job. v.* 9. ανεξιχνιαστον το ελεος. *Orat. Manass.* 6. αναριθμητος πλουτος. *Sap. vii.* 11. *Prov. xxv.* 2. παντα τα εθνη ὁσα εποιησας ἡξουσι, και προσκυνησουσι ενωπιον σου Κυριε, και δοξασουσι το ονομα σου. *Ps. lxxxv.* 9. πασης συντελειας ειδον περας, πλατεια ἡ εντολη σου σφοδρα. *cxviii.* 96.

9 Και φωτισαι παντας τις ἡ κοινωνια του μυστηριου του αποκεκρυμμενου απο των αιωνων εν τῳ Θεῳ τῳ τα παντα κτισαντι δια Ιησου Χριστου·

Conf. Esa. xlii. 16. ἡ δηλωσις των λογων σου φωτιει και συνετιει νηπιους. *Ps. cxviii.* 130. φωτιζου φωτιζου Ἱερουσαλημ. *Esa. lx.* 1. ὁς εκτισε τον ουρανον και την γην. *Gen. xiv.* 19. 22. *Heb. i.* 2, 3. *Col. i.* 16, 17. *Joan. i.* 1-3. *v.* 17. *Deut. iv.* 32. *Sap. x.* 1. ὡς πολυ το πληθος της χρηστοτητος σου Κυριε, ἡς εκρυψας τοις φοβουμενοις σε; κ. τ. λ. *Ps. xxx.* 19. γνωστα απ' αιωνος εστι τῳ Θεῳ παντα τα εργα αυτου. *Act. xv.* 18. *Conf. Ps. xxxii.* 6. Κυριος ὁ λυτρουμενος σε, και πλασσων σε κ. τ. λ. *Esa. xliv.* 24. 2 *Mac. i.* 24.

10 Ἱνα γνωρισθῃ νυν ταις αρχαις και ταις εξουσιαις εν τοις επουρανιοις δια της εκκλησιας ἡ πολυποικιλος σοφια του Θεου,

ευλογειτε τον Κυριον πασαι αἱ δυναμεις αυτου, κ. τ. λ. *Ps. cii.* 21. *cxlviii.* 2. [*Test. XII Patr. p.* 547. 588.] ὡς εμεγαλυνθη τα εργα σου Κυριε, παντα εν σοφιᾳ εποιησας, κ. τ. λ. *Ps. ciii.* 24. *Esa. vi.* 2. *Ezech. iii.* 12, 13. *Eccles. iii.* 11.

11 Κατα προθεσιν των αιωνων, ἡν εποιησεν εν Χριστῳ Ιησου τῳ Κυριῳ ἡμων,

εποιησε. *Conf. Gen. ii.* 2. *Esa. xli.* 4. την του βασιλεως προθεσιν επιτελεσων. 2 *Mac. iii.* 8. *Conf. Ephes. i.* 4. 9. 2 *Tim. i.* 9. ὁν τροπον βεβουλευμαι, ουτως μενει, κ. τ. λ. *Esa. xiv.* 24-27. *xlvi.* 10, 11. *Num. xxiii.* 19.

12 Εν ᾧ εχομεν την παρῥησιαν και την προσαγωγην εν πεποιθησει δια της πιστεως αυτου·

προσαγωγη. Rom. v. 2. Ephes. ii. 18. *και κατοικιω αυτους εν πεποιθησει. Ose. ii.* 18. *Theod. ειπον τῃ ψυχῃ μου, Σωτηριον σου εγω ειμι. Ps. xxxiv.* 3. *Conf. Joan. x.* 9. *ασεβης αισχυνεται, και ουχ ἑξει παρῥησιαν. Prov. xiii.* 5. *Job. xxvii.* 10.

13 Διο αιτουμαι μη εκκακειν εν ταις θλιψεσι μου ὑπερ ὑμων, ἡτις εστι δοξα ὑμων·

εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. Sir. xxix. 15. *παρεκαλει και ητειτο. Est. vii.* 7. *Ald. Comp. μηδε εκκακησῃς ὑπ' αυτου ελεγχομενος. Prov. iii.* 11. *Theod. xvii.* 17. *Sophon. iii.* 16.

14 Τουτου χαριν καμπτω τα γονατα μου προς τον πατερα τουΚ υριου ἡμων Ιησου Χριστου,

τουτου γαρ χαριν παρειμι. 1 *Mac. xii.* 45. *ὁτι εμοι καμψει παν γονυ, κ. τ. λ. Esa. xlv.* 24. *και καμψαντες τα γονατα προσεκυνησαν Κυριῳ.* 1 *Par. xxix.* 20. 3 *Mac. ii.* 1. *Dan. vi.* 10. 3 *Reg. viii.* 54. 2 *Par. vi.* 13.

15 Εξ οὑ πασα πατρια εν ουρανοις και επι γης ονομαζεται·

αἱ πατριαι των εθνων. Ps. xxi. 27. *xcv.* 7. *Exod. vi.* 25. *Conf. Phil. ii.* 9. *ωνομασθη ἑως εσχατου της γης.* 1 *Mac. iii.* 9. *τοις δε δουλευουσι μοι κληθησεται ονομα καινον, κ. τ. λ. Esa. lxv.* 15. *ἁγιοι κληθησονται παντες οἱ γραφεντες κ. τ. κ. iv.* 3. *ουχι πατηρ εἱς παντων ὑμων; κ. τ. λ. Mal. ii.* 10. *κληθησονται και αυτοι υἱοι Θεου ζωντος. Ose. i.* 10. *Conf.* 2 *Mac. viii.* 15.

16 Ἱνα δῳη ὑμιν, κατα τον πλουτον της δοξης αὑτου, δυναμει κραταιωθηναι δια του Πνευματος αὑτου εις τον εσω ανθρωπον,

και δῳη ὑμιν καρδιαν πασιν εις το σεβεσθαι αυτον. 2 *Mac. i.* 3. *και εκραταιωθησαν αἱ χειρες αυτων εις το αγαθον. Neh. ii.* 18. *το εσω του οικου.* 3 *Reg. vi.* 15. *Conf. Rom. vii.* 22. *Cap. vi.* 10. *Phil. iv.* 19. *και κατισχυσω αυτους εν Κυριῳ Θεῳ αυτων, κ. τ. λ. Zach. x.* 12. *διδους δωσω νομους μου εις την διανοιαν αυτων, κ. τ. λ. Jer. xxxviii.* 33. = *ὁ κρυπτος της καρδιας ανθρωπος.* 1 *Pet. iii.* 4. *ὁ εξω ἡμων ανθρωπος.* 2 *Cor. iv.* 16. *τους εσω.* 1 *Cor. v.* 12. *Ps. xix.* 1-4. *Deut. xxxiii.* 25-27. *Conf. Sap. ix.* 10.

17 Κατοικησαι τον Χριστον δια της πιστεως εν ταις καρδιαις ὑμων·

δικαιοσυνη εν τῳ Καρμηλῳ κατοικησει. Esa. xxxii. 16. *το ορος ὁ ευδοκησεν ὁ Θεος κατοικειν εν αυτῳ. Ps. lxvii.* 16. 1 *Mac. iii.* 36. *ὁ κατοικων εν βοηθειᾳ του ὑψιστου. Ps. xc.* 1. *και εμπεριπατησω*

εν ὑμιν, κ. τ. λ. *Lev. xxvi.* 12. και οφθησομαι εν ὑμιν. *Exod. xxv.* 8. *Esa. lvii.* 15. *Sap. iii.* 14. και κατασκηνωσω εν μεσῳ σου, κ. τ. λ. *Zach. ii.* 10.

18 Εν αγαπῃ ερριζωμενοι και τεθεμελιωμενοι· ἱνα εξισχυσητε καταλαβεσθαι συν πασι τοις ἁγιοις, τι το πλατος και μηκος και βαθος και ὑψος,

αγαπησιν αιωνιον ηγαπησα σε. *Jer. xxxviii.* 3. σεληνην και αστερας, ἁ συ εθεμελιωσας. *Ps. viii.* 3. πλατος και μηκος. *Gen. xiii.* 17. *vi.* 15. [καταλαβεσθαι· κατανοησασθαι. *Hesych.*] βαθος και ὑψος. *Esa. vii.* 11. του ιδειν πηλικον το πλατος αυτης εστι, και πηλικον το μηκος. *Zach. ii.* 2. μη ουκ εξισχυσεις εξαραι αδικιας. *Sir. vii.* 6. *Conf. Job. xi.* 7-9. *Col. i.* 23. *Ps. cii.* 11, 12. *cxxxviii.* 6. *Esa. lv.* 9. μη τις εστιν εν ὑμιν ῥιζα ανα φυουσα εν χολῃ και πικριᾳ. *Deut. xxix.* 18. *Esa. xl.* 24. *Jer. xii.* 2.

19 Γνωναι τε την ὑπερβαλλουσαν της γνωσεως αγαπην του Χριστου, ἱνα πληρωθητε εις παν το πληρωμα του Θεου.

ὁτι πνευμα Κυριου πεπληρωκε την οικουμενην. *Sap. i.* 7. [εν ὑπερβαλλουσῃ τιμῃ. *Jos. Ant. iv.* 2. 2.] 2 *Par. vii.* 1. 1 *Par. xvi.* 32. 2 *Mac. iv.* 14. *Conf. Joan. i.* 16. και ιδου πληρης δοξης ὁ Κυριου οικος. *Ezech. xliii.* 5. το γαρ επιστασθαι σε ὁλοκληρος δικαιοσυνη, και ειδεναι το κρατος σου ῥιζα αθανασιας. *Sap. xv.* 3. *Col. i.* 19.

20 Τῳ δε δυναμενῳ ὑπερ παντα ποιησαι ὑπερ εκ περισσου ὡν αιτουμεθα η νοουμεν, κατα την δυναμιν την ενεργουμενην εν ἡμιν,

και εσται πριν η κεκραξαι αυτους, εγω ὑπακουσομαι αυτων· ετι λαλουντων αυτων, ερω, Τι εστι; *Esa. lxv.* 24. τῳ Κυριῳ τῳ την ἁγιαν γνωσιν εχοντι φανερον εστι, ὁτι δυναμενος απολυθηναι του θανατου. 2 *Mac. vi.* 30. Κυριος ὁ Θεος σου εν σοι, ὁ δυνατος σωσει σε. *Sophon. iii.* 17. ὑπερ εκ περισσου. *Dan. iii.* 22. *Ald. Comp.* κατα την μεγαλωσυνην του βραχιονος σου. *Ps. lxxviii.* 11. *Jer. xxxii.* 17. 27. *Dan. iii.* 17. *Conf. Rom. xvi.* 25-27. τῳ ποιησαντι θαυμασια μεγαλα μονῳ, κ. τ. λ. *Ps. cxxxv.* 4-7. ὁτι παρα σοι πηγη ζωης, κ. τ. λ. *xxxv.* 9.

21 Αυτῳ ἡ δοξα εν τῃ εκκλησιᾳ εν Χριστῳ Ιησου, εις πασας τας γενεας του αιωνος των αιωνων. αμην.

ου μη σαλευθω απο γενεας εις γενεαν. *Ps. ix.* 26. ἑως του αιωνος ετι. *Esa. xlv.* 17. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *viii.* 8. ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων, Αμην. 4 *Mac. sub fine. Conf. Matt. vi.* 13. *Rom. xi.* 36. 1 *Tim. i.* 17. *Heb. xiii.* 21. 1 *Pet. v.* 11. 2 *Pet. iii.* 18. *Juda.* 25. 1 *Par. xxix.* 11.

Κεφ. δ. 4.

ΠΑΡΑΚΑΛΩ *ουν ὑμας εγω ὁ δεσμιος εν Κυριῳ, αξιως περιπατησαι της κλησεως ἡς εκληθητε,*

ἁγιοι εσεσθε, ὁτι ἁγιος εγω Κυριος ὁ Θεος ὑμων. Lev. xix. 2. xx. 7. παρακαλω ουν ὑμας και αξιω. 2 Mac. ix. 26. ἡμερα κλησεως. Jer. xxxviii. 6. της κλησεως ἡς. = Sophon. iii. 11. εγω Κυριος ὁ Θεος εκαλεσα σε εν δικαιοσυνῃ. Esa. xlii. 6. Conf. Rom. xii. 1. xvi. 2. 1 Cor. vii. 20. Cap. iii. 1. Col. i. 10. Phil. i. 27. μνησθητι μου δη ὁσα περιεπατησα ενωπιον σου. 4 Reg. xx. 3. Ald. ἑνεκεν της επ' αυτους επικλησεως του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 Mac. viii. 15.

2 *Μετα πασης ταπεινοφροσυνης και πρᾳοτητος, μετα μακροθυμιας ανεχομενοι αλληλων εν αγαπῃ,*

ταπεινοφρονας. Prov. xxix. 23. Ps. cxxxi. 3. Conf. Sir. iii. 17. Num. xii. 3. Ps. cxxxvii. 6. που εστι το πληθος του ελεους σου, και οικτιρμων σου, ὁτι ανεσχου ἡμων; Esa. lxiii. 15. xlvi. 4.

3 *Σπουδαζοντες τηρειν την ἑνοτητα του πνευματος εν τῳ συνδεσμῳ της ειρηνης.*

σπουδαζοντες. Job. xxxi. 5. Esa. xxi. 3. Gen. xix. 15. δικαιοσυνην τηρων. Exod. xxxiv. 7. πασῃ φυλακῃ τηρει σην καρδιαν. Prov. iv. 23. συνδεσμον αδικιας. Esa. lviii. 6. Jer. xi. 9. δεσμιοι της συναγωγης. Zach. ix. 12. ιδου δη τι καλον, η τι τερπνον, αλλ' η το κατοικειν αδελφους επιτοαυτο; Ps. cxxxii. 1. Conf. Ps. cxxi. 3. [της ενωσεως φροντιζε, ἡς ουδεν αμεινον. Ignat. p. 11.] [και μη λογιζεσθω ἑκαστος κακιαν του αδελφου αυτου, ὁτι τουτο χωριζει ἑνοτητα κ. τ. λ. Test. XII Patr. p. 642.] εν ὁμονοιᾳ. Ps. liv. 14.

4 *Ἑν σωμα και ἑν Πνευμα, καθως και εκληθητε εν μιᾳ ελπιδι της κλησεως ὑμων·*

εν τῃ ἡμερᾳ εκεινῃ εσται Κυριος εἱς, και το ονομα αυτου ἑν. Zach. xiv. 9. Joel. ii. 32. ει πορευσονται δυο επιτοαυτο καθολου εαν μη γνωρισωσιν ἑαυτους; Amos. iii. 3. Jer. xvii. 7.

5 *Εἱς Κυριος, μια πιστις, ἑν βαπτισμα·*

και αναστησω επ' αυτους ποιμενα ἑνα, κ. τ. λ. Ezech. xxxiv. 23.

6 *Εἱς Θεος και πατηρ παντων, ὁ επι παντων και δια παντων και εν πασιν ὑμιν.*

ουχι πατηρ εἱς παντων ὑμων; ουχι Θεος εἱς εκτισεν ὑμας; *Mal.* *ii.* 10. Κυριος ὁ Θεος ἡμων, Κυριος εἱς εστι. *Deut. vi.* 4. ὁ τα παντα ποιησας. *Job. viii.* 3. *Conf. Gen. xiv.* 19. 1 *Par. xxix.* 11. *Ps. xciv.* 3. *Esa. xl.* 11-17. [ἱνατι ερεις, και θυμος, και διχοστασιαι, και σχισματα, πολεμος τε εν ὑμιν; η ουχι ἑνα Θεον εχομεν, και ἑνα Χριστον; κ. τ. λ. *Clem. Rom. Epist. i. p.* 108.] Κυριος ὁ Θεος. *Gen. iv.* 9. 13. *et pass.* αληθως Κυριος ὁ Θεος, αυτος ὁ Θεος. 3 *Reg. xviii.* 39. ὁτι συ Κυριος ὁ Θεος μου. *Jer. xxxviii.* 18. *Conf. Dan. ix.* 4. 20. *Zach. xiv.* 5. *Ps. xxxiv.* 23, 24. *et pass.*

7 Ἑνι δε ἑκαστῳ ἡμων εδοθη ἡ χαρις κατα το μετρον της δωρεας του Χριστου.

Conf. Rom. xii. 3. 6. *Cap. iii.* 7. παντα μετρῳ και αριθμῳ και σταθμῳ διεταξας. *Sap. xi.* 20. τῳ ἑνι. *Esa. vi.* 2.

8 Διο λεγει, Αναβας εις ὑψος ᾐχμαλωτευσεν αιχμαλωσιαν, και εδωκε δοματα τοις ανθρωποις.

αναβας εις ὑψος, ᾐχμαλωτευσας αιχμαλωσιαν· ελαβες δοματα εν ανθρωπῳ. *Ps. lxvii.* 18. *Conf. Col. ii.* 15. *Juda.* 6. [ὁ πρεσβυτης, (*Christus*) ὁ απο του ὑψους αποσταλεις, και ἑως του ᾀδου καταντησας, ὁς και τας θυρας ανοιξας ανηγαγεν εκειθεν τους εγκεκλεισμενους πολλους χρονους εν τῳ του κοσμου ταμειῳ, και τουτοις ανοδον ὑποδειξας την εις το ὑψος αναγουσαν. *Act. Thom.* *c.* 10.] δια τας ἁμαρτιας αυτων ᾐχμαλωτευθησαν οικος Ισραηλ. —νυν αποστρεψω αιχμαλωσιαν εν Ιακωβ, και ελεησω τον οικον Ισραηλ, κ. τ. λ. *Ezech. xxxix.* 23-25. *Conf.* 2 *Cor. x.* 5. διο. *Ps.* *cxv.* 10. *CITAT.* 230.

9 Το δε, Ανεβη, τι εστιν ει μη ὁτι και κατεβη πρωτον εις τα κατωτερα μερη της γης;

εν τοις κατωτατοις της γης. *Ps. cxxxviii.* 15. *Alex. Ald. Comp.* εις τα κατωτατα της γης. *lxii.* 9. [και ανελθων εκ του ᾀδου εσται αναβαινων απο γης εις ουρανον. *Test. XII Patr. p.* 740.] ᾀδου κατω. *Sir. li.* 6. *Conf. Joan. iii.* 13. *vi.* 62. *Gen. xi.* 5. *Exod. xix.* 20. *Ps. viii.* 5. *Matt. xii.* 40. *Heb. ii.* 7-9.

10 Ὁ καταβας, αυτος εστι και ὁ αναβας ὑπερανω παντων των ουρανων, ἱνα πληρωσῃ τα παντα·

συ δε ὁ αυτος ει, και τα ετη σου ουκ εκλειψωσι. *Ps. ci.* 27. ειναι σε ὑπερανω παντων των εθνων. *Deut. xxvi.* 19. *Ezech. i.* 26. *x.* 19. και πληρωσω τους λογους σου. 3 *Reg. i.* 14.

11 Και αυτος εδωκε τους μεν αποστολους, τους δε προφητας, τους δε ευαγγελιστας, τους δε ποιμενας και διδασκαλους,

και δωσω ὑμιν ποιμενας κατα την καρδιαν μου. κ. τ. λ. Jer. iii. 15. vii. 25. xxix. 26. Ezech. xxxiv. 2. 5. 7. Dan. xii. 3. Esa. lii. 7. Rom. xii. 7. 2 Tim. iv. 5.

12 Προς τον καταρτισμον των ἁγιων, εις εργον διακονιας, εις οικοδομην του σωματος του Χριστου·

ὁ καταρτιζομενος τους ποδας μου. Ps. xvii. 33. ησθενησε, συ δε κατηρτισω αυτην. lxvii. 9. 28. Rom. xii. 5. Cap. i. 23. ἡγιασθη προφητης—οικοδομειν και καταφυτευειν. Sir. xlix. 7.

13 Μεχρι καταντησωμεν οἱ παντες εις την ἑνοτητα της πιστεως και της επιγνωσεως του υἱου του Θεου, εις ανδρα τελειον, εις μετρον ἡλικιας του πληρωματος του Χριστου·

μεχρι του ελθειν. Ps. civ. 19. εις ἑαυτον κατηντησε την αρχιερωσυνην. 2 Mac. iv. 24. εσῃ εις ανδρα τελειον. 3 Reg. ii. 2. Ald. Conf. 1 Cor. xiv. 20. Col. i. 28. ii. 10. Ezech. xxxvii. 22. xliii. 5. xliv. 4. Esa. vi. 1. 2 Par. vii. 1. και εσονται μοι εις λαον, και εγω εσομαι αυτοις εις Θεον. Jer. xxxix. 38. του δουλευειν αυτῳ ὑπο ζυγον ἑνα. Sophon. iii. 9. Zach. xiv. 9. Sap. xviii. 9. ἡλικια γηρως. Sap. iv. 9. [ἡλικια· μεγεθος σωματος μετρον τι. Hesych.] και επιγνωσιν Θεου εὑρησεις. Prov. ii. 5. μετρον ανθρωπου. Apoc. xxi. 17. ἑτοιμαζου εις καταντησιν Θεου σου. Amos. iv. 12. Theod.

14 Ἱνα μηκετι ωμεν νηπιοι, κλυδωνιζομενοι και περιφερομενοι παντι ανεμῳ της διδασκαλιας, εν τῃ κυβειᾳ των ανθρωπων, εν πανουργιᾳ προς την μεθοδειαν της πλανης·

συκοφαντια περιφερει σοφον. Eccles. vii. 7. ("vertiginosum facit." Bretschn.) και μεθωδευσεν εν τῳ δουλῳ σου προς—τον βασιλεα. 2 Reg. xix. 27. μη λικμα εν παντι ανεμῳ, και μη πορευου εν πασῃ ατραπῳ. Sir. v. 9. Conf. Job. vi. 26. xv. 3. μετα πανουργιας. Jos. ix. 4. Sir. xxi. 12. διδασκαλια. Conf. Matt. xv. 9. Col. ii. 22. Ps. x. 8. ἡ μαρτυρια Κυριου πιστη σοφιζουσα νηπια. xviii. 7. Prov. i. 32. οἱ δε αδικοι κλυδωνισθησονται, και αναπαυσασθαι ου δυνησονται. Esa. lvii. 20. Conf. Jac. i. 6. Esa. xxviii. 9. Matt. xi. 7. [μη συμπεριφερου ταις ὑπερ δυναμιν ὁρμαις και επιθυμιαις. Philo de Monarch. p. 817. Conf. Heb. xiii. 9.] [το σχισμα ὑμων πολλους διεστρεψεν, πολλους εις αθυμιαν εβαλεν, πολλους εις δισταγμον, τους παντας ἡμας εις λυπην. Clem. Rom. Epist. i. 46.] [ὁ δημος ταρασσομενος και κλυδωνιζομενος. Jos. Ant. ix. 11. 3.] ισθι εστηριγμενος εν συνεσει σου, και εἱς εστω σου ὁ λογος. Sir. v. 10.

15 Αληθευοντες δε εν αγαπῃ αυξησωμεν εις αυτον τα παντα, ὁς εστιν ἡ κεφαλη, ὁ Χριστος,

πορευομενος εν αληθειᾳ. Prov. xxviii. 6. λαλειτε αληθειαν ἑκαστος προς τον πλησιον. Zach. viii. 16. κεφαλη γωνιας. Ps. xcviii. 28. Conf. 2 Reg. xxii. 44. [των γουν χρωμενων τῳ παθει τουτῳ (iracundiâ) σχεδον ουδεις αληθευει. Philo 2 Alleg. p. 84.] ποιειν δικαια και αληθευειν. Prov. xxi. 3. και εσῃ ἡμιν εις κεφαλην. Jud. xi. 8, 9. Alex. Ald. Comp. πορευσονται εκ δυναμεως εις δυναμιν, κ. τ. λ. Ps. lxxxiii. 7. i. 3. Esa. xl. 31. Mal. iv. 2.

16 Εξ οὑ παν το σωμα, συναρμολογουμενον και συμβιβαζομενον δια πασης ἁφης της επιχορηγιας κατ' ενεργειαν, εν μετρῳ ἑνος ἑκαστου μερους, την αυξησιν του σωματος ποιειται εις οικοδομην ἑαυτου εν αγαπῃ.

Conf. cap. ii. 21. Col. ii. 19. Joan. xv. 1-4. ὁπλων ενεργειᾳ. Sap. xviii. 22. αυξησις. 2 Mac. v. 16. [αυξην, Αττικως· αυξησιν, Ἑλληνικως. Moeris.] Ps. cxxvi. 1. cxxxviii. 15, 16. αναμεσον ἁρμων λιθων παγησεται πασσαλος. Sir. xxvii. 2. εσομαι ὡς δροσος τῳ Ισραηλ, κ. τ. λ. Ose. xiv. 6.

17 Τουτο ουν λεγω και μαρτυρομαι εν Κυριῳ, μηκετι ὑμας περιπατειν, καθως και τα λοιπα εθνη περιπατει εν ματαιοτητι του νοος αὑτων,

μαρτυρομαι. Gen. xliii. 3. (obtestor). μειναντες αυγην εν αωριᾳ περιεπατησαν. Esa. lix. 9. και περιπατει εν ὁδοις καρδιας σου αμωμος. Eccles. xi. 9. ακουσατε μου οἱ απολωλεκοτες την καρδιαν. Esa. xlvi. 12. Conf. Ps. xciii. 11. Rom. i. 19-25. 1 Pet. iv. 3. ἱνατι αγαπατε ματαιοτητα, και ζητειτε ψευδος; Ps. iv. 2. μετα συνεδριου ματαιοτητος. xxv. 4. Sap. xiii. 1.

18 Εσκοτισμενοι τῃ διανοιᾳ οντες, απηλλοτριωμενοι της ζωης του Θεου, δια την αγνοιαν την ουσαν εν αυτοις, δια την πωρωσιν της καρδιας αυτων·

ὁτι επληρωθησαν οἱ εσκοτισμενοι της γης οικων. Ps. lxxiii. 20. Ald. Comp. Eccles. xi. 16. Comp. και απαλλοτριωσει σε των ιδιων σου. Sir. xi. 34. των πατριων δογματων απαλλοτριωμενος. 4 Mac. 1. 3. Conf. Esa. vi. 10. xlvi. 5-8. κατα τας καρδιας αυτων τας απηλλοτριωμενας απ' εμου. Ezech. xiv. 5. απετυφλωσε γαρ αυτους ἡ κακια αυτων. Sap. ii. 21. εαν μη πιστευσητε, ουδε μη συνητε. Esa. vii. 9. ουκ εγνωσαν φρονησαι, ὁτι απημαυρωθησαν του βλεπειν κ. τ. λ. xliv. 18. [σκοτιζων τον νουν απο της αληθειας. Test. XII Patr. p. 524. εαν ὑμεις σκοτισθησεσθε εν ασεβειᾳ. p. 577.] [τῃ διανοιᾳ τετυφλωμενων. Jos. Ant. viii. 2. 2.]

19 Οἵτινες απηλγηκοτες ἑαυτους παρεδωκαν τῃ ασελγειᾳ εις εργασιαν ακαθαρσιας πασης εν πλεονεξιᾳ·

εβδελυγμενος και ακαθαρτος ανηρ πινων αδικιας ισα ποτῳ. Job. xv. 16. Conf. Sap. xv. 13-19. ασελγεια. Conf. Ottium in loc. ὁτι χαιρει πασιν οἷς μισει ὁ Θεος, συντριβεται δε δι' ακαθαρσιαν ψυχης. Prov. vi. 16. [απηλγηκοτες· απελπισαντες. Alberti. Gloss. αναισθητοι γενομενοι. Hesych.] [ἡττον γαρ απαλγησαντας, επιτεμειν θανατῳ τας ἡνιας. Philo de Exorc. p. 931.] πλεονεξια. Jer. xxii. 17. Hab. ii. 9. και εξαπεστειλα αυτους κατα τα επιτηδευματα των καρδιων αυτων, πορευσονται εν τοις επιτηδευμασιν αυτων. Ps. lxxx. 12. εις εργασιαν. 1 Par. vi. 49. xxviii. 20.

20 Ὑμεις δε ουχ οὑτως εμαθετε τον Χριστον,

συνετισον με, και μαθησομαι τας εντολας σου. Ps. cxviii. 73.

21 Ειγε αυτον ηκουσατε και εν αυτῳ εδιδαχθητε, καθως εστιν αληθεια εν τῳ Ιησου·

[ειγε. = δηπου, vel, δηπουγε. Hoogev. p. 324.] Conf. Job. xvi. 4. Alex. ιν' ακουσωσι, και ἱνα μαθωσι φοβεισθαι Κυριον κ. τ. λ. Deut. xxxi. 12. ὁδηγησον με Κυριε εν τῃ ὁδῳ σου, και πορευσομαι εν τῃ αληθειᾳ σου. Ps. lxxxv. 11. διδαξον με κ. τ. λ. cxlii. 10.

22 Αποθεσθαι ὑμας, κατα την προτεραν αναστροφην, τον παλαιον ανθρωπον, τον φθειρομενον κατα τας επιθυμιας της απατης·

αποθεμενος εσθητα. 2 Mac. viii. 35. απολιπετω ὁ ασεβης τας ὁδους αυτου, κ. τ. λ. Esa. lv. 7. περας ουν κακης αναστροφης. 3 Mac. v. 8. Conf. Col. iii. 9. Rom. vi. 6. Heb. xii. 1. εκ χειλεων απατης μου. Judith. ix. 10. εαν δε επιστραφῃς και ταπεινωσῃς σεαυτον εναντι Κυριου, πορρῳ εποιησας απο διαιτης σου αδικον. Job. xxii. 23. Ezech. xviii. 30, 31.

23 Ανανεουσθαι δε τῳ πνευματι του νοος ὑμων,

ανανεουσθαι. Job. xxxiii. 24. 1 Mac. xii. 3-10. Conf. Rom. vi. 4. 2 Cor. v. 17. Col. iii. 1. και ποιησατε ἑαυτοις καρδιαν καινην. Ezech. xviii. 31. πνευμα καινον. xxxvi. 26. και μενουσα εν αὑτῃ τα παντα καινιζει. Sap. vii. 27. και πνευμα καινον δωσω εν αυτοις. Ezech. xi. 19. xviii. 31.

24 Και ενδυσασθαι τον καινον ανθρωπον, τον κατα Θεον κτισθεντα εν δικαιοσυνῃ και ὁσιοτητι της αληθειας.

ὁ εποιησεν ὁ Θεος συν τον ανθρωπον ευθη· και αυτοι εζητησαν λογιμους πολλους. Eccles. vii. 30. [ὁ προς την αληθειαν ανθρωπος.

Philo de Gigant. p. 288.] καρδιαν καθαραν κτισον εν εμοι ὁ Θεος, και πνευμα ευθες εγκαινισον εν τοις εγκατοις μου. *Ps. l.* 10. εγω ειμι Κυριος ὁ κτισας σε. *Esa. xlv.* 8. δια την ὁσιοτητα της καρδιας. *Deut. ix.* 5. εν ὁσιοτητι και δικαιοσυνῃ. *Sap. ix.* 3. οἱ ἱερεις σου ενδυσονται δικαιοσυνην. *Ps. cxxxi.* 9. κατ᾽ εικονα Θεου εποιησεν αυτον. *Gen. i.* 27. ἑως παλιν γενωμαι. *Job. xiv.* 14. *xxix.* 14.

25 Διο αποθεμενοι το ψευδος, λαλειτε αληθειαν ἑκαστος μετα του πλησιον αὑτου· ὁτι εσμεν αλληλων μελη.

λαλειτε αληθειαν ἑκαστος προς τον πλησιον αυτου. *Zach. viii.* 16. ματαια ελαλησεν ἑκαστος προς τον πλησιον αυτου. *Ps. xi.* 2. απολεις παντας τους λαλουντας το ψευδος. *v.* 6. ἑκαστος κατα του φιλου αυτου καταπαιξεται, αληθειαν ου μη λαλησωσι. *Jer. ix.* 5. μη εστω μαχη ανα μεσον εμου και σου—ὁτι ανθρωποι αδελφοι εσμεν ἡμεις. *Gen. xiii.* 8. εκ των οστων μου και εκ της σαρκος μου ει συ. *xxix.* 14. *Ps. xiv.* 2, 3. *Prov. xviii.* 19. νυν απωσασθωσαν την πορνειαν αυτων. *Ezech. xliii.* 9. *CITAT.* 231.

26 Οργιζεσθε και μη ἁμαρτανετε· ὁ ἡλιος μη επιδυετω επι τῳ παροργισμῳ ὑμων,

οργιζεσθε και μη ἁμαρτανετε. *Ps. iv.* 4. *Conf. Marc. iii.* 5. ουκ επιδυσεται ὁ ἡλιος επ᾽ αυτῳ. *Deut. xxiv.* 15. δει φθανειν τον ἡλιον επ᾽ ευχαριστιαν σου. *Sap. xvi.* 28. *Ps. xxxvi.* 8. παροργισμος. 3 *Reg. xv.* 30. *Jer. xxi.* 5. *Alex. Comp.* μνησθητι τα εσχατα, και παυσαι εχθραινων, κ. τ. λ. *Sir. xxviii.* 6. *CITAT.* 232.

27 Μητε διδοτε τοπον τῳ διαβολῳ.

μη δῳς τοπον ανθρωπῳ καταρασασθαι σε. *Sir. iv.* 5. *xxxviii.* 12. ὁ διαβολος. *Sap. ii.* 24. *Job. i.* 6. *Zach. iii.* 1. *Conf. Eccles. x.* 4.

28 Ὁ κλεπτων μηκετι κλεπτετω, μαλλον δε κοπιατω, εργαζομενος το αγαθον ταις χερσιν, ἱνα εχῃ μεταδιδοναι τῳ χρειαν εχοντι.

τεκνον, ἡμαρτες; μη προσθῃς μηκετι. *Sir. xxi.* 1. ου κλεψεις. *Exod. xx.* 14. ἑξ ἡμερας εργᾳ και ποιησεις παντα τα εργα σου. *Deut. v.* 13. και ουχι ορφανῳ μετεδωκα. *Job. xxxi.* 17. ευλογια εις κεφαλην του μεταδιδοντος. *Prov. xi.* 26. ὡν ουν εαν χρειαν εχητε. 2 *Mac. ii.* 15. τις ἡ χρεια σου; *Sir. xiii.* 6. *xi.* 23. *Conf. Act. xx.* 34. 1 *Thess. iv.* 12. 2 *Thess. iii.* 8. 12. *Ose. iv.* 2. *Zach. v.* 3. ὑπαρξις επισπουδαζομενη μετα ανομιας, ελασσων γινεται, ὁ δε συναγων ἑαυτῳ μετ᾽ ευσεβειας πληθυνθησεται· δικαιος οικτειρει

και κιχρᾳ. *Prov. xiii.* 11. και αποστειλατε μεριδας τοις μη εχουσι. *Neh. viii.* 10. παυσασθε απο των πονηριων ὑμων, μαθετε καλον ποιειν, κ. τ. λ. *Esa. i.* 16, 17. *Conf. Gen. v.* 29. *Eccles. ix.* 10.

29 Πας λογος σαπρος εκ του στοματος ὑμων μη εκπορευεσθω, αλλ᾽ ειτις αγαθος προς οικοδομην της χρειας, ἱνα δῳ χαριν τοις ακουουσι·

λογοι στοματος σοφου χαρις. *Eccles. x.* 12. και αναβησεται ἡ σαπρια αυτου. *Joel. ii.* 20. εξεχυθη χαρις εν χειλεσι σου. *Ps. xliv.* 2. εκ στοματος αυτου εκπορευεται ὡς λαμπαδες καιομεναι. *Job. xli.* 10. ὡς σκευος οὑ ουκ εστι χρεια αυτου. *Jer. xxii.* 28. χρειαν εσχηκε σου, *te utitur, te abutitur. Sir. xiii.* 6. *xxxvii.* 8. παντα γαρ εις χρειας αυτων εκτισται. *xxxix.* 21. συνεσις αγαθη διδωσι χαριν. *Prov. xiii.* 15. *Eccles. x.* 13. και εν δικαιοσυνῃ οικοδομηθησῃ. *Esa. liv.* 14. και μετα συνετων εστω ὁ λογισμος σου, και πασα διηγησις σου εν νομῳ ὑψιστου. κ. τ. λ. *Sir. ix.* 15, 16. ταυτα κατελαλησεν οἱ φοβουμενοι τον Κυριον, κ. τ. λ. *Mal. iii.* 16. [ειτις, *quicunque. Hoogev. p.* 257.]

30 Και μη λυπειτε το Πνευμα το ἁγιον του Θεου, εν ᾡ εσφραγισθητε εις ἡμεραν απολυτρωσεως.

και ελυπεις με. *Ezech. xvi.* 43. 1 *Esd. i.* 24. παρωξυναν το πνευμα το ἁγιον. *Esa. lxiii.* 10. *vii.* 13. *Mich. ii.* 7. *Ps. lxxvii.* 40. *cv.* 33. ὁ χρονος μου της απολυτρωσεως ηλθε. *Dan. iv.* 32. *LXX. Esa. lxiii.* 4. *Conf.* 2 *Cor. i.* 22. *Rom. viii.* 23. *Cap. i.* 13. [επισφραγιζομενος τας ευεργεσιας, φησιν, ουδεις ἀγονος, ουδε στειρα γενησεται. *Philo, p.* 927. *Conf. Loesner. p.* 142. 146.] πλην ὁ Θεος λυτρωσεται την ψυχην μου εκ χειρος ᾁδου, ὁταν λαμβανῃ με. *Ps. xlviii.* 15. *Conf. Joan. xiv.* 3. *Ose. xiii.* 14. εν τῃ ἡμερᾳ εκεινῃ—και θησομαι σε ὡς σφραγιδα, κ. τ. λ. *Agg. ii.* 24. *Esa. viii.* 16.

31 Πασα πικρια και θυμος και οργη και κραυγη και βλασφημια αρθητω αφ᾽ ὑμων, συν πασῃ κακιᾳ·

θυμος και οργη. *Gen. xxvii.* 44. ουδε λαλησεις λογον εν οργῃ. *Esa. lviii.* 13. βλασφημια. 4 *Reg. xix.* 6. *Esa. lii.* 5. *Conf. Col. iii.* 8. μισος εγειρει νεικος, παντας δε τους μη φιλονεικουντας καλυπτει φιλια. *Prov. x.* 12. το στομα αρας και πικριας γεμει. *Ps. xiii.* 3. *Sir. xxi.* 12. κραυγη. *Esa. lxvi.* 6.

32 Γινεσθε δε εις αλληλους χρηστοι, ευσπλαγχνοι, χαριζομενοι ἑαυτοις, καθως και ὁ Θεος εν Χριστῳ εχαρισατο ὑμιν.

γινεσθε εις ανδρας. 1 *Reg. iv.* 9. [τῳ πατερων ονοματι, ταυτην χαριζομενος την δωρεαν. *Jos. Ant. ii.* 6. 9.] Κυριος ὑψιστος ευ-

σπλαγχνος, μακροθυμος. *Orat. Manass.* 6. *Conf. Ps. cxliv.* 8, 9. *Neh. ix.* 17. και αυτος ἁμαρτιας πολλων ανηνεγκε, και δια τας ανομιας αυτων παρεδοθη. *Esa. liii.* 12. [ευσπλαγχνος και ελεημων. *Test. XII Patr. p.* 537.] ουκ εδει και σε ελεησει τον συνδουλον σου, ὡς και εγω σε ηλεησα; *Matt. xviii.* 33. γινεσθε ουν οικτιρμονες, καθως και ὁ Πατηρ ὑμων οικτιρμων εστι. *Luc. vi.* 36.

ΚΕΦ. ε. 5.

ΓΙΝΕΣΘΕ ουν μιμηται του Θεου, ὡς τεκνα αγαπητα·

παρουσαν μιμουνται αυτην (αρετην). *Sap. iv.* 2. *Matt. v.* 45, 48. τεκνα ου μη αθετησωσι. *Esa. lxiii.* 8. υἱος αγαπητος Εφραϊμ. *Jer. xxxviii.* 10. *Ose. i.* 10. [μιμειται Κυριον. *Test. XII Patr. p.* 692. [μιμηται γινεσθε Ιησου Χριστου, ὡς και αυτος του Πατρος αυτου. *Ignat. ad Magnes. p.* 43.] ὁτι νηπιος Ισραηλ, και εγω ηγαπησα αυτον. *Ose. xi.* 1.

2 Και περιπατειτε εν αγαπῃ, καθως και ὁ Χριστος ηγαπησεν ἡμας, και παρεδωκεν ἑαυτον ὑπερ ἡμων προσφοραν και θυσιαν τῳ Θεῳ, εις οσμην ευωδιας.

προσδεξαι την θυσιαν ὑπερ παντος του λαου. 2 *Mac. i.* 26. *iii.* 32. θυσιαν και προσφοραν. *Ps. xxxix.* 6. αγαπησω αυτους ὁμολογως. *Ose. xiv.* 5. και ωσφρανθη Κυριος ὁ Θεος οσμην ευωδιας. *Gen. viii.* 21. [*Laudat Philo. p.* 344.] και ανοισει ὁ ἱερευς επι το θυσιαστηριον εις οσμην ευωδιας Κυριῳ. *Lev. iv.* 31. *Conf. Lev. ix.* 4. *Sir. xxxii.* 6. *Phil. iv.* 18. περιπατησαι εν αληθειᾳ. 4 *Reg. xx.* 3. εαν δῳ ανηρ παντα τον βιον αυτου εν τῃ αγαπῃ, κ. τ. λ. *Cant. viii.* 7. *Conf. cap. ii.* 4. παρεδωκεν ἑαυτον. *Conf. Esa. liii.* 12. *Joan. xiii.* 34. *Gal. ii.* 20. *Tit. ii.* 14. *Heb. viii.* 3. 1 *Pet. iii.* 18. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. οἱ εν αγαπησει κεκοσμημενοι. *xlviii.* 11.

3 Πορνεια δε και πασα ακαθαρσια η πλεονεξια μηδε ονομαζεσθω εν ὑμιν, καθως πρεπει ἁγιοις·

μη δῳς πορναις την ψυχην σου, ἱνα μη απολεσῃς την κληρονομιαν σου. *Sir. ix.* 6. σωσω ὑμας εκ πασων ακαθαρσιων. *Ezech. xxxvi.* 29. και τα ονοματα των θεων αυτων ουκ ονομασθησεται εν ὑμιν. *Jos. xxiii.* 7. καθως πρεπει αυτῳ. *Sir. xxx.* 28. και εσεσθε ἁγιοι, ὁτι ἁγιος εγω. *Lev. xx.* 7. *Conf. Sap. xiv.* 26. *Col. iii.* 5.

4 Και αισχροτης, και μωρολογια, η ευτραπελια, τα ουκ ανηκοντα, αλλα μαλλον ευχαριστια.

και τα αλλα τα ανηκοντα ἡμιν. 1 *Mac. xi.* 35. *Conf. Prov. xv.* 2. *Eccles. x.* 13. *Ephes. iv.* 29. *στομα δικαιου μελετησει σοφιαν, και ἡ γλωσσα αυτου λαλησει κρισιν. Ps. xxxvi.* 30. [*ἑκαστη μεν γε των αρετων εστι χρημα ἁγιον· ευχαριστια δε ὑπερβαλλοντως, κ. τ. λ. Philo de plant. Noe. p.* 231.] *Conf. Sap. xvi.* 28. *Amos. iv.* 5. *Comp.* [*ευτραπελια· βωμολοχια. Phav.*]

5 Τουτο γαρ εστε γινωσκοντες, ὁτι πας πορνος, η ακαθαρτος,
η πλεονεκτης, ὁς εστιν ειδωλολατρης, ουκ εχει κληρονομιαν εν
τῃ βασιλειᾳ του Χριστου και Θεου.

ανθρωπος πορνος. Sir. xxiii. 21, 22. *xxxiv.* 5. *Gal. v.* 19. *Col. iii.* 8. *Apoc. xxii.* 15. *ἱνα εν τῃ κληρονομιᾳ αυτου συγκληρονομησῃς. Sir. xxii.* 23. *αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. Sap. xiv.* 12. *πας—ουκ.* = *παντι ανθρωπῳ μη εμβλεπε εν καλλει. Sir. xlii.* 12. *πλεονεκτης. xiv.* 9. *εστε γινωσκοντες.* = *Gen. i.* 6. *Exod. vii.* 15. *και εσται αυτοις εις κληρονομιαν, κ. τ. λ. και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. Dan. xii.* 13. [*ὁ* Κυριος *και* Θεος—*ευεργετης εστι. Philo, p.* 309. *Edit.* 1640. *του* Χριστου *και* Θεου. *Conf.* Χριστος ὁ Κυριος *και* Θεος *ἡμων. Suid. voce* Χριστος.] *απο* Κυριου *δικαιωθησονται, και εν τῳ* Θεῳ, *κ. τ. λ. Esa. xlv.* 26. *τῳ* Θεῳ *και πατρι. v.* 20. *Conf. Tit. ii.* 13. 2 *Pet. i.* 1. *Jac. i.* 27. *iii.* 9. *Conf. Viger. p.* 430. *et Herman. Annotat. p.* 659. ὁ Κυριος ὁ Θεος. *Gen. iv.* 9. 13. *et pass. αληθως* Κυριος ὁ Θεος, *αυτος* ὁ Θεος. 3 *Reg. xviii.* 39. *του* Θεου *και* (*etiam*) *πατρος. Conf.* 1 *Cor. xv.* 24. 2 *Cor. i.* 3. *xi.* 31. *Cap. i.* 3. *και ὑμεις και οἱ υἱοι* Ισραηλ. *Exod. xii.* 31. *Gen. xiii.* 10. *Ps. xciv.* 10. [*Conf. Nold. de Partic. p.* 290. *Middleton, ad loc.*]

6 Μηδεις ὑμας απατατω κενοις λογοις· δια ταυτα γαρ ερχε-
ται ἡ οργη του Θεου επι τους υἱους της απειθειας.

μη απατατω ὑμας. Esa. xxxvi. 14. *εν ῥημασι κενοις. Job. vi.* 6. *Conf.* 4 *Reg. xviii.* 29. *και μη μεριμνατωσαν εν λογοις κενοις. Exod. v.* 9. *Conf. Ezech. xiii.* 10. *Mich. iii.* 5. *προ του ελθειν εφ' ὑμας ἡμεραν οργης θυμου. Sophon. ii.* 2. *B. Ald. Comp. Num. xvi.* 46. *υἱος ανομιας. Ps. lxxxviii.* 22. *τους δε απειθουντας απολεσω. Esa. i.* 25. *Conf. Ps. lxxviii.* 31. *Prov. i.* 10-17. *xiii.* 20.

7 Μη ουν γινεσθε συμμετοχοι αυτων.

συμμετοχοι αυτων. Conf. 2 *Mac. v.* 20. *Num. xvi.* 26. *Ps. c.* 6, 7.

8 Ητε γαρ ποτε σκοτος, νυν δε φως εν Κυριῳ· ὡς τεκνα φωτος
περιπατειτε·

γενηθητω ἡ ὁδος αυτων σκοτος και ολισθημα. Ps. xxxiv. 6. *εν τῳ φωτι σου οψομεθα φως. xxxv.* 9. *cxi.* 4. *τα τεκνα αδικιας. Ose.*

x. 9. πορευθωμεν εν τῳ φωτι Κυριου. *Esa. ii.* 5. *Ald. Amos. v.* 18. οἱ πορευομενοι εν σκοτει. *Esa. l.* 10. εξανετειλεν εν σκοτει φως τοις ευθεσι. *Ps. cxi.* 4. *Conf.* 1 *Joan. i.* 6. *Sap. xviii.* 1. φως Κυριου πνοη ανθρωπων, κ. τ. λ. *Prov. xx.* 27.

9 (Ὁ γαρ καρπος του Πνευματος εν πασῃ αγαθωσυνῃ και δικαιοσυνῃ και αληθειᾳ·)

κατα πασαν την αγαθοσυνην ἣν εποιησε. *Jud. viii.* 35. *Alex. Ald. Comp.* κατα τους καρπους των επιτηδευματων αυτων. *Jer. xvii.* 10. *Ald. Comp.* εργα δικαιων ζωην ποιει, καρποι δε ασεβων ἁμαρτιας. *Prov. x.* 16. εξ εμου ὁ καρπος σου εὑρηται. *Ose. xiv.* 9.

10 Δοκιμαζοντες τι εστιν ευαρεστον τῳ Κυριῳ·

ευαρεστος τῳ Θεῳ. *Sap. iv.* 10. και γνω τι ευαρεστον εστι παρα σοι. *ix.* 10. δοκιμασον με ὁ Θεος. *Ps. cxxxviii.* 23. *Conf. Rom. xii.* 2. *Phil. i.* 10. 1 *Thess. v.* 21. 1 *Reg. xvii.* 39.

11 Και μη συγκοινωνειτε τοις εργοις τοις ακαρποις του σκοτους, μαλλον δε και ελεγχετε.

εν σκοτει τα εργα αυτων. *Esa. xxix.* 15. πονος ακαρπος. *Sap. xv.* 4. ελεγμῳ ελεγξεις τον πλησιον σου. *Lev. xix.* 7. ὁ κοινωνων ὑπερηφανῳ ὁμοιωθησεται αυτῳ. *Sir. xiii.* 1. *Conf. Joan. iii.* 20.

12 Τα γαρ κρυφη γινομενα ὑπ᾽ αυτων αισχρον εστι και λεγειν·

αρτων κρυφιων ἡδεως ἁψασθε, και ὑδατος κλοπης γλυκερου. *Prov. ix.* 17. ουδε μη μνησθω των ονοματων αυτων δια χειλεων μου. *Ps. xv.* 4. ὁτι συ εποιησας κρυβῃ, κ. τ. λ. 2 *Reg. xii.* 12.

13 Τα δε παντα ελεγχομενα, ὑπο του φωτος φανερουται. παν γαρ το φανερουμενον, φως εστι·

ει κρυβησεται τις εν κρυφαιοις, και εγω ουκ οψομαι αυτον; κ. τ. λ. *Jer. xxiii.* 24. *Ose. ii.* 10. και ποιησαι το κριμα μου, και εξαξει με εις το φως. *Mich. vii.* 9. [φωτος συνεργουντος ᾧ παντα αυγαζεται τε και διελεγχεται. *Philo, de Jud. p.* 345.]

14 Διο λεγει, Εγειραι ὁ καθευδων και αναστα εκ των νεκρων, και επιφαυσει σοι ὁ Χριστος.

φωτιζου φωτιζου Ἱηρουσαλημ, ἡκει γαρ σου το φως, και ἡ δοξα Κυριου επι σε ανατεταλκε. *Esa. lx.* 1. εξεγειρου εξεγειρου, αναστηθι Ἱερουσαλημ. *Esa. li.* 17. *lii.* 1. *Mal. iv.* 2. επιφαυσκειν. *Job. xxv.* 5. *xxxi.* 26. *Conf. Joan. v.* 25. *Rom. vi.* 4, 5. 1 *Cor. xv.* 34. *Cap. ii.* 5. *Col. iii.* 1. *Ezech. xxxvii.* 4-10. [επιφαυσε γαρ μοι απο της φροντιδος. *Act. Thom. c.* 34.] *CITAT.* 233.

15 Βλεπετε ουν πως ακριβως περιπατειτε, μη ὡς ασοφοι, αλλ᾽ ὡς σοφοι,

ακριβως. Sap. xix. 18. *Conf. Gen. xvii.* 1. *βλεπετε. Conf. Exod. xxv.* 40. *τις σοφος, και συνησει ταυτα; ὁτι ευθειαι αἱ ὁδοι του* Κυριου, *και δικαιοι πορευσονται εν αυταις, οἱ δε ασεβεις ασθενησουσιν εν αυταις. Ose. xiv.* 10. *Ps. xciii.* 8.

16 Ε*ξαγοραζομενοι τον καιρον, ὁτι αἱ ἡμεραι πονηραι εισι.*
ὁτι καιρον εξαγοραζετε. Dan. ii. 8. *μικραι και πονηραι—αἱ ἡμεραι. Gen. xlvii.* 9. *ὁτι καιρος πονηρος εστι. Amos. v.* 13. *Alex. Ald. Comp. Mich. ii.* 3. *εν ἡμερᾳ πονηρᾳ ῥυσεται αυτον ὁ* Κυριος. *Ps. xl.* 1. *ὁ καιρος καλει ἡμας.* 4 *Mac.* 3. *Col. iv.* 5. *Eccles. ix.* 10. *ὁ συνιων εν τῳ καιρῳ εκεινῳ σιωπησεται, ὁτι καιρος πονηρων (πονηρος. Ald. Comp. Alex.) εστι. Amos. v.* 13.

17 *Δια τουτο μη γινεσθε αφρονες, αλλα συνιεντες τι το θελημα του* Κυριου·
Conf. Ps. xxxi. 9. *και ανομησωσιν ανομοι, και ου συνησουσι παντες ανομοι, και νοημονες συνησουσι. Dan. xii.* 10. *ποιουντες τα θεληματα αυτου. Ps. cii.* 21. *συνετε δε ταυτα. Ps. xlix.* 22. *cvi.* 43. *μη γινεσθε ὡς ἱππος κ. τ. λ. xxxi.* 9. *cx.* 10. *cxviii.* 27.

18 Κ*αι μη μεθυσκεσθε οινῳ, εν ᾡ εστιν ασωτια· αλλα πληρουσθε εν* Π*νευματι,*
μη μεθυσκεσθε εν οινοις (οινῳ. Alex. Ald.) [μη μεθυσκεσθε οινῳ, κ. τ. λ. Test. XII Patr. p. 604.] *αλλα ὁμιλειτε ανθρωποις δικαιοις. Prov. xxiii.* 30. *Conf. Tob. iv.* 15. *Esa. v.* 11. *xxv.* 6. *Luc. xxi.* 34. *Joel. ii.* 28. *Num. xi.* 17. *γενναιῳ πεπληρωμενη φρονηματι.* 2 *Mac. vii.* 21. [*ασωτως· αισχρως. Hesych. Conf. Luc. xv.* 13. 30.] *ακολαστον οινος, και ὑβριστικον μεθη, πας δε αφρων τοιουτοις συμπλεκεται. Prov. xx.* 1. *το μεν γαρ ἱερον ασωτιας και κωμων επεπληρωτο.* 2 *Mac. vi.* 4. [*και μεθυοντες ου την εν οινῳ μεθην, αλλα την νηφαλεον. Philo. Vit. Mos. p.* 110. *Mangey.*]

19 *Λαλουντες ἑαυτοις ψαλμοις και ὑμνοις και ᾠδαις πνευματικαις ᾳδοντες και ψαλλοντες εν τῃ καρδιᾳ ὑμων τῳ* Κυριῳ,
ελαλησε τῳ Κυριῳ *τους λογους της ᾠδης ταυτης. Ps. xvii.* 1. *εξεγειρου και εν ψαλμοις αλαλαξωμεν αυτῳ. xciv.* 2. *εξεγειρου, λαλησον ᾠδην. Jud. v.* 12. (*Ald. Comp. λαλει μετ᾽ ᾠδης.*) *και οἱ ᾳδοντες—ᾠδοι, και ὑμνουντες αινον.* 2 *Par. xxiii.* 13. *ᾳδοντες τῃ καρδιᾳ αυτων. Ose. vii.* 2. 1 *Esd. v.* 60. *ᾳσομαι και ψαλω τῳ* Κυριῳ. *Ps. xxvi.* 6. *Conf. Act. xvi.* 25. 1 *Cor. xiv.* 26. *Col. iii.* 16. *σοι ειπεν ἡ καρδια μου,* Ε*ξεζητησα το προσωπον σου, το προσωπον σου* Κυριε *ζητησω. Ps. xxv.* 8. *Ose. vii.* 2. *Sir. xxxix.* 15.

20 Ευχαριστουντες παντοτε ὑπερ παντων εν ονοματι του Κυριου ἡμων Ιησου Χριστου τῳ Θεῳ και πατρι·

ειη το ονομα Κυριου ευλογημενον. Job. i. 21. μεγαλως ευχαριστουμεν αυτῳ. 2 Mac. i. 11. Conf. Esa. lxiii. 7. Col. iii. 17. Heb. xiii. 15. Conf. sup. 5.

21 Ὑποτασσομενοι αλληλοις εν φοβῳ Θεου.

εδωκα αυτῳ εν φοβῳ φοβεισθαι με. Mal. ii. 5. Conf. 2 Par. xix. 7. Jer. x. 7. Comp. Theod. Gen. xvi. 9. Ps. cxxx.

22 Αἱ γυναικες, τοις ιδιοις ανδρασιν ὑποτασσεσθε, ὡς τῳ Κυριῳ·

δικαιον ὑποτασσεσθαι τῳ Θεῳ. 2 Mac. ix. 12. προς την ιδιαν γυναικα κολλαται. 1 Esd. iv. 20. και αυτος σου κυριευσει. Gen. iii. 16. Col. iii. 18. ακουσον θυγατερ—ὁτι αυτος εστιν ὁ Κυριος σου. Ps. xliv. 10, 11. Conf. Est. i. 18-20. Prov. xix. 14.

23 Ὁτι ὁ ανηρ εστι κεφαλη της γυναικος, ὡς και ὁ Χριστος κεφαλη της εκκλησιας, και αυτος εστι σωτηρ του σωματος·

κεφαλη. Conf. cap. iv. 15. Rom. xii. 5. 1 Cor. xi. 3.

24 Αλλ᾽ ὡσπερ ἡ εκκλησια ὑποτασσεται τῳ Χριστῳ, οὑτω και αἱ γυναικες τοις ιδιοις ανδρασιν εν παντι.

αλλ᾽ (jam, conclud. vim habens. Bretschn.) 1 Mac. x. 56. ὡσπερ—οὑτως. Eccles. v. 15. πλην τῳ Θεῳ ὑποταγηθι ἡ ψυχη μου. Ps. lxi. 2. Cant. i. 4. Sir. xxvi. 24-26. Comp.

25 Οἱ ανδρες, αγαπατε τας γυναικας ἑαυτων, καθως και ὁ Χριστος ηγαπησε την εκκλησιαν, και ἑαυτον παρεδωκεν ὑπερ αυτης·

ηγαπησε δε Ιακωβ την Ῥαχηλ. Gen. xxix. 18-20. αγαπησιν αιωνιον ηγαπησα σε. Jer. xxxviii. 3. αγαπη τελειωσεως σου. ii. 2. και δια τας ανομιας αυτων παρεδοθη. Esa. liii. 12. xliii. 4. προσδεξαι την θυσιαν ὑπερ παντος του λαου. 2 Mac. i. 26. Conf. Gal. i. 4. Ephes. v. 2. Col. iii. 19. Gen. ii. 24. xxiv. 67. 2 Reg. xii. 3.

26 Ἱνα αυτην ἁγιασῃ, καθαρισας τῳ λουτρῳ του ὑδατος εν ῥηματι,

το λουτρον. Cant. iv. 2. Sir. xxxi. 25. Conf. Exod. xxix. 37. xxx. 10. Tit. iii. 5. Matt. xxiii. 17. Joan. iii. 5. 1 Pet. iii. 21. Heb. x. 22. αποπλυνε απο κακιας την καρδιαν σου. Jer. iv. 14. εγω ειμι Κυριος ὁ ἁγιαζων αυτους, κ. τ. λ. Ezech. xxxvii. 28. xxviii. 25. και ελουσα σε εν ὑδατι, και απεπλυνα το αἱμα σου, κ. τ. λ. xvi. 9. και ῥανω εφ᾽ ὑμας καθαρον ὑδωρ, κ. τ. λ. xxxvi. 25. [καθαρι-

σας αυτους τῳ σῳ λουτρῳ. *(de bapt.) Act. Thom. c.* 56.] εν ῥηματι. *Conf. Deut. xxx.* 14. *Joan. xv.* 3. *xvii.* 17.

27 Ἱνα παραστησῃ αυτην ἑαυτῳ ενδοξον, την εκκλησιαν μη εχουσαν σπιλον η ῥυτιδα η τι των τοιουτων, αλλ' ἱνα ῃ ἁγια και αμωμος.

παραστησατε ἑαυτους τῳ Θεῳ. *Rom. vi.* 13. *Conf. Esa. lx.* 15-20. πασα ἡ δοξα αυτης. *Ps. xliv.* 13. *Cant. v.* 3. ενδοξον. *Conf. Apoc. xix.* 8. 2 *Par. ii.* 9. ὁλη καλη—και μωμος ουκ εστιν εν σοι. *Cant. iv.* 7. [σπιλος. *Jos. Ant. xiii.* 11. 3.] γερας ψυχων αμωμων. *Sap. ii.* 22. *Conf. cap. i.* 4. *Col. i.* 22. και παραστησεις αυτους εναντι Κυριου, κ. τ. λ. *Lev. xvi.* 7. *Ald. Comp.* και εκοσμησα σε κοσμῳ, κ. τ. λ. *Ezech. xvi.* 11.

28 Οὑτως οφειλουσιν οἱ ανδρες αγαπᾳν τας ἑαυτων γυναικας, ὡς τα ἑαυτων σωματα. ὁ αγαπων την ἑαυτου γυναικα, ἑαυτον αγαπᾳ·

Conf. 1 *Esd. iv.* 25. *Matt. xix.* 5. *Sir. ix.* 1. *xxv.* 8. *xxvi.* 1.

29 Ουδεις γαρ ποτε την ἑαυτου σαρκα εμισησεν, αλλ' εκτρεφει και θαλπει αυτην, καθως και ὁ Κυριος την εκκλησιαν.

θαλπει. *Job. xxxi.* 20. μισει την ἑαυτου ψυχην. *Prov. xxix.* 24. *Conf. Prov. xi.* 17. και εκθρεψω σε εκει. *Gen. xlv.* 11. και εφαγε τας σαρκας αυτου. *Eccles. iv.* 5. ὡς ποιμην ποιμανει το ποιμνιον αυτου, κ. τ. λ. *Esa. xl.* 11.

30 Ὁτι μελη εσμεν του σωματος αυτου, εκ της σαρκος αυτου, και εκ των οστεων αυτου·

τουτο νυν οστουν εκ των οστεων μου, και σαρξ εκ της σαρκος μου. *Gen. ii.* 23. *Conf. Rom. xii.* 5. 1 *Cor. vi.* 15. *Cap. i.* 23. Ιδου οστα σου, και σαρκες σου ἡμεις. 2 *Reg. v.* 1. *xix.* 12, 13.

31 Αντι τουτου καταλειψει ανθρωπος τον πατερα αὑτου και την μητερα, και προσκολληθησεται προς την γυναικα αὑτου, και εσονται οἱ δυο εις σαρκα μιαν.

ἑνεκεν τουτου καταλειψει ανθρωπος κ. τ. λ. *Gen. ii.* 24. *Conf. Matt. xix.* 5. *Marc. x.* 7. 1 *Cor. vi.* 16. [*Laudat Philo. p.* 74. *Mangey. Conf. Horneman. p.* 114.] αντι τουτο. *Conf. Deut. viii.* 20. *CITAT.* 234.

32 Το μυστηριον τουτο μεγα εστιν· εγω δε λεγω εις Χριστον, και εις την εκκλησιαν.

μυστηριον. *Conf. Dan. ii.* 18, 19. 27-30. εμελετων εις σε. *Ps. lxii.* 6. και ὡς συνοικων νεανισκος παρθενῳ, οὑτω κατοικησουσιν οἱ υἱοι σου. και εσται ὁν τροπον ευφρανθησεται νυμφιος επι νυμφῃ,

οὑτως ευφρανθησεται Κυριος επι σοι. *Esa. lxii.* 5. *Conf. Ps. xlv.* 9-17. το μυστηριον (*quod attinet ad*) ὁ βασιλευς επερωτα, κ. τ. λ. *Dan. ii.* 17. *Conf. Bos. Ellips. p.* 454. *Conf. Rom. vii.* 4.

33 Πλην και ὑμεις οἱ καθ' ἑνα, ἑκαστος την ἑαυτου γυναικα οὑτως αγαπατω ὡς ἑαυτον· ἡ δε γυνη ἱνα φοβηται τον ανδρα.

πλην. *Num. xxii.* 35. *Jud. iv.* 9. 2 *Par. xxxiii.* 17. καθ' ἑνα. *Esa. xxvii.* 12. αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Lev. xix.* 18. 34. ἑκαστος πατερα αυτου και μητερα αυτου φοβεισθω. *Lev. xix.* 3. *Conf. Col. iii.* 19. 1 *Pet. iii.* 7. [εντελλομαι—ἱνα. *Test. XII Patr. p.* 543. προστασσετε—ἱνα. *p.* 529.] και οὑτω πασαι αἱ γυναικες περιθησουσι τιμην τοις ανδρασιν ἑαυτων, απο πτωχου ἑως πλουσιου. *Est. i.* 20.

ΚΕΦ. ϛ. 6.

ΤΑ τεκνα, ὑπακουετε τοις γονευσιν ὑμων εν Κυριῳ· τουτο γαρ εστι δικαιον.

γονευς. *Judith. v.* 8. [*Conf. Jos. Ant. iv.* 8. 24.] υἱος πανουργος ὑπηκοος πατρι. *Prov. xiii.* 1. *Deut. xxi.* 18-22.

2 Τιμα τον πατερα σου και την μητερα· (ἡτις εστιν εντολη πρωτη εν επαγγελιᾳ,)

3 Ἱνα ευ σοι γενηται και εσῃ μακροχρονιος επι της γης.

[γονεων τιμην μετα την προς Θεον δευτεραν εταξε, και τον ουκ αμειβομενον τας παρ' αυτων χαριτας, αλλ' εις ὁτιουν ελλειποντα, λευσθησομενον παραδιδωσι. *Jos. cont. Ap. ii.* 27.] ακουε υἱε πατρος του γεννησαντος σε, και μη καταφρονει ὁτι γεγηρακε σου ἡ μητηρ, κ. τ. λ. *Prov. xxiii.* 23-25. εντολη. 4 *Reg. xxi.* 8. [μετα της επαγγελιας των αγαθων. *Jos. Ant. iii.* 5. 1.] τιμα τον πατερα σου και την μητερα σου, ἱνα ευ σοι γενηται, και ἱνα μακροχρονιος γενῃ επι της γης. *Exod. xx.* 12. *Deut. v.* 16. εν εργῳ και λογῳ τιμα τον πατερα σου, ἱνα επελθῃ σοι ευλογια παρ' αυτου. *Sir. iii.* 8. επαγγελια. *Est. iv.* 7. 1 *Mac. x.* 15. *Matt. xv.* 4. *Conf. Jer. xlii.* 18. *Ezech. xxii.* 7. 15. *Marc. vii.* 10. *CITAT.* 235.

4 Και οἱ πατερες, μη παροργιζετε τα τεκνα ὑμων, αλλ' εκτρεφετε αυτα εν παιδειᾳ και νουθεσιᾳ Κυριου.

κεκατηραμενος ὑπο Κυριου ὁ παροργιζων μητερα. *Sir. iii.* 16. *iv.* 2, 3. *Deut. xxxii.* 21. εις νουθεσιαν μαστιγοι Κυριος. *Judith. viii.* 27. *Ald. Comp. Sap. xvi.* 6. ἡ παιδεια Κυριου. *Esa. l.* 5. *Sir. xxxv.* 14. *Conf. Col. iii.* 21. *Deut. iv.* 9. *Prov. xix.* 7. *xxix.* 17.

Gen. xviii. 19. καλως εκτρεφει πατηρ δικαιος, επι δε τῳ υἱῳ σοφῳ ευφραινεται ἡ ψυχη αυτου. *Prov. xxiii.* 24. [τιμωριαν—οἱαν οἱ πατερες επι νουθεσιᾳ τοις τεκνοις επιφερουσι. *Jos. Ant. iii.* 15. 1.] και διδαξετε αυτα τα τεκνα ὑμων λαλειν εν αυτοις καθημενου σου εν οικῳ, κ. τ. λ. *Deut. xi.* 19. *Jos. xxiv.* 15.

5 Οἱ δουλοι, ὑπακουετε τοις κυριοις κατα σαρκα, μετα φοβου και τρομου, εν ἁπλοτητι της καρδιας ὑμων, ὡς τῳ Χριστῳ·

και ὁ φοβος ὑμων και ὁ τρομος εσται επι πασι. *Gen. ix.* 2. *Ox. Ald.* εν ἁπλοτητι καρδιας. 1 *Par. xxix.* 17. *Sap. i.* 1. *Prov. x.* 9. υἱος δοξαζει πατερα, και δουλος τον κυριον αυτου. *Mal. i.* 6. *Gen. xvi.* 9.

6 Μη κατ᾽ οφθαλμοδουλειαν ὡς ανθρωπαρεσκοι, αλλ᾽ ὡς δουλοι του Χριστου, ποιουντες το θελημα του Θεου, εκ ψυχης

ὡς οφθαλμοι δουλων εις χειρας κυριων. *Ps. cxxii.* 2. ὁ Θεος διεσκορπισεν οστα ανθρωπαρεσκων. *lii.* 5. αγαπων σε εποιησα το θελημα σου. *Esa. xlviii.* 14. εξ ὁλης της ψυχης. 2 *Par. xv.* 12. *Conf.* 1 *Pet. ii.* 16. [ανθρωπαρεσκον λαλουντα νομον μετα δολου. *Psalt. Sal. p.* 929.] *Col. iii.* 22.

7 Μετ᾽ ευνοιας δουλευοντες τῳ Κυριῳ και ουκ ανθρωποις·

μετ᾽ ευνοιας, *lubenti animo.* *Conf.* 1 *Mac. xi.* 33. 2 *Mac. xi.* 19. *Bretschn.* δουλευσατε τῳ Κυριῳ εν φοβῳ. *Ps. ii.* 11. Ιδετε τι ὑμεις ποιειτε, ὁτι ουκ ανθρωπῳ ὑμεις κρινετε, αλλ᾽ η τῳ Κυριῳ. 2 *Par. xix.* 6. *Exod. xvi.* 18.

8 Ειδοτες ὁτι ὁ εαν τι ἑκαστος ποιησῃ αγαθον, τουτο κομιειται παρα του Κυριου, ειτε δουλος, ειτε ελευθερος.

Ose. ii. 9. εκκλινον απο κακου, και ποιησον αγαθον. *Ps. xxxiii.* 14. ὁ εαν, *quodcunque.* *Hoogev. p.* 264. *Judith. viii.* 22. 3 *Mac. iii.* 19. *Conf. Rom. ii.* 6. 2 *Cor. v.* 10. *Gal. iii.* 28. ἁμαρτιαν κομιουνται. *Lev. xx.* 17. ειτε πτωχος, ειτε πλουσιος. *Ruth. iii.* 10. *alii.* *Prov. xi.* 18. *Esa. iii.* 14.

9 Και οἱ κυριοι, τα αυτα ποιειτε προς αυτους, ανιεντες την απειλην· ειδοτες ὁτι και ὑμων αυτων ὁ Κυριος εστιν εν ουρανοις, και προσωποληψια ουκ εστι παρ᾽ αυτῳ.

Conf. Deut. xv. 12. *Jer. xli.* 14. *Lev. xxv.* 43. και ειπεν ὁ νεανιας προς τον κυριον αυτου. *Jud. xix.* 11. *Gen. xxiv.* 9, 10. προσωπον λαμβανετε. *Job. xiii.* 8. παρ᾽ αυτῳ σοφια και δυναμις. *xii.* 13. *Theod.* ὁστις ου θαυμαζει προσωπον. *Deut. x.* 17. 2 *Par. xix.* 7. *Conf. Sap. vi.* 7, 8. *Sir. iv.* 30. *xxxii.* 16. *Act. x.* 34. *Rom. ii.* 11. *Gal. ii.* 6. *Col. iii.* 25. *Sir. xxxiii.* 24-31. περι Δουλων. μη κακωσῃς

οικετην εργαζομενον εν αληθεια, κ. τ. λ. *vii.* 20, 21, 22. ει εστι σοι οικετης, αγε αυτον ὡς σεαυτον, κ. τ. λ. *xxx.* 31. [ουκ ανησω πριν η. *Jos. Ant. vi.* 11. 8.] βασιλεως απειλη. *Prov. xix.* 12. ου ληψῃ προσωπον πτωχου, κ. τ. λ. *Lev. xix.* 15.

10 Το λοιπον, αδελφοι μου, ενδυναμουσθε εν Κυριῳ, και εν τῳ κρατει της ισχυος αυτου·

ενδυναμουσθε. *Ps. lii.* 7. εν κρατει ισχυος αυτου. *Esa. xl.* 26. ανδριζου και ισχυε. *Deut. xxxi.* 23. *Job. xxi.* 23. κρατος μεγαλωσυνης αυτου. *Sir. xviii.* 5. εν τῳ κρατει της ισχυος μου. *Dan. iv.* 27. *Col. i.* 11. εις το λοιπον. 2 *Mac. xi.* 19. [Θεος ὁ ενδυναμων τας ψυχας. *Act. Thom. c.* 10.] *Conf. Deut. xxxiii.* 27.

11 Ενδυσασθε την πανοπλιαν του Θεου, προς το δυνασθαι ὑμας στηναι προς τας μεθοδειας του διαβολου.

ενεδυσε γαρ με ἱματιον σωτηριου και χιτωνα ευφροσυνης. *Esa. lxi.* 10. πανοπλια. *Job. xxxix.* 10. 2 *Reg. ii.* 21. κατεπειρασε δια μεθοδων τους τοπους. 2 *Mac. xiii.* 18. προς το μακρυναι ὑμας. *Jer. xxxiv.* 10. και μεθωδευσεν εν τῳ δουλῳ σου. 2 *Reg. xix.* 27. αντιστηναι προς το πληθος. 2 *Par. xx.* 12. επολεμει προς Ισραηλ. *xi.* 1. φθονῳ θε διαβολου θανατος εισηλθεν εις τον κοσμον, κ. τ. λ. *Sap. ii.* 24. [εργαζομενοι και μεθοδευοντες τα φιλα τῃ σαρκι. *Philo de Agric. p.* 191. μεθοδοι και τεχναι. 2 *Alleg. p.* 63.] [και τας πανοπλιας αναλαβοντες ευθεως εχωρουν εις το εργον. *Jos. Ant. iv.* 5. 2.]

12 Ὁτι ουκ εστιν ἡμιν ἡ παλη προς αἱμα και σαρκα, αλλα προς τας αρχας, προς τας εξουσιας, προς τους κοσμοκρατορας του σκοτους του αιωνος τουτου, προς τα πνευματικα της πονηριας, εν τοις επουρανιοις.

γενεα σαρκος και αἱματος. *Sir. xiv.* 18. *Conf. Luc. xxii.* 53. *Joan. xii.* 31. *Cap. ii.* 2. *Col. i.* 13. *Job. ii.* 2. 1 *Pet. ii.* 11. *Jac. iv.* 1. και μνησθητι του κτισαντος σε εν ἡμεραις νεοτητος σου, ἑως ὁτου μη ελθωσιν αἱ ἡμεραι της κακιας, κ. τ. λ. *Eccles. xii.* 1. *Ose. vi.* 3. *Mal. iii.* 2. ουκ εστιν ἡμιν ισχυς του αντιστηναι προς το πληθος το πολυ τουτο—αλλ' η επι σοι οφθαλμοι ἡμων. 2 *Par. xx.* 12. [θρονοι, εξουσιαι κ. τ. λ. *Test. XII Patr. p.* 548. ὁ κατωτερος (ουρανος) δια τουτο στυγνοτερος εστιν, επειδη οὑτος παρα πασας αδικιας ανθρωπων. *p.* 546.] [διαβολον, ὁν και κοσμοκρατορα καλουσι. *Ignat. i.* 1.] *Conf. Ps. ii.* 2. *Act. iv.* 26.

13 Δια τουτο αναλαβετε την πανοπλιαν του Θεου, ἱνα δυνη-

θητε αντιστηναι εν τῃ ἡμερᾳ τῃ πονηρᾳ, και ἁπαντα κατεργασαμενοι στηναι.

διᾳ τουτο. *Conf. Dan. iv.* 24. και αναλαβοντες ἑκαστος τα σκευη τα πολεμικα αυτου. *Deut. i.* 41. αναλαβετε ὁπλα και ασπιδας. *Jer. xxvi.* 3. εν ἡμερᾳ πονηρᾳ ῥυσεται αυτον ὁ Κυριος. *Ps. xl.* 1. *Conf. Gen. xlvii.* 9. *Ps. xxxvi.* 13. 2 *Cor. x.* 4. *Gal. i.* 4. *Ephes. v.* 16. κατεργασαμενοι. 1 *Esd. iv.* 4. [ἡ πιστις ὡς περικεφαλαια, ἡ αγαπη ὡς δορυ, ἡ ὑπομονη ὡς πανοπλια, κ. τ. λ. *Ignat. p.* 14.] [και δεινως ὑπο του κακου πολιορκουμενη, δευτερᾳ παλιν πειρᾳ προεθυμειτο κατεργασασθαι. *Jos. Ant. ii.* 4. 2.]

14 Στητε ουν περιζωσαμενοι την οσφυν ὑμων εν αληθειᾳ, και ενδυσαμενοι τον θωρακα της δικαιοσυνης,

ενδυσεται (δικαιος) θωρακα δικαιοσυνην, και περιθησεται κορυθα κρισιν ανυποκριτον, ληψεται ασπιδα ακαταμαχητον ὁσιοτητα, κ. τ. λ. *Sap. v.* 18-22. ενεδυσατο δικαιοσυνην ὡς θωρακα κ. τ. λ. *Esa. lix.* 17. εσται δικαιοσυνῃ εζωσμενος την οσφυν αυτου. *xi.* 5. και ασθενουντες περιεζωσαντο δυναμιν. 1 *Reg. ii.* 4. *Ps. xvii.* 35. 43. *cxxxi.* 9. *Jer. i.* 17. *Job. xxix.* 14. 1 *Mac. iv.* 18. *iii.* 58. *Prov. xxxi.* 17. 2 *Cor. vi.* 7. 1 *Thess. v.* 8. 1 *Pet. i.* 13. [ἱσταμενος ηυχετο. *Jos. Ant. x.* 11. 6. *de Dan.*] *Conf. Deut. xxvii.* 12.

15 Και ὑποδησαμενοι τους ποδας εν ἑτοιμασιᾳ του ευαγγελιου της ειρηνης·

ὡς ὡρα επι των ορεων, ὡς ποδες ευαγγελιζομενου ακοην ειρηνης. *Esa. lii.* 7. μαθησονται λαλειν ειρηνην. *xxxii.* 4. *Conf.* 2 *Tim. ii.* 21. ὑπεδησαν. 2 *Par. xxviii.* 15. *Conf. Rom. x.* 15. και ποιησω και ειρηνην και πιστιν. *Jer. xl.* 6. *Nah. i.* 15. την ἑτοιμασιαν της καρδιας αυτων προσεσχε το ους σου. *Ps. ix.* 17. [εις ἑτοιμασιαν ὑμιν παρεχειν ἑτοιμος ειμι. *Jos. Ant. x.* 1. 2.] *Conf. Esd. ii.* 68. *iii.* 3. *Zach. v.* 11.

16 Επι πασιν αναλαβοντες τον θυρεον της πιστεως, εν ᾡ δυνησεσθε παντα τα βελη του πονηρου τα πεπυρωμενα σβεσαι·

ἡτοιμασαν βελη εις φαρετραν. *Ps. x.* 3. *xviii.* 14. επι πασι. *Conf. Sir. xxxv.* 13. 1 *Joan. v.* 4. 1 *Pet. v.* 8. *Gen. xv.* 1. επιλαβου ὁπλου και θυρεου, και αναστηθι εις βοηθειαν μοι. *Ps. xxxiv.* 2. βελη. *Conf. xvii.* 14. *cxliv.* 6. *cxix.* 4. *cxliii.* 6.

17 Και την περικεφαλαιαν του σωτηριου δεξασθε, και την μαχαιραν του Πνευματος, ὁ εστι ῥημα Θεου·

(Κυριος) περιεθετο περικεφαλαιαν σωτηριου επι της κεφαλης. *Esa. lix.* 17. και εθηκε το στομα μου ὡς μαχαιραν οξειαν.

xlix. 2. *Ps. cxlix.* 6. *Conf.* 1 *Reg. xviii.* 5. 38. *Heb. iv.* 12. *Apoc. i.* 16. εγγυς σου εστι το ῥημα σφοδρα εν τῳ στοματι σου, και εν τῃ καρδιᾳ σου, κ. τ. λ. *Deut. xxx.* 14. *Prov. xxx.* 5.

18 Δια πασης προσευχης και δεησεως προσευχομενοι εν παντι καιρῳ εν Πνευματι, και εις αυτο τουτο αγρυπνουντες εν πασῃ προσκαρτερησει και δεησει περι παντων των ἁγιων,

καρδια μου αγρυπνει. *Cant. v.* 2. και προσευξασθε προς Κυριον τον Θεον ὑμων. *Exod. x.* 17. *Sap. vi.* 15. αγρυπνειτε και τηρειτε. *Esd. viii.* 29. *Sap. vi.* 15. *Ps. ci.* 7. *Conf. Zach. xii.* 10. εδεετο—περι Ῥεβεκκας. *Gen. xxv.* 21. 2 *Mac. xv.* 14. και προσκαρτερησαντες ληψεσθε απο των καρπων της γης. *Num. xiii.* 21. *Susan.* 6. *Act. ii.* 46.

19 Και ὑπερ εμου, ἱνα μοι δοθειη λογος εν ανοιξει του στοματος μου, εν παῤῥησιᾳ γνωρισαι το μυστηριον του ευαγγελιου,

εν παῤῥησιᾳ. *Sap. v.* 1. εμοι δε δῳη ὁ Θεος ειπειν κατα γνωμην. *vii.* 15. εθετο μετ' αυτων το μυστηριον της βουλης αυτου. *Judith. ii.* 2. και ὑπερ θανατου ῥυσεως εδεηθη. *Sir. li.* 9. Κυριος Κυριος διδωσι μοι γλωσσαν παιδειας, του γνωναι ἡνικα δει ειπειν λογον, κ. τ. λ. *Esa. l.* 4, 5. και εδωκεν αυτῳ γνωσιν ἁγιων. *Sap. x.* 10. εστι Θεος εν ουρανῳ αποκαλυπτων μυστηρια, κ. τ. λ. *Dan. ii.* 28. 47.

20 Ὑπερ οὑ πρεσβευω εν ἁλυσει, ἱνα εν αυτῳ παῤῥησιασωμαι, ὡς δει με λαλησαι.

του ποιησαμενου την πρεσβειαν ὑπερ φιλιας. 2 *Mac. iv.* 11. [πρεσβευειν αυτῳ προς Πτολομαιον—ὑπερ του εθνους. *Jos. Ant. xii.* 4. 2.] θησομαι εν σωτηριῳ, παῤῥησιασομαι εν αυτῳ. *Ps. xi.* 5. *Conf. Jer. i.* 8. *x.* 17. *Ezech. ii.* 4-7. εις ἁλυσιν. *Prov. vi.* 1. *alii. Act. xxviii.* 20. 2 *Cor. v.* 20. *Cap. iii.* 1. *Phil. i.* 7. *Col. iv.* 18. [*Ignat. ad Polycarp.* § 2. *p.* 12.]

21 Ἱνα δε ειδητε και ὑμεις τα κατ' εμε, τι πρασσω, παντα ὑμιν γνωρισει Τυχικος ὁ αγαπητος αδελφος και πιστος διακονος εν Κυριῳ·

τα κατ' αυτον. 1 *Esd. i.* 24. τα κατα σε. *Tob. x.* 9. (*quæ ad me pertinent, i. e. statum meum. Henke.*) και οἱ αδελφοι αυτου ἱερεις. *Esd. iii.* 2. θεραπων—εν ὁλῳ τῳ οικῳ μου πιστος εστι. *Num. xii.* 7. *Conf. Act. xx.* 4. *Col. iv.* 7. 2 *Tim. iv.* 12. *Tit. iii.* 12.

22 Ὁν επεμψα προς ὑμας εις αυτο τουτο, ἱνα γνωτε τα περι ἡμων, και παρακαλεσῃ τας καρδιας ὑμων.

αναγγελλει τα περι αυτου. *Sir. xix.* 30. χειρας ασθενους παρε-

καλεσας. *Job. iv.* 3. στηρισον την καρδιαν σου. *Jud. xix.* 5. πεπομφα δε και τον Μενελαον παρακαλεσοντα ὑμας. 2 *Mac. xi.* 32.

23 Ειρηνη τοις αδελφοις και αγαπη μετα πιστεως απο Θεου πατρος και Κυριου Ιησου Χριστου.

ειρηνη σοι. 4 *Reg. iv.* 26. *Esa. lxvi.* 10. [το γαρ ὁλον εστι πιστις και αγαπη. *Ignat. Epist.* 1.] 1 *Reg. xxv.* 6. *Ps. cxxi.* 6-9.

24 Ἡ χαρις μετα παντων των αγαπωντων τον Κυριον ἡμων Ιησουν Χριστον εν αφθαρσιᾳ. αμην.

αφθαρσια δε εγγυς ειναι ποιει Θεου. *Sap. vi.* 19. εν αφθαρσιᾳ, *i.e.* αφθαρτως. *Schleus.* και ερει πας ὁ λαος, Αμην. 1 *Par. xvi.* 36. καυχησις τοις αγαπωσιν αυτον. *Sir. i.* 18. *Comp.* αγαλλιασαιντο και ευφρανθειησαν επι σοι παντες οἱ ζητουντες σε Κυριε, κ. τ. λ. *Ps. xxxix.* 16. [ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μεθ' ὑμων, και μετα παντων πανταχη των κεκλημενων ὑπο Θεου, κ. τ. λ. *Clem. Rom.* 1. *Epist. sub. fin.*] *Conf. Tob. xiv.* 7. *Sir. i.* 18.

[Προς Εφεσιους εγραφη απο Ῥωμης δια Τυχικου.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ και Τιμοθεος δουλοι Ιησου Χριστου, πασι τοις ἁγιοις εν Χριστῳ Ιησου τοις ουσιν εν Φιλιπποις, συν επισκοποις και διακονοις·

οἱ δουλοι του Θεου ὑψιστου. *Dan. iii.* 26. *vi.* 20. *Jud. ii.* 8. ἁγιοι κληθησονται παντες οἱ γραφεντες εις ζωην εν Ἱερουσαλημ. *Esa. iv.* 3. τοις αδελφοις τοις κατ' Αιγυπτον Ιουδαιοις χαιρειν. οἱ αδελφοι οἱ εν Ἱεροσολυμοις Ιουδαιοι, και οἱ εν τῃ χωρᾳ της Ιουδαιας ειρηνην αγαθην. 2 *Mac. i.* 1. επισκοποις. *Conf.* 1 *Mac. i.* 51.

2 Χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου Ιησου Χριστου.

ειρηνη σοι και ειρηνη τοις βοηθοις σου. 1 *Par. xii.* 17. *Dan. iii.* 21.

Ephes. i. 2. ευλογια Κυριου εφ' ὑμας, ευλογηκαμεν ὑμας εν ονοματι Κυριου. *Ps. cxxviii.* 8. *cxxi.* 8.

3 Ευχαριστω τῳ Θεῳ μου επι παση τῃ μνειᾳ ὑμων,

Conf. Rom. i. 8-10. 1 *Cor. i.* 4. *Ephes. i.* 16. ευχαριστησωμεν Κυριῳ τῳ Θεῳ ἡμων. *Judith. viii.* 25. επι τῃ μνειᾳ ἡ επιθυμει ἡ ψυχη ἡμων. *Esa. xxvi.* 8. μνημη δικαιων μετ' εγκωμιων, ονομα δε ασεβους σβεννυται. *Prov. x.* 7. 1 *Reg. xii.* 23.

4 Παντοτε εν παση δεησει μου ὑπερ παντων ὑμων μετα χαρας την δεησιν ποιουμενος,

ὑπερ νεκρων προσευχεσθαι. 2 *Mac. xii.* 44. πασαν δεησιν, εαν γενηται παντι ανθρωπῳ. 3 *Reg. viii.* 38. μετα χαρας. 1 *Par. xxix.* 22. *Comp. Sir. li.* 9. ποιουμενος. *Conf. Esa. xix.* 21.

5 Επι τῃ κοινωνιᾳ ὑμων εις το ευαγγελιον, απο πρωτης ἡμερας αχρι του νυν·

ἑως του νυν. *Gen. xviii.* 12. αχρις οὑ. *Job. xxxii.* 11. *Conf. Rom. xii.* 13. 2 *Cor. viii.* 4. *Gal. vi.* 6. [κοινωνια της ὁμοιας συμφορας. *Jos. Ant. ii.* 5. 1. αχρι ποτε. *ii.* 14. 5.] *Conf.* 1 *Joan. i. iii.* 7. *Sir. xlii.* 3.

6 Πεποιθως αυτο τουτο, ὁτι ὁ εναρξαμενος εν ὑμιν εργον αγαθον επιτελεσει αχρις ἡμερας Ιησου Χριστου·

αρξομαι και επιτελεσω. 1 *Reg. iii.* 12. και ενηρξατο του καθαιρειν. 1 *Mac. ix.* 54. πεποιθως—ὁτι. *Job. xi.* 18. *Conf. Joan. vi.* 29. 1 *Thess. i.* 3. Κυριε ανταποδωσεις ὑπερ εμου· Κυριε το ελεος σου εις τον αιωνα, τα εργα των χειρων σου μη παριδης. *Ps. cxxxvii.* 8. ἡμερα Κυριου. *Joel. ii.* 31. *Esa. ii.* 12. *Dan. xii.* 13.

7 Καθως εστι δικαιον εμοι τουτο φρονειν ὑπερ παντων ὑμων, δια το εχειν με εν τῃ καρδιᾳ ὑμας, εν τε τοις δεσμοις μου και τῃ απολογιᾳ και βεβαιωσει του ευαγγελιου, συγκοινωνους μου της χαριτος παντας ὑμας οντας.

δικαιον. *Conf. Act. iv.* 19. προσοχη δε νομων βεβαιωσις αφθαρσιας. *Sap. vi.* 19. οἱ διδαχθεντες αυτα εὑρησουσιν απολογιαν. *vi.* 10. φρονειν ὑπερ τινος. 2 *Mac. xiv.* 8. φρονειν τα τινος. 1 *Mac. x.* 20. συγκοινωνους. *Apoc. i.* 9. 2 *Mac. v.* 20. *Conf.* 1 *Cor. xi.* 1. 1 *Thess. i.* 6. *Cap. iii.* 7. φιλος κοινωνος τραπεζων. *Sir. vi.* 10.

8 Μαρτυς γαρ μου εστιν ὁ Θεος, ὡς επιποθω παντας ὑμας εν σπλαγχνοις Ιησου Χριστου.

Θεος μαρτυς μεταξυ εμου και μεταξυ σου. *Gen. xxxi.* 50. *Job. xvi.* 19. επιποθει ἡ ψυχη μου προς σε. *Ps. xli.* 1. ὁτι τας εντολας σου επεποθουν. *cxviii.* 130. *lxxxiii.* 2. επι τεκνου σπλαγχνοις. *Sap. x.* 5. *Conf. Gen. xliii.* 30. *Esa. xvi.* 11. *Aq. Sym. lxiii.* 15. *Rom. i.* 9. 2 *Cor. i.* 23. *Gal. i.* 20. 1 *Thess. ii.* 5. 1 *Tim. v.* 21.

[και δοθησεται σοι ευλογια, και παντι σπερματι σου, ἑως επισκεψεται Κυριος παντα τα εθνη εν σπλαγχνοις υἱου αυτου ἑως αιωνος. *Test. XII Patr. p.* 549.]

9 Και τουτο προσευχομαι, ἱνα ἡ αγαπη ὑμων ετι μαλλον και μαλλον περισσευῃ εν επιγνωσει και πασῃ αισθησει,

πνευμα σοφιας και αισθησεως. *Exod. xxviii.* 3. αισθησιν τε και εννοιαν. *Prov. i.* 4. αἱ δε ὁδοι των δικαιων ὁμοιως φωτι λαμπουσιν, ἑως κατορθωσῃ ἡ ἡμερα. *iv.* 18.

10 Εις το δοκιμαζειν ὑμας τα διαφεροντα, ἱνα ητε ειλικρινεις και απροσκοποι εις ἡμεραν Χριστου,

Κυριε εδοκιμασας με και εγνως με. *Ps. cxxxviii.* 1. 23. προελεσθαι πονηρα, εκλεξασθαι το αγαθον. *Esa. vii.* 15. ειλικρινης. *Sap. vii.* 25. *Conf. Amos. v.* 14. *Rom. i.* 11. *ii.* 18. ἡ ἡμερα Κυριου. *Joel. ii.* 1. *Ephes. v.* 10. [ὁταν ἡδονης αμετρου κορεσθωμεν, ουθ' ὁραν, ουτ' ακουειν, ουτ' οσφραινεσθαι, ουτε γευεσθαι, ουθ' ἁπτεσθαι ειλικρινως δυναμεθα. *Philo,* 2 *Alleg. p.* 81.] *Conf. Tit. i.* 15.

11 Πεπληρωμενοι καρπων δικαιοσυνης των δια Ιησου Χριστου, εις δοξαν και επαινον Θεου.

κατα το πληθος των καρπων αυτης. *Ose. x.* 1. *Jer. xvii.* 10. *Prov. x.* 16. εκ καρπου δικαιοσυνης φυεται δενδρον ζωης. *xi.* 30. *Conf. Joan. xv.* 4-8. *Ephes. i.* 12. *ii.* 10. δοξα και επαινος κατα προσωπον αυτου. κ. τ. λ. 1 *Par. xvi.* 27. δικαιος ὡς φοινιξ ανθησει, ὡς ἡ κεδρος ἡ εν τῳ Λιβανῳ πληθυνθησεται, κ. τ. λ. *Ps. xci.* 12-14. και κληθησονται γενεαι δικαιοσυνης, φυτευμα Κυριου εις δοξαν. *Esa. lxi.* 3. 11. *Ps. xlix.* 23.

12 Γινωσκειν δε ὑμας βουλομαι, αδελφοι, ὁτι τα κατ' εμε μαλλον εις προκοπην του ευαγγελιου εληλυθεν·

τα κατ' αυτον. 1 *Esd. i.* 24. τα κατα σε. *Tob. x.* 8. τα κατ' εμε. *Conf.* 2 *Mac. xv.* 37. *Viger. p.* 5. εις προκοπην. 2 *Mac. viii.* 8. *Sir. li.* 23. εις ονειδος ερχεται. *Sap. xv.* 5. *Conf. Exod. xviii.* 11. ὁτι ενθυμιον ανθρωπου εξομολογησεται σοι, και εγκαταλειμμα ενθυμιου ἑορτασει σοι. *Ps. lxxv.* 10. *Conf. Rom. viii.* 35, 36.

13 Ὡστε τους δεσμους μου φανερους εν Χριστῳ γενεσθαι εν ὁλῳ τῳ πραιτωριῳ και τοις λοιποις πασι,

επιδηλον πασι και φανερον. 2 *Mac. xv.* 35. ὡστε. *Jos. x.* 14. και διεσπασας τους δεσμους σου. *Jer. ii.* 20. και εν δεσμοις ουκ αφηκεν αυτον. *Sap. x.* 14. [πραιτωριον—παλατιον. *Act. Thom.* 19.]

14 Και τους πλειονας των αδελφων εν Κυριῳ πεποιθοτας τοις δεσμοις μου περισσοτερως τολμαν αφοβως τον λογον λαλειν.

οἱ δε ενδον τῃ ερυμνοτητι του τοπου πεποιθοτες. *2 Mac. x.* 34. λαλουσι παντες οἱ προφηται. *3 Reg. xxii.* 13. [ὑπο μεν των πλειονων επιστευετο. *Jos. Ant. x.* 7. 3.] δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. *Ps. lxvii.* 11.

15 Τινες μεν και δια φθονον και εριν, τινες δε και δι' ευδοκιαν τον Χριστον κηρυσσουσιν.

Conf. 2 *Cor. ii.* 17. *Gal. i.* 7. *Cap. iii.* 2. οἱ οικοδομουντες Σιων εν αἱμασι, και Ἱερουσαλημ εν αδικιαις. *Mich. iii.* 10. απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos. iv.* 13. *Ps. ii.* 7. *xliv.* 1.

16 Οἱ μεν εξ εριθειας τον Χριστον καταγγελλουσιν ουχ ἁγνως, οιομενοι θλιψιν επιφερειν τοις δεσμοις μου·

[πυρ επιφερων πυρι. *Philo, Leg. ad Cai.*] ὁ δε Αντιοχος οιομενος καταφρονεισθαι. *2 Mac. vii.* 24. ὁτι ὁν συ επαταξας, αυτοι κατεδιωξαν, και επι το αλγος των τραυματων μου προσεθηκαν. *Ps. lxviii.* 26. θλιψιν επι θλιψιν. *Esa. xxviii.* 10.

17 Οἱ δε εξ αγαπης, ειδοτες ὁτι εις απολογιαν του ευαγγελιου κειμαι.

κειμενος αυτοις αγων. *2 Mac. xv.* 18. ὁτι επι στοματος Αβεσσαλωμ ην κειμενος. *2 Reg. xiii.* 32. *Conf.* 1 *Cor. ix.* 17. 2 *Tim. iv.* 16.

18 Τι γαρ; πλην παντι τροπῳ, ειτε προφασει ειτε αληθειᾳ, Χριστος καταγγελλεται· και εν τουτῳ χαιρω, αλλα και χαρησομαι.

παντι τροπῳ. *1 Mac. xiv.* 35. προφασεις ζητει. *Prov. xviii.* 1. *Ose. x.* 4. ειτε—ειτε. *Ruth. xiii.* 11. πλην. *Sir. xlv.* 22. αλλα και. 1 *Reg. xvi.* 6. τι γαρ; *Job. xvi.* 3. *xxi.* 4. *Conf. Ps. civ.* 3. χαρησομαι επι τῳ Θεῳ τῳ σωτηρι μου. *Hab. iii.* 18.

19 Οιδα γαρ ὁτι τουτο μοι αποβησεται εις σωτηριαν δια της ὑμων δεησεως και επιχορηγιας του Πνευματος Ιησου Χριστου,

και τουτο μοι αποβησεται εις σωτηριαν. *Job. xiii.* 16. πνευμα Θεου. *Gen. xli.* 38. *Agg. ii.* 6. επιχορηγια. *Krebs. p.* 305-7.

20 Κατα την αποκαραδοκιαν και ελπιδα μου, ὁτι εν ουδενι αισχυνθησομαι, αλλ' εν πασῃ παῤῥησιᾳ, ὡς παντοτε, και νυν μεγαλυνθησεται Χριστος εν τῳ σωματι μου, ειτε δια ζωης ειτε δια θανατου.

καραδοκια. *Ps. xxxviii.* 8. *Aq.* ὑπομονη. *LXX.* ὁπως αν μη αισχυνθω. *cxviii.* 80. και ου μη καταισχυνθωσιν ετι ὁ λαος μου εις τον αιωνα. *Joel. ii.* 27. και ουκ αισχυνθησονται οἱ ὑπομενοντες με. *Esa. xlix.* 23. εν παῤῥησιᾳ πολλῃ. *Sap. v.* 1. ασεβης δε αισχυνεται, και ουχ ἑξει παῤῥησιαν. *Prov. xiii.* 5. μεγαλυνθητω ὁ

Κυριος. *Ps. xxxix.* 16. *xxxiii.* 3. *ciii.* 1. τῳ στοματι μου. *lxxxviii.* 1. *cviii.* 29. και τις μεγαλυνει αυτον καθως εστι; *Sir. xliii.* 31. *Conf. Rom. vi.* 13. *xii.* 1.

21 Εμοι γαρ το ζῃν, Χριστος· και το αποθανειν, κερδος.

Gal. ii. 20. το ζῃν *pro* ζωη. *Conf.* 2 *Mac. iii.* 31. 33. *vii.* 22. εδιψησεν ἡ ψυχη μου προς τον Θεον τον ζωντα, κ. τ. λ. *Ps. xli.* 2. *Conf. Esa. lvii.* 1, 2. *Sap. xv.* 2, 3. *Sir. xli.* 8, 9.

22 Ει δε το ζῃν εν σαρκι, τουτο μοι καρπος εργου· και τι αἱρησομαι, ου γνωριζω·

ου γαρ οἱ εν ᾁδου αινεσουσι σε, κ. τ. λ. *Esa. xxxviii.* 18, 19. ου γνωριζω, *nescio. Conf. Ps. xci.* 6. *Job. xxxiv.* 25.

23 Συνεχομαι γαρ εκ των δυο, την επιθυμιαν εχων εις το αναλυσαι και συν Χριστῳ ειναι, πολλῳ μαλλον κρεισσον·

Conf. 2 *Reg. xxiv.* 14. εγω συνεχομενος φοβῳ. *Job. iii.* 24. *xxxi.* 23. [συνεχει γαρ ἱκανως τα παρα την προδοκιαν συντυχοντα δεινα. *Jos. Ant. v.* 11. 3.] και το πνευμα επιστρεψῃ προς τον Θεον ὁς εδωκεν αυτο. *Eccles. xii.* 7. [αναλυσις εκ του βιου. *Philo. in. Flacc. p.* 991.] πολλῳ μαλλον. *Prol. Sir.* τις δωσει μοι πτερυγας;—και πετασθησομαι και καταπαυσω. *Ps. liv.* 6.

24 Το δε επιμενειν εν τῃ σαρκι, αναγκαιοτερον δι' ὑμας.

25 Και τουτο πεποιθως οιδα, ὁτι μενω και συμπαραμενω πασιν ὑμιν εις την ὑμων προκοπην και χαραν της πιστεως,

πεπεισμαι γαρ. 2 *Mac. ix.* 27. συμπαραμενειν. *Ps. lxxi.* 5. *Conf. cap. ii.* 24. *Ps. lx.* 7. εις προκοπην. 2 *Mac. viii.* 8. φαγετε πλησιοι και πιετε, και μεθυσθητε αδελφοι. *Cant. v.* 1.

26 Ἱνα το καυχημα ὑμων περισσευῃ εν Χριστῳ Ιησου εν εμοι, δια της εμης παρουσιας παλιν προς ὑμας.

περισσευων εν φρονησει. *Sir. xix.* 24. καυχημα. *Jer. xvii.* 14.

27 Μονον αξιως του ευαγγελιου του Χριστου πολιτευεσθε, ἱνα ειτε ελθων και ιδων ὑμας, ειτε απων, ακουσω τα περι ὑμων, ὁτι στηκετε εν ἑνι πνευματι, μιᾳ ψυχῃ συναθλουντες τῃ πιστει του ευαγγελιου,

πολιτευεσθε. *Conf. Act. xxiii.* 1. *Ephes. ii.* 19. και τοις του Θεου νομοις μη πολιτευεσθαι. 2 *Mac. vi.* 19. αναγγελλει τα περι αυτου. *Sir. xix.* 30. [νηφε ὡς Θεου αθλητης. *Ignat. ad Polycarp. p.* 12.] [τους αρετης αθλους Μωσης διηθλει. *Philo.* 1 *Vit. Mos. p.* 610.] και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 *Reg. xxiii.* 3. θαρσειτε, στηκετε. *Exod. xiv.* 13. *Alex. Comp.* ψυχη μια. 1 *Par. xii.* 38. χαρητε ἁμα αυτῃ

χαρα παντες. Esa. lxvi. 10. [*ηρξαμην τε πολιτευεσθαι τη Φαρισαιων αἱρεσει κατακολουθων. Jos. Vit.* 2.] *εν τω οικω του Θεου επορευθημεν εν ὁμονοια. Ps. liv.* 14. 2 *Reg. xix.* 14.

28 Και μη πτυρομενοι εν μηδενι ὑπο των αντικειμενων· ἡτις αυτοις μεν εστιν ενδειξις απωλειας, ὑμιν δε σωτηριας, και τουτο απο Θεου·

και αντικεισομαι τοις αντικειμενοις σοι. Exod. xxiii. 22. *συμβολον εχοντες σωτηριας, κ. τ. λ. Sap. xvi.* 6. [*πτυρεται· φοβειται, φριττει. Hesych.*] *μη φοβεισθε ονειδισμον ανθρωπων, και τω φαυλισμω αυτων μη ἡττασθε. Esa. li.* 7. *Conf. xii.* 2. *τουτο μοι αποβησεται εις σωτηριαν. Job. xiii.* 16. *μη φοβηθης απο προσωπου αυτων, ὁτι μετα σου εγω ειμι, κ. τ. λ. Jer. i.* 8. *Prov. iii.* 25.

29 Ὁτι ὑμιν εχαρισθη το ὑπερ Χριστου, ου μονον το εις αυτον πιστευειν, αλλα και το ὑπερ αυτου πασχειν·

γνωθι, ὡς ελαβον περι σου ονειδισμον, κ. τ. λ. Jer. xv. 15. *ουδε εγω το πνευμα και την ζωην ὑμιν εχαρισαμην.* 2 *Mac. vii.* 22. *σοι κεχαρισται το ζην ὁ Κυριος. iii.* 33. *των ὑπερ Θεου νομον ἑως θανατου πονων ὑπεριδοντες.* 4 *Mac.* 1. 9. *Ps. lxviii.* 9. 19. *ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν.* 2 *Mac. vii.* 32.

30 Τον αυτον αγωνα εχοντες οἱον ιδετε εν εμοι, και νυν ακουετε εν εμοι.

και αγωνα ισχυρον εβραβευσεν αυτω. Sap. x. 12. 2 *Mac. iv.* 18. *x.* 28. *Conf. Col. i.* 29. 1 *Thess. ii.* 2. *Gen. xxxii.* 24-26. *γενναιως αγωνισασθαι μεχρι θανατου.* 2 *Mac. xiii.* 14.

ΚΕΦ. β. 2.

ΕΙ τις ουν παρακλησις εν Χριστω, ει τι παραμυθιον αγαπης, ει τις κοινωνια Πνευματος, ει τινα σπλαγχνα και οικτιρμοι,

αἱ παρακλησεις σου ηγαπησαν (*Alex. ηυφραναν*) *την ψυχην μου. Ps. xciii.* 19. *ουδε εξουσιαν εν ἡμερα διαγνωσεως παραμυθιον. Sap. iii.* 18. *και επι τεκνου σπλαγχνοις ισχυρον εφυλαξε. x.* 5. *και μη ειπης, Ὁ οικτιρμος αυτου πολυς. Sir. v.* 6. *xxv.* 1. *Ps. ciii.* 4. *Zach. i.* 16. *Judith. viii.* 24. *τα δε σπλαγχνα των ασεβων ανελεημονα. Prov. xii.* 10. *Conf. Col. iii.* 2. *Ps. cxxxii.* 1.

2 Πληρωσατε μου την χαραν, ἱνα το αυτο φρονητε, την αυτην αγαπην εχοντες, συμψυχοι, το ἑν φρονουντες·

αὑτη ουν ἡ χαρα ἡ ἐμη πεπληρωται. Joan. iii. 29. Conf. 1 Pet. iii. 8. Ps. liv. 14. Rom. xii. 10. 1 Cor. i. 10. Cap. i. 27. ιδου δη τι καλον, η τι τερπνον, αλλ' η το κατοικειν αδελφους επιτοαυτο; Ps. cxxxii. 1. [τα αυτα φρονειν. Jos. Bell. Jud. v. 7. 4.]

3 *Μηδεν κατα εριθειαν η κενοδοξιαν, αλλα τῃ ταπεινοφροσυνῃ αλληλους ἡγουμενοι ὑπερεχοντας ἑαυτων·*

ὁτι ουκ εδωκεν αυτῃ Κυριος παιδιον κατα την θλιψιν αυτης και κατα την αθυμιαν της θλιψεως αυτης. 1 Reg. i. 6. ταπεινοφρονειν. Prov. xxix. 23. Ps. cxxx. 2. Conf. Ephes. iv. 2. 1 Pet. v. 5. τον θρονον ὑπερεξω σου εγω. Gen. xli. 40. ἡμερα ἡμερας ὑπερεχει. Sir. xxxvi. 7. κενοδοξια. Sap. xiv. 14. κακος μεθ' ὑβρεως πρασσει κακα, οἱ δε ἑαυτων επιγνωμονες σοφοι. Prov. xiii. 10.

4 *Μη τα ἑαυτων ἑκαστος σκοπειτε, αλλα και τα ἑτερων ἑκαστος.*

το δε συμφερον κοινῃ κατ' ιδιαν παντι τῳ πληθει σκοπων. 2 Mac. iv. 5. μακαριον εστι διδοναι μαλλον η λαμβανειν. Act. xx. 35. μη ζητων το εμαυτου συμφερον. 1 Cor. x. 33. xiii. 5. Conf. Bos. Ellips. p. 256.

5 *Τουτο γαρ φρονεισθω εν ὑμιν, ὁ και εν Χριστῳ Ιησου,*

φρονειν τα τινος. 1 Mac. x. 20. ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον. Sir. iii. 18. [ὁρατε, ανδρες αγαπητοι, τις ὁ ὑπογραμμος ὁ δεδομενος ἡμιν· ει γαρ ὁ Κυριος οὑτως εταπεινοφρονησε, τι ποιησωμεν ἡμεις οἱ ὑπο τον ζυγον της χαριτας αυτου ελθοντες; Clem. Rom. 1 Epist. 16.]

6 *Ὁς εν μορφῃ Θεου ὑπαρχων ουχ ἁρπαγμον ἡγησατο το ειναι ισα Θεῳ,*

ὁ ὑπαρχων προ των αιωνων. Ps. liv. 19. και εποιησεν αυτο ὡς μορφην ανδρος. Esa. xliv. 13. το ονομα αυτου Ἑμμανουηλ. Esa. vii. 14. ix. 6. Dan. iv. 33. ισοθεα φρονειν. 2 Mac. ix. 12. xiv. 8. ισος απασι. Sap. vii. 1. Job. x. 10. xv. 16. ἡγησαι δε με ισα πηλῳ. xxx. 19. επι ανδρα πολιτην μου, λεγει Κυριος παντοκρατωρ. Zach. xiii. 7. [και οψεσθε Θεον εν σχηματι ανθρωπου. Test. XII Patr. p. 644-5. οφθησεται Θεος, κατοικων εν ανθρωποις επι της γης, σωσαι το γενος Ισραηλ· και επισυναξει δικαιους εκ των εθνων. p. 672. Θεος εις ανδρα ὑποκρινομενος. p. 696.] Conf. Heb. i. 8. 1 Joan. v. 20. 1 Pet. i. 17. Marc. ix. 3. Apoc. xix. 17. Rom. ix. 5. Joan. i. 1, 2. iii. 13. v. 18. xvii. 5. [εις Θεου φυσιν και μορφην. Jos. c. Ap. ii. 34.] [ωφθη αυτοις εν μορφῃ Θεου, ἡ ὑπηρχε παλαι. Orig. in Matt. xvii. 2.] ἡγημαι δε εμαυτον γην και σποδον. Job. xlii. 6. xix. 11.]

7 Αλλ' ἑαυτον εκενωσε, μορφην δουλου λαβων, εν ὁμοιωματι ανθρωπων γενομενος·

ὡς ὁ διακονων. *Luc. xxii.* 27. δι' ὑμας επτωχευσε, πλουσιος ων. 2 *Cor. viii.* 9. επι της γης ωφθη (Θεος), και εν τοις ανθρωποις συνανεστραφη. *Bar. iii.* 37. [εσυλησε το ἱερον, και τους θησαυρους εκενωσε Θεου τε και βασιλικους. *Jos. Ant. viii.* 10. 3.] εκενωθη ἡ τικτουσα. *Jer. xv.* 9. *Neh. v.* 13. ειδομεν αυτον, και ουχ ειχεν ειδος ουδε καλλος—ητιμασθη, και ουχ ελογισθη—κ. τ. λ. *Esa. liii.* και ιδον, και ιδου ὁμοιωμα ανδρος. *Ezech. viii.* 2. τινι ὡμοιωσας σεαυτον εν τῳ ὑψει σου; *xxxi.* 2. *Dan. iii.* 25. *Sap. xviii.* 1. ηλαττωσας αυτον βραχυ τι παρ' αγγελους, δοξῃ και τιμῃ εστεφανωσας αυτον. *Ps. viii.* 5. *xxii.* 6. *Esa. lii.* 14. *xlii.* 1. *xlix.* 3. [ὁ Θεος σωμα λαβων. *Test. XII Patr. p.* 542. τοτε και ἡμεις αναστησομεθα ἑκαστος επι σκηπτρον ἡμων, προσκυνουντες τον βασιλεα των ουρανων, τον επι γης φανεντα εν μορφῃ ανθρωπου ταπεινωσεως. *p.* 744.] γενομενος, *natus. Sap. vii.* 3. *Conf. Joan. i.* 14. *Dan. ix.* 26. *Ezech. xxxiv.* 23. *Zach. iii.* 8. *Matt. xx.* 28. *Rom. i.* 4. *Gal. iv.* 4. σωμα δε κατηρτισω μοι. *Heb. x.* 5.

8 Και σχηματι εὑρεθεις ὡς ανθρωπος, εταπεινωσεν ἑαυτον, γενομενος ὑπηκοος μεχρι θανατου, θανατου δε σταυρου.

και εισιν οἱ ταπεινουντες ἑαυτους (πτωχευομενοι. *Sym.*) εν πολλῳ πλουτῳ. *Prov. xiii.* 7. εν τῃ ταπεινωσει ἡ κρισις αυτου ηρθη, κ. τ. λ. *Esa. liii.* 8. ψυχην τεταπεινωμενην εμπλησῃς. *lviii.* 10. αγωνισασθαι μεχρι θανατου περι νομων. 2 *Mac. xiii.* 14. εὑρεθεις. *Conf. Luc. xvii.* 18. *Act. v.* 39. 1 *Cor. iv.* 2. ὡς ανθρωποι αποθνησκετε. *Ps. lxxxi.* 7. σταυρωθητω επ' αυτου. *Est. vii.* 9. *Conf. Deut. xxi.* 23. *Ps. xxi.* 15, 16. *Matt. xxvi.* 39. 42. *Joan. x.* 18. *Heb. ii.* 9. *xii.* 2. αυτοι δε οἱ μεχρι θανατου τον Θεον εσχηκοτες. 3 *Mac. vii.* 16. [Αβραμος δε μετῳκησεν εις Γεραρα της Παλαιστινης, εν αδελφης επαγομενος σχηματι την Σαρραν. *Jos. Ant. xii.* 1.] [οψεσθε Θεον εν σχηματι ανθρωπων. *Test. XII Patr. p.* 645.] *Ps. cxii.* 5, 6.

9 Διο και ὁ Θεος αυτον ὑπερυψωσε, και εχαρισατο αυτῳ ονομα το ὑπερ παν ονομα·

σφοδρα ὑπερυψωθης ὑπερ παντας τους θεους. *Ps. xcvi.* 9. *Conf. Ps. xliv.* 7. *Dan. iv.* 34. *Cant. Tri. Puer.* 28. μεγα ονομα εν τοις εθνεσι. *Mal. i.* 11. ου πρεσβυς, ουδε αγγελος, αλλ' αυτος εσωσεν αυτους, κ. τ. λ. *Esa. lxiii.* 9. ὡς θαυμαστον το ονομα σου εν πασῃ τῃ γῃ. *Ps. viii.* 1. 9. του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 *Mac. viii.* 15. ζηλωτον ονομα. *Exod. xxxiv.* 14. *Deut. xxvi.* 19. *Conf. Esa. liii.* 12. *Ps. xciv.* 3. *lxvii.* 17. *Exod. xv.* 11.

ει κατα ἁγιων ου πιστευει, ουρανος δε ου καθαρος εναντιον αυτου. Job. xv. 15. *εκλελοχισμενος απο μυριαδων. Cant. v.* 10.

10 Ἱνα εν τῳ ονοματι Ιησου παν γονυ καμψῃ επουρανιων και επιγειων και καταχθονιων·

εμοι καμψει παν γονυ, κ. τ. λ. Esa. xlv. 24. *ου ποιησεις σεαυτῳ ειδωλον, ουδε παντος ὁμοιωμα, ὁσα εν τῳ ουρανῳ ανω, κ. τ. λ. Exod. xx.* 4, 5. 3 *Reg. xix.* 18. [*καταχθονιων. Conf. Jos. Ant. xviii.* 1. 3.]

11 Και πασα γλωσσα εξομολογησηται ὁτι Κυριος Ιησους Χριστος, εις δοξαν Θεου πατρος.

και ομειται πασα γλωσσα τον Θεον. Esa. xlv. 23. *ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, κ. τ. λ. Ps. cix.* 1. *Conf. Rom. xiv.* 11. *Act. ii.* 36. *Jer. xxiii.* 6. *και γνωτωσαν πας ὁ λαος οὑτος, ὁτι συ ει Κυριος ὁ Θεος Ισραηλ.—και ειπον, Αληθως Κυριος ὁ Θεος, αυτος ὁ Θεος.* 3 *Reg. xviii.* 36-40. *ελαλησε δε ὁ Θεος προς Μωϋσην, και ειπε προς αυτον, Εγω Κυριος, κ. τ. λ. Exod. vi.* 2, 3. *Perpende omnino. Conf. Exod. iii.* 13-15. *Joan. i.* 1. 18. *iii.* 13. *Zach. x.* 12. *Apoc. i.* 8.

12 Ὡστε, αγαπητοι μου, καθως παντοτε ὑπηκουσατε, μη ὡς εν τῃ παρουσιᾳ μου μονον, αλλα νυν πολλῳ μαλλον εν τῃ απουσιᾳ μου, μετα φοβου και τρομου την ἑαυτων σωτηριαν κατεργαζεσθε·

δουλευσατε τῳ Κυρῳ εν φοβῳ, και αγαλλιασθε αυτῳ εν τρομῳ. Ps. ii. 11. *ὡστε. Sap. vi.* 25. *αποντες δε και παροντες ὁμοιως ετρυχοντο. xi.* 11. *iv.* 2. *xiv.* 17. *και ὑπηκουσεν αυτῳ τρομῳ. Bar. iii.* 33. *δυναμωσον ὁ Θεος τουτο ὁ κατειργασω εν ἡμιν. Ps. lxvii.* 28. *Ald. Comp.*

13 Ὁ Θεος γαρ εστιν ὁ ενεργων εν ὑμιν και το θελειν και το ενεργειν ὑπερ της ευδοκιας.

παντα ὁσα ηθελησεν, εποιησε. Ps. cxiii. 3. *τις ενηργησε, και εποιησε ταυτα; Esa. xli.* 4. *ὑπερ. Ps. civ.* 14. *Conf. Esd. i.* 1. *Job. xxxiii.* 4. *Ps. xxxiii.* 15. *παντα γαρ απεδωκας τα εργα ἡμων. Esa. xxvi.* 12. *M. Ιδου ταυτα παντα εργαται ὁ ισχυρος ὁδους τρεις μετα ανδρος. Job. xxxiii.* 29. *και εγενετο χειρ Κυριου δουναι αυτοις καρδιαν μιαν ελθειν, του ποιησαι κατα τα προσταγματα κ. τ. λ.* 2 *Par. xxx.* 12. *Jer. xxxviii.* 33. *xxxix.* 39. *Num. xxiv.* 13. *μετα σου ἡ αρχη εν ἡμερᾳ της δυναμεως σου, εν ταις λαμπροτησι των ἁγιων σου. Ps. cix.* 3. *ευδοκια. lxvii.* 16.

14 Παντα ποιειτε χωρις γογγυσμων και διαλογισμων,

γογγυσμοι. *Exod. xvi.* 7. 12. *Num. xiv.* 27. *xvii.* 10. ῥημα γογγυσμου. *Esa. lviii.* 9. διαλογισμοι. *Ps. lv.* 6. *xci.* 5. *Conf. Rom. xii.* 18. 2 *Pet. iv.* 9. *Ps. cv.* 25. *Prov. xiii.* 10. *xv.* 17, 18.

15 Ἱνα γενησθε αμεμπτοι και ακεραιοι, τεκνα Θεου αμωμητα εν μεσῳ γενεας σκολιας και διεστραμμενης, εν οἱς φαινεσθε ὡς φωστηρες εν κοσμῳ,

αμεμπτος. *Job. i.* 1. ακεραιος. *Additt. Est. xvi.* 4. τεκνα Θεου. *Conf. Rom. viii.* 16. αμωμος εν δικαιοσυνῃ. *Prov. xx.* 7. *Ps. lxiii.* 4. γενεα σκολια και διεστραμμενη. *Deut. xxxii.* 5. φωτηρας ουρανου, πρυτανεις κοσμου. *Sap. xiii.* 2. εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. *Gen. i.* 14. 16. τεκνον, εν αγαθοις μη δως μωμον. *Sir. xviii.* 15. [ακεραιον αυτοις οντα τον βιον. *Jos. Ant. i.* 2. 2.]

16 Λογον ζωης επεχοντες, εις καυχημα εμοι εις ἡμεραν Χριστου, ὁτι ουκ εις κενον εδραμον, ουδε εις κενον εκοπιασα.

οἱ δε εκλεκτοι μου ου κοπιασουσιν εις κενον. *Esa. lxv.* 23. ανευ ανομιας δρομον και κατευθυνα. *Ps. lviii.* 4. ὁδους ζωης. *xv.* 11. εν τῃ δικαιοσυνῃ σου ζησον με. *cxviii.* 40. και ου μη ειπωσι, Κοπιω, ὁ λαος ενοικων εν αυτοις· αφεθῃ γαρ αυτοις ἡ ἁμαρτια. *Esa. xxxiii.* 24. ευηγγελισαμην δικαιοσυνην εν εκκλησιᾳ μεγαλῃ, κ. τ. λ. *Ps. xxxix.* 9. *Conf. Act. v.* 20. [επεχοντες· κρατουντες. *Hesych.*] εσται εις ἡμερας ταυτα καιρῳ, και ἑως εις τον αιωνα. *Esa. xxx.* 8. οὑτος καυχημα σου. *Deut. x.* 21. *Jer. xvii.* 14.

17 Αλλ᾽ ει και σπενδομαι επι τῃ θυσιᾳ και λειτουργιᾳ της πιστεως ὑμων, χαιρω και συγχαιρω πασιν ὑμιν·

και εσπεισεν επ᾽ αυτην σπονδην. *Gen. xxxv.* 14. *Jer. vii.* 18. θυμιᾳν—και σπενδειν αυτῃ σπονδας. *li.* 17-19. [*Conf. Suicer. ii. p.* 993.] *Conf. Sap. iii.* 6. λειτουργειν την λειτουργιαν αυτων. *Num. viii.* 22. ὁς γαρ αν ακουσῃ, συγχαρειται μοι. *Gen. xxi.* 6. *Conf.* 2 *Tim. iv.* 6. κατευθυνθητω ἡ προσευχη μου ὡς θυμιαματα, κ. τ. λ. *Ps. cxl.* 2.

18 Το δ᾽ αυτο και ὑμεις χαιρετε και συγχαιρετε μοι.

χαρητε ἁμα αυτῃ χαρᾳ παντες ὁσοι πενθειτε. *Esa. lxvi.* 10.

19 Ελπιζω δε εν Κυριῳ Ιησου, Τιμοθεον ταχεως πεμψαι ὑμιν, ἱνα καγω ευψυχω, γνους τα περι ὑμων·

αναγγελλει τα περι αυτου. *Sir. xix.* 30. ευψυχια. *Mac. xiv.* 18. *Conf.* 1 *Thess. iii.* 2. 1 *Reg. xvii.* 18. *Alex. Ald.*

20 Ουδενα γαρ εχω ισοψυχον, ὁστις γνησιως τα περι ὑμων μεριμνησει.

συ δε ανθρωπε ισοψυχε. Ps. liv. 13. *γνησιως φρονων. 2 Mac. xiv.* 8. *ὁστις. Deut. iii.* 24. *Conf. Prov. xxxi.* 29. *Joan. x.* 13. *ὁτι ηγαπησεν αυτον κατα την ψυχην αυτου.* 1 *Reg. xviii.* 3. *Comp.*

21 Οἱ παντες γαρ τα ἑαυτων ζητουσιν, ου τα του Χριστου Ιησου·

και φρονειν τα ἡμων. 1 *Mac. x.* 20. *παντες ταις ὁδοις αυτων εξηκολουθησαν, ἑκαστος κατα το ἑαυτου. Esa. lvi.* 11. *ουαι τοις προφητευουσιν απο καρδιας αυτων. Ezech. xiii.* 3.

22 Την δε δοκιμην αυτου γινωσκετε, ὁτι ὡς πατρι τεκνον, συν εμοι εδουλευσεν εις το ευαγγελιον.

δοκιμη αυγυριου. Ps. lxvii. 31. *Sym. τουτους μεν γαρ ὡς πατηρ νουθετων εδοκιμασας. Sap. xi.* 10. *εδουλευσε. Conf. Gen. xxix.* 15, 18, 20, 25, 29. *εις το ευαγγελιον. Conf. Esa. xxix.* 20. *Sym.*

23 Τουτον μεν ουν ελπιζω πεμψαι, ὡς αν απιδω τα περι εμε, εξαυτης·

προς την ανδρειαν αυτων ὁ τυραννος απιδων. 4 *Mac.* 17. 23. *Jon. iv.* 5. *ἑως ὁτου γνω τι ποιησει μοι ὁ Θεος.* 1 *Reg. xxii.* 3.

24 Πεποιθα δε εν Κυριῳ, ὁτι και αυτος ταχεως ελευσομαι.

25 Αναγκαιον δε ἡγησαμην Επαφροδιτον τον αδελφον και συνεργον και συστρατιωτην μου, ὑμων δε αποστολον, και λειτουργον της χρειας μου, πεμψαι προς ὑμας·

αποστολος, nuncius. 3 *Reg. xiv.* 6. *Alex. Ald. Comp. Conf. Prov. xxv.* 13. *αναγκαιον ἡγησαμην φροντισαι της κοινης παντων ασφαλειας.* 2 *Mac. ix.* 21. *πεποιθυια επι Κυριῳ. Susan.* 35.

26 Επειδη επιποθων ην παντας ὑμας, και αδημονων, διοτι ηκουσατε ὁτι ησθενησε.

επιποθει και εκλειπει ἡ ψυχη μου. Ps. lxxiii. 2. *αδημονειν. Job. xviii.* 20. *Aq. Conf.* 2 *Reg. xiii.* 39. *Jer. xxv.* 9. *επειδη. Prov. i.* 24.

27 Και γαρ ησθενησε παραπλησιον θανατῳ· αλλ᾽ ὁ Θεος αυτον ηλεησεν, ουκ αυτον δε μονον, αλλα και εμε, ἱνα μη λυπην επι λυπῃ σχω.

εμαλακισθη ἑως θανατου. Esa. xxxviii. 1. *ηῤῥωστησεν Εζεκιας εις θανατον.* 4 *Reg. xx.* 1. *και ελυπηθη Ιωνας λυπην μεγαλην. Jon. iv.* 1. *θλιψιν επι θλιψιν. Esa. xxviii.* 10. *ανομια επι ανομιαν. Ps. lxviii.* 27. *αγγελια επι αγγελιαν. Ezech. vii.* 26. *Conf. Gen. xlii.* 38. *Sir. xxxii.* 20. *ου μονον—αλλα και. Prol. Sir. ἡ δε ζωη αυτου εν ᾁδῃ. Job. xxxiii.* 22. *και γαρ. Sir. xlviii.* 11.

28 Σπουδαιοτερως ουν επεμψα αυτον, ἱνα ιδοντες αυτον παλιν χαρητε, καγω αλυποτερος ω.

29 Προσδεχεσθε ουν αυτον εν Κυριῳ μετα πασης χαρας, και τους τοιουτους εντιμους εχετε·

και προσεδεξατο αυτους Δαυιδ. 1 *Par. xii.* 18. προσδεχομενοι ὑμας εν χαρᾳ. *Esa. lv.* 12. *Conf.* 1 *Mac. xii.* 4, 8. μη εὑρησομεν τοιουτον ἑνα; *x.* 16. *Gen. xli.* 38.

30 Ὁτι δια το εργον του Χριστου μεχρι θανατου ηγγισε, παραβουλευσαμενος τῃ ψυχῃ, ἱνα αναπληρωσῃ το ὑμων ὑστερημα της προς με λειτουργιας.

ἡ ζωη μου τῳ ᾁδῃ ηγγισε. *Ps. lxxxvii.* 3. ηγγισε εις θανατον ἡ ψυχη αυτου. *Job. xxxii.* 22. 1 *Par. xii.* 18. και ανεπληρωσε σαρκα αντ' αυτης. *Gen. ii.* 21. *Conf. Philem.* 13. 1 *Cor. xvi.* 17. 2 *Cor. xi.* 9. *Col. i.* 24. γερων ανηρ των μεχρι θανατου βασανων περιωρα δι' ευσεβειαν. 4 *Mac.* 7. και μεχρι θανατου τας βασανους ὑπομειναντες. 18. [παραβολευσαμενος· εις θανατον ἑαυτον εκδους. *Hesych.* παραβολος, *audax. Jos. Ant. vi.* 14. 3.]

ΚΕΦ. γ. 3.

ΤΟ λοιπον, αδελφοι μου, χαιρετε εν Κυριῳ· τα αυτα γραφειν ὑμιν, εμοι μεν ουκ οκνηρον, ὑμιν δε ασφαλες.

χαρησομαι επι τῳ Θεῳ τῳ σωτηρι μου. *Hab. iii.* 17. αγαλλιασθε δικαιοι εν τῳ Κυριῳ. *Ps. xxxii.* 1. βεβαιον, ασφαλες. *Sap. vii.* 23. *Phil. iv.* 4. 1 *Thess. v.* 16. *Jac. i.* 2. εμοι μεν ουκ οκνηρον, *me non piget. Bretschn. Conf. Num. xxii.* 16. *Jud. xviii.* 9.

2 Βλεπετε τους κυνας, βλεπετε τους κακους εργατας, βλεπετε την κατατομην·

ὁτι εκυκλωσαν με κυνες πολλοι. *Ps. xxi.* 16. *Esa. lvi.* 10, 11. κατατεμνειν. *Lev. xxi.* 5. 3 *Reg. xviii.* 28. οἱ εργαται της ανομιας. 1 *Mac. iii.* 6. *Conf. Deut. xxiii.* 1. *Jer. iv.* 4. *Apoc. xxii.* 15.

3 Ἡμεις γαρ εσμεν ἡ περιτομη, οἱ πνευματι Θεῳ λατρευοντες, και καυχωμενοι εν Χριστῳ Ιησου, και ουκ εν σαρκι πεποιθοτες,

εγω δε και ἡ οικια μου λατρευσομεν Κυριῳ. *Jos. xxiv.* 15. εν ονοματι αυτου καυχασθαι. *Sir. l.* 20. εν νομῳ διαθηκης Κυριου καυχησεται. *xxxix.* 8. επεποιθεις εν οχυρωματι σου. *Jer. xxxi.* 7. απεριτμητος καρδιᾳ, και απεριτμητος σαρκι. *Ezech. xliv.* 9. ισθι πεποιθως εν ὁλῃ τῃ καρδιᾳ επι Θεῳ, επι δε σῃ σοφιᾳ μη επαιρου.

Prov. iii. 5. οἱ πεποιθοτες εν ανθρωποις. *Esa. xxxii.* 3. *Rom. ii.* 20. *Col. ii.* 11. [*Conf. Jos. Ant. xx.* 2. 5.]

4 Καιπερ εγω εχων πεποιθησιν και εν σαρκι. Ει τις δοκει αλλος πεποιθεναι εν σαρκι, εγω μαλλον·

πεποιθησις. *Conf.* 2 *Cor. i.* 15. *Ps. cxlv.* 3. *Prov. xxvi.* 5.

5 Περιτομη οκταημερος, εκ γενους Ισραηλ, φυλης Βενιαμιν, Ἑβραιος εξ Ἑβραιων, κατα νομον Φαρισαιος,

εκ γενους Ιουδαιων. *Est. vi.* 13. της φυλης Βενιαμιν. *Num. xiii.* 10. = εριφους εκ ποιμνιων, και μοσχαρια εκ μεσου βουκολιων. *Amos. vi.* 4. και παιδιον οκτω ἡμερων περιτμηθησεται. *Gen. xvii.* 12. τριημερος. 1 *Reg. ix.* 20. *Sym.* οὑτος ὁ νομος ὁν παρεθετο Μωυσης. *Deut. iv.* 44. *Conf. Act. xxiii.* 6. *Rom. xi.* 1. 2 *Cor. xi.* 18-22. Ἑβραιος εξ Ἑβαραιων. *Ita forte* ανθρωπος, ανθρωπος. *Num. xxx.* 3. πληρεις προβατων ανθρωπων, κ. τ. λ. *Ezech. xxxvi.* 38. [Φαρισαιοι (κατα) την αἱρεσιν. *Jos. Vit.* § 39.]

6 Κατα ζηλον διωκων την εκκλησιαν, κατα δικαιοσυνην την εν νομῳ γενομενος αμεμπτος.

κατα την θλιψιν αυτης, κ. τ. λ. 1 *Reg. i.* 6. κατα την δικαιοσυνην μου. *Ps. vii.* 8. αμεμπτος. *Job. i.* 1. *Conf. Act. viii.* 3. *Gal. i.* 13. 1 *Tim. i.* 13. 1 *Mac. ii.* 58. [*Jos. Ant. vi.* 10. 1.]

7 Αλλ᾽ ἁτινα ην μοι κερδη, ταυτα ἡγημαι δια τον Χριστον ζημιαν·

δια τον Χριστον. *Conf.* 2 *Mac. iii.* 33. κερδος. *Gen. xxxvii.* 26. *Sym. Conf. Matt. xiii.* 44. [την εκ της ἑτερου ζημιας ωφελειαν αγαθην ὑπολαμβανων. *Jos. Ant. iv.* 8. 29.]

8 Αλλα μενουνγε και ἡγουμαι παντα ζημιαν ειναι δια το ὑπερεχον της γνωσεως Χριστου Ιησου του Κυριου μου, δι᾽ ὁν τα παντα εζημιωθην· και ἡγουμαι σκυβαλα ειναι, ἱνα Χριστον κερδησω,

και ανδρες συνετοι εαν σκυβαλισθωσι. *Sir. xxvi.* 28. μεντοιγε. *Ps. xxxviii.* 6. εν σεισματι κοσκινου διαμενει κοπρια, οὑτως σκυβαλα ανθρωπου εν λογισμῳ αυτου. *Sir. xxvii.* 4. και δοξαν ἡγειται, ὁτι κιβδηλα πλασσει. *Sap. xv.* 9. το ὑπερεχον των δερρέων. *Exod. xxvi.* 13. [*Conf. Matt. Gram.* § 570.] *Conf. Jer. ix.* 23. *Joan. xvii.* 23. *Col. ii.* 12. [μηδεν εξω τροφης σκυβαλων και δερματος. *Philo. p.* 119. *Edit. Col.*]

9 Και εὑρεθω εν αυτῳ, μη εχων εμην δικαιοσυνην την εκ νομου, αλλα την δια πιστεως Χριστου, την εκ Θεου δικαιοσυνην επι τῃ πιστει,

ευρεθην τοις εμε μη ζητουσι. *Esa. lxv.* 1. ὡς ῥακος αποκαθημενης πασα ἡ δικαιοσυνη ἡμων. *lxiv.* 6. μνησθησομαι της δικαιοσυνης σου μονου. *Ps. lxx.* 16. επιστευσεν Ἀβραμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. *Gen. xv.* 6. απο Κυριου δικαιωθησονται, κ. τ. λ. *Esa. xlv.* 25. *Ps. lxxxviii.* 16. *Zach. x.* 12.

10 Του γνωναι αυτον, και την δυναμιν της αναστασεως αυτου, και την κοινωνιαν των παθηματων αυτου, συμμορφουμενος τῳ θανατῳ αυτου.

γνωναι (*experiri*). *Sir. xxxi.* 9. *Sap. xv.* 3. δια τουτο ὑπομεινον με—εις ἡμεραν αναστασεως μου. *Sophon. iii.* 8. *Conf. Ps. xliii.* 11. *lxxxviii.* 50, 51. *Matt. xvi.* 24. *Rom. vi.* 5.

11 Ει πως καταντησω εις την εξαναστασιν των νεκρων·

εις ἑαυτον κατηντησε την αρχιερωσυνην. 2 *Mac. iv.* 24. ει πως. 4 *Reg. xix.* 4. *Conf. Ps. xlviii.* 7. *Act. xxvi.* 7. *Ose. vi.* 3. ὁ δε του κοσμου βασιλευς αποθανοντας ἡμας ὑπερ των αυτου νομων εις αιωνιον αναβιωσιν ζωης ἡμας αναστησει. 2 *Mac. vii.* 9. 14. *Conf. Job. xiv.* 14, 15. *Dan. xii.* 13. *Esa. xxvi.* 14.

12 Ουχ ὁτι ηδη ελαβον, η ηδη τετελειωμαι, διωκω δε ει και καταλαβω, εφ᾽ ᾡ και κατεληφθην ὑπο του Χριστου Ιησου.

καταδιωξατε οπισω αυτων ει καταληψεσθε αυτους. *Jos. ii.* 5. τελειωθεις εν ολιγῳ επληρωσε χρονους μακρους. *Sap. iv.* 13. οἱ διωκοντες το δικαιον. *Esa. li.* 1. διωξωμεν του γνωναι τον Κυριον. *Ps. vi.* 4. ὁδον εντολων σου εδραμον, κ. τ. λ. *Ps. cxviii.* 32. εφ᾽ ᾡ και κατεληφθην, ("*ex quo tempore Christus me suum fecit.*"—*Respicit Apostolus ad rationem, quâ Christus, in viâ cum quasi secutus, à Judæorum partibus abstraxit, et evangelii nuntium fecit. Bretschn.*) *Conf.* 1 *Tim. vi.* 12. *Heb. xii.* 23. *Ps. cix.* 2, 3. [ὁταν ω ψυχη τελειωθῃς, και βραβειων και στεφανων αξιωθῃς. *Philo. Alleg. II. p.* 74.] εἱς δε λαμβανει το βραβειον. 1 *Cor. ix.* 24. *Conf. Bos. Ellips. p.* 41.

13 Αδελφοι, εγω εμαυτον ου λογιζομαι κατειληφεναι·

Conf. Luc. ix. 62. μη καυχασθω ὁ κυρτος, ὡς ὁ ορθος. 3 *Reg. xxi.* 11. ουκ απ᾽ εμαυτου. *Num. xvi.* 28.

14 Ἑν δε, τα μεν οπισω επιλανθανομενος, τοις δε εμπροσθεν επεκτεινομενος, κατα σκοπον διωκω επι το βραβειον της ανω κλησεως του Θεου εν Χριστῳ Ιησου.

μη περιβλεψῃ εις τα οπισω, μηδε στῃς. *Gen. xix.* 17. κατα το καταπετασμα το ἁγιον. *Lev. iv.* 6. κατεστησε με ὡσπερ σκοπον. *Job. xvi.* 13. ὡς απο ευκυκλου τοξου—επι σκοπον ἁλουνται. *Sap.*

v. 21. *Ps. xliii.* 10. εστιν ἡμερα κλησεως—και αναβητε εις Σιων. *Jer. xxxviii.* 6. 2 *Cor.* 5. 16. αγαλλιασεται ὡς γιγας δραμειν ὁδον αυτου. *Ps. xviii.* 5. μιαν ῃτησαμην κ. τ. λ. *xxvi.* 4. [βραβειον· επινικιον, νικητηριον. *Hesych.*]

15 Ὁσοι ουν τελειοι, τουτο φρονωμεν· και ει τι ἑτερως φρονειτε, και τουτο ὁ Θεος ὑμιν αποκαλυψει.

κακως εφρονησαν περι Θεου. *Sap. xiv.* 30. χρηστος και ευθης ὁ Κυριος, δια τουτο νομοθετησει ἁμαρτανοντας εν ὁδῳ. *Ps. xxiv.* 8. ταυτα λογισαμενος εν εμαυτῳ, και φροντισας εν καρδιᾳ, κ. τ. λ. *Sap. viii.* 17. τελειοι. *Esa. xlii.* 19. *Sym. Conf. Prov. ii.* 3-6. *iii.* 5, 6.

16 Πλην εις ὁ εφθασαμεν, τῳ αυτῳ στοιχειν κανονι, το αυτο φρονειν.

πλην. *Sir. xlv.* 22. μακαριος ὁ ὑπομενων και φθασας εις ἡμερας. *Dan. xii.* 12. προς τον της φιλοσοφιας κανονα ευσεβως φιλοσοφων. 4 *Mac.* 7. και φρονειν τα ἡμων. 1 *Mac. x.* 20. *Conf.* 1 *Cor. i.* 10. *Gal. vi.* 16. *Apoc. ii.* 25. στοιχειν. *Eccles. xi.* 6. *Rom. xii.* 16. ει πορευσονται δυο επιτοαυτο καθολου, εαν μη γνωρισωσιν ἑαυτους; *Amos. iii.* 3. ὁμονοια αδελφων. *Sir. xxv.* 1. *Conf. Ps. liv.* 14. *Sir. iv.* 21.

17 Συμμιμηται μου γινεσθε, αδελφοι, και σκοπειτε τους οὑτω περιπατουντας, καθως εχετε τυπον ἡμας.

εν ὁδοις δικαιοσυνης περιπατω. *Prov. viii.* 20. μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου. 4 *Reg. xx.* 3. τυπος της ασεβειας. 4 *Mac.* 6. *Conf.* 1 *Cor. iv.* 16. 1 *Thess. i.* 6. 2 *Thess. iii.* 7. 1 *Pet. v.* 3. φυλασσε ακακιαν, και ιδε ευθυτητα, ὁτι εστιν εγκαταλειμμα ανθρωπῳ ειρηνικῳ. *Ps. xxxvi.* 37. 2 *Par. xx.* 20.

18 Πολλοι γαρ περιπατουσιν, οὑς πολλακις ελεγον ὑμιν, νυν δε και κλαιων λεγω, τους εχθρους του σταυρου του Χριστου,

Conf. Rom. xvi. 17. *Gal. vi.* 12. διεξοδους ὑδατων κατεβησαν οἱ οφθαλμοι μου, επει ουκ εφυλαξα τον νομον σου. *Ps. cxviii.* 136. *Jer. ix.* 1. *xiii.* 17. αγγελοι αποσταλησονται, πικρως κλαιοντες, παρακαλουντες ειρηνην. *Esa. xxxiii.* 7.

19 Ὡν το τελος απωλεια, ὡν ὁ θεος ἡ κοιλια, και ἡ δοξα εν τῃ αισχυνῃ αυτων, οἱ τα επιγεια φρονουντες.

ουαι, απωλεια τῳ αδικῳ. *Job. xxxi.* 3. γενεας γαρ αδικου χαλεπα τα τελη. *Sap. iii.* 19. την δοξαν αυτων εις ατιμιαν θησομαι. *Ose. iv.* 7. ῃσχυνθησαν σφοδρα, ὁτι ουκ ενοησαν ατιμιας αυτων, κ. τ. λ. *Jer. xx.* 11. και αἱ κοιλιαι αυτων ου μη πληρωθωσι. *Ezech. vii.* 19. επαφριζοντα τας ἑαυτων αισχυνας. *Jud.* 13. τοις τα ἡμετερα φρονουσι. *Est. xvi.* 1.

20 Ἡμων γαρ το πολιτευμα εν ουρανοις ὑπαρχει, εξ οὑ και σωτηρα απεκδεχομεθα Κυριον Ιησουν Χριστον,

και το συμπαν των Ιοππιτων εκριζωσαι πολιτευμα. 2 *Mac. xii.* 7. συμπολιται των ἁγιων. *Ephes. ii.* 19. ὑπαρχει. *Est. viii.* 1. *Esa. v.* 8. *Theod.* ὑπομενω επι τῳ Θεῳ τῳ σωτηρι μου. *Mich. vii.* 7. ιδου ὁ Θεος μου, σωτηρ μου, πεποιθως εσομαι επ' αυτῳ. *Esa. xii.* 2. *xliii.* 11. εγνωρισας μοι ὁδους ζωης, κ. τ. λ. *Ps. xv.* 11. *Prov. xv.* 24. *Job. vi.* 8. *xix.* 23-26. [εφιεμενος εγγραφης της εν τῳ μεγιστῳ και αριστῳ πολιτευματι τουδε του κοσμου. *Philo, de Joseph. p.* 536. οἱ μεν γης, οἱ δε ουρανου, οἱ δε Θεου γεγονασιν ανθρωποι. *de Gigant. p.* 271.]

21 Ὁς μετασχηματισει το σωμα της ταπεινωσεως ἡμων, εις το γενεσθαι αυτο συμμορφον τῳ σωματι της δοξης αυτου, κατα την ενεργειαν του δυνασθαι αυτον και ὑποταξαι ἑαυτῳ τα παντα.

ὡσπερ εν πυρι μετασχηματιζομενος εις αφθαρσιαν. 4 *Mac.* 9. 1 *Reg. xxviii.* 8. *Sym.* το σωμα της ταπεινωσεως = πολις ἁγιασματος. *Sir. xxxvi.* 12. ὁτι δεδοξασται ἡ ὀψις του χρωματος του προσωπου. *Exod. xxxiv.* 29, 30. τα σκευη της δοξης αυτης. 1 *Mac. ii.* 9. τον παντοκρατορα Κυριον και πασης δυναμεως δυναστευοντα. 3 *Mac. v.* 7. παντα ὑπεταξας ὑποκατω των ποδων αυτου. *Ps. viii.* 6. φθαρτον γαρ σωμα βαρυνει ψυχην, και βριθει το γεωδες σκηνος νουν πολυφροντιδα. *Sap. ix.* 15. εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου, κ. τ. λ. *Ps. xvii.* 15. εκ χειρος ᾁδου ῥυσομαι, και εκ θανατου λυτρωσομαι αυτους, κ. τ. λ. *Ose. xiii.* 14. δια την θειαν ενεργειαν. 2 *Mac. iii.* 29. τῃ ενεργειᾳ του δεσποτου. 3 *Mac. v.* 12. *Conf. Prov. xx.* 8. 1 *Cor. xv.* 26, 27. *Col. iii.* 4. 1 *Joan. iii.* 2. ὑπομενω ἑως παλιν γενωμαι. *Job. xiv.* 14. ελπιω ἑως ελθῃ το αλλαγμα μου. *Aq. Theod.* ἑως αν ελθῃ ἡ ἁγια φυσις μου. *Sym.*

ΚΕΦ. δ. 4.

ΩΣΤΕ, αδελφοι μου αγαπητοι και επιποθητοι, χαρα και στεφανος μου, οὑτω στηκετε εν Κυριῳ, αγαπητοι.

ὡστε παιδευεσθε τοις ῥημασι μου, και ὠφεληθησεσθε. *Sap. vi.* 25. φοβος Κυριου δοξα και καυχημα και ευφροσυνη και στεφανος αγαλλιαματος. *Sir. i.* 11. *xxv.* 8. και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 *Reg. xxiii.* 3. στεφανος καυχησεως γηρας. *Prov. xvi.*

31. *xii.* 4. ανδριζου, και κραταιουσθω ἡ καρδια σου, και ὑπομεινον τον Κυριον. *Ps. xxvi.* 14. και καυχησονται επι σοι παντες οἱ αγαπωντες το ονομα σου. *v.* 11. θαρσειτε, στηκετε. *Exod. xiv.* 13. *Alex. Comp.*

2 Ευοδιαν παρακαλω, και Συντυχην παρακαλω, το αυτο φρονειν εν Κυριῳ·

ιδου δη τι καλον, η τι τερπνον, αλλ᾽ η το κατοικειν αδελφους επι-τοαυτο; *Ps. cxxxii.* 1. [τα αυτα φρονειν. *Jos. Bell. Jud. v.* 7. 4.]

3 Ναι ερωτω και σε, συζυγε γνησιε, συλλαμβανου αυταις, αἱτινες εν τῳ ευαγγελιῳ συνηθλησαν μοι, μετα και Κλημεντος και των λοιπων συνεργων μου, ὡν τα ονοματα εν βιβλιῳ ζωης.

εν τῳ καιρῳ εκεινῳ σωθησεται ὁ λαος σου πας ὁ γεγραμμενος εν τῃ βιβλῳ. *Dan. xii.* 1. οὑτοι εις ζωην αιωνιον. 2. [ηρωτα τον Θεον. *Jos. Ant. v.* 1. 14.] εξαλειψον με εκ της βιβλου σου. *Exod. xxxii.* 32. *Esa. lxv.* 6. *Ps. lxviii.* 28. *Luc. x.* 20. *Cap. i.* 27. *Apoc. iii.* 5. *xiii.* 8. συνελαβετο μοι ὁ Θεος. *Gen. xxx.* 8. *Alex. Ald. Comp.* συζυγος (*de uxore*). 3 *Mac. iv.* 8. ἁγιοι κληθησονται παντες οἱ γραφεντες εις ζωην εν Ἱερουσαλημ. *Esa. iv.* 3. και δη επ᾽ αληθειας. *Job. xix.* 4.

4 Χαιρετε εν Κυριῳ παντοτε· παλιν ερω, χαιρετε.

Conf. Hab. iii. 18. = ἁπαξ ελαλησεν ὁ Θεος, δυο ταυτα ηκουσα. *Ps. lxi.* 11. *xxxvi.* 4. *Cap. iii.* 1.

5 Το επιεικες ὑμων γνωσθητω πασιν ανθρωποις. ὁ Κυριος εγγυς.

ὁτι εγγυς ἡ ἡμερα Κυριου. *Joel. i.* 15. *Obd.* 15. *Sophon. i.* 7. [το ἁπλουν αυτου και το επιεικες. *Act. Thom.* § 20.] *Sir. xviii.* 30-33. *Conf.* 1 *Cor. x.* 11. *Heb. x.* 25. 2 *Pet. iii.* 8, 9. [επιεικεις και μετριοι. *Jos. Ant. vi.* 12. 7. επιεικειαν και φιλανθρωπιαν. *Philo.* 1 *Vit. Mos. p.* 633.] [επιεικες· πρεπον, καθηκον, προσηκον. *Suid. Hesych.*]

6 Μηδεν μεριμνατε, αλλ᾽ εν παντι τῃ προσευχῃ και τῃ δεησει μετα ευχαριστιας τα αιτηματα ὑμων γνωριζεσθω προς τον Θεον·

εν παντι μεριμνωντι ενεστι περισσον. *Prov. xiv.* 23. *Conf.* 2 *Reg. vii.* 10. δωσει σοι τα αιτηματα της καρδιας σου. *Ps. xxxvi.* 4. 1 *Reg. i.* 17. *Est. vii.* 3. ερριψον επι Κυριον την μεριμναν σου. *Ps. liv.* 22. λιθος βοηθου—ἑως ενταυθα εβοηθησεν ἡμιν Κυριος. 1 *Reg. vii.* 2. *Dan. iii.* 16.

7 Και ἡ ειρηνη του Θεου, ἡ ὑπερεχουσα παντα νουν, φρουρησει

τας καρδιας ὑμων και τα νοηματα ὑμων εν Χριστῳ Ιησου.

επαραι Κυριος *το προσωπον αυτου επι σε, και δῳη σοι ειρηνην. Num. vi.* 26. *λυτρωσεται εν ειρηνῃ την ψυχην μου. Ps. liv.* 18. *λαλησει ειρηνην επι τον λαον αυτου. lxxxiv.* 8. *ἡτις ὑπερεξει πασας τας βασιλειας. Dan. vii.* 23. *και εφρουφησε τας πολεις τας ὑψηλας. Judith. iii.* 6. *κατα τον νουν αυτου. Jos. xiv.* 7. *Conf. Col. iii.* 15. *Joan. xiv.* 27. *Neh. viii.* 10. *Rom. v.* 1. *Ephes. ii.* 14. Κυριος *ισχυν τῳ λαῳ αυτου δωσει,* Κυριος *ευλογησει τον λαον αυτου εν ειρηνῃ. Ps. xxviii.* 11. *lxxxiv.* 8. *Esa. xxvi.* 3. *Conf. Sap. xvii.* 15, 16. *κατακρυψεις αυτους εν αποκρυφῳ του προσωπου σου απο ταραχης ανθρωπων, κ. τ. λ. Ps. xxx.* 20. *cxxi.* 6-9.

8 Το *λοιπον, αδελφοι, ὁσα εστιν αληθη, ὁσα σεμνα, ὁσα δικαια, ὁσα ἁγνα, ὁσα προσφιλη, ὁσα ευφημα, ει τις αρετη και ει τις επαινος, ταυτα λογιζεσθε,*

ὁ σοφος εν λογῳ ἑαυτον προσφιλη ποιησει. Sir. xx. 12. *Conf. iv.* 7. *την κακιαν του πλησιον αυτου μη λογισεσθε. Zach. viii.* 17. *την σοφιαν αυτου διηγησονται εθνη, και τον επαινον αυτου εξαγγελει εκκλησια. Sir. xxxix.* 10. *Conf. Sap. viii.* 17, 18. 1 *Thess. iv.* 3-5. *ελεημοσυναι και πιστεις μη εκλειπετωσαν σε· αφαψαι δε αυτας επι σῳ τραχηλῳ, και εὑρησεις χαριν· και προνοου καλα ενωπιον* Κυριου *και ανθρωπων. Prov. iii.* 3, 4. *εισακουσατε μου, σεμνα γαρ ερω. viii.* 6. *ῥησεις σεμναι. xv.* 26. *Conf. Gen. xviii.* 19. *Prov. xi.* 1. *xx.* 7.

9 Ἁ *και εμαθετε και παρελαβετε και ηκουσατε και ειδετε εν εμοι· ταυτα πρασσετε, και ὁ* Θεος *της ειρηνης εσται μεθ' ὑμων.*

αρχων ειρηνης. Esa. ix. 6. *Theod. της ειρηνης αυτου ουκ εστιν ὁριον.* 7. *ὁ* Θεος *μετα σου εν πασιν οἷς εαν ποιῃς. Gen. xxi.* 22. *μεθ' ἡμων ὁ* Θεος. *Esa. viii.* 10. *Conf.* 2 *Cor. xiii.* 11. *Heb. xiii.* 20. *και αναλαβε τα ῥηματα αυτου εν καρδιᾳ σου. Job. xxii.* 22. *ευλογητος ὁ* Θεος *της αληθειας.* 1 *Esd. iv.* 40.

10 Ε*χαρην δε εν* Κυ*ριῳ μεγαλως, ὁτι ηδη ποτε ανεθαλετε το ὑπερ εμου φρονειν· εφ' ᾡ και εφρονειτε, ηκαιρεισθε δε.*

μεγαλως ευχαριστουμεν αυτῳ. 2 *Mac. i.* 11. 1 *Par. xxix.* 10. *Neh. xii.* 42. *εφ' ᾡ.* 3 *Mac. iii.* 28. [*Jos. Ant. vi.* 14. 4.] *φοβος* Κυριου *αναθαλλων ειρηνην. Sir. i.* 18. *Ezech. xvii.* 24. *φρονειν ὑπερ τινος.* 2 *Mac. xiv.* 8. *καλως εποιησας ὁτι εγενηθη επι την καρδιαν σου.* 3 *Reg. viii.* 18.

11 Ου*χ ὁτι καθ' ὑστερησιν λεγω· εγω γαρ εμαθον, εν οἷς ειμι, αυταρκης ειναι.*

ζωη αυταρκους εργατου γλυκανθησεται. *Sir. xl.* 18. ὡς γαρ δεδοται ἡμιν ζην παρα του Κυριου, τουτο ἱκανον κ. τ. λ. *Tob. v.* 19. συνταξον δε μοι τα δεοντα και τα αυταρκη. *Prov. xxx.* 8.

12 Οιδα δε ταπεινουσθαι, οιδα και περισσευειν· εν παντι και εν πασι μεμυημαι και χορταζεσθαι και πειναν, και περισσευειν και ὑστερεισθαι·

και—και. *Sap. iv.* 1. *vii.* 16. μεμυημενοι κατα τας τελετας. 3 *Mac. ii.* 10. ὁ Κυριος εδωκεν, ὁ Κυριος αφειλατο· ὡς τῳ Κυριῳ εδοξεν, οὑτως εγενετο· ειη το ονομα Κυριου ευλογημενον. *Job. i.* 21. αυταρκησεν αυτον εν τῃ ερημῳ, εν διψει καυματος εν γῃ ανυδρῳ, κ. τ. λ. *Deut. xxxii.* 10-14. παν ὁ εαν περισσευσῃ σοι ποιει ελεημοσυνην. *Tob. iv.* 16. ουκ εστιν ὑστερημα τοις φοβουμενοις αυτον. *Ps. xxxiii.* 9. εαν δε ταπεινωθῃ ὁ αδελφος σου παρα σοι, κ. τ. λ. *Lev. xxv.* 39. ψυχην τεταπεινωμενην εμπλησῃς. *Esa. lviii.* 10. ὁ Θεος κριτης εστι· τουτον ταπεινοι, και τουτον ὑψοι. *Ps. lxxiv.* 7. εχορτασε ψυχην κενην, κ. τ. λ. *cvi.* 9. [μεμυημαι· πεπειραμαι. *Hesych.*]

13 Παντα ισχυω εν τῳ ενδυναμουντι με Χριστῳ.

και ισχυον σφοδρα σφοδρα. *Exod. i.* 12. *Esa. l.* 2. αγαπησω σε Κυριε ἡ ισχυς μου. *Ps. xvii.* 1. *Alex. cxxxvii.* 3. δυναμωσον ὁ Θεος. *Ps. lxvii.* 28. ὡς αἱ ἡμεραι σου ἡ ισχυς σου. *Deut. xxxiii.* 25. *Conf.* 2 *Cor. xii.* 9. *Esa. xl.* 31. εγω γαρ ειμι ὁ Θεος σου, ὁ ενισχυσας σε, κ. τ. λ. *xli.* 10. και μη διαπεσητε, ὁτι εστι Κυριος ισχυς ἡμων. *Neh. viii.* 10. και κατισχυσω αυτους εν Κυριῳ Θεῳ αυτων, κ. τ. λ. *Zach. x.* 12. *Deut. xxxiii.* 27.

14 Πλην καλως εποιησατε, συγκοινωνησαντες μου τῃ θλιψει.

πλην γινωσκε ὁτι ουκ εσται το προτερημα σου. *Jud. iv.* 9. 2 *Reg. iii.* 13. *Sir. xlv.* 22. και νυν καλως ποιησετε αντιφωνησαντες ἡμιν προς ταυτα. 1 *Mac. xii.* 18. *Act. x.* 33. *Cap. i.* 7.

15 Οιδατε δε και ὑμεις, Φιλιππησιοι, ὁτι εν αρχῃ του ευαγγελιου, ὁτε εξηλθον απο Μακεδονιας, ουδεμια μοι εκκλησια εκοινωνησεν εις λογον δοσεως και ληψεως, ει μη ὑμεις μονοι·

αρχη του ευαγγελιου. *Marc. i.* 1. περι λογου κοινωνου. *Sir. xlii.* 3. και δοσις και ληψις παντι εν γραφῃ. 7. *Conf.* 2 *Cor. xi.* 8, 9. *Act. xvi.* 12. *Gal. vi.* 6.

16 Ὁτι και εν Θεσσαλονικῃ και ἁπαξ και δις εις την χρειαν μοι επεμψατε.

ἁπαξ και δις. *Neh. xiii.* 20. 1 *Mac. iii.* 30. εὑρησεις την χρειαν σου. *Sir. xxix.* 3. *Esd. vii.* 20. 2 *Par. ii.* 16. *Dan. ii.* 48. και πεμπει το αργυριον. 1 *Mac. xiii.* 17. *Conf.* 1 *Thess. ii.* 9. 18.

17 Ουχ ὁτι επιζητω το δομα, αλλ' επιζητω τον καρπον τον πλεοναζοντα εις λογον ὑμων·

επεζητουν παρα αυτων ειρηνην. 1 *Mac. vii.* 13. *Sir. xl.* 26. δομα. *Gen. xxv.* 6. εις το πλεοναζον. *Exod. xxvi.* 12. καρπος. *Conf. Jer. xvii.* 10. *Mich. vii.* 13. *Prov. x.* 16. *Ps. i.* 3. *Tit. iii.* 14. 1 *Cor. ix.* 12. 2 *Cor. xii.* 14. δανιζει Θεῳ ὁ ελεων πτωχον, κατα δε το δομα αυτου ανταποδωσει αυτῳ. *Prov. xix.* 17. εξολλυσιν ἑαυτον ὁ δωροληπτης, ὁ δε μισων δωρων ληψεις σωζεται. *xv.* 27. *Tob. iv.* 8, 9. εις λογον ὑμων. *Conf. Dan. vi.* 2.

18 Απεχω δε παντα, και πιρισσευω· πεπληρωμαι, δεξαμενος παρα Επαφροδιτου τα παρ' ὑμων, οσμην ευωδιας, θυσιαν δεκτην, ευαρεστον τῳ Θεῳ.

και το αργυριον ὑμων ευδοκιμουν απεχω. *Gen. xliii.* 23. *Num. xxxii.* 19. *Conf. Matt. vi.* 2. και ανοισεις—εις οσμην ευωδιας εναντι Κυριου. *Exod. xxix.* 18. *Lev. i.* 9. 17. και αἱ θυσιαι αυτων εσονται δεκται. *Esa. lvi.* 7. *Lev. xxii.* 20. ευαρεστος τῳ Θεῳ. *Sap. iv.* 10. *Mal. ii.* 13. *iii.* 4. κατευθυνθητω ἡ προσευχη μου ὡς θυμιαμα ενωπιον σου· επαρσις των χειρων μου θυσια ἡσπερινη. *Ps. clx.* 2. *Gen. xvii.* 1. αγγελοι του προσωπου οσμην ευωδιας λογικην και αναιμακτον προσφοραν—προσφερουσι. *Test. XII Patr. p.* 547.] θυσον τῳ Θεῳ θυσιαν αινεσεως, και αποδος τῳ Ὑψιστῳ τας ευχας σου. *Ps. xlix.* 14. [ωσφρανθη Κυριος οσμην ευωδιας, κ. τ. λ. *Philo. p.* 344. *Edit. Col.*]

19 Ὁ δε Θεος μου πληρωσει πασαν χρειαν ὑμων κατα τον πλουτον αὑτου εν δοξῃ, εν Χριστῳ Ιησου.

πληρωσει. *Job. xx.* 22, 23. και μενει εις τον αιωνα εν πασαις χρειαις. *Sir. xlii.* 31. πληρωσαι Κυριος παντα τα αιτηματα σου. *Ps. xix.* 5. και πλουτον βασιλεων. *Esa. lx.* 16. τον πλουτον αυτης (σοφιας) ουκ αποκρυπτομαι. *Sap. vii.* 13.

20 Τῳ δε Θεῳ και πατρι ἡμων ἡ δοξα εις τους αιωνας των αιωνων. αμην.

ερει πας ὁ λαος, Γενοιτο, γενοιτο. Δοξα. *Ps. cv.* 48. *Ald. Comp.* και ευλογητον το ονομα της δοξης αυτου, κ. τ. λ. *Ps. lxxi.* 19. δοτε δοξαν Κυριῳ τῳ Θεῳ. 2 *Par. xxx.* 8. ητω ἡ δοξα Κυριου εις τους αιωνας. *Ps. ciii.* 31. *Alex. Ald. Comp. cxiii.* 18. ᾧ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. sub. fin.* και ερει πας ὁ λαος, Αμην. 1 *Par. xvi.* 36.=Θεε πατερων και Κυριε του ελεους σου. *Sap. ix.* 1. Κυριε πατερ και δεσποτα ζωης μου. *Sir. xxiii.* 1. 4. *Conf. Winer.* § 18. *Middleton. p.* 58.=του Χριστου και Θεου. *Ephes. v.* 5.

21 Ἀσπασασθε παντα ἁγιον εν Χριστῳ Ιησου. ασπαζονται
ὑμας οἱ συν εμοι αδελφοι.

και οἱ αδελφοι αυτου ἱερεις. *Esd. iii.* 2. ἁγιοι κληθησονται παντες οἱ γραφεντες εις ζωην εν Ἱερουσαλημ. *Esa. iv.* 3. *Conf. Rom. xvi.* 3. 16. ενετειλαμεθα ουν αυτοις και προς ὑμας πορευθηναι, και ασπασασθαι ὑμας, και αποδουναι ὑμιν τας παρ' ἡμιν επιστολας περι της ανανεωσεως και της αδελφοτητος ἡμων. κ. τ. λ. 1 *Mac. xii.* 17, 18. οἱ συν εμοι. *Conf.* 2 *Mac. viii.* 1. *x.* 1.

22 Ἀσπαζονται ὑμας παντες οἱ ἁγιοι, μαλιστα δε οἱ εκ της
Καισαρος οικιας.

εγω δε και ἡ οικια μου λατρευσομεν Κυριῳ, ὁτι ἁγιος εστι. *Jos. xxiv.* 15. και ελαλουν—εναντιον βασιλεων, κ. τ. λ. *Ps. cxviii.* 46. [τις των εκ της Καισαρος οικιας. *Philo. in Flac. p.* 970.]

23 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μετα παντων
ὑμων. αμην.

Κυριος μεθ' ὑμων. *Ruth. ii.* 4. πνευμα χαριτος και οικτιρμου. *Zach. xii.* 10. *Conf. Ps. xliv.* 2. Αμην. *Neh. viii.* 6.

[Προς Φιλιππησιους εγραφη απο Ῥωμης δι' Επαφροδιτου.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ αποστολος Ιησου Χριστου δια θεληματος Θεου,
και Τιμοθεος ὁ αδελφος,

Conf. Ephes. i. 1. *Phil. i.* 1. αδελφος. *Esd. iii.* 2.

2 Τοις εν Κολοσσαις ἁγιοις και πιστοις αδελφοις εν Χριστῳ·
χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου Ιησου
Χριστου.

τοις ἁγιοις τοις εν Ἱερουσαλημ. 1 *Mal. x.* 39. Τοις αδελφοις τοις κατ' Αιγυπτον Ιουδαιοις χαιρειν· οἱ αδελφοι οἱ εν Ἱεροσολυμοις

Ιουδαιοι, και οἱ εν τῃ χωρᾳ της Ιουδαιας, ειρηνην αγαθην. 2 Mac. i. 1. και ποιησω και ειρηνην και πιστιν. Jer. xl. 6. εν Χριστῳ. Conf. 2 Cor. v. 17. Joan. xv. 4-7. = *Κυριος Κυριος απεστειλε με, και το πνευμα αυτου. Esa. xlviii. 16.*

3 Ευχαριστουμεν τῳ Θεῳ και πατρι του Κυριου ἡμων Ιησου Χριστου, παντοτε περι ὑμων προσευχομενοι·

παρα ταυτα παντα ευχαριστησωμεν Κυριῳ. Judith. viii. 25. μεγαλως ευχαριστουμεν αυτῳ. 2 Mac. i. 11. και προσευξομαι περι ὑμων προς Κυριον. 1 Reg. vii. 5. 2 Mac. i. 6. Jer. xxxvi. 7. Conf. Ephes. v. 5. Phil. i. 2. 1 Thess. i. 3. 2 Thess. i. 3. Tit. ii. 13.

4 Ακουσαντες την πιστιν ὑμων εν Χριστῳ Ιησου, και την αγαπην την εις παντας τους ἁγιους,

Ephes. i. 15. Philem. 5. την ευνοιαν εις εμε. 2 Mac. ix. 26.

5 Δια την ελπιδα την αποκειμενην ὑμιν εν τοις ουρανοις, ἡν προηκουσατε εν τῳ λογῳ της αληθειας του ευαγγελιου,

εμβλεπων τοις μετ᾽ ευσεβειας κοιμωμενοις καλλιστον αποκειμενον χαριστηριον. 2 Mac. xii. 45. [η τα προκειμενα αθλα ουχ ὁρας; Philo, de Cong. p. 447.] Conf. 1 Pet. i. 4. 2 Cor. vi. 7. και κατοικησουσιν εν ελπιδι, ὁταν ποιησω κριμα κ. τ. λ. Ezech. xxviii. 26. ἡ ελπις αυτων αθανασιας πληρης. Sap. iii. 4. Conf. 1 Mac. xii. 9.

6 Του παροντος εις ὑμας, καθως και εν παντι τῳ κοσμῳ, και εστι καρποφορουμενον, καθως και εν ὑμιν, αφ᾽ ἡς ἡμερας ηκουσατε και επεγνωτε την χαριν του Θεου εν αληθειᾳ·

ειδοσαν παντα τα περατα της γης το σωτηριον του Θεου ἡμων. Ps. xcvii. 3. Conf. Marc. iv. 8. Joan. xv. 16. Act. vi. 7. xii. 24. Rom. x. 18. Phil. i. 11. ὡς πολυ το πληθος της χρηστοτητος σου, κ. τ. λ. Ps. xxx. 19. [εις Σικιμον παρην. Jos. Ant. i. 2. 1.] ὁ γαρ Θεος δειξει τῃ ὑπ᾽ ουρανον πασῃ την σην λαμπροτητα. Bar. v. 3. καρποφορουμενον. Conf. Ps. i. 3. πασας τας βασιλειας της γης εδωκε μοι Κυριος. Esd. i. 2. σωτηρια κοσμου. Sap. vi. 24. x. 1. xiv. 6. Conf. Rom. i. 8. πορευσομαι εν τῃ αληθειᾳ σου. Ps. lxxxv. 11. ὁ Θεος της αληθειας. 1 Esd. iv. 40.

7 Καθως και εμαθετε απο Επαφρα του αγαπητου συνδουλου ἡμων, ὁς εστι πιστος ὑπερ ὑμων διακονος του Χριστου,

και οἱ καταλοιποι συνδουλοι ἡμων. Esd. iv. 9. Conf. Col. iv. 12. Philem. 23. εν ὁλῳ τῳ οικῳ μου πιστος εστι. Num. xii. 7.

8 Ὁ και δηλωσας ἡμιν την ὑμων αγαπην εν πνευματι.

εν πνευματι και αληθειᾳ. Joan. iv. 23, 24. Ezech. xi. 19.

9 *Δια τουτο και ἡμεις αφ᾽ ἡς ἡμερας ηκουσαμεν, ου παυομεθα ὑπερ ὑμων προσευχομενοι, και αιτουμενοι ἱνα πληρωθητε την επιγνωσιν του θεληματος αυτου εν πασῃ σοφιᾳ και συνεσει πνευματικῃ,*

ου παυσομαι ευλογων σε. Esa. xxxviii. 20. *ὑπερ του παιδαριου τουτου προσηυχαμην.* 1 Reg. i. 27. xii. 23. *και* Ιησους—*ενεπλησθη πνευματος συνεσεως.* Deut. xxxiv. 9. *ὁτι αὑτη ἡ σοφια ὑμων και ἡ συνεσις.* iv. 6. Conf. Rom. xii. 2. 1 Cor. i. 5. Ephes. i. 15. Sap. ix. 10. *εμπιστευσατε εν* Κυριῳ Θεῳ *ἡμων, και εμπιστευθησεσθε, κ. τ. λ.* 2 Par. xx. 20. *διδαξον με του ποιειν το θελημα σου, κ. τ. λ.* Ps. cxlii. 10. *και οἱ νοημονες συνησουσι.* Dan. xii. 10.

10 Περιπατησαι *ὑμας αξιως του* Κυριου *εις πασαν αρεσκειαν· εν παντι εργῳ αγαθῳ καρποφορουντες και αυξανομενοι εις την επιγνωσιν του* Θεου·

μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου. 4 Reg. xx. 3. *αρεσκεια.* Prov. xxxi. 30. *και επιγνωσιν* Θεου *εὑρησεις.* ii. 5. *και εὑρεν αυτους αξιους ἑαυτου.* Sap. iii. 5. *καρποφορειν.* Ps. xci. 14. Sym. Conf. Esa. xl. 31. *παντες οἱ λαοι πορευσονται ἑκαστος την ὁδον αυτου, ἡμεις δε πορευσομεθα εν ονοματι* Κυριου *κ. τ. λ.* Mich. iv. 5. *ὁτι εμπλησθησεται ἡ γη του γνωναι την δοξαν* Κυριου, *κ. τ. λ.* Hab. ii. 14. [*τους την του* Οντος *οντως αρεσκειαν ζῃν.* Philo de Vict. p. 837.] *και επιγνωσιν* Θεου, *η ὁλοκαυτωματα.* Ose. vi. 7.

11 Εν *πασῃ δυναμει δυναμουμενοι κατα το κρατος της δοξης αυτου εις πασαν ὑπομονην και μακροθυμιαν μετα χαρας·*

και δυναμεις δυναμωσει. Eccles. x. 10. *δυναμωσον ὁ* Θεος. Ps. lxvii. 28. *κατα το πληθος της δικαιοσυνης αυτου.* Esa. lxiii. 7. Ose. x. 1. *το κρατος της οργης.* Ps. lxxxix. 11. *κρατος μεγαλωσυνης.* Sir. xviii. 5. Conf. Act. v. 41. 2 Cor. vi. 6. Gal. v. 22. Ephes. iii. 16. *οὑτως εν τῳ ἁγιῳ ωφθην σοι, του ιδειν την δυναμιν σου και την δοξαν σου.* Ps. lxii. 2. *μετα σου ἡ αρχη εν ἡμερᾳ της δυναμεως σου, κ. τ. λ.* cxxix. 3. *εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου.* Job. xii. 10. Zach. x. 12.

12 Ευχαριστουντες *τῳ πατρι τῳ ἱκανωσαντι ἡμας εις την μεριδα του κληρου των ἁγιων εν τῳ φωτι,*

ἱκανουσθω. Num. xvi. 7. *μη εστιν ἡμιν ετι μερις η κληρονομια.* Gen. xxxi. 14. *και δωσω σοι γην—κληρονομιαν* Θεου. Jer. iii. 19. *ἱερατεια γαρ* Κυριου *μερις αυτου.* Jos. xviii. 7. Act. viii. 21. Conf. Jos. xiii. Num. xxvi. 55. *εν τῳ φωτι.* Conf. Rom. xiii. 12. Ephes. v. 8. *δωθησεται γαρ αυτῳ της πιστεως χαρις εκλεκτη, και κληρος εν ναῳ* Κυριου *θυμηρεστερος.* Sap. iii. 14. *εκεινη σου ἡ μερις, οὑτος*

σου ὁ κληρος. *Esa. lvii.* 6. πως κατελογισθη εν υἱοις Θεου, και εν ἁγιοις ὁ κληρος αυτου εστι; *Sap. v.* 5. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. *Job. xviii.* 5. *Bar. iii.* 14. *Sir. xxx.* 23. και τις εστι ἱκανος αυτῃ; *Joel. ii.* 11.

13 Ὁς ερρυσατο ἡμας εκ της εξουσιας του σκοτους, και μετεστησεν εις την βασιλειαν του υἱου της αγαπης αὑτου,

εκ πασης θλιψεως ερρυσω με. *Ps. liii.* 7. [ὡς υἱον αγαπησεως. *Psalt. Sal.* 13. 8.] του πατρος ἡμων εις θεους μεταστατος. 2 *Mac. xi.* 23. *Conf. Luc. xxii.* 53. ὑπηρεται οντες της αυτου βασιλειας. *Sap. vi.* 4. και τους δεσμους διαρρηξω. *Neh. i.* 13. οἱ καθημενοι εν σκοτει. *Ps. cvi.* 10. *Esa. lix.* 9. εγω δε κατεσταθην βασιλευς ὑπ' αυτου επι Σιων κ. τ. λ. *Ps. ii.* 6. *Esa. ix.* 6, 7. *Dan. vii.* 14. *Zach. ix.* 9. Ισραηλ εξουσια αυτου. *Ps. cxiii.* 2. *cxv.* 16.

14 Εν ᾡ εχομεν την απολυτρωσιν δια του αἱματος αυτου, την αφεσιν των ἁμαρτιων·

και αφες πασας τας ἁμαρτιας μου. *Ps. xxiv.* 18. και συ εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους σου, κ. τ. λ. *Zach. ix.* 11. ὁ χρονος μου της απολυτρωσεως ηλθε, κ. τ. λ. *Dan. iv.* 32. *LXX.*

15 Ὁς εστιν εικων του Θεου του αορατου, πρωτοτοκος πασης κτισεως·

εικων της αγαθοτητος αυτου. *Sap. vii.* 26. εκ γαστρος προ ἑωσφορου εγεννησα σε. *Ps. cix.* 3. και εικονα της ιδιας ιδιοτητος εποιησε. *ii.* 23. πρωτοτοκος εγω η συ. 2 *Reg. xix.* 43. καγω πρωτοτοκον θησομαι αυτον, ὑψηλον παρα τοις βασιλευσι της γης. *Ps. lxxxviii.* 27. *Sir. xxxvi.* 12. απαρχαι παντων και τα πρωτοτοκα παντων. *Ezech. xliv.* 30. τον πρωτοτοκον εν πολλοις αδελφοις. *Rom. viii.* 29. [ὁ Θεος εκτισατο με πρωτιστην των εργων, και προ του αιωνος εθεμελιωσε με. *Philo, p.* 190. *Edit. Col.* εικων της αορατου φυσεως εμφανης αϊδιου γενηται. *Vit. Mos. p.* 144. *Mangey.*] *Prov. viii.* 23. ἡ γαρ κτισις σοι τῳ ποιησαντι ὑπηρετουσα. *Sap. xvi.* 24. προ του αιωνος απ' αρχης εκτισε με, και ἑως αιωνος ου μη εκλιπω. *Sir. xxiv.* 9. και εξοδοι αυτου απ' αρχης εξ ἡμερων αιωνος. *Mich. v.* 2. [*Conf. Middleton ad loc.*]

16 Ὁτι εν αυτῳ εκτισθη τα παντα, τα εν τοις ουρανοις και τα επι της γης, τα ὁρατα και τα αορατα, ειτε θρονοι, ειτε κυριοτητες, ειτε αρχαι, ειτε εξουσιαι· τα παντα δι' αυτου και εις αυτον εκτισται·

κατ' αρχας την γην συ, Κυριε, εθεμελιωσας, κ. τ. λ. *Ps. ci.* 25-27.

τις εμετρησε τη χειρι το ὑδωρ, και τον ουρανον σπιθαμη, κ. τ. λ. Esa. xl. 12. xliv. 24. και μολις εικαζομεν τα επι γης—τα δε εν ουρανοις τις εξιχνιασε; Sap. ix. 16. [θρονοι και εξουσιαι αει ὑμνους τῳ Θεῳ προσφερουσι. Test. XII Patr. p. 548.] και κτισασα τον κοσμον εξ αμορφου ὑλης. xi. 17. [εν πολεμοις ὁρατοις και αορατοις. Test. XII Patr. p. 532.] Deut. iv. 32. Ps. lxxxix. 12. σοι δουλευσατω πασα ἡ κτισις σου. Judith. xvi. 14. [και τα επουρανια, και ἡ δοξη των αγγελων, και οἱ αρχοντες ὁρατοι τε και αορατοι, εαν μη πιστευσωσιν εις το αἱμα Χριστου, κακεινοις κρισις εστι. Ignat. ad Smyrn. p. 5.]

17 Και αυτος εστι προ παντων, και τα παντα εν αυτῳ συνεστηκε.

Θεος προ παντων ἁγιος εν ἁγιοις. 3 Mac. ii. 21. [τον ἁπαντα συστησαμενον Θεον και οὑτοι και ἡμεις σεβομεθα. Jos. Ant. xii. 2. Conf. Krebs. in loc. εκ γης και ὑδατος και αερος—συνεστη ὁ κοσμος. Philo. de Plant. Noe. p. 215.] προ του ἡλιου διαμενει το ονομα αυτου. Ps. lxxii. 17. εγω εστερεωσα τους στυλους αυτης (της γης). lxxiv. 3. Conf. Joan. i. 3. Rom. viii. 38. 1 Cor. viii. 6. Ephes. i. 21. εκ μεγεθους καλλονης κτισματων αναλογως ὁ γενεσιουργος αυτων θεωρειται. Sap. xiii. 5. Κυριος εκτισε με αρχην ὁδων αυτου κ. τ. λ. Prov. viii. 22, 23. Esa. xliii. 11-13. εγω πρωτος, και εγω μετα ταυτα κ. τ. λ. xliv. 6.

18 Και αυτος εστιν ἡ κεφαλη του σωματος, της εκκλησιας· ὁς εστιν αρχη, πρωτοτοκος εκ των νεκρων, ἱνα γενηται εν πασιν αυτος πρωτευων·

και ὡς εποιησεν αυτον πρωτευειν και ἡγεισθαι της βασιλειας. Est. v. 11. Ελεαζαρος τις των πρωτευοντων. 2 Mac. vi. 18. πρωτοτοκος μου, συ ισχυς μου, και αρχη τεκνων μου. Gen. xlix. 3. αρχη εθνων. Num. xxiv. 20. κεφαλη. Ps. xcviii. 22. ἡ αρχη της κτισεως του Θεου. Apoc. iii. 14. Deut. xxi. 17. 2 Par. xxi. 3. ὡραιος καλλει παρα τους υἱους των ανθρωπων, κ. τ. λ. Ps. xliv. 2. εκλελοχισμενος απο μυριαδων. Cant. v. 10. το ἁρμα του Θεου μυριοπλασιον, χιλιαδης ευθηνουντων, Κυριος εν αυτοις, κ. τ. λ. Ps. lxvii. 17.

19 Ὁτι εν αυτῳ ευδοκησε παν το πληρωμα κατοικησαι,

το ορος ὁ ευδοκησεν ὁ Θεος κατοικειν εν αυτῳ. Ps. lxvii. 16. ἡ γη και το πληρωμα αυτης. xxiii. 1. Conf. Joan. i. 16. Col. ii. 9. Esa. liii. 12. και καλεσεις το ονομα αυτου Εμμανουηλ. vii. 14.

20 Και δι' αυτου αποκαταλλαξαι τα παντα εις αὑτον, ειρη-

νοποιησας δια του αἱματος του σταυρου αυτου, δι' αυτου, ειτε τα επι της γης, ειτε τα εν τοις ουρανοις.

αποκαταλλαξαι. Conf. *Ephes.* ii. 16. 1 *Joan.* iv. 10. *ειρηνοποιησας.* *Prov.* x. 10. *και προσεχεε το αἱμα των ειρηνικων των αυτου επι το θυσιαστηριον.* 4 *Reg.* xvi. 13. Conf. *Exod.* xii. 13. [*αποκαταλλαξαι· φιλοποιησαι.* *Hesych. Suid. Phav.*] Conf. *Lev.* vi. 30. *και ερω τῳ ου λαῳ μου, Λαος μου ει συ· και αυτος ερει, Κυριος ὁ Θεος μου ει συ.* *Ose.* ii. 23. *Luc.* ii. 14. *Ps.* lxxxiv. 10. *Dan.* ix. 24. *μεγαλη ἡ αρχη αυτου, και της ειρηνης αυτου ουκ εστιν ὁριον, κ. τ. λ.* *Esa.* ix. 7. *αυτος ποιησει τα ὑπερ ἁμαρτιας, και την θυσιαν, και τα ὁλοκαυτωματα,—του εξιλασκεσθαι ὑπερ του οικου Ισραηλ.* *Ezech.* xlv. 17-20. *εν τῃ του μεγαλου δεσποτου καταλλαγῃ.* 2 *Mac.* v. 20. *ειτε—ειτε.* *Ruth.* iii. 10. *alii.*

21 *Και ὑμας ποτε οντας απηλλοτριωμενους και εχθρους τῃ διανοιᾳ εν τοις εργοις τοις πονηροις, νυνι δε αποκατηλλαξεν*

απαλλοτριωσει σε των ιδιων σου. *Sir.* xi. 35. Conf. *Esa.* lxiii. 19. *απηλλοτριωμενος εγενηθην τοις αδελφοις μου.* *Ps.* lxviii. 8. *οἱ υἱοι μου εν τῃ διανοιᾳ αυτων κακα ενενοησαν προς Θεον.* *Job.* i. 5.

22 *Εν τῳ σωματι της σαρκος αὑτου δια του θανατου, παραστησαι ὑμας ἁγιους και αμωμους και ανεγκλητους κατενωπιον αὑτου·*

εν σωματι σαρκος αυτου. *Sir.* xxiii. 16. *γενηθητω ἡ καρδια μου αμωμος.* *Ps.* cxviii. 80. *ανεγκλητους.* 3 *Mac.* v. 31. *και παραστησει αυτους εναντι Κυριου.* *Lev.* xvi. 7. *Ald. Comp.* *παραστησατε ἑαυτους τῳ Θεῳ.* *Rom.* vi. 13. 2 *Mac.* xii. 3. *κατενωπιον του καταπετασματος του ἁγιου.* *Lev.* iv. 17. *Jos.* i. 5. *ῥαντιεις με ὑσσωπῳ και καθαρισθησομαι, κ. τ. λ.* *Ps.* l. 7. *Job.* xv. 15.

23 *Ει γε επιμενετε τῃ πιστει τεθεμελιωμενοι και ἑδραιοι, και μη μετακινουμενοι απο της ελπιδος του ευαγγελιου οὑ ηκουσατε, του κηρυχθεντος εν πασῃ τῃ κτισει τῃ ὑπο τον ουρανον, οὑ εγενομην εγω Παυλος διακονος.*

ἑδραιοι. *Prov.* iv. 18. *Sym.* *μετακινουμενοι.* *Esd.* ix. 11. *ου μετακινησεις ὁρια του πλησιον σου.* *Deut.* xix. 14. *και ακρα οικουμενα της ὑπ' ουρανων.* *Prov.* viii. 26. Conf. *Marc.* xvi. 15. *και απαγγελλων εις ανθρωπους τον Χριστον αυτου.* *Amos.* iv. 13. *εν πασῃ τῃ κτισει.* *Sir.* xlix. 16. *μακαριος οὑ ου κατεγνω ἡ ψυχη αυτου, και ὁς ουκ επεσεν απο της ελπιδος αυτου.* *Sir.* xiv. 2. *γερας ψυχων αμωμων.* *Sap.* ii. 22. *εμβαλλω εις τα θεμελια Σιων λιθον πολυτελη, εκλεκτον, ακρογωνιαιον, κ. τ. λ.* *Esa.* xxviii. 16.

24 Νυν χαιρω εν τοις παθημασι μου ὑπερ ὑμων, και ανταναπληρω τα ὑστερηματα των θλιψεων του Χριστου εν τῃ σαρκι μου ὑπερ του σωματος αυτου, ὁ εστιν ἡ εκκλησια·

των ὑπερ Θεου νομον ἑως θανατου πονων ὑπεριδοντες. 4 Mac. i. 9. [*παθημα. Jos. Ant.* ii. 14. 2.] *ἱνα την λειπουσαν ταις βασανοις προσαναπληρωσωσιν κολασιν. Sap.* xix. 4. *ἱνα γνω τι ὑστερω εγω. Ps.* xxxviii. 4. 1 *Cor.* xii. 27. 2 *Cor.* i. 5, 6. *Ephes.* i. 23. *Phil.* ii. 17. *και ὁ αν ὑστερημα. Esd.* vi. 9.

25 Ἡς εγενομην εγω διακονος κατα την οικονομιαν του Θεου την δοθεισαν μοι εις ὑμας, πληρωσαι τον λογον του Θεου,

και την οικονομιαν σου δωσω εις τας χειρας. Esa. xix. 21. *Conf.* v. 19. *και πληρωσω τους λογους σου.* 3 *Reg.* i. 14. *πληρωσαι. Conf. Rom.* xv. 19. *Ephes.* iii. 2. *Act.* xii. 25. 1 *Cor.* iv. 1.

26 Το μυστηριον το αποκεκρυμμενον απο των αιωνων και απο των γενεων, νυνι δε εφανερωθη τοις ἁγιοις αυτου·

αποκαλυπτων μυστηρια. Dan. ii. 28. *δια πολλων γενεων επισκοπη εσται αυτων. Esa.* xxiv. 22. *Conf. Matt.* xiii. 11. *Rom.* xvi. 25. *Ephes.* i. 9. 1 *Cor.* ii. 7. *κραταιωμα Κυριος των φοβουμενων αυτον, και ἡ διαθηκη αυτου του δηλωσαι αυτοις. Ps.* xxiv. 14. *φθεγξομαι προβληματα απ᾽ αρχης. Ps.* lxxvii. 2. *Conf. Prov.* xxv. 2.

27 Οἱς ηθελησεν ὁ Θεος γνωρισαι, τις ὁ πλουτος της δοξης του μυστηριου τουτου εν τοις εθνεσιν, ὁς εστι Χριστος εν ὑμιν, ἡ ελπις της δοξης·

και το ονομα μου επιφανες εν τοις εθνεσι. Mal. i. 11. 14. *ἑως αν τελεσθῃ ὁσα αν ηθελησα. Esa.* lv. 11. *Est.* i. 8. *ὁ γαρ αυτος ηθελησε και εποιησε. Job.* xxiii. 13. *ὁ πλουτος ἁπαντων των εθνων. Esa.* xxix. 7. *ἡ ελπις αυτων αθανασιας πληρης. Sap.* iii. 4. *ἡ ελπις της σωτηριας. Job.* ii. 9. v. 16. *Rom.* ix. 22. 2 *Cor.* ii. 14. *Ephes.* i. 7. 2 *Tim.* i. 1. *εγνωρισας μοι ὁδους ζωης, κ. τ. λ. Ps.* xv. 11. lxxxv. 9. *Conf. Amos.* iv. 13. *Esa.* lxi. 9-11.

28 Ὁν ἡμεις καταγγελλομεν, νουθετουντες παντα ανθρωπον, και διδασκοντες παντα ανθρωπον εν πασῃ σοφιᾳ, ἱνα παραστησωμεν παντα ανθρωπον τελειον εν Χριστῳ Ιησου·

και εν οἱς ἁμαρτανουσιν ὑπομιμνησκων νουθετεις. Sap. xii. 2. *και εστωσαν αἱ καρδιαι ἡμων τελειαι προς Κυριον.* 3 *Reg.* viii. 61. *παραστησωμεν. Gen.* xlvii. 2. *Ald.* *Νωε ανθρωπος δικαιος, τελειος ων εν τῃ γενεᾳ αυτου. Gen.* vi. 9. *Conf. Jer.* iii. 15. 2 *Cor.* xi. 2. *Ephes.* v. 27. *Act.* xx. 20. *συ ενουθετησας πολλους. Job.* iv. 3.

29 Εις ὁ και κοπιω αγωνιζομενος, κατα την ενεργειαν αυτου την ενεργουμενην εν εμοι εν δυναμει.

και περι του Δανιηλ ηγωνισατο του εξελεσθαι αυτον. Dan. vi. 14. εν δυναμει. 2 Par. ix. 1. xiv. 9. εξαποστειλον αυτην (σοφιαν) εξ ἁγιων ουρανων, και απο του θρονου δοξης σου πεμψον αυτην, ἱνα συμπαρουσα μοι κοπιασῃ, κ. τ. λ. Sap. ix. 10. τις ενηργησε, και εποιησε ταυτα;—εγω Θεος πρωτος, και εις τα επερχομενος Εγω Ειμι. κ. τ. λ. Esa. xli. 4. δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. Ps. lxvii. 11. Conf. Gen. xxxii. 24-28.

ΚΕΦ. β. 2.

ΘΕΛΩ γαρ ὑμας ειδεναι, ἡλικον αγωνα εχω περι ὑμων και των εν Λαοδικειᾳ, και ὁσοι ουχ ἑωρακασι το προσωπον μου εν σαρκι,

εν κοποις αυτου ενισχυσε προς Θεον. Ose. xii. 3. και πως Κυριῳ παρεχετε αγωνα; Esa. vii. 13. εν σωματι σαρκος αυτου. Sir. xxiii. 16. επει ἑωρακα το προσωπον σου. Gen. xlvi. 30. [τηλικουτον, ἡλικον οισθα Δαυιδην γενομενα. Jos. Ant. viii. 7. 7.] [αγωνισασθαι τον περι της πολιτειας αγωνα. Philo, de Leg. ad Cai. p. 1040.]

2 Ἱνα παρακληθωσιν αἱ καρδιαι αυτων, συμβιβασθεντων εν αγαπῃ, και εις παντα πλουτον της πληροφοριας της συνεσεως, εις επιγνωσιν του μυστηριου του Θεου και πατρος και του Χριστου,

χειρας ασθενους παρεκαλεσας. Job. iv. 3. ειπον τῃ ψυχῃ μου, Σωτηρια σου εγω ειμι. Ps. xxxiv. 3. παρακαλειτε παρακαλειτε τον λαον μου. Esa. xl. 1. liii. 11. και συμβιβω σε εν ὁδῳ ταυτῃ ᾗ πορευσῃ. Ps. xxxi. 8. Esa. xl. 13. ειδως συνεσιν. 2 Par. ii. 13. Dan. ii. 21. Esa. lvi. 11. τον πλουτον αυτης (σοφιας) ουκ αποκρυψομαι. Sap. vii. 13. Sir. xxiv. 26. Cap. i. 26, 27.

3 Εν ᾧ εισι παντες οἱ θησαυροι της σοφιας και της γνωσεως αποκρυφοι.

κυριευσει εν τοις αποκρυφοις του χρυσου. Dan. xi. 43. και γινωσκοντας γνωσιν. Dan. i. 4. ελαβε τους θησαυρους τους αποκρυφους. 1 Mac. i. 23. οὑτοι εισι θησαυροι δικαιοσυνης. Esa. xxxiii. 6. Conf. 1 Cor. i. 24. Ephes. i. 8. αυτος εκτισεν αυτην (σοφιαν), και ειδε και εξηριθμησεν αυτην, κ. τ. λ. Sir. i. 9-14. Conf. Jer. ix. 24. Job. xxviii. 21. Prov. ii. 4.

4 Τουτο δε λεγω, ἱνα μη τις ὑμας παραλογιζηται εν πιθανολογιᾳ·

ἑως νυν παρελογισω με και, ελαλησας προς με. Jud. xvi. 13. Alex. Comp. επλανησας με. Vat. Conf. Ephes. v. 6. Col. ii. 18. Rom. xvi. 18. [οἱτινες ωηθησαν σοφιαν πιθανων ειναι λογων εὑρεσιν, αλλ' ου πραγματων αληθεστατην πιστιν. Philo. de Mig. Abrah. p. 414.]

5 Ει γαρ και τῃ σαρκι απειμι, αλλα τῳ πνευματι συν ὑμιν ειμι, χαιρων και βλεπων ὑμων την ταξιν, και το στερεωμα της εις Χριστον πιστεως ὑμων.

ταξις. Job. xxviii. 13. Aq. Sym. 1 Esd. i. 15. και κατωρθωθη το εργον εν οικῳ Κυριου. 2 Par. xxix. 35. Κυριος στερεωμα μου. Ps. xvii. 2. γαυριαμα ὑψους, στερεωμα καθαριοτητος. Sir. xliii. 1. 1 Cor. v. 3. Ps. lxxviii. 37. 1 Thess. ii. 17. Ἱερουσαλημ οικοδομουμενη ὡς πολις, ἡς ἡ μετοχη αυτης επιτοαυτο. Ps. cxxi. 3.

6 Ὡς ουν παρελαβετε τον Χριστον Ιησουν τον Κυριον, εν αυτῳ περιπατειτε,

Conf. Joan. xiv. 6. 1 Thess. iv. 1. και αναλαβε τα ῥηματα αυτου εν καρδιᾳ σου. Job. xxii. 22. Conf. Amos. iv. 13. 4 Reg. xx. 3.

7 Ερῥιζωμενοι και εποικοδομουμενοι εν αυτῳ, και βεβαιουμενοι εν τῃ πιστει, καθως εδιδαχθητε, περισσευοντες εν αυτῃ εν ευχαριστιᾳ.

βεβαιωσον με εν τοις λογοις σου. Ps. cxviii. 28. και ῥιζαν λογου εὑρησομεν εν αυτῳ; Job. xix. 28. Conf. Jer. xii. 2. 1 Cor. i. 5. Ephes. ii. 21. ουδε μη ῥιζωθῃ εις την γην ἡ ῥιζα αυτων. Esa. xl. 24. περισσευων εν φρονησει. Sir. xix. 24. εμπιστευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε, κ. τ. λ. 2 Par. xx. 20. Esa. vii. 9.

8 Βλεπετε μη τις ὑμας εσται ὁ συλαγωγων δια της φιλοσοφιας και κενης απατης, κατα την παραδοσιν των ανθρωπων, κατα τα στοιχεια του κοσμου, και ου κατα Χριστον·

ὁπως ὑπο των ληστων μη συληθωσι. Epist. Jer. 18. Exod. iii. 22. Sym. βλεπετε. Conf. Exod. xxv. 40. xxxiii. 5. Conf. Matt. xv. 3-6. Rom. xvi. 17. Gal. iv. 3. 9. Heb. xiii. 9. λογος και απατη. Judith. ix. 13. μη αναπειθετωσαν ὑμας οἱ ψευδοπροφηται οἱ εν ὑμιν, κ. τ. λ. Jer. xxxvi. 8. [τρια παρα Ιουδαιοις ειδη φιλοσοφειται κ. τ. λ. Jos. Bell. Jud. ii. 8. 2. οἱ κατα Μωσην φιλοσοφουντες. Philo de Mut. Nom. p. 1079. βαθμους και ὑποβαθρα της κατα Χριστον φιλοσοφιας. Clem. Alex. Strom. vii. Loesner. p. 364.] [συλαγωγων· απογυμνων. Hesych.] Conf. Deut. vi. 12.

9 Ὁτι εν αυτῳ κατοικει παν το πληρωμα της θεοτητος σωματικως,

ὁτι εν σοι ὁ Θεος εστι, και ουκ εστι Θεος πλην σου, κ. τ. λ. *Esa. xlv.* 14, 15. και ιδου πληρης δοξης ὁ Κυριου οικος. *Ezech. xliii.* 5. *Conf. cap. i.* 19. το ορος ὁ ευδοκησεν ὁ Θεος κατοικειν εν αυτῳ. *Ps. lxvii.* 16. θειοτης. *Sap. xviii.* 9. *Conf. Joan. i.* 14. 1 *Cor. xi.* 3. σωματικως. *Col. v.* 17. ανδρα πολιτην μου. *Zach. xiii.* 7.

10 Και εστε εν αυτῳ πεπληρωμενοι· ὁς εστιν ἡ κεφαλη πασης αρχης και εξουσιας·

οὑτος εγενηθη εις κεφαλην γωνιας. *Ps. cxvii.* 22. πεπληρωμενοι. *Conf. cap. iv.* 12. εις κεφαλην και εις αρχηγον. *Jud. xi.* 11. και θησονται ἑαυτοις αρχην μιαν. *Ose. i.* 11.

11 Εν ῳ και περιετμηθητε περιτομῃ αχειροποιητῳ, εν τῃ απεκδυσει του σωματος των ἁμαρτιων της σαρκος, εν τῃ περιτομῃ του Χριστου,

και περιτεμνεσθε την σκληροκαρδιαν ὑμων. *Jer. iv.* 4. *Deut. x.* 16. *xxx.* 6. βραχιονες σαρκινοι. 2 *Par. xxxii.* 8. *Conf. Luc. ii.* 21. *Rom. ii.* 29. *Ephes. iv.* 22. *Cap. iii.* 8, 9. *Phil. iii.* 3. απεριτμητος καρδιᾳ, και απεριτμητος σαρκι. *Ezech. xliv.* 7-9. [ὁτι το περιτεμνασθαι, ἡδονων και παθων παντων εκτομην, και δοξης αναιρεσιν ασεβους εμφαινει. *Philo, de Mig. Abr. p.* 315. *De Circumcis. p.* 626.] ετμηθη λιθος ανευ χειρων. *Dan. ii.* 45.

12 Συνταφεντες αυτῳ εν τῳ βαπτισματι· εν ῳ και συνηγερθητε δια της πιστεως της ενεργειας του Θεου του εγειραντος αυτον εκ των νεκρων·

ὁ εγειρας νεκρον εκ θανατου. *Sir. xlviii.* 5. συνηγερθησαν σοι. *Esa. xiv.* 9. και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. *Conf. Sophon. iii.* 6. *Dan. xii.* 13. *Job. xix.* 25-28. της πιστεως της ενεργειας. = *Judith. ix.* 8. [*Winer.* § 30. *p.* 155.]

13 Και ὑμας νεκρους οντας εν τοις παραπτωμασι και τῃ ακροβυστιᾳ της σαρκος ὑμων συνεζωοποιησε συν αυτῳ, χαρισαμενος ἡμιν παντα τα παραπτωματα·

περιτμηθησεσθε την σαρκα της ακροβυστιας. *Gen. xvii.* 11. εσται ἡ διαθηκη μου επι της σαρκος ὑμων. *xvii.* 13. απο των νεκρων—ὡν ἡ μερις εν ζωῃ. *Ps. xvi.* 14. *Sym. Conf. Ephes. ii.* 1, 11. *Ezech. xxxvii.* 1-10. ιδου εγω φερω εφ' ὑμας πνευμα ζωης. 5. εζωοποιησας με. *Ps. lxx.* 20. *cxviii.* 116. [τῳ πατερων ονοματι ταυτην χαριζομενος την δωρεαν. *Jos. Ant. ii.* 6. 9.] *Conf. Ose. xiv.* 5.

14 Εξαλειψας το καθ' ἡμων χειρογραφον τοις δογμασιν, ὁ ην ὑπεναντιον ἡμιν, και αυτο ηρκεν εκ του μεσου, προσηλωσας αυτο τῳ σταυρῳ·

εν γραφῃ εκ χειρος Κυριου. 1 *Par.* *xxviii.* 19. *Exod.* *xxxii.* 15. πασας τας ανομιας μου εξαλειψον. *Ps.* *l.* 9. *cviii.* 14. και ἡ προς τουτους διαθηκη αιρεται. *Esa.* *xxxiii.* 8. ὁτι κατεγραψας κατ' εμου κακα. *Job.* *xiii.* 26. *Conf.* *Deut.* *xxvii.* 15-26. προσηλωσας. 3 *Mac.* *iv.* 9. ὁ ὑπεναντιος. *Gen.* *xxii.* 17. *Exod.* *xv.* 7. *Conf.* *Jud.* *iv.* 21. χειρογραφον. *Tob.* *v.* 3. *ix.* 5. και γραψει ὁ ἱερευς τας αρας ταυτας εις βιβλιον, και εξαλειψει εις το ὑδωρ του ελεγμου του επικαταρωμενου. *Num.* *v.* 23. *Esa.* *xliii.* 25. *xliv.* 22. *lvii.* 14. [Ἡρωδης εκεινην τε εξεβαλε, και τον υἱον αυτης εξηλειψε των διαθηκων. *Jos.* *Ant.* *xvii.* 14. 2.]

15 Απεκδυσαμενος τας αρχας και τας εξουσιας, εδειγματισεν εν παρῥησιᾳ, θριαμβευσας αυτους εν αυτῳ.

αναβας εις ὑψος, ᾐχμαλωτευσας αιχμαλωσιαν, κ. τ. λ. *Ps.* *lxviii.* 18. [απεκδυς την βασιληκην εσθητα. *Jos.* *Ant.* *vi.* 14. 2.] εδειγματισε. *Conf.* *Matt.* *i.* 19. εν παρῥησιᾳ. *Sap.* *v.* 1. [θριαμβευσας· δημοσιευσας, πομπευσας. *Phav.*] και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel.* *ii.* 32. [βουλομενος αυτους εν τῳ θριαμβῳ παραγειν. *Jos.* *Bell.* *vii.* 5. 3.] [και των αορατων πνευματων τηκομενων, και του ᾁδου σκυλομενου επι τῳ παθει του Ὑψιστου. *Test.* *XII* *Patr.* *p.* 549.] *Conf.* *Ephes.* *i.* 21. *iii.* 21. *vi.* 12.

16 Μη ουν τις ὑμας κρινετω εν βρωσει η εν ποσει, η εν μερει ἑορτης η νουμηνιας η σαββατων·

βρωσις και ποσις. *Dan.* *i.* 10. μη ουν τις. = 1 *Reg.* *xvii.* 34. *xxv.* 25. ου νεομηνια, ουδε σαββατον. 4 *Reg.* 4. 23. εν ταις νεομηνιαις και εν ταις ἑορταις. 1 *Par.* *xxiii.* 31. *Alex.* *Conf.* *Exod.* *xl.* 2. *Rom.* *xiv.* 2. *Gal.* *iv.* 10. [εν μερει ἑορτης, *ob festum, quasi scriptum esset simpliciter*, εν ἑορτῃ. *Ita* *Joseph.* ὑπερηφανιας εδοκει μερος. *Ant.* *xvi.* 1. 1. *Philo.* *p.* 156. ὁσοι εν μερει λογου του προκοπτοντος κατα τον πατερα κοσμουνται. *Conf.* *Krebs.* *p.* 337.] χαριν αδιαφορου πολλοι ἡμαρτον, κ. τ. λ. *Sir.* *xxvii.* 1.

17 Ἁ εστι σκια των μελλοντων, το δε σωμα του Χριστου.

[σκια τροφης (*quod videbatur cibus esse.*) *Jos.* *Bell.* *vi.* 3. 3. *Bretschn.* ἡκει παρα του δεσποτου σκιαν αιτησαμενος βασιλειας, ἡς ἡρπασεν ἑαυτῳ το σωμα. *ii.* 5.] θυσιαν και προσφοραν ουκ ηθελησας, σωμα δε κατηρτισω μοι. *Ps.* *xxxix.* 6.

18 Μηδεις ὑμας καταβραβευετω, θελων εν ταπεινοφροσυνῃ και θρησκειᾳ των αγγελων, ἁ μη ἑωρακεν εμβατευων, εικη φυσιουμενος ὑπο του νοος της σαρκος αυτου,

θελων. *Ps. cx.* 2. 1 *Mac. iv.* 42. εμβατευειν—και πολυπραγμονειν. 2 *Mac. ii.* 30. *Conf. Tob. xii.* 15. *Deut. xxix.* 20. *Jer. xxxvi.* 8. *Ezech. xiii.* 3. *Matt. xxiv.* 4. *Ephes. v.* 6. ἡ γαρ ανωνυμων ειδωλων θρησκεια παντος αρχη κακου. *Sap. xiv.* 27. σοφια αγγελου του Θεου. 2 *Reg. xiv.* 20. *Ps. lxxvii.* 25. αγωνα ισχυρον εβραβευσεν αυτῳ. *Sap. x.* 12. εν ταπεινοφροσυνῃ. *Conf. Ps. cxxx.* 2. τα κρυπτα Κυριῳ τῳ Θεῳ ἡμων, τα δε φανερα ἡμιν, κ.τ.λ. *Deut. xxix.* 29. [το του αλλου αγωνιζομενου τον αλλον στεφανουσθαι λεγει ὁ Αποστολος καταβραβευεσθαι. *Chrysost. Theod. Theophyl.*] εν εμοι ηθελησε κ. τ. λ. 1 *Par. xxviii.* 4. [ομνυουσι (*Essenes*)—αφεξεσθαι ληστειας, και συντηρησειν ὁμοιως τα τε της αἱρεσεως αυτων βιβλια, και τα των αγγελων ονοματα. *Jos. Bell. Jud. ii.* 8. 7. περι την του Θεου θρησκειαν εσπουδακεισαν. *Ant. iv.* 4. 1.] επορευθησαν εμβατευσαι την γην. *Jos. xix.* 4. [ὡσπερ ενιοι των ανατεμνοντων τα φρεατα το ζητουμενον ὑδωρ πολλακις ουχ εὑρον, οὑτως οἱ προσωτερω χωρουντες των επιστημων, και επι πλεον εμβατευοντες αυταις, αδυνατουσι του τελους επιψαυσαι. *Philo, de Plant. Noe. p.* 225.] χαλεπωτερα σου μη ζητει, και ισχυροτερα σου μη εξεταζε, κ. τ. λ. *Sir. iii.* 21-26. [φυσιωθησεσθε επι τῃ ἱερωσυνῃ κατα ανθρωπων επαιρομενοι. *Test. XII Patr. p.* 579.] [φυσιουμεθα· επαιρομεθα, τυφουμεθα. *Hesych.*] [*Consule Philo. de Gigant. et de Somn. passim, et Krebs. et Loesner ad loc.*]

19 Και ου κρατων την κεφαλην, εξ οὑ παν το σωμα δια των ἁφων και συνδεσμων επιχορηγουμενον και συμβιβαζομενον αυξει την αυξησιν του Θεου.

Conf. Ephes. iv. 15, 16. ὁ κρατων αυτου τινι ὁμοιωθησεται; 2 *Reg. iii.* 6. προς αυξησιν και δοξαν του τοπου. 2 *Mac. v.* 16. *Conf. Job. x.* 9-12. *Ps. cxxxviii.* 15, 16.

20 Ει ουν απεθανετε συν τῳ Χριστῳ απο των στοιχειων του κοσμου, τι ὡς ζωντες εν κοσμῳ δογματιζεσθε;

εδογματισαν παντες μετα κοινου ψηφισματος. 2 *Mac. xv.* 36. 3 *Mac. Conf. Rom. vi.* 3. 5. *Gal. ii.* 19. *iv.* 9-12. *Cap. ii.* 8. *Ephes. ii.* 15. *Ps. xxx.* 8. *cxviii.* 45.

21 Μη ἁψῃ, μηδε γευσῃ, μηδε θιγῃς·

μη ἁψησθε αυτου. *Gen. iii.* 3. προσεχετε—θιγειν τι αυτου. *Exod. xix.* 12. *Conf. Esa. lii.* 11. *Luc. xviii.* 13. *Act. x.* 28.

22 Ἁ εστι παντα εις φθοραν τῃ αποχρησει, κατα τα ενταλματα και διδασκαλιας των ανθρωπων·

διεφθαρητε φθορᾳ. Mich. ii. 10. Ps. cii. 4. διδασκοντες ενταλματα ανθρωπων και διδασκαλιας. Esa. xxix. 13. Matt. xv. 9. Rom. xiv. 17. CITAT. 236.

23 Ἁτινα εστι λογον μεν εχοντα σοφιας εν εθελοθρησκειᾳ και ταπεινοφροσυνῃ και αφειδιᾳ σωματος, ουκ εν τιμῃ τινι προς πλησμονην της σαρκος.

ησθιομεν αρτους εις πλησμονην. *Exod. xvi.* 3. 8. *Lev. xxvi.* 5. ου ταυτην την νηστειαν εξελεξαμην, και ἡμεραν ταπεινουν ανθρωπον την ψυχην αυτου. *Esa. lviii.* 3-5. [εθελοθρησκειαν· εθελοσεβειαν. *Hesych.* εθελοθρησκει· ιδιῳ θεληματι σεβει το δοκουν. *Suid.*] [*Conf. Test. XII Patr. p.* 657. *Jos. Bell. Jud. ii.* 8. 7. *Bretschn.*]

ΚΕΦ. γ. 3.

ΕΙ ουν συνηγερθητε τῳ Χριστῳ, τα ανω ζητειτε, οὑ ὁ Χριστος εστιν εν δεξιᾳ του Θεου καθημενος·

εξεγειρου εξεγειρου Ἱερουσαλημ. *Esa. li.* 9. 17. εδιψησεν ἡ ψυχη μου προς τον Θεον, κ. τ. λ. *Ps. xli.* 2. ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου. *cix.* 1. τερπνοτης εν τῃ δεξιᾳ σου εις τελος. *xv.* 11. [τα ανω. *Act. Thom.* 36.]

2 Τα ανω φρονειτε, μη τα επι της γης.

τα επι γης—τα εν ουρανοις. *Sap. ix.* 16. *Phil. iii.* 20. φρονειν τα ἡμων. 1 *Mac. x.* 20. τοις τα ἡμετερα φρονουσι. *Est. xvi.* 1. 2 *Mac. xiv.* 8. 26. αποστρεψον τους οφθαλμους μου του μη ιδειν ματαιοτητα· εν τῃ ὁδῳ σου ζησον με. *Ps. cxviii.* 37.

3 Απεθανετε γαρ, και ἡ ζωη ὑμων κεκρυπται συν τῳ Χριστῳ εν τῳ Θεῳ·

Conf. Rom. vi. 2. 2 *Cor. v.* 8. *Gal. ii.* 20. ὑγιασει ἡμας μετα δυο ἡμερας, εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, και ζησομεθα ενωπιον αυτου. *Ose. vi.* 3. χρηστοτητος σου, Κυριε, ἡς εκρυψας τοις φοβουμενοις σε. *Ps. xxx.* 19. *lxxxii.* 3. *Sym. Aq. xc.* 1. *Jer. xxiii.* 24. *Conf. Joan. x.* 30. 38.

4 Ὁταν ὁ Χριστος φανερωθῃ, ἡ ζωη ἡμων, τοτε και ὑμεις συν αυτῳ φανερωθησεσθε εν δοξῃ.

και φανερωσω αυτοις εισακουειν—ειρηνην και πιστιν. *Jer. xl.* 6. *Alex. Ald.* και ζωη εν τω θεληματι αυτου. *Ps. xxix.* 5. εγνωρισας μοι ὁδους ζωης. *xv.* 11. προσευχη τω Θεω της ζωης μοι. *xli.* 8. *Conf.* 1 *Cor. xv.* 43. *Phil. iii.* 21. *Esa. xxv.* 8, 9. 1 *Joan. iii.* 2. εγω δε εν δικαιοσυνη οφθησομαι τω προσωπω σου, κ.τ.λ. *Ps. xvi.* 15. και μετα δοξης προσελαβου με. *lxxii.* 24.

5 Νεκρωσατε ουν τα μελη ὑμων τα επι της γης, πορνειαν, ακαθαρσιαν, παθος, επιθυμιαν κακην, και την πλεονεξιαν, ἡτις εστιν ειδωλολατρεια,

οπισω των επιθυμιων σου μη πορευου. *Sir. xviii.* 30. επιθυμιαι ασεβων κακαι. *Prov. xii.* 13. αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. *Sap. xiv.* 12. [πηλικα τολμωσιν ανθρωποι πλεονεξιας ἑνεκα. *Jos. Ant. vii.* 1. 5.] τα μελη. 3 *Reg. xii.* 10. *Sym.* [μηκετι το σωμα ενεργειτω την ἁμαρτιαν. *Theod.*]

6 Δι' ἁ ερχεται ἡ οργη του Θεου επι τους υἱους της απειθειας·

ελευσονται επι σε πασαι αἱ καταραι αὑται. *Deut. xxviii.* 15. υἱος ανομιας. *Ps. lxxxix.* 22. *Sir. iv.* 11. εξηλθε γαρ οργη απο προσωπου Κυριου. *Num. xvi.* 46. υἱος απειθης. *Deut. xxi.* 18.

7 Εν οἱς και ὑμεις περιεπατησατε ποτε, ὁτε εζητε εν αυτοις·

8 Νυνι δε αποθεσθε και ὑμεις τα παντα, οργην, θυμον, κακιαν, βλασφημιαν, αισχρολογιαν, εκ του στοματος ὑμων.

παυσαι απο οργης και εγκαταλιπε θυμον. *Ps. xxxvi.* 8. ονομαζων δε το ονομα Κυριου, θανατω θανατουσθω. *Lev. xxiv.* 16.

9 Μη ψευδεσθε εις αλληλους, απεκδυσαμενοι τον παλαιον ανθρωπον συν ταις πραξεσιν αυτου,

ου ψευσεσθε. *Lev. xix.* 11. *Ps. v.* 6. *Zach. viii.* 16. ποιειν δικαια και αληθευειν αρεστα παρα Θεω μαλλον η θυσιων αἱμα. *Prov. xxi.* 3. ἡμαρτηκα εις σε. 1 *Reg. xxiv.* 12. 2 *Mac. vii.* 31. εψευσαι εις την σεαυτου κεφαλην. *Susan.* 54. ψευσηται τα προς τον πλησιον. *Lev. vi.* 2. [τοις εκδυομενοις τα ἁμαρτηματα, και μεταγινωσκειν δοκουσι. *Philo, de Mut. Nom. p.* 1081.] μη μνησθης ἡμων ανομιων αρχαιων. *Ps. lxxviii.* 8.

10 Και ενδυσαμενοι τον νεον, τον ανακαινουμενον εις επιγνωσιν κατ' εικονα του κτισαντος αυτον·

Conf. Ephes. ii. 10. *iv.* 24. και εις επιγνωσιν ερχεσθαι. 2 *Mac. ix.* 11. ὁτι ὁ Θεος εκτισε τον ανθρωπον επ' αφθαρσια, και εικονα της ιδιας ιδιοτητος εποιησεν αυτον. *Sap. ii.* 23. κατ' εικονα αυτου

εποιησεν αυτους. Sir. xvii. 3. Gen. i. 27. εκτισεν ὁ Θεος ανθρωπον. Deut. iv. 32. Κυριος ὁ Θεος ὁ κτισας σε. *Esa. xliv. 2. M. Ald. Comp.* [*ὁ προς την αληθειαν ανθρωπος. Philo. p. 288.*] *Conf. Rom. xii. 2. Tit. iii. 5. Joan. iii. 3. 5. 1 Pet. i. 23. iii. 21. ὑπομενω ἑως αν ελθῃ ἡ ἁγια φυσις μου. Job. xiv. 14. Sym.* [*κατ' εικονα Θεου διετυπωθη. Philo, de Mund. Opific. p. 4. Edit. Col. De Profug. p. 359. ποιησω μεν ανθρωπον κατ' εικονα ἡμετεραν.*]

11 Ὁπου ουκ ενι Ἑλλην και Ιουδαιος, περιτομη και ακροβυστια, βαρβαρος, Σκυθης, δουλος, ελευθερος, αλλα τα παντα και εν πασι Χριστος.

οἱτινες ει και επι Σκυθων ελεγον. 2 Mac. iv. 47. βαρβαρος. Ezech. xxi. 31. 2 Mac. ii. 21. Conf. Rom. x. 12. 1 Cor. xii. 13. Gal. iii. 28. [*ουθ' Ἑλληνων, ουτε βαρβαρων. Jos. Ant. viii. 11. 3.*] [*Σκυθαι δε φονοις χαιροντες ανθρωπων, και βραχυ των θηριων διαφεροντες. Jos. c. Ap. ii. 37.*] *ὁ λεγων τῳ πατρι και τῃ μητρι, Ουχ ἑωρακα σε, κ. τ. λ. Deut. xxxiii. 9. κληθησονται και αυτοι υἱοι Θεου ζωντος. Ose. i. 10. ὁπου. = Prov. xxvi. 20.* [*και χωρις της περιτομης το θειον σεβειν, ειγε παντως κεκρικε ζηλουν τα πατρια των Ιουδαιων· τουτο ειναι κυριωτερον του περιτεμνεσθαι. Jos. Ant. xx. 2. 5.*]

12 Ενδυσασθε ουν, ὡς εκλεκτοι του Θεου ἁγιοι και ηγαπημενοι, σπλαγχνα οικτιρμων, χρηστοτητα, ταπεινοφροσυνην, πρᾳοτητα, μακροθυμιαν,

οἱ ἱερεις σου ενδυσονται δικαιοσυνην. Ps. cxxxi. 9. διεθεμην διαθηκην τοις εκλεκτοις μου. Ps. lxxxviii. 3. ενδυσαι την ισχυν σου Σιων, και συ ενδυσαι την δοξαν σου Ἱερουσαλημ. Esa. lii. 1. Job. xxix. 14. τα δε σπλαγχνα των ασεβων ανελεημονα. Prov. xii. 10. Gen. xliii. 30. Aq. Sym. Sap. x. 5. Conf. Ephes. iv. 32. Gal. v. 22. 1 Thess. i. 4. 1 Pet. ii. 9. [*και ὑμεις ουν, τεκνα μου, εχετε ευσπλαγχνιαν κατα παντος ανθρωπου κ. τ. λ. Test. XII Patr. p. 641.*] [*ενδυσωμεθα την ὁμονοιαν, ταπεινοφρονουντες, εγκρατευομενοι, κ. τ. λ. Clem. Rom. 1 Epist. 30.*] *Conf. Jer. xxxviii. 3. Ezech. xvi. 8.*

13 Ανεχομενοι αλληλων, και χαριζομενοι ἑαυτοις, εαν τις προς τινα εχῃ μομφην· καθως και ὁ Χριστος εχαρισατο ὑμιν, οὑτω και ὑμεις·

που εστι το πληθος του ελεους σου—ὁτι ανεσχου ἡμων; Esa. lxiii. 15. Prov. xvi. 32. πριν εξετασῃς μη μεμψῃ. Sir. xi. 7.

14 Επι πασι δε τουτοις την αγαπην, ἡτις εστι συνδεσμος της τελειοτητος·

ταξατε επ᾽ εμε αγαπην. Cant. ii. 4. viii. 6. 7. εξετεινα αυτους εν δεσμοις αγαπησεως μου. Ose. xi. 4. επι πασι τουτοις. Sir. xxxvii. 15. xxxv. 13. εμνησθην ελεους νεοτητος σου, και αγαπης τελειωσεως σου. Jer. ii. 2. συνδεσμος αδικιας. Esa. lviii. 6. Act. viii. 23. εν αληθεια και τελειοτητι. Jud. ix. 16. 19. τελειωθεις εν ολιγῳ. Sap. iv. 13. φρονησεως τελειοτης. vi. 15. αγαπη τηρησις νομων αυτης, κ. τ. λ. 18. αγαπησιν αιωνιον ηγαπησα σε. Jer. xxxviii. 3.

15 Και ἡ ειρηνη του Θεου βραβευετω εν ταις καρδιαις ὑμων, εις ἡν και εκληθητε εν ἑνι σωματι· και ευχαριστοι γινεσθε.

Conf. Phil. iv. 7. αγωνα—εβραβευσεν αυτῳ. Sap. x. 12. αρχων ειρηνης. Esa. ix. 6. Theod. [βραβευων ὁμονοιαν και ειρηνην, σωζε την πληθυν ἑπομενην τοις σοις προσταγμασι. *Jos. Ant. iv.* 3. 2.] ευχαριστοι. *Conf.* 2 *Mac. i.* 11. Κυριος ευλογησει τον λαον αυτου εν ειρηνῃ. *Ps. xxviii.* 11. *cxviii.* 165. *Esa. xxvi.* 3. *xxvii.* 5.

16 Ὁ λογος του Χριστου ενοικειτω εν ὑμιν πλουσιως, εν πασῃ σοφιᾳ διδασκοντες και νουθετουντες ἑαυτους, ψαλμοις και ὑμνοις και ᾠδαις πνευματικαις εν χαριτι ᾀδοντες εν τῃ καρδιᾳ ὑμων τῳ Κυριῳ·

Conf. Ephes. v. 19. εν χαριτι, *lætitiâ, gaudio. Tob. vii.* 18. *Conf. Sir. xxxix.* 15. *Jer. xxxvii.* 19. και ησαν την αινεσιν. *Ps. cv.* 12. *Ald. Comp.* ουθεν γαρ αγαπᾳ ὁ Θεος, ει μη τον σοφιᾳ συνοικουντα. *Sap. vii.* 28. και εσται τα ῥηματα ταυτα—εν τῃ καρδιᾳ σου, και εν τῃ ψυχῃ σου. *Deut. vi.* 6-9. *Ps. cxviii.* 13-16. σοι ειπεν ἡ καρδια μου, Εξεζητησα το προσωπον σου. κ. τ. λ. *Ps. xxvi.* 8.

17 Και παν ὁ τι αν ποιητε εν λογῳ η εν εργῳ, παντα εν ονοματι Κυριου Ιησου, ευχαριστουντες τῳ Θεῳ και πατρι δι᾽ αυτου.

εν εργῳ και λογῳ τιμα τον πατερα σου. *Sir. iii.* 8. παρα ταυτα παντα ευχαριστησωμεν Κυριῳ. *Judith. viii.* 25. *Conf. Rom. i.* 8. 1 *Cor. x.* 31. 2 *Cor. vi.* 16. *Heb. xiii.* 15. ὁτι παντες οἱ λαοι πορευσονται ἑκαστος την ὁδον αυτου, ἡμεις δε πορευσομεθα εν ονοματι Κυριου Θεου κ. τ. λ. *Mich. iv.* 5. ἑνεκεν της επ᾽ αυτους επικλησεως του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 *Mac. viii.* 15. τῳ Θεῳ και Πατρι. *Conf.* Θεε πατερων και Κυριε του ελεους. *Sap. ix.* 1. *Sir. xxiii.* 1. *Winer.* § 18. *p.* 109. *Middleton. p.* 58.

18 Αἱ γυναικες, ὑποτασσεσθε τοις ιδιοις ανδρασιν, ὡς ανηκεν, εν Κυριῳ.

και προς την ιδιαν γυναικα κολλαται. 1 *Esd. iv.* 20. 1 *Cor. xiv.* 34. *Gen. iii.* 16. *Ephes. v.* 22. 1 *Tim. ii.* 12. *δια το ανηκειν αυτα τοις ἱερευσι.* 1 *Mac. x.* 42. *xi.* 35. *και οὑτω πασαι αἱ γυναικες περιθησουσι τιμην τοις ανδρασιν ἑαυτων. Est. i.* 20. *Tob. iv.* 12.

19 Οἱ ανδρες, αγαπατε τας γυναικας, και μη πικραινεσθε προς αυτας·

Conf. Ephes. v. 25. *επικρανθη επ' αυτοις Μωυσης. Exod. xvi.* 20. *Gen. ii.* 24. *xxix.* 20. *Prov. v.* 18. 1 *Pet. iii.* 7. *Rom. iii.* 14.

20 Τα τεκνα, ὑπακουετε τοις γονευσι κατα παντα· τουτο γαρ εστιν ευαρεστον τῳ Κυριῳ.

Conf. Ephes. vi. 1. *ευαρεστος τῳ Θεῳ. Sap. iv.* 10. *ευαρεστον εστι παρα σοι. ix.* 10. *κατα παντα. xix.* 22. *εαν δε μη ὑπακουσωσι σοι. Deut. xx.* 12. *Conf. Prov. vi.* 20. *xx.* 20.

21 Οἱ πατερες, με ερεθιζετε τα τεκνα ὑμων, ἱνα μη αθυμωσιν.

και ηθυμει, και εκλαιε, και ουκ ησθιε. 1 *Reg. i.* 7. *Judith. vii.* 22. *καθως οικτειρει πατηρ υἱους, κ. τ. λ. Ps. cii.* 13. *Conf. Ephes. vi.* 4.

22 Οἱ δουλοι, ὑπακουετε κατα παντα τοις κατα σαρκα κυριοις, μη εν οφθαλμοδουλειας ὡς ανθρωπαρεσκοι, αλλ' εν ἁπλοτητι καρδιας, φοβουμενοι τον Θεον.

Conf. Ephes. vi. 5, 6. 1 *Tim. vi.* 1. *Tit. ii.* 9. *ὁ φοβουμενος Κυριον εκδεξεται παιδειαν. Sir. xxxv.* 14. *εν ἁπλοτητι καρδιας ζητησατε αυτον (Κυριον). Sap. i.* 1. 1 *Par. xxix.* 17. *τουτο ποιησατε και ζησεσθε· τον Θεον γαρ εγω φοβουμαι. Gen. xlii.* 18. *Ps. cxxii.* 2. *Mal. i.* 6. 1 *Pet. ii.* 18. *ανθρωπαρεσκοι. Ps. lii.* 5.

23 Και παν ὁ τι εαν ποιητε, εκ ψυχης εργαζεσθε, ὡς τῳ Κυριῳ και ουκ ανθρωποις·

Conf. 1 *Reg. xvi.* 7. *παντα ὁσα αν εὑρῃ ἡ χειρ σου του ποιησαι, ὡς ἡ δυναμις σου ποιησον. Eccles. ix.* 10. *Deut. xxvi.* 16. *εργαζεσθω παντα ὁσα συνεταξε Κυριος. Exod. xxxv.* 10. *εαν νηστευσητε η κοψησθε—μη νηστειαν νενηστευκατε μοι; κ. τ. λ. Zach. vii.* 5-7.

24 Ειδοτες ὁτι απο Κυριου απολημψεσθε την ανταποδοσιν της κληρονομιας, τῳ γαρ Κυριῳ Χριστῳ δουλευετε.

ἡκασιν αἱ ἡμεραι της ανταποδοσεως σου. Ose. ix. 7. *Esa. lxi.* 2. *lxiii.* 4. *δουλευσατε τῳ Κυριῳ εν φοβῳ. Ps. ii.* 11. 1 *Cor. vii.* 22. *ἱνα εν τῃ κληρονομιᾳ αυτου συγκληρονομησῃς. Sir. xxii.* 23. *ὁ μισθος σου πολυς εσται σφοδρα. Gen. xv.* 1. *Conf. Luc. ii.* 11. *και αναστησῃ εις τον κληρον σου. Dan. xii.* 13. *αποτισαι Κυριος την εργασιαν σου, κ. τ. λ. Ruth. ii.* 12. *Prov. xi.* 18.

25 Ὁ δε αδικων κομιειται ὁ ηδικησε, και ουκ εστι προσωπο-
ληψια.

αμαρτιαν κομιουνται. Lev. xx. 17. ου ληψῃ προσωπον. xix. 15. Deut. i. 17. x. 17. ἡμαρτομεν, ηνομησαμεν, ηδικησαμεν. 2 Par. vi. 37. Conf. Deut. vii. 10. Ephes. vi. 9. Act. x. 34. Rom. ii. 11. 1 Pet. i. 17. διο φοβηθησονται αυτον οἱ ανθρωποι, φοβηθησονται δε αυτον και οἱ σοφοι καρδιᾳ. Job. xxxvii. 24. ὁτι ουκ εστι μετα Κυριου Θεου ἡμων *αδικια, ουδε θαυμασαι προσωπον, ουδε λαβειν δωρα.* 2 *Par. xix.* 7. *Mal. ii.* 9.

ΚΕΦ. δ. 4.

ΟΙ κυριοι, το δικαιον και την ισοτητα τοις δουλοις παρεχεσθε, ειδοτες ὁτι και ὑμεις εχετε Κυριον εν ουρανοις.

Conf. Deut. xv. 2. ισοτης. Conf. Lev. vi. 40. και ειπεν ὁ νεανιας προς τον κυριον αυτου κ. τ. λ. Jud. xix. 11. 12. ὁ κυριος της οικιας. Exod. xxii. 8. και ου μη κοιμηθησεται ὁ μισθος του μισθωτου σου παρα σοι ἑως πρωϊ. Lev. xix. 13. Conf. Eccles. v. 7. ου κατατενεις αυτον εν τῳ μοχθῳ κ. τ. λ. Lev. xxv. 43. Job. xxxi. 13, 14. Sir. vii. 21. Κυριος *των κυριων. Deut. x. 17.*

2 Τῃ προσευχῃ προσκαρτερειτε, γρηγορουντες εν αυτῃ εν ευχαριστιᾳ·

πριν ευξασθαι ἑτοιμασον σεαυτον, και μη γινου ὡς ανθρωπος πειραζων τον Κυριον. *Sir. xviii. 23. ἑσπερας και πρωϊ και μεσημβριας διηγησομαι, και απαγγελω, κ. τ. λ. Ps. liv. 17. εγρηγορα εγω επι τους λογους μου κ. τ. λ. Jer. i. 12. Dan. vi. 10.* 1 *Reg. i.* 10. [*Conf. Sturz. p.* 157.] [*τῃ καθεδρᾳ προσεκαρτερουν. Jos. Ant. v.* 2. 6.]

3 Προσευχομενοι ἁμα και περι ἡμων, ἱνα ὁ Θεος ανοιξῃ ἡμιν θυραν του λογου, λαλησαι το μυστηριον του Χριστου, δι' ὁ και δεδεμαι,

λειτουργειν αυτῳ ἁμα και ἱερατευειν. Sir. xlv. 20. Esa. xiii. 3. εις θυραν ελπιδος. Ose. ii. 15. Sym. και προσευξεται περι σου, και ζησῃ. Gen. xx. 7. μυστηριον. Conf. Dan. ii. 18-22. ἡ δηλωσις των λογων σου. Ps. cxviii. 130. ανοιξει και ουκ εσται ὁ αποκλειων. Esa. xxii. 22. και απαγγελλων εις ανθρωπους τον Χριστον *αυτου. Amos. iv. 13. Matt. xiii. 11. ελαλησεν αυτοις* Ααρων *παντα τα ῥηματα ταυτα, ἁ ελαλησεν ὁ* Θεος *κ. τ. λ. Exod. iv. 30. Ephes. vi. 19.* 2 *Thess. iii. 1. Cap. i. 26. ii. 2.*

4 Ἱνα φανερωσω αυτο, ὡς δει με λαλησαι.

Conf. 1 *Cor. ix.* 16. 2 *Cor. ii.* 14. [φανερουν· εις φως αγειν. *Suid.*] και φανερωσω αυτοις, και ιατρευσω αυτους. *Jer. xl.* 6. *Alex.*

5 Εν σοφιᾳ περιπατειτε προς τους εξω, τον καιρον εξαγοραζομενοι.

πορευομενος εν αληθειᾳ. *Prov. xxviii.* 6. *iv.* 2. *Dan. iv.* 34. εν ὁδοις δικαιοσυνης περιπατω. *Prov. viii.* 20. οἱ εκτοι (*Ethnici*) *Prol. Sir.* καιρον ὑμεις εξαγοραζετε. *Dan. ii.* 8. Ὁ καιρος ἡμας καλει. 4 *Mac.* 3. *Conf. Ephes. v.* 15. 1 *Thess. iv.* 12. *Ezech. xx.* 5-10. 41. [καιροφυλακειν. *Jos. Bell. Jud. vii.* 2. 2.]

6 Ὁ λογος ὑμων παντοτε εν χαριτι, ἁλατι ηρτυμενος, ειδεναι πως δει ὑμας ἑνι ἑκαστῳ αποκρινεσθαι.

καθως ἁλας του ναου ἡλισαμεθα. *Esd. iv.* 14. *Conf. Lev. ii.* 13. *Marc. ix.* 50. *Cap. iii.* 16. *Eccles. iii.* 1. *Sir. xxi.* 16. χειλη ανδρων δικαιων αποσταζει χαριτας. *Prov. x.* 32. εξεχυθη χαρις εν χειλεσι σου. *Ps. xliv.* 2. μετα δικαιοσυνης παντα τα ῥηματα του στοματος μου, κ. τ. λ. *Prov. viii.* 8. και ἡ γλωσσα μου μελετησει την δικαιοσυνην σου, ὁλην την ἡμεραν τον επαινον σου. *Ps. xxxiv.* 28. *xxxvi.* 30. οινου ηρτυμενου. *Cant. viii.* 2. *Sym.*

7 Τα κατ᾽ εμε παντα γνωρισει ὑμιν Τυχικος ὁ αγαπητος αδελφος και πιστος διακονος και συνδουλος εν Κυριῳ,

οἱ καταλοιποι συνδουλοι ἡμων. *Esd. iv.* 9. *Conf. Act. xx.* 4. *Ephes. vi.* 21. τα κατ᾽ εμε. *Conf.* 2 *Mac. iii.* 16. συνδουλος. *Esd. iv.* 7. 9. αδελφος. *Conf.* 1 *Esd. iii.* 22. 1 *Mac. xii.* 11.

8 Ὁν επεμψα προς ὑμας εις αυτο τουτο, ἱνα γνῳ τα περι ὑμων και παρακαλεσῃ τας καρδιας ὑμων,

αναγγελλει τα περι αυτου. *Sir. xix.* 30. απεστειλε Δαυιδ παρακαλεσαι αυτον. 2 *Reg. x.* 2. στηρισον την καρδιαν σου. *Jud. xix.* 5. *Conf. Esa. xl.* 1. 2 *Mac. xi.* 32.

9 Συν Ονησιμῳ τῳ πιστῳ και αγαπητῳ αδελφῳ, ὁς εστιν εξ ὑμων· παντα ὑμιν γνωριουσι τα ὡδε.

και γνωριω σοι ἁ ποιησεις. 1 *Reg. xvi.* 3. *Esd. vii.* 25. τις εξ ὑμων; *Matt. vi.* 27. *vii.* 9. *Conf. Philem.* 10.

10 Ασπαζεται ὑμας Αρισταρχος ὁ συναιχμαλωτος μου, και Μαρκος ὁ ανεψιος Βαρναβα, περι οὑ ελαβετε εντολας· εαν ελθῃ προς ὑμας, δεξασθε αυτον·

[ασπαζονται ὑμας Εφεσιοι απο Σμυρνης, κ. τ. λ. *Ignat. ad Magnes.*] καλως ποιησετε γραφοντες ἡμιν περι της ειρηνης ὑμων. 1

Mac. xii. 22. 43. ανεψιος. *Num. xxxvi.* 11. *Tob. vii.* 2. *Act. xv.* 37. 2 *Tim. iv.* 11. εντολη. 4 *Reg. xviii.* 36. 2 *Par. viii.* 15.

11 Και Ιησους ὁ λεγομενος Ιουστος, οἱ οντες εκ περιτομης, οὑτοι μονοι συνεργοι εις την βασιλειαν του Θεου, οἱτινες εγενηθησαν μοι παρηγορια.

παρηγορια. 4 *Mac. v.* 11. *vi.* 1. [*Jos. Ant. iv.* 8. 3.] παρηγορουντες. *Job. xvi.* 2. *Sym.* οἱ εκ της αιχμαλωσιας. 1 *Esd. v.* 67. Σιμων ὁ καλουμενος Θασσι, κ. τ. λ. 1 *Mac. ii.* 2–5. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10. συνεργοι. 2 *Mac. viii.* 7.

12 Ασπαζεται ὑμας Επαφρας ὁ εξ ὑμων, δουλος Χριστου, παντοτε αγωνιζομενος ὑπερ ὑμων εν ταις προσευχαις, ἱνα στητε τελειοι και πεπληρωμενοι εν παντι θεληματι του Θεου.

και περι του Δανιηλ ηγωνισατο του εξελεσθαι αυτον. *Dan. vi.* 14. ἑως του θανατου αγωνισαι περι της αληθειας. *Sir. iv.* 28. ὑπερ ὑμων. 4 *Mac.* 1. 9. γενναιῳ πεπληρωμενη φρονηματι. 2 *Mac. vii.* 21. και εν ὁδῳ ἁμαρτωλων ουκ εστη. *Ps. i.* 1. Νωε εὑρεθη τελειος, δικαιος. *Sir. xliv.* 17. ποιουντες τα θεληματα αυτου. *Ps. cii.* 21. *Conf. Gen. xxxii.* 26.

13 Μαρτυρω γαρ αυτῳ ὁτι εχει ζηλον πολυν ὑπερ ὑμων και των εν Λαοδικειᾳ και των εν Ἱεραπολει.

Ηλιας εν τῳ ζηλωσαι ζηλον νομου, ενεληφθη ἑως εις τον ουρανον. 1 *Mac. ii.* 58. *Conf.* 54. *Ps. lxviii.* 9. *cxviii.* 139.

14 Ασπαζεται ὑμας Λουκας ὁ ιατρος ὁ αγαπητος, και Δημας.

Conf. 2 *Tim. iv.* 10, 11. *Philem.* 24. τιμα ιατρον προς τας χρειας τιμαις αυτου, και γαρ αυτον εκτισε Κυριος. *Sir. xxxviii.* 1.

15 Ασπασασθε τους εν Λαοδικειᾳ αδελφους, και Νυμφαν και την κατ᾽ οικον αυτου εκκλησιαν·

και εκκλησια πιστων μετ᾽ αυτου. 1 *Mac. iii.* 13. *Conf. Rom. xvi.* 5. 1 *Cor. xvi.* 19. [τον οικον αυτου παντα πιστους (πιστον. *Suicer.*) ειχεν, ὡστε και εκκλησιαν καλεισθαι. *Chrysost. Theophyl.*]

16 Και ὁταν αναγνωσθῃ παρ᾽ ὑμιν ἡ επιστολη, ποιησατε ἱνα και εν τῃ Λαοδικεων εκκλησιᾳ αναγνωσθῃ, και την εκ Λαοδικειας ἱνα και ὑμεις αναγνωτε·

και ανεγνωσθησαν ενωπιον της εκκλησιας εν Ἱερουσαλημ. 1 *Mac. xiv.* 19. αἱ επιστολαι ανεγνωσκοντο. *v.* 14. *Neh. vi.* 5. *Conf.* 1 *Thess. v.* 27. [αναγινωσκεται παρ᾽ ἡμιν ετι και νυν. *Jos. Ant. x.* 11. Λαοδικεια. *Jos. Bell. Jud. i.* 11. *i.* 21–11.] 1 *Mac. xii.* 17.

17 Και ειπατε Αρχιππῳ, Βλεπε την διακονιαν ἡν παρελαβες
εν Κυριῳ, ἱνα αυτην πληροις.

[και οἱ μεν την διακονιαν εκπλησαντες απῃεσαν. *Philo. in Flacc. p.* 540.] 1 *Mac. ii.* 55. *Conf. Philem.* 2. *Lev. x.* 3. *Num. xviii.* 5. και φυλαξεσθε τας φυλακας των ἁγιων, κ. τ. λ. *Ezech. xliv.* 24. βλεπε. *Conf. Ps. ix.* 14. *Exod. xxv.* 40.

18 Ὁ ασπασμος τῃ εμῃ χειρι Παυλου. μνημονευετε μου των
δεσμων. ἡ χαρις μεθ᾽ ὑμων. αμην.

[κατα παντα σου αντιψυχον εγω, και τα δεσμα μου ἁ ηγαπησας. *Ignat. ad Smyrn. p.* 12.] Κυριος μεθ ὑμων. *Ruth. ii.* 4. μνημονευων οἱα ελαλησε. *Est. ii.* 1. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *viii.* 6. *Conf.* 1 *Cor. xvi.* 21. 2 *Thess. iii.* 17. *Heb. xiii.* 3.

[Προς Κολοσσαεις εγραφη απο Ῥωμης δια Τυχικου και Ονησιμου.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ και Σιλουανος και Τιμοθεος, τῃ εκκλησιᾳ Θεσσαλονικεων εν Θεῳ πατρι και Κυριῳ Ιησου Χριστῳ· χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου Ιησου Χριστου.

[Ιγνατιος ὁ και Θεοφορος, εκκλησιᾳ Θεου πατρος και του αγαπημενου Ιησου Χριστου, κ. τ. λ. *Ignat. ad Smyrn.*]. *Conf. Rom. i.* 2. 2 *Cor. i.* 1. 2 *Thess. i.* 1. 1 *Pet. i.* 1. *v.* 12. *Act. xv.* 40. *xvii.* 1-14.

2 Ευχαριστουμεν τῳ Θεῳ παντοτε περι παντων ὑμων, μνειαν
ὑμων ποιουμενοι επι των προσευχων ἡμων

Conf. Rom. i. 8, 9. 1 *Cor. i.* 4. *Ephes. i.* 16. *Coloss. i.* 3. 12. 2 *Thess. i.* 3. μνειαν εποιησατο των θαυμασιων αυτου, ελεημων και οικτιρμων ὁ Κυριος. *Ps. cx.* 4. οικτειρησον με, και εισακουσον της προσευχης μου. *iv.* 1. 1 *Reg. xii.* 13.

3 Αδιαλειπτως, μνημονευοντες ὑμων του εργου της πιστεως, και του κοπου της αγαπης, και της ὑπομονης της ελπιδος του Κυριου ἡμων Ιησου Χριστου, εμπροσθεν του Θεου και πατρος ἡμων·

αδιαλειπτως. 1 *Mac. xii.* 11. 2 *Mac. xv.* 7. και ουθεις μνημονευσει των εργων ἡμων. *Sap. ii.* 4. ὁτι Κυριος—εμπροσθεν σου. *Jud. iv.* 14. τον κοπον των χειρων μου. *Gen. xxxi.* 42. *Sir. xiv.* 15. και νυν τις ἡ ὑπομονη μου; ουχι ὁ Κυριος; *Ps. xxxviii.* 7. ὑπομονη Ισραηλ Κυριε, και σωζεις. *Jer. xiv.* 8. *xvii.* 13. *Conf. Gen. xxix.* 20. *Cant. viii.* 7. *Joan. vi.* 29. *Act. xvii.* 7. *Gal. v.* 6. 2 *Thess. i.* 3. 4. την ελπιδα της ὑπομονης εχουσα βεβαιαν προς τον Θεον. 4 *Mac.* § 19. εμπροσθεν του Θεου. *Conf. Gen. vii.* 1.

4 Ειδοτες, αδελφοι ηγαπημενοι ὑπο Θεου, την εκλογην ὑμων,

ηγαπημενον ὑπο Θεου και ανθρωπων Μωυσην. *Sir. xlv.* 1. *xlvi.* 13. *Deut. xxxii.* 12. την εκλογην. *Conf. Esa. xlix.* 7.

5 Ὁτι το ευαγγελιον ἡμων ουκ εγενηθη εις ὑμας εν λογῳ μονον, αλλα και εν δυναμει, και εν Πνευματι ἁγιῳ, και εν πληροφοριᾳ πολλῃ, καθως οιδατε οἱοι εγενηθημεν εν ὑμιν δἰ ὑμας.

ϵ. εγενηθημεν εν ὑμιν, *egi inter vos.* = 1 *Reg. iv.* 9. εν τῃ ισχυϊ ποιησω, και εν τῃ σοφιᾳ. *Esa. x.* 13. *Conf.* 1 *Cor. ii.* 4. *Cap. ii.* 1. *Rom. xv.* 18. 2 *Cor. vi.* 6. *Ps. cix.* 2. ὁ Θεος Κυριος δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. *Ps. lxvii.* 11. αλλα και. 1 *Reg. xvi.* 16.

6 Και ὑμεις μιμηται ἡμων εγενηθητε και του Κυριου, δεξαμενοι τον λογον εν θλιψει πολλῃ μετα χαρας Πνευματος ἁγιου,

δεξασθαι τε στροφας λογων. *Prov. i.* 3. *iv.* 10. *Conf. Phil. iii.* 17. αγαλλιασασθε αυτῳ εν τρομῳ. *Ps. ii.* 11.

7 Ὡστε γενεσθαι ὑμας τυπους πασι τοις πιστευουσιν εν τῃ Μακεδονιᾳ και τῃ Αχαϊᾳ.

τυπος. 4 *Mac.* 6. ὑποδειγμα γενναιοτητος και μνημοσυνον αρετης καταλιπων. 2 *Mac. vi.* 31.

8 Αφ᾽ ὑμων γαρ εξηχηται ὁ λογος του Κυριου ου μονον εν τῃ Μακεδονιᾳ και Αχαϊᾳ, αλλα και εν παντι τοπῳ ἡ πιστις ὑμων ἡ προς τον Θεον εξεληλυθεν, ὡστε μη χρειαν ἡμας εχειν λαλειν τι.

ὡς βροντη μεγαλη εν ὑετῳ εξηχησει. *Sir. xl.* 13. ηχοι εξηχη-

σαν εν τη κοιλαδι της δικης, ὁτι εγγυς ἡμερα Κυριου. Joel. iii. 14. *ου χρειαν εχομεν ἡμεις περι του ῥηματος τουτου αποκριθηναι σοι. Dan. iii.* 16. *Ps. xvi.* 2. *ου μονον δε—αλλα και.* 3 *Mac. iii.* 23. *Conf. Esa. ii.* 3. *lii.* 7. *τα προς τον Θεον. Exod. xviii.* 19. *εις πασαν την γην εξηλθεν ὁ φθογγος αυτων, κ. τ. λ. Ps. xviii.* 4.

9 Αυτοι γαρ περι ἡμων απαγγελλουσιν ὁποιαν εισοδον εχομεν προς ὑμας, και πως επεστρεψατε προς τον Θεον απο των ειδωλων, δουλευειν Θεῳ ζωντι και αληθινῳ,

και την εισοδον σου εγνων. 4 *Reg. xix.* 27. *Alex. Comp.* 1 *Reg. xvi.* 4. *επιστραφηθε προς με, και λυτρωσομαι σε. Esa. xliv.* 22. *και το πλανωμενον επιστρεψω. Ezech. xxxiv.* 16. *δουλευσατε τῳ Κυριῳ εν φοβῳ. Ps. ii.* 11. *τις ηκουσε φωνην Θεου ζωντος; Deut. v.* 26. *Num. xiv.* 21. *ευλογησουσι γαρ τον Θεον τον αληθινον. Esa. lxv.* 16. *επιστραφητε—δουλοι ἡμεις εσομεθα σοι, ὁτι συ Κυριος ὁ Θεος ἡμων ει. Jer. iii.* 22.

10 Και αναμενειν τον υἱον αυτου εκ των ουρανων, ὁν ηγειρεν εκ νεκρων, Ιησουν, τον ῥυομενον ἡμας απο της οργης της ερχομενης.

αναμενει μακροθυμων. 2 *Mac. vi.* 14. *μακαριοι οἱ εμμενοντες επ᾽ αυτῳ. Esa. xxx.* 18. *και αναμενειτε εις φως. Jer. xiii.* 16. *οἱ δε ὑπομενοντες τον Θεον αλλαξουσιν ισχυν, κ. τ. λ. Esa. xl.* 31. *ὁτι ῥυσεται ὑμας ὁ Θεος. xxxvi.* 15. *το δε σωμα αυτου απο πτωματος ερρυσατο. Job. xxxiii.* 17. *και εγενετο οργη μεγαλη επι Ισραηλ σφοδρα.* 1 *Mac. i.* 64. *Conf. Ps. xv.* 10. *lxxxviii.* 15. *Ezech. xiii.* 13. *Num. xvi.* 46. *ὡσπερ μισθωτος αναμενων τον μισθον αυτου. Job. vii.* 2. *Conf. Matt. iii.* 7. *Act. i.* 11. *Rom. v.* 9. *Phil. iii.* 20. *και παντες οἱ ὑπομενοντες σε ου μη καταισχυνθωσι, κ. τ. λ. Ps. xxiv.* 3. *Ιδου γαρ ἡμερα Κυριου ερχεται ανιατος, θυμου και οργης, κ. τ. λ. Esa. xiii.* 9. *οἱ πεποιθοτες επ᾽ αυτῳ συνησουσιν αληθειαν, και οἱ πιστοι εν αγαπῃ προσμενουσιν αυτῳ, ὁτι χαρις και ελεος τοις εκλεκτοις αυτου. Sap. iii.* 9. *ἡξει γαρ ὡς ποταμος βιαιος ἡ οργη παρα Κυριου. Esa. lix.* 19. *και ου μη φοβηθῃς απο κακων ερχομενων. Job. v.* 21. *και το αργυριον αυτων και το χρυσιον αυτων ου μη δυνηται εξελεσθαι αυτους εν ἡμερᾳ οργης Κυριου, κ. τ. λ. Sophon. i.* 18. *ὁ ῥυομενος εκ παντος κακου. Sap. xvi.* 8. *εκ χειρος ᾁδου ῥυσομαι κ. τ. λ. Ose. xiii.* 14. *Sophon. iii.* 8. 15.

ΚΕΦ. β. 2.

ΑΥΤΟΙ γαρ οιδατε, αδελφοι, την εισοδον ἡμων την προς ὑμας, ὁτι ου κενη γεγονεν.

και ουκ οιδα την εισοδον μου και την εξοδον μου. 3 *Reg. iii.* 7. *Alex. Ald.* την εξοδον σου και την εισοδων σου εγω επισταμαι. *Esa. xxxvii.* 28. *Mal. iii.* 2. οἱ εκλεκτοι μου ου κοπιασουσιν εις κενον. *Esa. lxv.* 23. *lv.* 11. *Conf. cap. i.* 5. 9. 2 *Thess. iii.* 1.

2 Αλλα και προπαθοντες και ὑβρισθεντες, καθως οιδατε, εν Φιλιπποις, επαῤῥησιασαμεθα εν τῳ Θεῳ ἡμων λαλησαι προς ὑμας το ευαγγελιον του Θεου εν πολλῳ αγωνι.

παῤῥησιασομαι εν αυτῳ. *Ps. xi.* 5. ταυτα τα μαρτυρια και τα δικαιωματα και τα κριματα ὁσα ελαλησε Μωυσης τοις υἱοις Ισραηλ. *Deut. iv.* 45. των αμιαντων αθλων αγωνα νικησασα. *Sap. iv.* 2. *Conf.* 2 *Mac. iii.* 14. *iv.* 18. *x.* 28. *Esa. vii.* 13. *Phil. i.* 30. *Col. ii.* 1. ἱνατι τουτο ὑβρισας με; 2 *Reg. xix.* 43. αναξιως ὑβρισθηναι. 2 *Mac. xiv.* 42. *Conf. Job. xxii.* 26.

3 Ἡ γαρ παρακλησις ἡμων ουκ εκ πλανης, ουδε εξ ακαθαρσιας, ουτε εν δολῳ·

ουκ επιθυμημα ουδενος αυτων ειληφα, ουδε εκακωσα ουδενα αυτων. *Num. xvi.* 15. δια λογων εποιειτο την παρακλησιν. 2 *Mac. vii.* 24. ανοια δε αφρωνων εν πλανῃ. *Prov. xiv.* 8. ακαθαρσια. *Ose. ii.* 10. *Nah. iii.* 6. ουδε δολον εν τῳ στοματι αυτου. *Esa. liii.* 9. *Conf.* 2 *Cor. vii.* 2. 2 *Pet. i.* 16.

4 Αλλα καθως δεδοκιμασμεθα ὑπο του Θεου πιστευθηναι το ευαγγελιον, οὑτω λαλουμεν, ουχ ὡς ανθρωποις αρεσκοντες, αλλα τῳ Θεῳ τῳ δοκιμαζοντι τας καρδιας ἡμων.

εδοκιμασας την καρδιαν μου. *Ps. xvi.* 3. και δοκιμω αυτους ὡς δοκιμαζεται το χρυσιον. *Zach. xiii.* 9. *Jer. xvii.* 10. δια τινος των ὑπο του Σιμωνος δεδοκιμασμενων. 2 *Mac. iv.* 3. *Conf. Gal. i.* 10. 1 *Tim. i.* 11, 12. *Tit. i.* 3. επισκεψασθω Κυριος ὁ Θεος των πνευματων και πασης σαρκος ανθρωπον κ. τ. λ. *Num. xxvii.* 16.

5 Ουτε γαρ ποτε εν λογῳ κολακειας εγενηθημεν, καθως οιδατε· ουτε εν προφασει πλεονεξιας, Θεος μαρτυς·

Conf. Act. xx. 18. 33. Θεος μαρτυς μεταξυ εμου και μεταξυ σου. *Gen. xxxi.* 50. [κολακεια. *Jos. Bell. Jud. iv.* 4. 1.] λαλων ῥηματα προφασεις ψευδεις. *Ose. x.* 4. πλεονεξια. *Jer. xxii.* 17. *Hab.* 9.

6 Ουτε ζητουντες εξ ανθρωπων δοξαν, ουτε αφ' ὑμων ουτε απ' αλλων, δυναμενοι εν βαρει ειναι, ὡς Χριστου αποστολοι·

μη ζηλωσῃς δοξαν ἁμαρτωλου. *Sir.* ix. 11. *Esa.* xxiii. 9. [ουδε εσεσθαι βαρυς—δαπαναις ιδιας χρησαμενος. *Jos. Ant.* i. 16. 2.]

7 Αλλ' εγενηθημεν ηπιοι εν μεσῳ ὑμων, ὡς αν τροφος θαλπῃ τα ἑαυτης τεκνα.

επιεικεστερον δε και μετα ηπιοτητος αει διεξαγων. *Addit. Est.* xiii. 2. βασιλευς Ισραηλ Κυριος εν μεσῳ σου. *Sophon.* iii. 15. και ἡ μητηρ θαλπῃ επι των νοσσων. *Deut.* xxii. 6. *Gen.* xxxiii. 13. *Num.* xi. 12. *Job.* xxxix. 14. τροφος. *Gen.* xxxv. 8. 1 *Cor.* ii. 3. 2 *Cor.* x. 1, 2. 2 *Thess.* iii. 9. ὡς ποιμην ποιμανει το ποιμνιον αυτου, και τῳ βραχιονι αυτου συναξει αρνας, και εν γαστρι εχουσας παρακαλεσει. *Esa.* xl. 11.

8 Οὑτως ἱμειρομενοι ὑμων, ευδοκουμεν μεταδουναι ὑμιν ου μονον το ευαγγελιον του Θεου, αλλα και τας ἑαυτων ψυχας, διοτι αγαπητοι ἡμιν γεγενησθε.

ἱμειρονται του θανατου. *Job.* iii. 21. και ευδοκησε πας ὁ λαος θεσθαι Σιμωνι. 1 *Mac.* xiv. 46. *Conf.* 2 *Cor.* xii. 15. ἱμειρεται σε ἡ σαρξ μου. *Ps.* lxii. 2. *Sym.* και δῳς πεινωντι τον αρτον εξ ψυχης σου, και ψυχην τεταπεινωμενην εμπλησῃς, κ. τ. λ. *Esa.* lviii. 10. *Conf. Jer.* xiii. 17. *Sir.* xxix. 15.

9 Μνημονευετε γαρ, αδελφοι, τον κοπον ἡμων και τον μοχθον· νυκτος γαρ και ἡμερας εργαζομενοι, προς το μη επιβαρησαι τινα ὑμων, εκηρυξαμεν εις ὑμας το ευαγγελιον του Θεου.

νυκτος και ἡμερας. *Esa.* xxxiv. 10. *Conf. Jer.* ix. 1. *Ps.* lxxxvii. 1. 2 *Thess.* iii. 8. βαρος. *Sir.* xiii. 2. *Act.* xviii. 3. 1 *Cor.* iv. 12. 2 *Cor.* ix. 12. ὁτι ἡμερας και νυκτος εβαρυνθη επ' εμε ἡ χειρ σου. *Ps.* xxxi. 4. και τας βιας τας πρωτας ἁς προ εμου εβαρυναν επ' αυτους, και ελαβοσαν παρ' αυτων—αργυριον κ. τ. λ. *Neh.* v. 15. απο ετους εικοστου και ἑως ετους τριακοστου—εγω και οἱ αδελφοι μου βιαν αυτων ουκ εφαγον. *Neh.* v. 14.

10 Ὑμεις μαρτυρες και ὁ Θεος, ὡς ὁσιως και δικαιως και αμεμπτως ὑμιν τοις πιστευουσιν εγενηθημεν,

μαρτυς Κυριος, κ. τ. λ. 1 *Reg.* xii. 3-5. *Esa.* xliii. 10. εγενηθημεν. *Conf. Ps.* lxxiii. 22. αμεμπτως. *Addit. Est.* xiii. 3.

11 Καθαπερ οιδατε, ὡς ἑνα ἑκαστον ὑμων, ὡς πατηρ τεκνα ἑαυτου, παρακαλουντες ὑμας και παραμυθουμενοι,

τουτους μεν γαρ ὡς πατηρ νουθετων εδοκιμασας. *Sap.* xi. 10. και

παραμυθουμενος αυτους εκ του νομου. 2 Mac. xv. 9. Conf. Rom. ix. 24. 2 Mac. xi. 32.

12 Και μαρτυρουμενοι εις το περιπατησαι ὑμας αξιως του Θεου του καλουντος ὑμας εις την ἑαυτου βασιλειαν και δοξαν.

μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου. 4 Reg. xx. 3. διαμαρτυρια μεμαρτυρηται ἡμιν ὁ ανθρωπος. Gen. xliii. 3. ὁ καλων. Esa. xli. 4. Jer. xxxviii. 6. ὁτι ὁ Θεος επειρασεν αυτους, και εὑρεν αυτους αξιους ἑαυτου. Sap. iii. 5. Conf. Gen. xvii. 1. Ephes. iv. 1. Phil. i. 27. εδειξεν αυτῳ βασιλειαν Θεου. Sap. x. 10.

13 Δια τουτο και ἡμεις ευχαριστουμεν τῳ Θεῳ αδιαλειπτως, ὁτι παραλαβοντες λογον ακοης παρ᾽ ἡμων του Θεου, εδεξασθε ου λογον ανθρωπων, αλλα (καθως εστιν αληθως) λογον Θεου, ὁς και ενεργειται εν ὑμιν τοις πιστευουσιν.

παρα ταυτα παντα ευχαριστησωμεν Κυριῳ. Judith. viii. 25. αδιαλειπτως. 1 Mac. xii. 11. μεγαλως ευχαριστουμεν αυτῳ. 2 Mac. i. 11. και αναλαβε τα ῥηματα αυτου εν καρδιᾳ σου. Job. xxii. 22. ιδου ευλογειν παρειλημμαι. Num. xxiii. 20. [την πιστιν ἡν εξ αρχης παρελαβομεν. Routh. Reliq. Sac. i. 464.] και δεξασθω τα ωτα ὑμων λογους. Jer. ix. 20. ἡ του Θεου ενεργεια. Sap. vii. 26. Conf. Matt. x. 40. Gal. iv. 14. 2 Pet. iii. 2. Jer. xxiii. 28. Ps. lxvii. 28.

14 Ὑμεις γαρ μιμηται εγενηθητε, αδελφοι, των εκκλησιων του Θεου των ουσων εν τῃ Ιουδαιᾳ εν Χριστῳ Ιησου, ὁτι ταυτα επαθετε και ὑμεις ὑπο των ιδιων συμφυλετων, καθως και αυτοι ὑπο των Ιουδαιων,

Conf. Act. xvii. 5. Heb. x. 34. [συμφυλετων· ὁμοεθνων. Hesych.]

15 Των και τον Κυριον αποκτειναντων Ιησουν και τους ιδιους προφητας, και ὑμας εκδιωξαντων, και Θεῳ μη αρεσκοντων, και πασιν ανθρωποις εναντιων,

Conf. Matt. xxiii. 34-37. Luc. xiii. 33. Act. vii. 52. Est. iii. 8. πολλοι οἱ εκδιωκοντες με. Ps. cxviii. 157. 1 Par. viii. 13. παντα εναντια ανδρι αφρονι. Prov. xiv. 7. Conf. 1 Reg. xix. 1. 3 Reg. xix. 1. 14. Luc. ii. 52. Act. ii. 47. επικαταρατος λαοις εσται και μισητος εις εθνη. Prov. xxiv. 24. και εσῃ εκει εν αινιγματι και παραβολῃ και διηγηματι εν πασι τοις εθνεσιν, κ. τ. λ. Deut. xxviii. 37. ὁ προσηλυτος ὁς εστιν εν σοι, αναβησεται ανω ανω, συ δε καταβησῃ κατω κατω. κ. τ. λ. 43.

16 Κωλυοντων ἡμας τοις εθνεσι λαλησαι ἱνα σωθωσιν, εις το

αναπληρωσαι αὑτων τας ἁμαρτιας παντοτε· εφθασε δε επ' αυτους ἡ οργη εις τελος.

κωλυσον αυτους. Num. xi. 28. *Ιδου τα χειλη μου ου μη κωλυσω.* Ps. xxxix. 9. *ουπω γαρ αναπεπληρωνται αἱ ἁμαρτιαι των Αμορραιων.* Gen. xv. 16. Dan. viii. 23. *και ὁ καιρος εφθασε.* Dan. vii. 22. *φθανει επ' αυτους ὡς ποιημα των ασεβων.* Eccles. viii. 14. *ουκ εις τελος οργισθησεται.* Ps. cii. 9. lxxviii. 5. Num. xvi. 46. Conf. Matt. xxiii. 32. *ἑως της συντελειας καιρου.* Dan. ix. 27. *και οὑτως ποιησατε, ἱνα σωθητε.* Sir. iii. 1. Jer. xxxvii. 23.

17 *Ἡμεις δε, αδελφοι, απορφανισθεντες αφ' ὑμων προς καιρον ὡρας, προσωπῳ ου καρδιᾳ, περισσοτερως εσπουδασαμεν το προσωπον ὑμων ιδειν εν πολλῃ επιθυμιᾳ.*

κατα τον καιρον τουτον εις ὡρας. Gen. xviii. 10. 14. *ουχι ἡ καρδια μου επορευθη μετα σου; κ. τ. λ.* 4 Reg. v. 26. *απορφανισθεντες.* Conf. Joan. xiv. 18. *εσπουδασαμεν.* Job. xxiii. 14. *επιθυμιᾳ γαρ επεθυμησας απελθειν εις τον οικον του πατρος σου.* Gen. xxxi. 30.

18 *Διο ηθελησαμεν ελθειν προς ὑμας, (εγω μεν Παυλος) και ἁπαξ και δις, και ενεκοψεν ἡμας ὁ Σατανας.*

ἁπαξ και δις. 1 Mac. iii. 30. Neh. xiii. 20. *και ὁ διαβολος εἱστηκει εκ δεξιων αυτου, του αντικεισθαι αυτῳ.* Zach. iii. 1. Conf. Rom. i. 15. xv. 22. *και (αλλα) ενεκοψεν.* Ita, Sir. xli. 13. Tob. iii. 10. Act. x. 28. Apoc. ii. 2-9. [Viger. p. 426.] *ὁ Σατανας.* Sir. xxi. 27.

19 *Τις γαρ ἡμων ελπις η χαρα η στεφανος καυχησεως, η ουχι και ὑμεις, εμπροσθεν του Κυριου ἡμων Ιησου Χριστου εν τῃ αυτου παρουσιᾳ;*

στεφανος καυχησεως. Prov. xvi. 31. *εσται Κυριος σαβαωθ ὁ στεφανος της ελπιδος.* Esa. xxviii. 5. *στεφανος χαριτων.* Prov. iv. 9. *ευφροσυνης.* Thren. ii. 15. *παρουσια.* 2 Mac. viii. 12. Conf. 2 Cor. i. 14. Phil. ii. 16. iv. 1. Ezech. xvi. 12. Prov. xvi. 31. *στεφανος γεροντων τεκνα τεκνων, καυχημα δε τεκνων πατερες αυτων.* Prov. xvii. 6. [*ἑως του ελθειν το σωτηριον τῳ Ισραηλ, ἑως παρουσιας του Θεου της δικαιοσυνης.* Test. XII Patr. p. 614.]

20 *Ὑμεις γαρ εστε ἡ δοξα ἡμων και ἡ χαρα.*

και εσῃ στεφανος εν χειρι Κυριου, και διαδημα βασιλειας εν χειρι Θεου σου. Esa. lxii. 3. *δοξα.* Prov. xx. 29. Ps. lvi. 8. *και θησω σε αγαλλιαμα αιωνιον, ευφροσυνην γενεων γενεαις.* Esa. lx. 15.

ΚΕΦ. γ. 3.

ΔΙΟ *μηκετι στεγοντες, ευδοκησαμεν καταλειφθηναι εν Αθηναις μονοι,*

στεγοντες. 1 *Cor. ix.* 12. *xiii.* 7. *ευδοκησον* Κυριε *του ῥυσασθαι με. Ps. xxxix.* 13. *και ευδοκησεν αρχιερατευειν.* 1 *Mac. xiv.* 47. *και εγενετο, ὡς πυρ καιομενον φλεγον εν τοις οστοις μου, και παρειμαι παντοθεν, και ου δυναμαι φερειν. Jer. xx.* 9.

2 Και *επεμψαμεν* Τιμοθεον *τον αδελφον ἡμων και διακονον του* Θεου *και συνεργον ἡμων εν τῳ ευαγγελιῳ του* Χριστου, *εις το στηριξαι ὑμας και παρακαλεσαι ὑμας περι της πιστεως ὑμων,*

πνευματι ἡγεμονικῳ στηριξον με. Ps. l. 12. *εστηρικται ἡ καρδια αυτου, ου φοβηθη. cxi.* 8. *πεπομφα δε και* Μενελαον *παρακαλεσοντα ὑμας.* 2 *Mac. xi.* 32. *Conf. Phil. ii.* 19. 1 *Cor. xvi.* 10.

3 Τῳ *μηδενα σαινεσθαι εν ταις θλιψεσι ταυταις· αυτοι γαρ οιδατε ὁτι εις τουτο κειμεθα·*

κειται εις πτωσιν—πολλων. Luc. ii. 34. *Act. ix.* 15. *τα κειμενα.* 2 *Mac. iv.* 11. 31. *Conf. Phil. i.* 17. *Ephes. iii.* 11. *μη συστελλεσθαι δια τας συμφορας.* 2 *Mac. vi.* 12. *ὁτι εις τον αιωνα ου σαλευθησεται. Ps. cxi.* 6. *μακαριος δε ανθρωπος ὁν ηλεγξεν ὁ* Κυριος, *κ. τ. λ. Job. v.* 17. *Ps. xciii.* 12. *πολλαι αἱ θλιψεις των δικαιων, και εκ πασων αυτων ῥυσεται αυτους ὁ* Κυριος. *Ps. xxxiii.* 19. *xxii.* 5. [*σαινεσθαι· θορυβεισθαι. Chrysost. ταραττεσθαι. Hesych.*] *τουτο γαρ χαριν γεννωνται. Prov. xvii.* 17.

4 Και *γαρ ὁτε προς ὑμας ημεν, προελεγομεν ὑμιν ὁτι μελλομεν θλιβεσθαι, καθως και εγενετο και οιδατε·*

Conf. Joan. xiv. 29. *και γαρ. Ps. cxxxviii.* 10. *Sir. xxxv.* 23.

5 Δια *τουτο καγω μηκετι στεγων, επεμψα εις το γνωναι την πιστιν ὑμων, μηπως επειρασεν ὑμας ὁ πειραζων, και εις κενον γενηται ὁ κοπος ἡμων.*

ου κοπιαζουσι λαοι εις κενον. Jer. xxviii. 53. *οἱ εκλεκτοι μου ου κοπιασουσιν εις κενον. Esa. lxv.* 23. *Gen. xxxi.* 42. *ἡ ἡμερα του πειρασμου. Ps. xciv.* 9. *Sir. ii.* 1. *Conf. Phil. ii.* 16. *Esa. xlix.* 4.

6 Αρτι *δε ελθοντος* Τιμοθεου *προς ἡμας αφ' ὑμων, και ευαγγελισαμενου ἡμιν την πιστιν και την αγαπην ὑμων, και ὁτι*

εχετε μνειαν ἡμων αγαθην παντοτε, επιποθουντες ἡμας ιδειν, καθαπερ και ἡμεις ὑμας,

μνεια μνησθησομαι αυτου. *Jer.* xxxviii. 20. επιποθει ἡ ψυχη μου προς σε. *Ps.* xli. 1. επεποθησεν ἡ ψυχη μου του επιθυμησαι. cxviii. 20. κυκλω ευαγγελιζοντες τοις ειδωλοις αυτων και τῳ λαῳ. 1 *Reg.* xxxi. 9. 2 *Reg.* i. 20. xviii. 19. καθαπερ και. *Exod.* v. 13. *Act.* xviii. 5. ὡσπερ ὑδωρ ψυχρον ψυχῃ διψωσῃ· προσηνες, οὑτως αγγελια αγαθη εκ γης μακροθεν. *Prov.* xxv. 25. ὡς ὡρα επι των ορεων, ὡς ποδες ευαγγελιζομενου ακοην ειρηνης, κ. τ. λ. *Esa.* lii. 7.

7 Δια τουτο παρεκληθημεν, αδελφοι, εφ' ὑμιν, επι πασῃ τῃ θλιψει και αναγκῃ ἡμων, δια της ὑμων πιστεως·

ὁτι παρεκληθη επι Αμνων, ὁτι απεθανε. 2 *Reg.* xiii. 39. αναγκη δε και θλιψις. *Job.* xv. 24. εισηκουσε μου—εν θλιψει επλατυνας μοι. *Ps.* iv. 1. ανδρα εν αναγκαις. xxx. 25. xciii. 19.

8 Ὁτι νυν ζωμεν, εαν ὑμεις στηκητε εν Κυριῳ.

ζησονται αἱ καρδιαι αυτων. *Ps.* xxii. 26. lxxi. 15. και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 *Reg.* xxiii. 3. *Conf. Rom.* v. 2. 1 *Cor.* xvi. 13. *Phil.* i. 27. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. *Ps.* xxxv. 9. ζωσεις ἡμας, κ. τ. λ. lxxix. 18. cxviii. 88.

9 Τινα γαρ ευχαριστιαν δυναμεθα τῳ Θεῳ ανταποδουναι περι ὑμων, επι πασῃ τῃ χαρᾳ ᾗ χαιρομεν δι' ὑμας εμπροσθεν του Θεου ἡμων;

τας ευχας μου τῳ Κυριῳ αποδωσω εναντιον παντος του λαου αυτου. *Ps.* cxv. 12-18. cxvii. 1, 2. χαρητε ἁμα αυτῃ χαρᾳ. *Esa.* lxvi. 10. ὁ ανταποδιδους χαριτας. *Sir.* iii. 31. και οἱ δικαιοι ευφρανθητωσαν· αγαλλιασθωσαν ενωπιον του Θεου, κ. τ. λ. *Ps.* lxvii. 3. εμπροσθεν. *Conf. Esa.* xlv. 1, 2.

10 Νυκτος και ἡμερας ὑπερεκπερισσου δεομενοι εις το ιδειν ὑμων το προσωπον, και καταρτισαι τα ὑστερηματα της πιστεως ὑμων.

νυκτος και ἡμερας, *indesinenter. Esa.* xxxiv. 10. εκ περισσου. *Dan.* iii. 23. *Ald. Comp.* τα τειχη αυτης κατηρτισμενα εισι. *Esd.* iv. 12, 13. 16. και ὑστερημα ου δυνησεται αριθμηθηναι. *Eccles.* i. 15. *Ps.* xxxiii. 9. και ειδεν Ιακωβ το προσωπον του Λαβαν. *Gen.* xxxi. 2. 5. xxxiii. 10. *Rom.* i. 10, 11.

11 Αυτος δε ὁ Θεος και πατηρ ἡμων και ὁ Κυριος ἡμων Ιησους Χριστος κατευθυναι την ὁδον ἡμων προς ὑμας·

εν ειρηνῃ κατευθυνων επορευθη μετ' εμου. *Mal.* ii. 6. κατευθυνον

ενωπιον σου την ὁδον μου. *Ps. v.* 8. *ci.* 9. *Tob. x.* 14. *Gen. xxiv.* 21. παρα Κυριου ευθυνεται τα διαβηματα ανδρι, θνητος δε πως αν νοησαι τας ὁδους αυτου; *Prov. xx.* 24. οιδα Κυριε ὁτι ουχι του ανθρωπου ἡ ὁδος αυτου, ουδε ανηρ πορευσεται και κατορθωσει πορειαν αυτου. *Jer. x.* 23. κατευθυναντος ἡμων του μεγαλου Θεου. 3 *Mac. vii.* 2. κατευθυναι. *Conf. Col. ii.* 2, 3.

12 Ὑμας δε ὁ Κυριος πλεονασαι και περισσευσαι τῃ αγαπῃ εις αλληλους και εις παντας, καθαπερ και ἡμεις εις ὑμας,

επλεονασας επ' εμε την μεγαλωσυνην σου. *Ps. lxx.* 21. *Ald. Comp. Num. xxvi.* 54. και πτωχειᾳ περισσευει. *Sir. xi.* 12. *Conf.* 1 *Thess. v.* 15. προσθειη Κυριος εφ' ὑμας, εφ' ὑμας και επι τους υἱους ὑμων. *Ps. cxiii.* 14. ὡραιον ελεος εν καιρῳ θλιψεως αυτου, ὡς νεφελαι ὑετου εν καιρῳ αβροχιας. *Sir. xxxii.* 20. περισσευσαι. *Conf. Rom. xv.* 13. *Matt. xxv.* 29. ἑκαστον συντηρειν την ουσαν ευνοιαν εις εμε, και τον υἱον μου. 2 *Mac. ix.* 26. *Sir. l.* 23. *Num. vi.* 26.

13 Εις το στηριξαι ὑμων τας καρδιας αμεμπτους εν ἁγιωσυνῃ, εμπροσθεν του Θεου και πατρος ἡμων, εν τῃ παρουσιᾳ του Κυριου ἡμων Ιησου Χριστου μετα παντων των ἁγιων αὐτου.

στηριξαι. *Conf. sup. ver.* 2. εαν συ ησθα τοις εργοις αμεμπτος. *Job. xxii.* 3. και γινου αμεμπτος. *Gen. xvii.* 1. και ἡξει Κυριος ὁ Θεος μου, και παντες οἱ ἁγιοι μετ' αυτου. *Zach. xiv.* 5. *Deut. xxxiii.* 2. το ἁρμα του Θεου μυριοπλασιον—Κυριος εν αυτοις. *Ps. lxvii.* 17. παρουσια. *Conf. cap. ii.* 19. και τις ὑπομενει ἡμεραν εισοδου αυτου; κ. τ. λ. *Mal. iii.* 2. *Juda.* 14.

ΚΕΦ. δ. 4.

ΤΟ λοιπον ουν, αδελφοι, ερωτωμεν ὑμας και παρακαλουμεν εν Κυριῳ Ιησου, καθως παρελαβετε παρ' ἡμων το πως δει ὑμας περιπατειν και αρεσκειν Θεῳ, ἱνα περισσευητε μαλλον·

ηρωτησαν αυτον τα εις ειρηνην. 1 *Reg. xxx.* 21. [ηρωτα τον Θεον. *Jos. Ant. v.* 1. 14.] παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. ιδου ευλογειν παρειλημμαι; ευλογησω. *Num. xxiii.* 20. και αναλαβε τα ῥηματα αυτου εν καρδιᾳ σου. *Job. xxii.* 22. μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου. 4 *Reg. xx.* 3. και αρησει τῳ Θεῳ. *Ps. lxviii.* 31. *Gen. v.* 22. *Conf. Phil. i.* 27. *Cap. ii.* 12. 1 *Reg. xxi.* 5. [εαν ειπῃ τις ερωτω, και παρακαλω, αντι του δεομαι, ακυρως ειρηκε. *Hermog. apud Fisch. p.* 707.] αἱ δε ὁδοι των δικαιων

ὁμοιως φωτι λαμπουσι, προπορευονται και φωτιζουσιν, ἑως κατορθωσῃ ἡ ἡμερα. *Prov. iv.* 18. και επερισσευσεν ὑπερ τους βασιλεις τους εμπροσθεν. 1 *Mac. iii.* 30. *Conf. Job. xvii.* 9. 2 *Par. xx.* 20. *Ps. xci.* 14.

2 Οιδατε γαρ τινας παραγγελιας εδωκαμεν ὑμιν δια του Κυριου Ιησου.

3 Τουτο γαρ εστι θελημα του Θεου, ὁ ἁγιασμος ὑμων, απεχεσθαι ὑμας απο της πορνειας,

ουκ εστι μου θελημα εν ὑμιν, λεγει Κυριος. *Mal. i.* 10. του ποιησαι το θελημα σου—εβουληθην. *Ps. xl.* 8. εν τουτοις το θελημα μου. *Jer. ix.* 24. εσται σοι εις ἁγιασμον. *Esa. viii.* 14. *Ald.* αφωρισμενους τῳ ἁγιασμῳ αυτων. *Ezech. xlv.* 4. *Jud. xvii.* 3. απεχεσθε απο των αδικιων. *Mal. iii.* 6. *Conf. Rom. xii.* 2. *Ephes. v.* 17. *Phil. iv.* 8. και ιδετε ποια εστιν ἡ ὁδος ἡ αγαθη, και βαδισατε εν αυτῃ, και εὑρησετε ἁγιασμον ταις ψυχαις ὑμων. *Jer. vi.* 16. *Alex.* εσεσθε μοι—εθνος ἁγιον. *Exod. xix.* 6.

4 Ειδεναι ἑκαστον ὑμων το ἑαυτου σκευος κτασθαι εν ἁγιασμῳ και τιμῃ,

ὁ κτωμενος γυναικα. *Sir. xxxvi.* 24. σκευος. *Conf.* 1 *Reg. xxi.* 5. *Jer. xxvii.* 25. *Gen. xlix.* 5. *Aq.* [το της ψυχης αγγειον το σωμα. *Philo, p.* 186.] 1 *Cor. vi.* 18. 2 *Cor. iv.* 7. [τινες το ἑαυτου σκευος την ὁμοζυγον ἡρμηνευσαν. *Oecumen.*] ησαν δε δικαιοι αμφοτεροι ενωπιον του Θεου, κ. τ. λ. *Luc. i.* 5, 6.

5 Μη εν παθει επιθυμιας, καθαπερ και τα εθνη τα μη ειδοτα τον Θεον·

εις παθη ατιμιας. *Rom. i.* 26. [δυο γαρ παθη εναντια των εντολων του Θεου. *Test. Patr. p.* 610.] οὑτος δε ὁ τοπος των μη ειδοτων τον Κυριον. *Job. xviii.* 21. *Sap. xiii.* 1. επι εθνα τα μη ειδοτα σε. *Jer. x.* 25. *Conf.* 1 *Cor. xv.* 34. *Ephes. iv.* 17, 18. *Tob. viii.* 6, 7.

6 Το μη ὑπερβαινειν και πλεονεκτειν εν τῳ πραγματι τον αδελφον αὑτου, διοτι εκδικος ὁ Κυριος περι παντων τουτων, καθως και προειπαμεν ὑμιν και διεμαρτυραμεθα.

προσταγμα αιωνιον, και ουχ ὑπερβησεται αυτο. *Jer. v.* 22. μεχρι τουτου ελευσῃ και ουχ ὑπερβησῃ. *Job. xxxviii.* 11. *Prov. xx.* 2. *Aq. Sym. Theod.* εναντιον εχθρων κατελιπεν εκδικον. *Sir. xxx.* 6. *Ps. xcviii.* 8. *Sym.* *Sap. xii.* 12. ουκ αδικησεις τον πλησιον και ουχ ἁρπᾳ. *Lev. xix.* 13. [και γαρ ειμι (*Moses*) συμμαχος ταις αδικουμεναις μετα μεγαλης χειρος, ἡν ου θεμις πλεονεκταις ὁρᾳν. *Philo, de Vit. Mos. p.* 611. *Jos. Ant. ii.* 11. 2.] διαμαρτυραι. *Exod.*

xix. 21. *Ps. lxxx.* 8. εν ἡμερᾳ εκδικησεως ανταποδωσω. *Deut. xxxii.* 35. *Conf. Job. xxiv.* 2. 1 *Cor. vi.* 8. *Heb. xii.* 14. 1 *Pet. i.* 15. καθως προειρηκαμεν. 3 *Mac. vi.* 35.

7 Ου γαρ εκαλεσεν ἡμας ὁ Θεος επι ακαθαρσιᾳ, αλλ᾽ εν ἁγιασμῳ.

καθαρισθησεσθε απο πασων των ακαθαρσιων ὑμων. *Ezech. xxxvi.* 25. ἁγιασει αυτο απο των ακαθαρσιων. *Lev. xvi.* 19. εκαλεσε. *Esa. xli.* 4. *xlix.* 1. *Jer. xxxviii.* 6. *Conf. Lev. xi.* 44. *xix.* 2. *Joan. xvii.* 19. 1 *Cor. i.* 2. *Ephes. ii.* 10. *Tit. ii.* 14. και ἁγιοι εσεσθε, ὁτι ἁγιος ειμι. *Lev. xi.* 44. *xix.* 2. *Sir. xv.* 20.

8 Τοιγαρουν ὁ αθετων, ουκ ανθρωπον αθετει, αλλα τον Θεον τον και δοντα το Πνευμα αὑτου το ἁγιον εις ἡμας.

τοιγαρουν. *Prov. i.* 31. *Esa. v.* 26. *Conf. Act. v.* 4. ὁ αθετων αθετει. *Esa. xxi.* 2. 33. ὁ Θεος εν αυτοις το Πνευμα το ἁγιον. *Esa. lxiii.* 11. και το εργον μεγα, ὁτι ουκ ανθρωπῳ, αλλ᾽ η Κυριῳ Θεῳ. 1 *Par. xxix.* 1. *Exod. xvi.* 8.

9 Περι δε της φιλαδελφιας, ου χρειαν εχετε γραφειν ὑμιν· αυτοι γαρ ὑμεις θεοδιδακτοι εστε εις το αγαπᾳν αλληλους·

και παντας τους υἱους σου διδακτους Θεου, και εν πολλῃ ειρηνῃ τα τεκνα σου. *Esa. liv.* 13. *Conf.* 1 *Joan. ii.* 27. *Jer. xxxviii.* 33, 34. των αγαθων μου ου χρειαν εχεις. *Ps. xv.* 2. φιλαδελφος. 2 *Mac. xv.* 14. [φιλαδελφια. *Jos. Ant. iv.* 2. 4.] αγαπησεις τον πλησιον σου ὡς σεαυτον. εγω ειμι Κυριος. *Lev. xix.* 18.

10 Και γαρ ποιειτε αυτο εις παντας τους αδελφους τους εν ὁλῃ τῃ Μακεδονιᾳ. παρακαλουμεν δε ὑμας, αδελφοι, περισσευειν μαλλον,

καθαρος δε χειρος αναλαβοι θαρσος. *Job. xvii.* 9.

11 Και φιλοτιμεισθαι ἡσυχαζειν, και πρασσειν τα ιδια, και εργαζεσθαι ταις ιδιαις χερσιν ὑμων, καθως ὑμιν παρηγγειλαμεν·

φιλοτιμεισθαι. *Conf. Rom. xv.* 20. και ειδον τον λαον—ἡσυχασοντα εν ελπιδι. *Jud. xviii.* 7. *Alex. Ald. Comp. Jud. iii.* 11. 30. τα ιδια. *Prov. xx.* 25. νυν ουν πορευθεντες, εργαζεσθε. *Exod. v.* 18. περι πραγματος οὑ ουκ εστι σοι χρεια μη εριζε. *Sir. xi.* 9. παραγγειλατε τῳ λαῳ περιελθειν. *Jos. vi.* 6. *Conf. Act. xx.* 34. *Ephes. iv.* 28. 2 *Thess. iii.* 7. 1 *Pet. iv.* 15. *Eccles. ix.* 10.

12 Ἱνα περιπατητε ευσχημονως προς τους εξω, και μηδενος χρειαν εχητε.

οἱ εκτος, *Ethnici. Prol. Sir. Conf.* 4 *Reg. xx.* 3. *Rom. xiii.* 13. *Sir. xxxvi.* 1-4. και γνωσονται τα εθνη ὁτι εγω ειμι Κυριος ὁ ἁγιαζων αυτους, κ. τ. λ. *Ezech. xxvii.* 28. *Prov. xiv.* 14.

13 Ου θελω δε ὑμας αγνοειν, αδελφοι, περι των κεκοιμημενων,
ἱνα μη λυπησθε, καθως και οἱ λοιποι οἱ μη εχοντες ελπιδα.

μακαριοι οἱ—εν αγαπησει κεκοιμημενοι. *Sir. xlviii.* 11. *Comp.* ἡδιον κλαυσον επι νεκρῳ, ὁτι ανεπαυσατο. *xxii.* 11. αχαριστου γαρ ελπις ὡς χειμεριος παχνη τακησεται, κ. τ. λ. *Sap. xvi.* 29. τελευτησαντος ανδρος δικαιου ουκ ολλυται ελπις, το δε καυχημα των ασεβων ολλυται. *Prov. xi.* 7. ελπις δε ασεβων απωλειται. 23. αγαθων γαρ πονων καρπος ευκλεης. *Sap. iii.* 15.

14 Ει γαρ πιστευομεν ὁτι Ιησους απεθανε και ανεστη, οὑτω
και ὁ Θεος τους κοιμηθεντας δια του Ιησου αξει συν αυτῳ.

και ἡξει Κυριος ὁ Θεος μου, και παντες οἱ ἁγιοι μετ᾽ αυτου. *Zach. xiv.* 5. 1 *Cor. xv.* 13, 18. πλην ὁ Θεος λυτρωσεται την ψυχην μου εκ χειρος ᾁδου, ὁταν λαμβανῃ με. *Ps. xlviii.* 15. κεκοιμηται Δαυιδ μετα των πατερων αυτου. 3 *Reg. xi.* 21. *et pass.* εις ουρανον την ελπιδα εχων. 2 *Mac. ix.* 20. εδοξαν εν οφθαλμοις αφρονων τεθναναι —οἱ δε εισιν εν ειρηνῃ κ. τ. λ. *Sap. iii.* 2, 3. εαν τε οξεως τελευτησωσιν, ουχ ἑξουσιν ελπιδα. 18. πολλοι των καθευδοντων εν γης χωματι. *Dan. xii.* 2. καθευδοντες εν ταφῳ. *Ps. lxxxvii.* 5. εμβλεπων τοις μετ᾽ ευσεβειας κοιμωμενοις καλλιστον αποκειμενον χαριστηριον. 2 *Mac. xii.* 45. και ετελευτησεν Ιωβ—γεγραπται δε αυτον παλιν αναστησεσθαι μεθ᾽ ὡν ὁ Κυριος ανιστησι. *Job. xlii.* 17.

15 Τουτο γαρ ὑμιν λεγομεν εν λογῳ Κυριου, ὁτι ἡμεις οἱ ζων-
τες, οἱ περιλειπομενοι, εις την παρουσιαν του Κυριου ου μη
φθασωμεν τους κοιμηθεντας·

και εγενετο λογος Κυριου προς με, λεγων. *Jer. i.* 4. *Alex. Comp.* ὁτι οὑτως εντεταλται μοι εν λογῳ. 3 *Reg. xiii.* 17. 32. παντας τους λογους οὑς ελαλησε Κυριος ποιησομεν και ακουσομεθα. *Exod. xxiv.* 3. εαν φθασῃ τελευτησαι. *Sap. iv.* 7. ὁτι δει φθανειν τον ἡλιον επ᾽ ευχαριστιαν σου. *xvi.* 28. και εγραψεν επιστολας—λεγων. 1 *Mac. x.* 17.

16 Ὁτι αυτος ὁ Κυριος εν κελευσματι, εν φωνῃ αρχαγγελου,
και εν σαλπιγγι Θεου καταβησεται απ᾽ ουρανου, και οἱ νεκροι
εν Χριστῳ αναστησονται πρωτον,

ἡμερα σαλπιγγος. *Sophon. i.* 16. και Κυριος παντοκρατωρ εν σαλ-

πιγγι σαλπιει. *Zach. ix.* 14. αἱ φωναι και αἱ σαλπιγγες. *Exod. xix.* 13. *Conf. Ps. xlvi.* 5. *Esa. xxvii.* 13. 2 *Par. v.* 13. *Ose. v.* 8. *Joel. ii.* 1. και ἁγιος απ᾽ ουρανου κατεβη. *Dan. iv.* 10. 20. αναστησονται οἱ νεκροι και εγερθησονται. *Esa. xxvi.* 19. εις αιωνιον αναβιωσιν ζωης αναστησει. 2 *Mac. vii.* 9. αρχαγγελος. *Conf. Juda.* 9. οιδα γαρ ὁτι αενναος εστιν ὁ εκλυειν με μελλων, επι γης αναστησαι το δερμα μου κ. τ. λ. *Job. xix.* 25, 26. ὑπομενω ἑως παλιν γενωμαι. *xiv.* 14. *Conf. Aq. Sym. Theod.*

17 Επειτα ἡμεις οἱ ζωντες, οἱ περιλειπομενοι, ἁμα συν αυτοις ἁρπαγησομεθα εν νεφελαις εις απαντησιν του Κυριου εις αερα, και οὑτω παντοτε συν Κυριῳ εσομεθα.

το περιλειπομενον ὑδωρ. 2 *Mac. i.* 31. ἁρπαζειν εκ του βιου. *Sap. iv.* 11. *Conf.* 4 *Reg. ii.* 9-11. ιδου μετα των νεφελων του ουρανου, ὡς υἱος ανθρωπου. *Dan. vii.* 13. *Conf. Esa. xxxv. lx.* 19, 20. πληρωσεις με ευφροσυνης μετα του προσωπου σου, κ. τ. λ. *Ps. xv.* 11. και εσομεθα παρα Θεῳ, δι᾽ ὁν και πασχομεν. 4 *Mac.* 9.

18 Ὡστε παρακαλειτε αλληλους εν τοις λογοις τουτοις.

2 *Thess. i.* 10. *ii.* 17. παρακαλειτε παρακαλειτε τον λαον μου, λεγει ὁ Θεος. *Esa. xl.* 1. ὡστε (*itaque*) παιδευεσθε τοις ῥημασι μου, και ωφεληθησεσθε. *Sap. vi.* 25. κατισχυσον αυτον, και παρεκαλεσον αυτον. *Deut. iii.* 28. παρακλησιν εχοντες τα βιβλια τα εν ταις χερσιν ἡμων. 2 *Mac. xii.* 9.

ΚΕΦ. ε. 5.

ΠΕΡΙ δε των χρονων και των καιρων, αδελφοι, ου χρειαν εχετε ὑμιν γραφεσθαι·

τοις πασιν ὁ χρονος και καιρος. *Eccles. iii.* 1. *Dan. ii.* 21. ου χρειαν εχομεν ἡμεις περι του ῥηματος τουτου αποκριθηναι. *Dan. iii.* 16. *Conf. Matt. xxiv.* 3. 36. *Marc. xiii.* 30. *Act. i.* 7.

2 Αυτοι γαρ ακριβως οιδατε, ὁτι ἡ ἡμερα Κυριου ὡς κλεπτης εν νυκτι οὑτως ερχεται·

ὁτι παρεστι ἡμερα Κυριου. *Joel. ii.* 1. *Ald. Comp.* και νυκτος εσται, ὡς κλεπτης. *Job. xxiv.* 14. ὡς κλεπται εν νυκτι. *Jer. xxix.* 9. *Joel. ii.* 9. *Conf. Matt. xxiv.* 42. *Luc. xxi.* 34. 2 *Pet. iii.* 9. *Apoc. iii.* 3. *Jud. xviii.* 27. *Esa. lxvi.* 12. *Nah. i.* 9, 10.

3 Ὁταν γαρ λεγωσιν, Ειρηνη και ασφαλεια, τοτε αιφνιδιος

αυτοις εφισταται ολεθρος, ὡσπερ ἡ ωδιν τῃ εν γαστρι εχουσῃ, και ου μη εκφυγωσιν.

ειρηνη και ασφαλεια. *Conf.* 4 *Reg. iv.* 23. ἡνικα ερχηται ὑμιν ολεθρος. *Prov. i.* 26. ανθ' ὡν επλανησαν τον λαον μου, λεγοντες, Ειρηνη, και ουκ εστιν ειρηνη. *Ezech. xiii.* 10. εκει ωδινες ὡς τικτουσης. *Ps. xlvii.* 6. *Jer. vi.* 14. *xiii.* 21. αιφνιδιος γαρ αυτοις και απροσδοκητος φοβος επηλθε. *Sap. xvii.* 15. 3 *Mac. iii.* 24. *Matt. xxiv.* 8. *Luc. xxi.* 34. 2 *Thess. i.* 9. *Esa. xiii.* 8. φρικτως και ταχεως επιστησεται ὑμιν, ὁτι κρισις αποτομος εν τοις ὑπερεχουσιν γινεται. *Sap. vi.* 5. διατουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου. *Sophon. iii.* 8. ουπω γαρ την του παντοκρατορος εποπτου Θεου κρισιν εκπεφευγας. 2 *Mac. vii.* 35. εξαπινης ερχεται απωλεια αυτου, κ. τ. λ. *Prov. vi.* 15. λεγων, ὁσια μοι γενοιτο, ὁτι εν τῃ αποπλανησει της καρδιας μου πορευσομαι, ἱνα μη συναπολεσῃ ὁ ἁμαρτωλος τον αναμαρτητον, κ. τ. λ. *Deut. xxix.* 19, 20. *Conf. Job. xii.* 5. *xx.* 7.

4 *Ὑμεις δε, αδελφοι, ουκ εστε εν σκοτει, ἱνα ἡ ἡμερα ὑμας ὡς κλεπτης καταλαβῃ·*

οἱ εν σκοτει. *Esa. xxix.* 18. καταδιωξαι—την ψυχην μου και καταλαβοι. *Ps. vii.* 5. *xc.* 5, 6. *cxi.* 4. *Sap. v.* 6.

5 *Παντες ὑμεις υἱοι φωτος εστε και υἱοι ἡμερας· ουκ εσμεν νυκτος ουδε σκοτους.*

υἱος ανομιας. *Ps. lxxxviii.* 22. υἱος θανατου. 2 *Reg. xii.* 15. εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. ποιησω αυτοις το σκοτος εις φως. *Esa. xlii.* 16. *Conf. Luc. xvi.* 8. *Rom. xiii.* 12.

6 *Αρα ουν μη καθευδωμεν ὡς και οἱ λοιποι, αλλα γρηγορωμεν και νηφωμεν.*

αρα ουν. *Gen. xviii.* 3. εξεγειρου εξεγειρου, κ. τ. λ. *Esa. li.* 17. δευτε πορευθωμεν τῳ φωτι Κυριου. *ii.* 5. εγρηγορειν. *Jer. i.* 12. [*Conf. Sturz. p.* 157.] [νηφε ὡς Θεου αθλητης. *Ignat. p.* 12.]

7 *Οἱ γαρ καθευδοντες, νυκτος καθευδουσι· και οἱ μεθυσκομενοι, νυκτος μεθυουσιν·*

ενυσταξαν οἱ ποιμενες σου. *Nah. iii.* 18. *Conf. Rom. xiii.* 13. ουαι —οἱ μενοντες το οψε· ὁ γαρ οινος αυτους συγκαυσει. *Esa. v.* 11. μη μεθυσκεσθε εν οινοις, κ. τ. λ. *Prov. xxiii.* 30.

8 *Ἡμεις δε ἡμερας οντες νηφωμεν, ενδυσαμενοι θωρακα πιστεως και αγαπης, και περικεφαλαιαν ελπιδα σωτηριας·*

περιεθετο περικεφαλαιαν σωτηριου επι της κεφαλης. *Esa. lix.* 17. δικαιοσυνην δε ενδεδυκειν, ημφιασαμην δε κριμα ισα διπλοϊδι. *Job. xxix.* 14. *Conf. Sap. v.* 17-19. *Rom. xiii.* 12. ἡ ελπις αυτων αθανασιας πληρης. *Sap. iii.* 4. ἡ ελπις της σωτηριας. *Job. ii.* 9. περιβαλου την διπλοϊδα της παρα του Θεου δικαιοσυνης, επιθου την μιτραν επι την κεφαλην σου της δοξης του αιωνιου. *Bar. v.* 2. *Sir. xlv.* 10. *Sap. xv.* 2, 3.

9 Ὁτι ουκ εθετο ἡμας ὁ Θεος εις οργην, αλλ᾽ εις περιποιησιν σωτηριας, δια του Κυριου ἡμων Ιησου Χριστου,

θησομαι αυτον εις σημειον. *Ezech. xiv.* 8. *Gen. xvii.* 6. *Jer. ix.* 11. προφητην εις εθνη τεθεικα σε. *i.* 5. *Esa. xlii.* 15. ὡστε μη ειναι εν αυτοις περιποιησιν. 2 *Par. xiv.* 13. *Conf.* 1 *Pet. ii.* 8. *Juda.* 4. 2 *Thess. ii.* 14. [φλοξ πυρος και οργη αδικων. *Psalt. Sal. xv.* 6.] ἑνεκεν τουτου διετηρηθης, κ. τ. λ. *Exod. ix.* 16.

10 Του αποθανοντος ὑπερ ἡμων, ἱνα ειτε γρηγορωμεν, ειτε καθευδωμεν, ἁμα συν αυτῳ ζησωμεν.

ὑπερ—προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου Ισραηλ. 2 *Mac. i.* 26. εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. *Esa. xliii.* 3. προσηγαγε θυσιαν ὑπερ της του ἀνδρος σωτηριας. 2 *Mac. iii.* 32. το κρατος μου προς σε φυλαξω, ὁτι συ ὁ Θεος αντιληπτωρ μου ει. *Ps. lviii.* 9. 17. *lxi.* 2. 5. και πολλοι των καθευδοντων εν γης χωματι εξεγερθησονται. *Dan. xii.* 2. ειτε—ειτε. *Ruth. iii.* 10. *alii.* και ζησομεθα ενωπιον αυτου. *Ose. vi.* 2.

11 Διο παρακαλειτε αλληλους, και οικοδομειτε εἱς τον ἑνα, καθως και ποιειτε.

εἱς τον ἑνα, *i. e.* αλληλους. *Ezech. xxiv.* 23. του γενεσθαι ὑφ᾽ ἑνα. 1 *Mac. x.* 38. οικοδομειν. *Conf. Sir. xlix.* 7. *Jer. i.* 10. δευτε ακουσατε, και διηγησομαι—ὁσα εποιησε τῃ ψυχῃ μου. *Ps. lxv.* 16.

12 Ερωτωμεν δε ὑμας, αδελφοι, ειδεναι τους κοπιωντας εν ὑμιν, και προϊσταμενους ὑμων εν Κυριῳ, και νουθετουντας ὑμας,

ερωτησατε δη τα εις ειρηνην. *Ps. cxxi.* 6. γινωσκει Κυριος ὁδον δικαιων. *i.* 6. προϊσταμενους. 1 *Mac. v.* 19. 2 *Mac. xiv.* 9. οἱ ἡγουμενοι εκκλησιας. *Sir. xxx.* 18. οἱ κοπιωντες. *Conf. Esa. xlix.* 4. *Sir. vi.* 19. *Rom. xv.* 27. 1 *Cor. ix.* 11. *Gal. vi.* 6. *Heb. xiii.* 7. εμπιστευσατε εν Κυριῳ—και εμπιστευθησεσθε· εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε. 2 *Par. xx.* 20. *Conf. Deut. xii.* 12. 19. *xvi.* 11. 14.

13 Και ἡγεισθαι αυτους ὑπερεκπερισσου εν αγαπῃ, δια το εργον αυτων· ειρηνευετε εν ἑαυτοις.

γνωσῃ ὁτι ειρηνευσει σου ὁ οικος. *Job. v.* 24. ὑπερεκπερισσου. *Dan. iii.* 22. *Ald. Comp.* μη οργιζεσθε εν τῃ ὁδῳ. *Gen. xlv.* 24. *Ps. cxxxii.* 1.

14 Παρακαλουμεν δε ὑμας, αδελφοι, νουθετειτε τους ατακτους, παραμυθεισθε τους ολιγοψυχους, αντεχεσθε των ασθενων, μακροθυμειτε προς παντας.

και εν οἱς ἁμαρτανουσιν ὑπομιμνησκων νουθετεις. *Sap. xii.* 2. και ολιγοψυχοις διδους μακροθυμιαν. *Esa. lvii.* 15. *Prov. xviii.* 14. ανθεξεται του μη πεσειν εις θανατον. *Job. xxxiii.* 24. *Conf. Ezech. xvi.* 49. *Prov. iv.* 13. *xiv.* 29. *Esa. liv.* 6. *xxxv.* 3. *lvi.* 2-6. και ωλιγοψυχησε το πνευμα μου. *Ps. lxxvi.* 3. *Num. xxi.* 4. ἑως καιρου ανθεξεται μακροθυμος. *Sir. i.* 22. κατισχυσον αυτον και παρακαλεσον αυτον. *Deut. ii.* 28. *Conf. Rom. xiv.* 1. *Gal. vi.* 1, 2. 2 *Thess. iii.* 6, 11, 12. [μηδεν ατακτον ποιειτε. *Test. XII. Patr. p.* 664.] [σωζεσθω ουν ἡμων ὁλον το σωμα εν Χριστῳ Ιησου, και ὑποτασσεσθω ἑκαστος τῳ πλησιον αυτου, καθως και ετεθη εν τῳ χαρισματι αυτου· ὁ ισχυρος μη πλημμελειτω τον ασθενη, ὁ δε ασθενης εντρεπετω τον ισχυρον, κ. τ. λ. *Clem. Rom.* 1 *Epist.* 38. *p.* 90.]

15 Ὁρατε μη τις κακον αντι κακου τινι αποδῳ· αλλα παντοτε το αγαθον διωκετε και εις αλληλους και εις παντας.

μη ειπῃς, Ὁν τροπον εχρησατο μοι, χρησομαι αυτῳ, τισομαι δε αυτον ἁ με ηδικησε. *Prov. xxiv.* 29. διωκοντες δικαιοσυνην. *xv.* 9. *Conf. Rom. xii.* 17. *Matt. v.* 39. ζητησον ειρηνην, και διωξον αυτην. *Ps. xxxiii.* 14. *Conf. Lev. xix.* 18. ὁς αποδιδωσι κακα αντι αγαθων, ου κινηθησεται κακα εκ του οικου αυτου. *Prov. xvii.* 13. ὁ εκδικων παρα Κυριου εὑρησει εκδικησιν. *Sir. xxviii.* 1.

16 Παντοτε χαιρετε.

Conf. Luc. x. 20. *Rom. xii.* 12. χαρητε ἁμα αυτῃ χαρᾳ παντες. *Esa. lxvi.* 10. [φαυλῳ δ' ουδενι χαιρειν εφειται, καθαπερ και εν προφητικαις αδεται ῥησεσι, Χαιρειν ουκ εστι τοις ασεβεσιν, (*Esa. xlviii.* 22.) ειπε Θεος. *Philo. de Mutat. Nom. p.* 604. *Tom. I. Mangey. Col. p.* 829.] *Ps. xxxii.* 1. *Esa. xli.* 16. *Joel. ii.* 23.

17 Αδιαλειπτως προσευχεσθε.

ἡμεις ουν εν παντι καιρῳ αδιαλειπτως. 1 *Mac. xii.* 11. *Conf. Dan. vi.* 10. *Luc. xviii.* 1. *Ephes. vi.* 18. πασῃ ζωῃ αγαπα τον Κυριον, και επικαλου αυτον εις σωτηριαν σου. *Sir. xiii.* 15. *Comp.*

18 Εν παντι ευχαριστειτε· τουτο γαρ θελημα Θεου εν Χριστῳ Ιησου εις ὑμας.

μεγαλως ευχαριστουμεν αυτῳ. 2 Mac. i. 11. Ephes. v. 20. Col. iii. 15. Job. i. 21. ὁτι εν τουτοις το θελημα μου, λεγει Κυριος. Jer. ix. 24. ευλογησω τον Κυριον εν παντι καιρῳ, κ. τ. λ. Ps. xxxiii. 1. ευνοια εις εμε. 2 Mac. ix. 26.

19 Το Πνευμα μη σβεννυτε·

αυτοι δε ηπειθησαν και παρωξυναν το πνευμα το ἁγιον αυτου. Esa. lxiii. 10. [ειπε γαρ, φησι, (Gen. vi. 3.) Κυριος ὁ Θεος, ου καταμενει το πνευμα μου εν τοις ανθρωποις εις τον αιωνα, δια το ειναι αυτους σαρκας· μενει μεν γαρ εστιν ὁτε, καταμενει δ' ουδ' εισαπαν παρα τοις πολλοις ἡμιν. Philo. de Gigant. p. 223. Edit. Col.] και το πνευμα το ἁγιον σου μη αντανελῃς απ' εμου. Ps. l. 11. Conf. 1 Cor. xiv. 30. Ephes. iv. 30. σβεσαι την αγαπην. Cant. viii. 7. τα παθη. 4 Mac. 16. το ονομα. Prov. x. 7.

20 Προφητειας μη εξουθενειτε.

1 Cor. xiv. 1. 2 Par. xxxvi. 16. 1 Reg. x. 5, 6. Num. xi. 25-29.

21 Παντα δοκιμαζετε· το καλον κατεχετε,

πριν εξετασῃς μη μεμψῃ· νοησον πρωτον, και τοτε επιτιμα. Sir. xi. 7. xxxv. 19. Conf. Esa. viii. 20. 2 Thess. ii. 15. 1 Joan. iv. 1.

22 Απο παντος ειδους πονηρου απεχεσθε.

τεσσαρα ειδη. Jer. xv. 3. ουκ απεχεσθε απο των αδικιων. Mal. iii. 6. απο κακων. Job. xxviii. 28. απεχομενος απο παντος πονηρου πραγματος. i. 1. [ὁλον το επιθυμιας ειδος. Philo de Mig. Abrah. p. 398.] απο παντος ῥηματος αδικου αποστησῃ. Exod. xxiii. 7. χαριν αδιαφορου πολλοι ἡμαρτον. Sir. xxvii. 1.

23 Αυτος δε ὁ Θεος της ειρηνης ἁγιασαι ὑμας ὁλοτελεις· και ὁλοκληρον ὑμων το πνευμα και ἡ ψυχη και το σωμα αμεμπτως εν τῃ παρουσιᾳ του Κυριου ἡμων Ιησου Χριστου τηρηθειη.

ὁλοτελως. Deut. xiii. 17. Aq. ὁλοκληρος δικαιοσυνη. Sap. xv. 3. αρχων ειρηνης. Esa. ix. 6. Theod. Alex. Ald. Comp. ευσεβεια ὁλοκληρος. 4 Mac. 15. 17. δικαιων δε ψυχαι εν χειρι Θεου. Sap. iii. 1. Conf. 2 Mac. vii. 37. xiv. 36. 1 Cor. i. 8. 2 Thess. iii. 3. παρουσια. 2 Mac. viii. 13. και σωμα και ψυχην ὑπερ του Ιουδαϊσμου παραβεβλημενος. 2 Mac. xiv. 38. [δει γαρ ὁλοκληρους αρχιερασθαι. Jos. Bell. Jud. i. 13. 9. Ant. iii. 12. 2. Conf. Krebs. p. 393.] και γνωσονται τα εθνη ὁτι εγω ειμι Κυριος ὁ ἁγιαζων αυτους, εν τῳ ειναι τα ἁγια μου εν μεσῳ αυτων εις τον αιωνα. Ezech. xxxvii.

28. [επλασεν ὁ Θεος τον ανθρωπον, χουν απο της γης λαβων, και πνευμα ενοικεν αυτῳ, και ψυχην. *Jos. Ant. i.* 1. 2.] εγω Κυριος ὁ ἁγιαζων ὑμας. *Lev. xx.* 8. *Conf. Sap. xv.* 11. και σκεπασει σε Θεου αρχη, και ὑπο ισχυν βραχιονων αεναων. *Deut. xxxiii.* 27.

24 Πιστος ὁ καλων ὑμας, ὁς και ποιησει.

ὁτι πιστος εστιν ὁ ἁγιος Ισραηλ, και εξελεξαμην σε. *Esa. xlix.* 7. ελπισον επ᾽ αυτον, και αυτος ποιησει. *Ps. xxxvi.* 5. πολλη ἡ πιστις σου. *Thren. iii.* 23. ὁ καλων. *Conf. Esa. xli.* 4. 1 *Cor. i.* 9. 2 *Cor. i.* 18. και παντα ὁσα βεβουλευμαι, ποιησω. *Esa. xlvi.* 10.

25 Αδελφοι, προσευχεσθε περι ἡμων.

και προσευξεται περι σου, και ζησῃ. *Gen. xx.* 7. και νυν ὡδε εσμεν προσευχομενοι περι ὑμων. 2 *Mac. i.* 6. *Bar. i.* 13. *Job. xlii.* 10.

26 Ασπασασθε τους αδελφους παντας εν φιληματι ἁγιῳ.

Conf. Rom. xvi. 16. 2 *Cor. xiii.* 12. *Prov. xxvii.* 6.

27 Ὁρκιζω ὑμας τον Κυριον, αναγνωσθηναι την επιστολην πασι τοις ἁγιοις αδελφοις.

ὡρκισα ὑμας. *Cant. v.* 8. ετι αἱ επιστολαι ανεγινωσκοντο. 1 *Mac. v.* 14. *Neh. vi.* 5. *Conf. Col. iv.* 16. ἁγιοι κληθησονται, κ. τ. λ. *Esa. iv.* 3. εξορκιω σε Κυριον τον Θεον του ουρανου, κ. τ. λ. *Gen. xxiv.* 3. *Conf.* 2 *Par. xvii.* 9. *Sir. xxiv.* 23. 1 *Mac. xii.* 9.

28 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μεθ᾽ ὑμων. αμην.

Conf. Rom. xvi. 24. *Col. iv.* 18. 1 *Cor. xvi.* 23. 2 *Cor. xiii.* 13. ευλογησαι σε Κυριος, και φυλαξαι σε, κ. τ. λ. *Num. vi.* 24-26. ευλογηκαμεν ὑμας ει ονοματι Κυριου. *Ps. cxxviii.* 8.

[Προς Θεσσαλονικεις πρωτη εγραφη απο Αθηνων.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ και Σιλουανος και Τιμοθεος, τῃ εκκλησιᾳ Θεσ-
σαλονικεων εν Θεῳ πατρι ἡμων και Κυριῳ Ιησου Χριστῳ·
2 Χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου
Ιησου Χριστου.

[Ιγνατιος, ὁ και Θεοφορος, εκκλησιᾳ Θεου—τῃ ουσῃ εν Φιλιπποις, ελεος, ειρηνη απο Θεου Πατρος, και Κυριου Ιησου Χριστου κ. τ. λ. *p.* 98.] *Col. v.* 12.

3 Ευχαριστειν οφειλομεν τῳ Θεῳ παντοτε περι ὑμων, αδελφοι,
καθως αξιον εστιν, ὁτι ὑπεραυξανει ἡ πιστις ὑμων, και πλεον-
αζει ἡ αγαπη ἑνος ἑκαστου παντων ὑμων εις αλληλους·

μεγαλως ευχαριστουμεν αυτῳ. *2 Mac. i.* 11. ου γαρ της ἡμετερας ἡλικιας αξιον εστιν ὑποκριθηναι. *2 Mac. vi.* 24. αἱ γαρ ἁμαρτιαι ἡμων επλεονασαν ὑπερ τας κεφαλας. *1 Esd. viii.* 77. *Sir. xxiii.* 3. σχοιη δε πιστος την ἑαυτου ὁδον, καθαρος δε χειρας αναλαβοι θαρσος. *Job. xvii.* 9. πορευσονται εκ δυναμεως εις δυναμιν. *Ps. lxxxiii.* 7. *xci.* 12. *Conf. Prov. iv.* 18. *Esa. xl.* 31. *lii.* 1.

1-3.] *Conf. Rom. i.* 1. *1 Cor. i.* 1. 3. *1 Thess. i.* 1. *Gal. i.* 3. *Ephes. i.* 2. *Phil. i.* 2. *Col. i.* 2.

4 Ὡστε ἡμας αυτους εν ὑμιν καυχασθαι εν ταις εκκλησιαις
του Θεου, ὑπερ της ὑπομονης ὑμων και πιστεως, εν πασι τοις
διωγμοις ὑμων και ταις θλιψεσιν αἱς ανεχεσθε·

και καυχασθαι εν ταις αινεσεσι σου. *1 Par. xvi.* 35. εν εκκλησιαις ευλογησω σε. *Ps. xxv.* 12. των ὑπερ Θεου νομον ἑως θανατου πονων ὑπεριδοντες. *4 Mac.* 1. 9. και νυν τις ἡ ὑπομονη μου; ουχι ὁ Κυριος; *Ps. xxxviii.* 7. ἡ ὑπομενη των πενητων ουκ απολειται εις τον αιωνα. *ix.* 18. εποιειτο δε τον διωγμον ευτονωτερον. *2 Mac. xii.* 23. *2 Mac. vii.* 29. *2 Cor. vii.* 14. *1 Thess. ii.* 19. *Sir. xxiv.* 2.

5 Ενδειγμα της δικαιας κρισεως του Θεου, εις το καταξιωθηναι υμας της βασιλειας του Θεου, υπερ ἡς και πασχετε·

ἡδεως υπερ του νομου του Θεου τα του σωματος μελη ακρωτηριαζομεθα. 4 *Mac.* 10. επεληλυθει γαρ επ' αυτον δικαια ἡ του Θεου κρισις. 2 *Mac. ix.* 18. δια παιδειαν και αρετην Θεου ταυτα πασχομεν κ. τ. λ. 4 *Mac.* 10. και εσομεθα παρα Θεῳ, δι' ὁν και πασχομεν. 9. εγνων ὁτι ποιησει Κυριος την κρισιν του πτωχου, και την δικην των πενητων. *Ps. cxxxix.* 12. *lxxxviii.* 50, 51. *Esa. i.* 24.

6 Ειπερ δικαιον παρα Θεῳ ανταποδουναι τοις θλιβουσιν υμας θλιψιν,

ὁ ανταποδιδους χαριτας. *Sir. iii.* 31. *xxx.* 6. *Ps. xviii.* 24. *sensu bono ;—malo, Sir. xvii.* 23. *Judith. vii.* 15. *Ps. cii.* 10. παρα τῳ Θεῳ. *Prov. xvi.* 5. εν τῃ θλιψει σου, ἡ θλιψει σε ὁ εχθρος σου. *Deut. xxviii.* 53. *Exod. iii.* 10. πολλοι οἱ εκδιωκοντες με και θλιβοντες με. *Ps. cxviii.* 157. *Conf. Zach. ii.* 8. *Esa. lxiii.* 9. ει αρα εστι καρπος τῳ δικαιῳ, αρα εστιν ὁ Θεος κρινων αυτους εν τῃ γῃ. *Ps. lvii.* 11. *lxxiii.* 22, 23. *lxxviii.* 10-12. και αποδωσω δικην τοις εχθροις, και τοις μισουσιν με ανταποδωσω. *Deut. xxxii.* 41.

7 Και υμιν τοις θλιβομενοις ανεσιν μεθ' ἡμων, εν τῃ αποκαλυψει του Κυριου Ιησου απ' ουρανου, μετ' αγγελων δυναμεως αυτου,

ελεησον με Κυριε, ὁτι θλιβομαι. *Ps. xxx.* 11. *Conf.* 1 *Thess. iii.* 13. *iv.* 16. Κυριος των δυναμεων. *Jer. xl.* 12. υἱος δυναμεως. 1 *Reg. xiv.* 52. εσται εν ειρηνῃ ἡ ταφη αυτου, ηρται εκ του μεσου. *Esa. lvii.* 2. υἱοι δυναμεως οἱ μετ' αυτου. 2 *Reg. xvii.* 10. ανεσιν. *Thren. iii.* 49. *Sym.* και ιδου μετα των νεφελων του ουρανου, κ. τ. λ. *Dan. vii.* 13. *Ps. lxvii.* 17.

8 Εν πυρι φλογος, διδοντος εκδικησιν τοις μη ειδοσι Θεον, και τοις μη υπακουουσι τῳ ευαγγελιῳ του Κυριου ἡμων Ιησου Χριστου·

ωφθη δε αυτῳ αγγελος Κυριου εν πυρι φλογος. *Exod. iii.* 2. [*Alex. O. Comp. Ald.* εν φλογι πυρος.] ἡμερα εκδικησεως κραταια. *Sir. xii.* 7. *Comp.* καταναλωσαι εν πυρι φλογος αυτου· *xlv.* 19. εν ἡμερᾳ εκδικησεως ανταποδωσω. *Deut. xxxii.* 25. *Ezech. xxxv.* 11. αποδουναι εκδικησιν παρα του Κυριου. *Num. xxxi.* 3. ὁ τοπος των μη ειδοτων τον Κυριον. *Job. xviii.* 21. *Exod. v.* 2. εαν δε μη υπακουσωσι σοι, κ. τ. λ. *Deut. xx.* 12. ουκ ισχυσαν ειδεναι

τον Οντα. *Sap. xiii.* 1. *Conf. Rom. ii.* 8. 2 *Pet. iii.* 7. *Ps. lxxviii.* 6. *Matt. xxv.* 41. ιδου γαρ Κυριος ὡς πυρ ἡξει, και ὡς καταιγις τα ἁρματα αυτου, αποδουναι εν θυμῳ εκδικησιν αυτου, κ. τ. λ. *Esa. lxvi.* 15, 16. *Ps. xxi.* 8. μη εκκαιε ανθρακας ἁμαρτωλου, μη εμπυρισθῃς εν πυρι φλογος αυτου. *Sir. viii.* 10. *Conf. Thren. ii.* 3. *Ps. ii.* 2-5. *ix.* 17. *xlix.* 22.

9 Οἱτινες δικην τισουσιν, ολεθρον αιωνιον, απο προσωπου του
Κυριου, και απο της δοξης της ισχυος αυτου,

εν τῃ κοιλαδι της δικης. *Joel. iii.* 14. ιδου εκαλεσε την δικην εν πυρι Κυριος. *Amos. vii.* 4. ζημιαν τισουσι. *Prov. xxvii.* 12. [*Lat.* "*solvere pænas.*"] οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. *Dan. xii.* 2. και τον αιωνιον του τυραννου ολεθρον. 4 *Mac.* 10. αιωνιῳ πυρι και βασανοις. 12. και εκρυβησαν—απο προσωπου Κυριου. *Gen. iii.* 8. *iv.* 16. *Conf. Sap. v.* 21-23. *Deut. xxxiii.* 2. κρυπτεσθε—απο προσωπου του φοβου Κυριου και απο της δοξης της ισχυος αυτου. *Esa. ii.* 19. *Jer. iv.* 26. *xxiii.* 9. *Joel. ii.* 6. δικῃ εκδικηθησεται. *Exod. xxi.* 20. *Conf.* 1 *Pet. iv.* 18. *Apoc. ix.* 6. *xiv.* 11. *Juda.* 6, 13. δεσμιοι σκοτους και μακρας πεδηται νυκτος—φυγαδες της αιωνιου προνοιας κ. τ. λ. *Sap. xvii.* 2. τις αναγγελει ὑμιν, ὁτι πυρ καιεται; τις αναγγελει ὑμιν τον τοπον τον αιωνιον; *Esa. xxxiii.* 14.

10 Ὁταν ελθῃ ενδοξασθηναι εν τοις ἁγιοις αὑτου, και θαυμασ-
θηναι εν πασι τοις πιστευουσιν, (ὁτι επιστευθη το μαρτυριον
ἡμων εφ᾽ ὑμας,) εν τῃ ἡμερᾳ εκεινῃ.

πως κατελογισθη εν υἱοις Θεου, και εν ἁγιοις ὁ κληρος αυτου εστι; *Sap. v.* 5. εναντι μεγιστανων θαυμασθησεται. *Sir. xxxviii.* 3. *Sap. viii.* 21. *Esa. lxi.* 6. ενδοξασθησομαι εν σοι, και γνωσῃ ὁτι εγω ειμι Κυριος. *Ezech. xxviii.* 22. *Exod. xiv.* 4. ὁ Θεος ενδοξαζομενος εν βουλῃ ἁγιων. *Ps. lxxxix.* 7. πιστευθησονται τα ῥηματα ὑμων. *Gen. xlii.* 20. [*Winer.* § 40. 1.] δεδοξασμενος εν ἁγιοις, θαυμαστος εν δοξαις. *Exod. xv.* 11. θαυμαστος ὁ Θεος εν τοις ὁσιοις αυτου. *Ps. lxvii.* 35. χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. *xiv.* 15. ὁτι εστιν ἡμερα κλησεως—και αναβητε εις Σιων προς Κυριον κ. τ. λ. *Jer. xxxviii.* 6. *Mal. iii.* 17. λαον μου ὁν περιεποιησαμην τας αρετας μου διηγεισθαι. *Esa. xliii.* 21. ελυτρωσατο ὁ Θεος τον Ιακωβ, και Ισραηλ δοξασθησεται. *xliv.* 23. και εσονται μοι, λεγει Κυριος παντοκρατωρ, εις ἡμεραν, ἡν εγω ποιω, εις περιποιησιν, και αἱρετιω αυτους, ὁν τροπον αἱρετιζει ανθρωπος τον υἱον αυτου, κ. τ. λ. *Mal. iii.* 17, 18. *Sap. xiii.* 3-7.

11 Εις ὁ και προσευχομεθα παντοτε περι ὑμων, ἱνα ὑμας

αξιωση της κλησεως ὁ Θεος ἡμων, και πληρωση πασαν ευδοκιαν αγαθωσυνης και εργον πιστεως εν δυναμει·

και νυν ὡδε εσμεν προσευχομενοι περι ὑμων. 2 *Mac.* *i.* 6. και ουκ ηξιωθην καταφιλησαι. *Gen.* *xxxi.* 28. και εὑρεν αυτους αξιους ἑαυτου. *Sap.* *iii.* 5. και πασαν την βουλην σου πληρωσαι. *Ps.* *xix.* 4. ευδοκησον Κυριε του ῥυσασθαι με. *xxxix.* 13. αυτος ποιμανει ἡμας εις τους αιωνας. *xlvii.* 14. δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. *lxvii.* 11. Κυριε ανταποδωσεις ὑπερ εμου—τα εργα των χειρων σου μη παριδῃς. *cxxxvii.* 8. = πιστις ευδοκιας. *Sir.* *xv.* 15. *Conf.* *Ps.* *xxxvi.* 4, 5. *li.* 19.

12 Ὁπως ενδοξασθῃ το ονομα του Κυριου ἡμων Ιησου Χριστου
εν ὑμιν, και ὑμεις εν αυτῳ, κατα την χαριν του Θεου ἡμων και
Κυριου Ιησου Χριστου.

ὁπως. *Jon.* *i.* 6. και ενδοξασθησομαι εν σοι. *Ezech.* *xxviii.* 22. ἱνα το ονομα Κυριου δοξασθῃ κ. τ. λ. *Esa.* *lxvi.* 5. *xlv.* 25. κατα το ελεος σου. *Ps.* *xxiv.* 7. ιδου συνησει ὁ παις μου, και ὑψωθησεται, και δοξασθησεται σφοδρα. *Esa.* *lii.* 13. εστω το ονομα αυτου ευλογημενον εις τους αιωνας. *Ps.* *lxxi.* 17. [του Κυριου και Σωτηρος ἡμων Ι. Χρ. *Cyril Hieros.* του Θεου και Σωτηρος ἡμων Ιησ. Χρ. *Basil.* του μεγαλου Θεου και αρχιποιμενος ἡμων Ι. Χρ. *Greg. Mag.* ὁ δε Θεος ἡμων και Ι. Χρ. ὁ παρακαλων. *Greg. Nyss.* *Middleton.* *pp.* 380-382. ὁ Κυριος και Θεος ευεργετης εστι. *p.* 309. *Edit.* 1640.] *Conf.* *Col.* *ii.* 2, 3. 1 *Thess.* *iii.* 11. *Ephes.* *v.* 5. *Tit.* *ii.* 13. *Sap.* *ix.* 1.

ΚΕΦ. β. 2.

ΕΡΩΤΩΜΕΝ δε ὑμας, αδελφοι, ὑπερ της παρουσιας του
Κυριου ἡμων Ιησου Χριστου, και ἡμων επισυναγωγης επ᾽
αυτον,

ερωτησατε δη τα εις ειρηνην. *Ps.* *cxxi.* 6. παρουσια. 2 *Mac.* *viii.* 13. 1 *Thess.* *ii.* 19. ἑως αν συναγαγῃ ὁ Θεος επισυναγωγην του λαου, και ἱλεως γενηται. 2 *Mac.* *ii.* 7. *Conf.* *Matt.* *xxiv.* 31. *Marc.* *xiii.* 27. 1 *Thess.* *iv.* 15. ἑως αν ελθῃ τα αποκειμενα αυτῳ· και αυτος προσδοκια εθνων. *Gen.* *xlix.* 10. ὑπερ. *Conf.* *Tob.* *vi.* 15. *Judith.* *xv.* 4. 2 *Mac.* *xii.* 44. 4 *Mac.* 9. [εαν ειπῃ τις ερωτω, και παρακαλω, αντι του δεομαι, ακυρως ειρηκε. *Hermog. apud Fisch.* *p.* 707.] *Conf.* 2 *Tim.* *iv.* 1.

2 Εις το μη ταχεως σαλευθηναι ὑμας απο του νοος, μητε

θροεισθαι, μητε δια πνευματος, μητε δια λογου, μητε δι' επιστολης, ὡς δι' ἡμων, ὡς ὁτι ενεστηκεν ἡ ἡμερα του Χριστου.

ορη γαρ εκ θεμελιων συν ὑδασι σαλευθησεται. *Judith. xvi.* 15. εσαλευθη ἡ ψυχη αυτου. *xii.* 16. *Ps. xv.* 8. *Conf.* 1 *Mac. vi.* 8. *Sir. xxix.* 18. *xlviii.* 19. και διεστρεψαν τον ἑαυτων νουν. *Susan.* 9. *Conf.* 2 *Mac. vi.* 12. ενεστηκε. 1 *Mac. xii.* 44. εστηρικται η καρδια αυτου, ου φοβηθῃ. *Ps. cxi.* 8. *Heb. xiii.* 9. ενεστηκεν. 2 *Mac. iv.* 43. θροεισθαι. *Cant. v.* 4. [μη θροεισθε. *Test. XII Patr. p.* 651.] και εξεστη ἡ ψυχη αυτου—ὁν τροπον εν δρυμῳ ξυλον ὑπο πνευματος σαλευθῃ. *Esa. vii.* 2. *Conf. Deut. xiii.* 1-3. *Jer. xxiii.* 25.

3 Μητις ὑμας εξαπατησῃ κατα μηδενα τροπον· ὁτι εαν μη ελθῃ ἡ αποστασια πρωτον, και αποκαλυφθῃ ὁ ανθρωπος της ἁμαρτιας, ὁ υἱος της απωλειας,

κατ' ουδενα τροπον. 2 *Mac. xi.* 31. υἱος θανατου. 2 *Reg. xii.* 5. *Conf. Joan. xvii.* 12. τεκνα απωλειας. *Esa. lvii.* 4. ανθρωποι ἁμαρτωλοι. *Num. xxxii.* 14. εξαπατησε. *Exod. viii.* 29. ανδρες της αποστασιας. 3 *Reg. xx.* 13. *Ald. Comp.* 1 *Mac. ii.* 15. *Jer. ii.* 19. *xxxvi.* 32. *Comp.* και λογους προς τον Ὑψιστον λαλησει, και τους ἁγιους Ὑψιστου παλαιωσει. κ. τ. λ. *Dan. vii.* 25.

4 Ὁ αντικειμενος, και ὑπεραιρομενος επι παντα λεγομενον Θεον η σεβασμα, ὡστε αυτον εις τον ναον του Θεου ὡς Θεον καθισαι, αποδεικνυντα ἑαυτον ὁτι εστι Θεος.

και αντικεισομαι τοις αντικειμενοις σοι. *Exod. xxiii.* 22. 2 *Mac. x.* 26. *Gen. xxvi.* 21. *Aq.* ὑπεραιρομενος. 2 *Mac. v.* 23. σεβασμα, *numen. Conf. Draco.* 23-27. *Sap. xv.* 17. σεβασμα [*Mosen*] ελογισαντο. *xiv.* 20. ὡστε Θεος—ισοθεα φρονειν. 2 *Mac. ix.* 12. ἑκτα κορασια τα αποδεδειγμενα. *Est. ii.* 9. *Ald. Comp.* [Γαΐου δ' αποδειχθεντος αυτοκρατορος. *Philo, in Flacc. p.* 966.] ὁ δε Κυριος εν ναῳ ἁγιῳ αυτου. *Hab. ii.* 20. ενεθυμηθη βουλευσασθαι εισελθειν εις τον ναον. 3 *Mac. i.* 10. [*de Ptol. reg. Ægypt.*] και μεγαλυνθησεται επι παντα θεον, κ. τ. λ. *Dan. xi.* 36. συ δε ειπας εν τῃ διανοιᾳ σου, Εις τον ουρανον αναβησομαι, κ. τ. λ. *Esa. xiv.* 13. και ειπας, Θεος ειμι εγω, κ. τ. λ. *Ezech. xxviii.* 2. 9. *Apoc. xiii.* 6, 7. και εδοθη επι την θυσιαν ἁμαρτια, κ. τ. λ. *Dan. viii.* 12-14. *xi.* 45. φωνη Κυριου ανταποδιδοντος ανταποδοσιν τοις αντικειμενοις. *Esa. lxvi.* 6. και στομα λαλουν μεγα. *Dan. vii.* 8. θνητον οντα ισοθεα φρονειν ὑπερηφανως. 2 *Mac. ix.* 12.

5 Ου μνημονευετε, ὁτι ετι ων προς ὑμας ταυτα ελεγον ὑμιν;

Conf. Joan. xvi. 4. *Luc. xxiv.* 44.

6 Και νυν το κατεχον οιδατε, εις το αποκαλυφθηναι αυτονεν
τῳ ἑαυτου καιρῳ.

ὁ αδελφος ὑμων κατασχεσθητω εν τῃ φυλακῃ. *Ruth. i.* 13. *Gen. xxii.* 13. εκτισε γαρ εις το ειναι τα παντα. *Sap. i.* 14. καρπον αυτου δωσει εν καιρῳ αυτου. *Ps. i.* 3. *Eccles. iii.* 1. *Dan. vii.* 22.

7 Το γαρ μυστηριον ηδη ενεργειται της ανομιας, μονον ὁ κατε-
χων αρτι, ἑως εκ μεσου γενηται·

μυστηριον. *Tob. xii.* 7. *Sir. xxxii.* 22-27. ὁ κατεχων. *Conf. Gen. xxxix.* 20. *xxii.* 13. ηρται εκ του μεσου. *Esa. lvii.* 2. *Conf. Act. xx.* 29. 1 *Joan. ii.* 18. *iv.* 3. αδικιαν, αδικιαν, αδικιαν θησομαι αυτην, ουαι αυτῃ, τοιαυτη εσται ἑως οὑ ελθῃ ᾡ καθηκει, και παραδωσω αυτῳ. *Ezech. xxi.* 27. εξαρα αυτον εκ μεσου του λαου μου. *xiv.* 8. [τον Αντιπατρου βιον ουκ αν ἁμαρτοι τις ειπων Κακιας μυστηριον. *Jos. Bell. Jud. i.* 24. 1.] μυστηριον της βουλης αυτου. *Judith. ii.* 2. αρτι. *Dan. ix.* 22. *LXX. Conf. Hab. ii.* 3.

8 Και τοτε αποκαλυφθησεται ὁ ανομος, ὁν ὁ Κυριος αναλωσει
τῳ πνευματι του στοματος αὑτου, και καταργησει τῃ επι-
φανειᾳ της παρουσιας αὑτου·

και τῳ πνευματι του στοματος αυτου (Κυριου). *Ps. xxxii.* 6. *Sap. xi.* 20. και εν πνευματι δια χειλεων ανελει ασεβη. *Esa. xi.* 4. απο πνευματος οργης αυτου αφανισθησονται. *Job. iv.* 9. του ποιησαι μεγαλωσυνην και επιφανειαν του εκβαλειν σε εκ προσωπου του λαου σου. 2 *Reg. vii.* 23. και πας παρανομος αναλωθησεται. *Prov. xxiii.* 28. ποταμος πυρος εἱλκεν εμπροσθεν αυτου· χιλιαι χιλιαδες ελειτουργουν αυτῳ, και μυριαι μυριαδες παρειστηκεισαν αυτῳ. κριτηριον εκαθισε, και βιβλοι ηνεῳχθησαν. *Dan. vii.* 10. εμφανισον μοι σεαυτον. *Exod. xxxiii.* 13. τῃ του Θεου μεγαλως ευφρανθεντες επιφανειᾳ. 2 *Mac. xv.* 27. ὁτι Γοθολια ην ἡ ανομος. 2 *Par. xxiv.* 7. εξελιπεν ανομος. *Esa. xxix.* 20. *x.* 24. *xi.* 4. *Apoc. xix.* 20, 21. απεκτεινα αυτους εν ῥηματι στοματος μου· και το κριμα μου ὡς φως εξελευσεται. *Ose. vi.* 6. ὁ ανομος = ὁ ανθρωπος της ἁμαρτιας. *Sup.* 3.

9 Οὑ εστιν ἡ παρουσια κατ᾽ ενεργειαν του Σατανα εν πασῃ
δυναμει και σημειοις και τερασι ψευδους,

εν σημειοις και εν τερασι. *Deut. iv.* 34. εν τῳ Θεῳ ποιησομεν δυναμιν. *Ps. cvii.* 13. ὁτι ὁρασεις ψευδεις και μαντειας—προφητευουσιν ὑμιν. *Jer. xiv.* 14. δια την θειαν ενεργειαν. 2 *Mac. iii.* 29. *Conf. Deut. xiii.* 1. *Matt. xxiv.* 24. *Marc. xiii.* 22. 2 *Cor. iv.* 4. *Ephes. ii.* 2. *Apoc. xiii.* 13. τερασι ψευδους = ὁ Θεος της δοξης.

Ps. xxviii. 3. πνευμα σοφιας. *Exod. xxviii.* 3. *et passim.* [*Vorst. de Heb. Cap. ix.*] κινησις ηρεμιας, πλασματα μυθου, δειγματα τυπων, κ. τ. λ. *Philo. Loesner. ad loc.*]

10 Και εν παση απατη της αδικιας, εν τοις απολλυμενοις, ανθ᾽ ὡν την αγαπην της αληθειας ουκ εδεξαντο εις το σωθηναι αυτους·

ουκ εδεξαντο. *Prov. i.* 30. *Aq. Sym. Theod.* σοφος καρδια δεξεται εντολας. *x.* 8. ανθ᾽ ὡν. *Deut. viii.* 20. [*Viger. p.* 22.] *Conf. Ezech. v.* 11. 2 *Cor. ii.* 15. *iv.* 3. εκ χειλεων απατης μου. *Judith. ix.* 10.

11 Και δια τουτο πεμψει αυτοις ὁ Θεος ενεργειαν πλανης, εις το πιστευσαι αυτους τω ψευδει·

πνευμα πλανησεως. *Jer. iv.* 11. *Esa. vi.* 9, 10. *xliv.* 18. *Conf. Jer. iv.* 10. *xx.* 7. *Ezech. xiv.* 9. 3 *Reg. xxii.* 23. 2 *Par. xviii.* 22. ὁτι πεποτικεν ὑμας Κυριος πνευματι κατανυξεως, κ. τ. λ. *Esa. xxix.* 10. σποδος ἡ καρδια—ιδετε, ουκ ερειτε, ὁτι, Ψευδος εν τη δεξια μου. *xliv.* 20. την κρισιν εις εμπαιγμον επεμψας. *Sap. xii.* 25. επλανηθησαν απο γαστρος, ελαλησαν ψευδη. *Ps. lvii.* 3.

12 Ἱνα κριθωσι παντες οἱ μη πιστευσαντες τη αληθεια, αλλ᾽ ευδοκησαντες εν τη αδικια.

κρινον αυτους ὁ Θεος. *Ps. v.* 10. *x.* 6. *Esa. lxvi.* 16. *Ezech. xxxviii.* 22. *Sap. xi.* 9. εν ταις κακιαις αυτων ευφραναν κ. τ. λ. *Ose. vii.* 3. μισουντες τα καλα, και ζητουντες τα πονηρα. *Mich. iii.* 2. *Conf. Ezech. xxi.* 29. *Jer. xliv.* 10. *Esa. lxvi.* 4.

13 Ἡμεις δε οφειλομεν ευχαριστειν τω Θεω παντοτε περι ὑμων, αδελφοι ηγαπημενοι ὑπο Κυριου, ὁτι εἱλετο ὑμας ὁ Θεος απ᾽ αρχης εις σωτηριαν εν ἁγιασμω Πνευματος και πιστει αληθειας,

μεγαλως ευχαριστουμεν αυτω. 1 *Mac. i.* 11. ηγαπημενος ὑπο Κυριου. *Deut. xxxiii.* 12. *Sir. xlv.* 1. *xlvi.* 13. αγαπησιν αιωνιον ηγαπησα σε, κ. τ. λ. *Jer. xxxviii.* 3. απ᾽ αρχης το ονομα σου εφ᾽ ἡμας εστι. *Esa. lxiii.* 16. *xliii.* 13. εγενετο μοι εις σωτηριαν. *Ps. cxvii.* 14. *Job. xiii.* 16. εγω Κυριος ὁ ἁγιαζων αυτους. *Ezech. xx.* 12. *Conf.* 1 *Thess. i.* 4. *Cap. i.* 13. και Κυριος εἱλατο σε σημερον γενεσθαι σε αυτω λαον περιουσιον. *Deut. xxvi.* 18.

14 Εις ὁ εκαλεσεν ὑμας δια του ευαγγελιου ἡμων, εις περιποιησιν δοξης του Κυριου ἡμων Ιησου Χριστου.

εγω Κυριος ὁ Θεος εκαλεσα σε εν δικαιοσυνη. *Esa. xlii.* 6. και

εσονται μοι, λεγει Κυριος—εις περιποιησιν. Mal. iii. 17. εγνωρισας μοι ὁδους ζωης, κ. τ. λ. Ps. xv. 11. Conf. Ephes. i. 14.

15 Αρα ουν, αδελφοι, στηκετε, και κρατειτε τας παραδοσεις, ἁς εδιδαχθητε, ειτε δια λογου ειτε δι' επιστολης ἡμων.

στηκετε. Conf. 4 Reg. xxiii. 3. πως κραταιωσητε φοβον χριστου. (Θεου. Ald.) 2 Reg. xxiii. 3. θαρσειτε, στηκετε. Exod. xiv. 13. Alex. Comp. Conf. 2 Par. xx. 20. ειτε—ειτε. Ruth. iii. 10. alii. αρα. Conf. Ps. lvii. 11. lxxiii. 13. [το θελημα του Θεου κρατειν. Test. XII Patr. p. 665.] [παραδοσεων· διδασκαλιων. Hesych. αγραφος διδασκαλια. Id.]

16 Αυτος δε ὁ Κυριος ἡμων Ιησους Χριστος, και ὁ Θεος και πατηρ ἡμων, ὁ αγαπησας ἡμας και δους παρακλησιν αιωνιαν και ελπιδα αγαθην εν χαριτι,

ηγαπησα ὑμας, λεγει Κυριος. Mal. i. 2. αγαπησω αυτους ὁμολογως. Ose. xiv. 5. αγαπησιν αιωνιον ηγαπησα σε. Jer. xxxviii. 3. Esa. xliii. 4. και εδωκα αυτῳ παρακλησιν αληθινην. Esa. lvii. 18. ἡ ελπις αυτων αθανασιας πληρης. Sap. iii. 4. Conf. 1 Thess. iii. 11. Joan. x. 30. το δε ελεος του Κυριου απο του αιωνος, κ. τ. λ. Ps. cii. 17. και εξοισω τον λιθον της κληρονομιας, ισοτητα χαριτος χαριτα αυτης. Zach. iv. 7.

17 Παρακαλεσαι ὑμων τας καρδιας και στηριξαι ὑμας εν παντι λογῳ και εργῳ αγαθῳ.

παρακαλεσαι παντας τους πενθουντας. Esa. lxi. 2. και πνευματι ἡγεμονικῳ στηριξον με. Ps. l. 12. εν εργῳ και λογῳ. Sir. iii. 8. Conf. 1 Thess. iii. 13. 1 Pet. v. 10. Num. vi. 24. Deut. xxxiii. 26.

ΚΕΦ. γ. 3.

ΤΟ λοιπον, προσευχεσθε, αδελφοι, περι ἡμων, ἱνα ὁ λογος του Κυριου τρεχῃ και δοξαζηται καθως και προς ὑμας,

εις το λοιπον. 2 Mac. xi. 19. και νυν ὡδε εσμεν προσευχομενοι περι ὑμων. i. 6. ἑως ταχους δραμειται ὁ λογος αυτου. Ps. cxlvii. 15. Conf. Act. xiii. 48. 2 Tim. ii. 9. Matt. ix. 38. Ephes. vi. 19. Col. iv. 3. 1 Thess. v. 25. εμεγαλυνας επι παν το ονομα το ἁγιον σου. Ps. cxxxvii. 2. οὑτος μου Θεος, και δοξασω αυτον. Exod. xv. 2. Sir. xxxii. 8. καθως και. Ephes. v. 2.

2 Και ἱνα ῥυσθωμεν απο των ατοπων και πονηρων ανθρωπων· ου γαρ παντων ἡ πιστις.

σωσον με εκ παντων των διωκοντων με, και ῥυσαι με. Ps. vii. 1.

απο ανδρος αδικου ῥυσῃ με. xvii. 48. [*ατοπον· εκθεσμον, πονηρον. Hesych.*] *ειδον τους αροτριωντας τα ατοπα. Job. iv.* 8. *ατοπα ποιησειν. xxxiv.* 12. *Conf. Joan. xvii.* 15. 2 *Cor. i.* 10. *Ps. lxxxi.* 4. *υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. Deut. xxxii.* 20. 28.

3 Πιστος δε εστιν ὁ Κυριος, ὁς στηριξει ὑμας και φυλαξει απο του πονηρου.

ὁτι πιστος εστιν ὁ ἁγιος Ισραηλ. *Esa. xlix.* 7. *ὁ αγγελος ὁ ῥυομενος με εκ παντων των κακων. Gen. xlviii.* 16. Κυριος *φυλαξαι σε απο παντος κακου, κ. τ. λ. Ps. cxx.* 7, 8. *εστηρικται ἡ καρδια αυτου, ου φοβηθῃ. cxi.* 8. *Conf.* 1 *Thess. v.* 24.

4 Πεποιθαμεν δε εν Κυριῳ εφ᾽ ὑμας, ὁτι ἁ παραγγελλομεν ὑμιν, και ποιειτε και ποιησετε.

οἱ πεποιθοτες επι Κυριον. *Ps. cxxv.* 1. *Susan.* 35. 4 *Reg. xviii.* 21. *Conf.* 2 *Cor. vii.* 16. *Gal. v.* 10. 1 *Thess. iv.* 10.

5 Ὁ δε Κυριος κατευθυναι ὑμων τας καρδιας εις την αγαπην του Θεου, και εις την ὑπομονην του Χριστου.

και κατευθυνεις δικαιον, εταζων καρδιας. Ps. vii. 9. *και κατευθυνε εννοιας σης καρδιας. Prov. xxiii.* 19. *κατευθυνθητε εν ὁδῳ συνεσεως. ix.* 6. *Aq. ουαι ὑμιν τοις απολωλεκοσι την ὑπομονην. Sir. ii.* 14. *και νυν τις ἡ ὑπομονη μου; ουχι ὁ* Κυριος; *Ps. xxxviii.* 7. *Sap. iii.* 9. *Conf. Dan. xii.* 13. 1 *Par. xxix.* 18. 2 *Par. xii.* 14. *την σωτηριαν περιμενων* Κυριου. *Gen. xlix.* 18. *γενοιτο* Κυριος *ὁ* Θεος *ἡμων μεθ᾽ ἡμων κ. τ. λ.* 3 *Reg. viii.* 56-58. *και περικαθαριει* Κυριος *την καρδιαν σου—αγαπαν* Κυριον, *κ. τ. λ. Deut. xxx.* 6. *καρδια ανδρος λογιζεσθω δικαια, ἱνα ὑπο του* Θεου *διορθωθῃ τα διαβηματα αυτου. Prov. xvi.* 1. *ὑπομενον με, λεγει* Κυριος, *εις ἡμεραν αναστασεως μου. Sophon. iii.* 8. *κατευθυναι. Conf.* 1 *Thess. iii.* 11.

6 Παραγγελλομεν δε ὑμιν, αδελφοι, εν ονοματι του Κυριου ἡμων Ιησου Χριστου, στελλεσθαι ὑμας απο παντος αδελφου ατακτως περιπατουντος, και μη κατα την παραδοσιν ἡν παρελαβε παρ᾽ ἡμων.

και παρηγγειλε Σαουλ *παντι τῳ λαῳ καταβαινειν εις πολεμον.* 1 *Reg. xxiii.* 8. *και απο προσωπου ονοματος μου στελλεσθαι αυτον. Mal. ii.* 5. [*στελλεται· φοβειται. Hesych.*] [*και τῃ των πρεσβυτερων πειθομενος συμβουλιᾳ και παραδοσει. Jos. Ant. x.* 4. 1.] *μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου.* 4 *Reg. xx.* 3. *ατακτως αγει.* 4 *Reg. ix.* 20. *εν ονοματι του* Κυριου. *Conf. Deut. xviii.* 20, 22. *Jos. ix.* 9.

7 Αυτοι γαρ οιδατε πως δει μιμεισθαι ἡμας· ὁτι ουκ ητακτη-
σαμεν εν ὑμιν,

[μηδεν ατακτον ποιειτε. *Test. XII Patr. p.* 664. μιμειται Κυριον. *p.* 692.] *Sap. xv.* 9. *Conf. Esa. xxxviii.* 3. *Num. xvi.* 15.

8 Ουδε δωρεαν αρτον εφαγομεν παρα τινος, αλλ' εν κοπῳ και
μοχθῳ, νυκτα και ἡμεραν εργαζομενοι, προς το μη επιβαρησαι
τινα ὑμων·

ου δουλευσεις μοι δωρεαν. *Gen. xxix.* 15. = προς το μακρυναι ὑμας. *Jer. xxxiv.* 10. εν ἱδρωτι του προσωπου σου φαγῃ τον αρτον σου. *Gen. iii.* 19. νυκτος και ἡμερας. *Esa. xxxiv.* 10. [ουδε γαρ εσεσθαι βαρυς—και δαπαναις ιδιαις χρησαμενος. *Jos. Ant. i.* 16. 2.]

9 Ουχ ὁτι ουκ εχομεν εξουσιαν, αλλ' ἱνα ἑαυτους τυπον δω-
μεν ὑμιν εις το μιμεισθαι ἡμας.

εξουσιαν εχειν. 2 *Mac. vii.* 16. *x.* 13. κατα τον τυπον τον δεδειγμενον σοι. *Exod. xxv.* 40. ουχ ὁτι. *Conf. Joan. vi.* 46. *vii.* 22.

10 Και γαρ ὁτε ημεν προς ὑμας, τουτο παρηγγελλομεν ὑμιν,
ὁτι ει τις ου θελει εργαζεσθαι, μηδε εσθιετω.

και γαρ. *Ps. cxxxviii.* 10. ονειδιζομενος οκνηρος ουκ αισχυνεται, ὡσαυτως και ὁ δανειζομενος σιτον εν αμητῳ. *Prov. xx.* 4. *xxi.* 25.

11 Ακουομεν γαρ τινας περιπατουντας εν ὑμιν ατακτως, μηδεν
εργαζομενους, αλλα περιεργαζομενους.

εν τοις περισσοις των εργων σου μη περιεργαζου. *Sir. iii.* 23. [περιεργασεται· πραξει περισσα· *Hesych.*] [πλημμελλη και ατακτον ποιειται τον δρομον. *Philo, p.* 199. ὁ δε ἡλιθιος τα μη καθ' ἑαυτον προσπεριειργαζετο. *p.* 1002. *Conf. Loesner. ad loc.*] περιειργασαντο πολυπραγμοσυνην. *Eccles. vii.* 30. *Sym.* κρεισσων εργαζομενος εν πασιν, η περιπατων, η δοξαζομενος και απορων αρτων. *Sir. x.* 27. *Conf.* 1 *Tim. v.* 13. [*Winer. p.* 394.]

12 Τοις δε τοιουτοις παραγγελλομεν και παρακαλουμεν δια
του Κυριου ἡμων Ιησου Χριστου, ἱνα μετα ἡσυχιας εργαζο-
μενοι, τον ἑαυτων αρτον εσθιωσιν.

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. μεθ' ἡσυχιας. *Sir. xxviii.* 17. εν ἡσυχιᾳ. 1 *Mac. ix.* 58. *Conf. Ephes. iv.* 28. 1 *Thess. iv.* 11. Ισσαχαρ το καλον επεθυμησεν, αναπαυομενος ανα μεσον των κληρων. *Gen. xlix.* 14. κρεισσων ψωμος μεθ' ἡδονης εν ειρηνῃ, κ. τ. λ. *Prov. xvii.* 1. *Eccles. iv.* 6. *xi.* 1.

13 Ὑμεις δε, αδελφοι, μη εκκακησητε καλοποιουντες.

καλοποιησαι η κακοποιησαι. Lev. v. 4. *Ald. Conf.* θαρσει Σιων, *μη παρεισθωσαν αἱ χειρες σου. Sophon. iii.* 16. *Esa. xl.* 31. [*εκκακουμεν· αμελουμεν, ακηδιωμεν. Hesych.*] *Conf. Ps. xxxvi.* 37-40.

14 Ει δε τις ουχ ὑπακουει τῳ λογῳ ἡμων δια της επιστολης,
τουτον σημειουσθε· και μη συναναμιγνυσθε αυτῳ, ἱνα εντραπῃ·

ει τις σοι ὑπακουσεται. Job. v. 1. *επειδη εκαλουν, και ουχ ὑπηκουσατε. Prov. i.* 24. Εφραϊμ *εν τοις λαοις αυτου συνεμιγνυτο. Ose. vii.* 8. *αισχυνθειησαν και εντραπειησαν ἁμα. Ps. xxxiv.* 26. *εντραπητε εκ των ὁδων ὑμων. Ezech. xxxvi.* 32. *και ενετραπη ἡ καρδια σου.* 2 *Par. xxxiv.* 27. 1 *Esd. i.* 47. *και εγενηθησαν εν σημειῳ. Num. xxvi.* 10, 11. *Ps. c.* 7. *Esd. ix.* 6. [*δυσιν μεν μαρτυριαις σημειωσαμενος. Philo. p.* 560.] *και εξαρειτε τον πονηρον εξ ὑμων αυτων. Deut. xvii.* 7. *Alex. Ald.*

15 Και μη ὡς εχθρον ἡγεισθε, αλλα νουθετειτε ὡς αδελφον.

ἡγησατο δε με ὡσπερ εχθρον. Job. xix. 11. *τουτους μεν γαρ ὡς πατηρ νουθετων εδοκιμασας. Sap. xi.* 10. *αδελφε μου* Ιωναθαν. 2 *Reg. i.* 26. *ουαι αδελφε.* 3 *Reg. xiii.* 30. *ου μισησεις τον αδελφον σου τῃ διανοιᾳ σου. Lev. xix.* 17.

16 Αυτος δε ὁ Κυριος της ειρηνης δῳη ὑμιν την ειρηνην δια παν-
τος εν παντι τροπῳ· ὁ Κυριος μετα παντων ὑμων.

αξω γαρ ειρηνην επι τους αρχοντας. Esa. ix. 6. *αρχων ειρηνης. Alex. Comp. και δῳη ὑμιν καρδιαν εις το σεβεσθαι αυτον.* 2 *Mac. i.* 3. *παντι τροπῳ.* 1 *Mac. xiv.* 35. *επαραι* Κυριος *το προσωπον αυτου επι σε, και δῳη σοι ειρηνην. Num. vi.* 26. *πορευου, και εσται* Κυριος *μετα σου.* 1 *Reg. xvii.* 37. *xx.* 13. *ὁ ανθρωπος της ειρηνης μου. Ps. xl.* 9. Κυριος *φυλαξει την εισοδον σου, και την εξοδον σου, απο του νυν και ἑως του αιωνος. cxx.* 8.


17 Ὁ ασπασμος τῃ εμῃ χειρι Παυλου, ὁ εστι σημειον εν πασῃ
επιστολῃ· οὑτω γραφω·

γεγραφα δε προς ὑμας τα ὑπογεγραμμενα. 2 *Mac. ix.* 18. 25. 1 *Mac. viii.* 22. *Epist. Jer.* 1. [*ασπασμος. Act. Thom.* § 11.]

18 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μετα παντων
ὑμων. αμην.

Κυριος *μεθ᾽ ὑμων. Ruth. ii.* 4. Αμην. *Neh. v.* 13. *viii.* 6.

[Προς Θεσσαλονικεις *δευτερα εγραφη απο* Αθηνων.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ *αποστολος Ιησου Χριστου, κατ᾽ επιταγην Θεου σωτηρος ἡμων, και Κυριου Ιησου Χριστου της ελπιδος ἡμων,*

Conf. Rom. i. 1. *Act. ix.* 15. *Gal. i.* 1. *συ ει ὁ Θεος, ὁ σωτηρ μου. Ps. xxiv.* 5. *Ose. xiii.* 4. *Κυριος φωτισμος μου, και σωτηρ μου. Ps. xxvi.* 1. *lxiv.* 5. *lxxviii.* 9. *εγω ὁ Θεος, και ουκ εστι παρεξ εμου σωζων. Esa. xliii.* 11. *Κυριε, ἡ ελπις μου. Ps. lxxi.* 5. *κατα την επιταγην του βασιλεως.* 1 *Esd. i.* 18.

2 *Τιμοθεῳ γνησιῳ τεκνῳ εν πιστει· χαρις, ελεος, ειρηνη απο Θεου πατρος ἡμων και Χριστου Ιησου του Κυριου ἡμων.*

Τιμοθεῳ. 2 *Mac. xii.* 18. 1 *Mac. v.* 11. *αδελφος γνησιος. Sir. vii.* 18. *υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. Deut. xxxii.* 20. *ου κεκληκα σε, τεκνον, αναστρεφε, και καθευδε.* 1 *Reg. iii.* 6. 16. *Ald. Comp. xxiv.* 17. *xxvi.* 17. *ελεος. Exod. xx.* 6. *Job. x.* 12. *Ps. cxliii.* 2. *ευλογησαι σε Κυριος, και φυλαξαι σε. Conf. Num. vi.* 24-27. *Act. xvi.* 1. 1 *Cor. iv.* 17. 1 *Thess. iii.* 2.

3 *Καθως παρεκαλεσα σε προσμειναι εν Εφεσῳ, πορευομενος εις Μακεδονιαν, ἱνα παραγγειλῃς τισι μη ἑτεροδιδασκαλειν,*

Conf. Act. xx. 13. *Gal. i.* 6. 8. *Col. ii.* 4. 2 *Tim. ii.* 14. [*ἑτερογνωμοσυνη. Jos. Ant. x.* 11.] [*ἑτεροδιδασκ. Ignat. p.* 12.]

4 *Μηδε προσεχειν μυθοις και γενεαλογιαις απεραντοις, αἱτινες ζητησεις παρεχουσι μαλλον η οικονομιαν Θεου την εν πιστει·*

τοις δε εμοις ελεγχοις ου προσειχετε. Prov. i. 25. *Ald. Comp. εν τῳ θεληματι σου παρεσχου τῳ καλλει μου δυναμιν. Ps. xxix.* 7. *οἱ εκζητηται της συνεσεως. Bar. iii.* 23. *Conf. cap. iv.* 7. 2 *Tim.*

ii. 16. *Tit. i.* 14. διδασκοντες ενταλματα ανθρωπων και διδασκαλιας. *Esa. xxix.* 13. [μυθος· λογος ψευδος, εικονιζων την αληθειαν. *Suid.*] και αφαιρεθηση εκ της οικονομιας σου και εκ της στασεως σου. *Esa. xxii.* 19. *Conf. Luc. xvi.* 2. 1 *Cor. ix.* 17. αιτια παρεχουσα την βασανον. *Sap. xvii.* 13. [απεραντον· μεγαν, ατελειωτον. *Hesych.*] μαλλον η. *Ps. lxxxii.* 10. εν πιστει ελπιδος. *Sir. xlix.* 11. *i.* 26.

5 Το δε τελος της παραγγελιας εστιν αγαπη εκ καθαρας
καρδιας και συνειδησεως αγαθης και πιστεως ανυποκριτου·

τελος λογου, το παν ακουε. *Eccles. xii.* 13. καρδιαν καθαραν κτισον εν εμοι ὁ Θεος. *Ps. l.* 10. *Gen. xx.* 5, 6. εν συνειδησει σου. *Eccles. x.* 20. εμνησθην—αγαπης τελειωσεως σου. *Jer. ii.* 2. εξετεινα αυτους εν δεσμοις αγαπησεως μου. *Ose. xi.* 4. *Conf. Rom. xiii.* 8. *Gal. v.* 15. 2 *Tim. i.* 3. ενδυσεται θωρακα δικαιοσυνην, και περιθησεται κορυθα κρισιν ανυποκριτον. *Sap. v.* 18. αγαπη δε τηρησις νομων αυτης, κ. τ. λ. *vi.* 18.

6 Ὡν τινες αστοχησαντες εξετραπησαν εις ματαιολογιαν,

μη αστοχει γυναικος σοφης και αγαθης. *Sir. vii.* 19. μη αστοχει διηγηματος γεροντων. *viii.* 9. ματαιον λογον. *Prov. xxx.* 8. *Conf. cap. vi.* 4. 20. 2 *Tim. ii.* 18. *Tit. i.* 10. [εις αδικους και ασεβεις εξετραπη πραξεις. *Jos. Ant. viii.* 10. 2.]

7 Θελοντες ειναι νομοδιδασκαλοι, μη νοουντες μητε ἁ λεγουσι,
μητε περι τινων διαβεβαιουνται·

των θελοντων φοβεισθαι το ονομα σου. *Neh. i.* 11. πως ερειτε ὁτι, Σοφοι εσμεν ἡμεις—ὁτι τον νομον Κυριου απεδοκιμασαν. σοφια τις εστιν εν αυτοις; *Jer. viii.* 8, 9. [ἁ μητ' ειδον, μητ' ηκουσαν, μητ' ισασι, παγιως ειδεναι και σφοδρα κατειληφεναι διαβεβαιουμενοι. *Philo, de Decal. p.* 589. *Edit. Col.*] και μετ' αυτων βιβλος νομου Κυριου—και εδιδασκον τον λαον. 2 *Par. xvii.* 9.

8 Οιδαμεν δε ὁτι καλος ὁ νομος, εαν τις αυτῳ νομιμως χρηται,

χρησθαι τους Ιουδαιους—τοις νομοις. 2 *Mac. xi.* 31. *Conf. Rom. vii.* 12. *Deut. iv.* 6-8. *Neh. ix.* 13. νομον γαρ εις βοηθειαν εδωκεν, κ.τ.λ. *Esa. viii.* 20. ὁ νομος του Κυριου αμωμος, επιστρεφων ψυχας, κ. τ. λ. *Ps. xviii.* 7-10. *cxviii.* 97-100. την δοξαν νομιμως φυλαξαντες. 4 *Mac.* 6. και ουκ ενετειλατο ουδενι ασεβειν, και ουκ εδωκεν ανεσιν ουδενι ἁμαρτανειν. *Sir. xv.* 20. Κυριος ουχ ὑστερησει τα αγαθα τοις πορευομενοις εν ακακιᾳ. *Ps. lxxxiii.* 11.

9 Ειδως τουτο, ὁτι δικαιῳ νομος ου κειται, ανομοις δε και

ανυποτακτοις, ασεβεσι και ἁμαρτωλοις, ανοσιοις και βεβηλοις, πατραλῳαις και μητραλῳαις, ανδροφονοις,

τα κειμηνα τοις Ιουδαιοις φιλανθρωπα βασιλικα. 2 Mac. iv. 11. αγων κειμενος τινι. xv. 18. οἱ ανομοι και ἁμαρτωλοι. Esa. i. 28. ὁ ασεβης και ἁμαρτωλος. Prov. xi. 31. συ δε ω ανοσιε. 2 Mac. vii. 34. viii. 32. ανδροφονος. ix. 28. ανυποτακτοις. 1 Reg. ii. 12. Sym. αναμεσον ἁγιου και βεβηλου. Ezech. xxii. 26. xliv. 23. Conf. Gal. iii. 19. v. 23. Rom. iii. 20. xiii. 3. Num. xv. 30. Exod. xxii. 28. Deut. xxi. 18. [πατραλοιας οντας. Jos. Ant. xvi. 11. 1.] ειδως pro ειδοτες. Conf. Gal. vi. 1. [μητραλοιας· ὁ τυπτων την μητερα αυτου. πατραλοιας· ὁ τον πατερα ατιμαζων. Hesych.] [παρ' ὁ και νομος κειται. Philo. p. 158. τους κειμενους νομους. de Abrah. p. 350.]

10 Πορνοις, αρσενοκοιταις, ανδραποδισταις, ψευσταις, επιορκοις, και ει τι ἑτερον τῃ ὑγιαινουσῃ διδασκαλιᾳ αντικειται,

πορνοις. Deut. xxii. 25. xxiii. 17. Lev. xix. 29. Conf. Sir. xxiii. 16, 17. αρσενοκοιταις. Lev. xviii. 22. ανδραποδισταις. Exod. xxi. 17. Deut. xxiv. 7. ψευσταις. Lev. vi. 2. Prov. xix. 22. ανδρες ψευσται. Sir. xv. 8. εποιρκοις. Exod. xx. 7. 1 Esd. i. 48. Sap. xiv. 28. [επιορκος· ὁρκον μη φροντιζων. Hesych.] Conf. Matt. v. 33. διδασκαλια ματαιων. Jer. x. 8. Comp. Theodor. και ὁ διαβολος εἱστηκει—του αντικεισθαι αυτῳ. Zach. iii. 1. κρινε παντας ὑγιως. Prov. xxxi. 8. [τους ὑγιαινοντας λογους. Philo de Abrah. p. 32.] Conf. 2 Tim. i. 13. iv. 3. Tit. i. 9. ii. 1. Mal. iii. 5. Ose. iv. 1, 2. [αρσενοκοιταις. Conf. Jos. c. Ap. ii. 24. 37.]

11 Κατα το ευαγγελιον της δοξης του μακαριου Θεου, ὁ επιστευθην εγω,

επιστευθην. Rom. iii. 2. Gal. ii. 7. 1 Thess. ii. 4. 1 Tim. vi. 15. 2 Cor. iv. 6. [πιστευεται την τροφην του παιδιου προς το παν. Jos. Ant. ii. 9. 5. πυλη, ἡν αυτος επιστευετο. Bell. Jud. v. 13. 7.] ὡς ὡρα επι των ορεων, ὡς οἱ ποδες ευαγγελιζομενου, κ. τ. λ. Esa. lii. 7. [περι Θεου του αγεννητου, και αφθαρτου, και ατρεπτου, και ἁγιου, και μονου μακαριου. Philo. de Sacrific. Cain. et Abel. p. 147.]

12 Και χαριν εχω τῳ ενδυναμωσαντι με Χριστῳ Ιησου τῳ Κυριῳ ἡμων, ὁτι πιστον με ἡγησατο, θεμενος εις διακονιαν,

και πνευμα Θεου ενεδυναμωσε. Jud. vi. 36. Alex. Ald. Comp. ὁ ισχυρος ὁ κραταιων με δυναμει. 2 Reg. xxii. 33. Ps. xix. 2. ἡγησατο με ὡσπερ εχθρον. Job. xix. 11. προφητην εις εθνη τεθεικα

σε. *Jer. i.* 5. πολλας τῳ Ονιᾳ τῳ αρχιερει χαριτας εχε. 2 *Mac. iii.* 33. *Conf. Act. ix.* 22. 1 *Cor. vii.* 25. *Ps. lxvii.* 28.

13 Τον προτερον οντα βλασφημον και διωκτην και ὑβριστην· αλλ᾽ ηλεηθεν, ὁτι αγνοων εποιησα εν απιστιᾳ·

βλασφημον. *Conf. Sap. i.* 6. 1 *Mac. ii.* 6. 2 *Mac. ix.* 28. ειπατε τῳ αδελφῳ ὑμων, Λαος μου, και τῃ αδελφῃ ὑμων, Ηλεημενη. *Ose. ii.* 1. ουδε μη ελεησητε αυτους. *Deut. vii.* 2. *Esa. ix.* 19. *Conf. Joan. ix.* 39-41. *Act. iii.* 17. 1 *Cor. xv.* 9. *Gal. i.* 13. *Phil. iii.* 6. *Luc. xxiii.* 34. και αγαπησω την ουκ ηγαπημενην. *Ose. ii.* 23. ψυχη εαν ἁμαρτῃ εναντι Κυριου ακουσιως, κ. τ. λ. *Lev. iv.* 2. *Num. xv.* 30. δεομαι κυριε, μη συνεπιθῃ ἡμιν ἁμαρτιαν, διοτι ηγνοησαμεν καθ᾽ ὁτι ἡμαρτομεν, κ. τ. λ. *Num. xii.* 11. *Conf. Gen. xx.* 6. *Esa. liv.* 7. *Ps. xxiv.* 7. *Tob. iii.* 3.

14 Ὑπερεπλεονασε δε ἡ χαρις του Κυριου ἡμων μετα πιστεως και αγαπης της εν Χριστῳ Ιησου·

ὑπερπερισσευσσεν ἡ χαρις. *Rom. v.* 20. [ὑπερπλεονασε. *Psalt. Sal. v.* 19.] Κυριος ὁ Θεος οικτιρμων, και ελεημων, κ. τ. λ. *Exod. xxxiv.* 6. *Esa. lv.* 6, 7. *Jer. xxxviii.* 11. *Ezech. xvi.* 8.

15 Πιστος ὁ λογος και πασης αποδοχης αξιος, ὁτι Χριστος Ιησους ηλθεν εις τον κοσμον ἁμαρτωλους σωσαι, ὡν πρωτος ειμι εγω·

ἡ μαρτυρια Κυριου πιστη. *Ps. xviii.* 7. *lxxxviii.* 28. *Sir. xxxiv.* 23. οἱ πρωτοι του λαου. 1 *Reg. ix.* 22. 2 *Par. xxvi.* 20. εισηλθεν εις κοσμον. *Sap. xiv.* 14. *Conf. Matt. ix.* 13. *Marc. ii.* 17. 1 *Joan. iii.* 5. αφρονεστατος γαρ ειμι ἁπαντων ανθρωπων, και φρονησις ανθρωπων ουκ εστιν εν εμοι. Θεος δεδιδαχε με σοφιαν, κ. τ. λ. *Prov. xxx.* 2, 3. ου βουλομαι τον θανατον του ἁμαρτωλου, κ. τ. λ. *Ezech. xxxiii.* 11. 19. *Alex. Ald.* διο εφαυλισα εμαυτον, και ετακην· ἡγημαι δε εμαυτον γην και σποδον. *Job. xlii.* 6. διδαξω ανομους τας ὁδους σου, και ασεβεις επι σε επιστρεψουσι. *Ps. l.* 13. [δικαιοι μεν εισι κακεινοι τυγχανειν αποδοχης. *Jos. Ant. vi.* 14. 4. επεμψε προς αυτους, επαινων και αποδεχομενος αυτων το εργον. *vii.* 1. 2.] αληθινος ὁ λογος. 3 *Reg. x.* 6. 2 *Par. ix.* 5.

16 Αλλα δια τουτο ηλεηθην, ἱνα εν εμοι πρωτῳ ενδειξηται Ιησους Χριστος την πασαν μακροθυμιαν, προς ὑποτυπωσιν των μελλοντων πιστευειν επ᾽ αυτῳ εις ζωην αιωνιον·

σωζειν εις ζωην αιωνιον. 4 *Mac.* 15. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. ἱνα ενδειξωμαι εν σοι την ισχυν μου. *Exod. ix.* 16. εαν ωσιν

αἱ ἁμαρτιαι ὑμων ὡς φοινικουν, κ. τ. λ. *Esa. i.* 18. [προς ὑποτυπωσιν· προς σημειον. *Hesych.*] ὑποδειγμα μετανοιας ταις γενεαις. *Sir. xliv.* 16.

17 Τῳ δε βασιλει των αιωνων, αφθαρτῳ, αορατῳ, μονῳ σοφῳ Θεῳ, τιμη και δοξα εις τους αιωνας των αιωνων. αμην.

Κυριος βασιλευς εις τον αιωνα, και εις τον αιωνα του αιωνος. *Ps. ix.* 40. *Alex. Comp. Conf. Esa. xliv.* 6. *lxv.* 16. 4 *Mac. sub. fin.* ὑψωσατε τον βασιλεα των αιωνων. *Tob. xiii.* 6. 10. ενεγκατε τῳ Κυριῳ δοξαν και τιμην. *Ps. xxviii.* 1. *xxiii.* 10. *xcv.* 7. *Job. xxxvii.* 22. το γαρ αφθαρτον σου πνευμα εστιν εν πασι. *Sap. xii.* 1. σοι Κυριε ἡ μεγαλωσυνη, και ἡ δυναμις, κ.τ.λ. 1 *Par. xxix.* 11. *Neh. ix.* 5. ἡ βασιλεια σου βασιλεια παντων των αιωνων, και ἡ δεσποτεια σου εν παση γενεᾳ και γενεᾳ. *Ps. cxliv.* 13. και ευλογειτω πασα σαρξ το ονομα το ἁγιον αυτου, εις τον αιωνα, και εις τον αιωνα του αιωνος. *cxliv.* 21. δοξαν διδους τῳ πανσοφῳ Θεῳ. 4 *Mac.* 1. Αμην. *Neh. ix.* 6. 1 *Par. xvi.* 36.

18 Ταυτην την παραγγελιαν παρατιθεμαι σοι, τεκνον Τιμοθεε, κατα τας προαγουσας επι σε προφητειας, ἱνα στρατευῃ εν αυταις την καλην στρατειαν,

εις χειρας σου παραθησομαι το πνευμα μου. *Ps. xxx.* 5. *Tob. iv.* 1. διαδοχος—εν προφητειαις. *Sir. xlvi.* 1. ἱεραν και ευγενη στρατειαν στρατευεσθαι ὑπερ της ευσεβειας. 4 *Mac.* 9. αγωνιζου τον καλον αγωνα. *Cap. vi.* 12. 2 *Tim. iv.* 7. *Phil. ii.* 25. *Philem.* 1. και νυν ἡ εντολη αὑτη προς ὑμας οἱ ἱερεις, κ. τ. λ. *Mal. ii.*

19 Εχων πιστιν και αγαθην συνειδησιν, ἡν τινες απωσαμενοι περι την πιστιν εναυαγησαν·

και αυτοι εκ της χειρος σου απωσθησαν. *Ps. lxxxvii.* 5. την ὁδον εχειν. *Job. xvii.* 9. και οὑτος μαρτυς η ἑωρακεν, η συνοιδε. *Lev. v.* 1. *Job. xxvii.* 6. συνεχομενη τῃ συνειδησει. *Sap. xvii.* 11. *Eccles. x.* 20. [τινας ισμεν—ναυαγησαντας, η περι γλωτταν αθυρον, η περι γαστερα απληστον, κ. τ. λ. *Philo, de Somn. p.* 1128.]

20 Ὡν εστιν Ὑμεναιος και Αλεξανδρος, οὑς παρεδωκα τῳ Σατανᾳ, ἱνα παιδευθωσι μη βλασφημειν.

παιδευθητε παντες οἱ κρινοντες την γην. *Ps. ii.* 10. *Conf. Ezech. xxiii.* 48. ειπε δε ὁ Κυριος τῳ διαβολῳ, Ιδου παραδιδωμι σοι αυτον. *Job. ii.* 6. *Conf.* 1 *Cor. v.* 5. 2 *Tim. ii.* 17. *iv.* 14. 2 *Cor. xiii.* 7. 10.

ΚΕΦ. β. 2.

ΠΑΡΑΚΑΛΩ ουν πρωτον παντων ποιεισθαι δεησεις, προσευχας, εντευξεις, ευχαριστιας, ὑπερ παντων ανθρωπων,

παρακαλω ουν ὑμας και αξιω. 2 Mac. ix. 26. [ἡ δε πηγη νους εστι, δι' οὑ τας προς τον Οντα εντευξεις και εκβοησεις—αναφθεγγομεθα. Philo. p. 172.] και ὑπερ θανατου ῥυσεως εδεηθην. Sir. li. 13. [μη παραλιπειν το ὑπερ των ἡγεμονων εθος. Jos. Bell. ii. 17. 1.] Conf. 1 Mac. xii. 11. 1 Pet. ii. 13, ὁ Θεος οικτειρησαι ἡμας—του γνωναι εν τῃ γῃ την ὁδον σου, εν πασιν εθνεσι το σωτηριον σου. Ps. lxvi. 1, 2. lxxi. 19. Conf. 3 Reg. viii. 41-43.

2 Ὑπερ βασιλεων και παντων των εν ὑπεροχῃ οντων, ἱνα ηρεμον και ἡσυχιον βιον διαγωμεν εν πασῃ ευσεβειᾳ και σεμνοτητι.

Κυριε σωσον τον βασιλεα. Ps. xix. 9. και προσευχωνται εις ζωην του βασιλεως και υἱων αυτου. Esd. vi. 10. Neh. i. 11. Bar. i. 11. ανδρος εν ὑπεροχῃ κειμενου. 2 Mac. iii. 11. οἱ εν ὑπεροχῃ οντες. v. 41. Conf. Esa. xxvi. 12. αυτοθι το σαββατον διηγαγον. 2 Mac. xii. 38. [προς τας ὑπεροχας κακοηθεις τυγχανουσιν ηδη και βασκανοι. Jos. Ant. vi. 4. 3.] Conf. Jer. xxxvi. 7. Ps. xx. 1-4. lxxi. 1, 2.

3 Τουτο γαρ καλον και αποδεκτον ενωπιον του σωτηρος ἡμων Θεου,

και γαρ αυτος Θεος μου και σωτηρ μου. Ps. lxi. 2. εγω ὁ Θεος, και ουκ εστι παρεξ εμου σωζων. Esa. xliii. 11. βοηθησον ἡμιν ὁ Θεος ὁ σωτηρ ἡμων. lxxviii. 9. [οὑτω γαρ και την βαπτισιν αποδεκτην αυτῳ φανεισθαι. Jos. Ant. xviii. 6. 2.] Conf. cap. i. 1. 2 Tim. i. 10. Tit. i. 3. πονηρον ενωπιον Κυριου. Deut. iv. 25.

4 Ὁς παντας ανθρωπους θελει σωθηναι και εις επιγνωσιν αληθειας ελθειν.

ου θελω τον θανατον του αποθνησκοντος, κ. τ. λ. Ezech. xviii. 32. και επιγνωσιν Θεου εὑρησεις. Prov. ii. 5. Ose. vi. 7. Conf. 2 Pet. iii. 9. 1 Joan. ii. 2. iv. 14. ου βουλομαι τον θανατον του ασεβους, κ. τ. λ. Ezech. xxxiii. 11. προς επιγνωσιν αληθειας. Philo. p. 876.] ὁτι ὁ Θεος θανατον ουκ εποιησεν, ουδε τερπεται επ' απωλειᾳ ζωντων, κ. τ. λ. Sap. i. 13, 14. ὁτι εμπλησθησεται ἡ γη του γνωναι την δοξαν Κυριου κ. τ. λ. Hab. ii. 14. Sir. xviii. 13.

5 Εἱς γαρ Θεος, εἱς και μεσιτης Θεου και ανθρωπων, ανθρωπος Χριστος Ιησους,

Κυριος ὁ Θεος ἡμων Κυριος εἱς εστι. *Deut. vi.* 4. *Esa. xliv.* 6. *xlv.* 21. ειθε ην ὁ μεσιτης ἡμων, και ελεγχων, και διακουων αναμεσον αμφοτερων. *Job. ix.* 33. ὁ μεσαζων. 1 *Reg. xvii.* 3. *Aq.* [εμεσιτευσεν προς τον βασιλεα. *Jos. Ant. vii.* 8. 5.] [τῳ δε αρχαγγελῳ και πρεσβυτατῳ Λογῳ δωρεαν εξαιρετον εδωκεν ὁ τα ὁλα γεννησας πατηρ, ἱνα μεθοριος στας, κ. τ. λ. *Philo. Rer. div. hæres. p.* 397.] και επεβλεψα, και ουκ ην βοηθος. κ. τ. λ. *Esa. lxiii.* 5. και ανθρωπος εγενηθη εν αυτῃ. *Ps. lxxxvi.* 5. ιδου ανηρ, Ανατολη. *Zach. vi.* 12. ανδρα πολιτην μου. *xiii.* 7. ὁ ανθρωπος Μωυσης πραΰς. *Num. xii.* 3.

6 Ὁ δους ἑαυτον αντιλυτρον ὑπερ παντων· το μαρτυριον καιροις ιδιοις,

εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. 1 *Mac. ii.* 50. *Conf. Joan. vi.* 51. ανθεξεται του μη πεσειν εις θανατον. *Job. xxxiii.* 24. ὁτι εγω Κυριος ὁ Θεος σου ὁ ἁγιος Ισραηλ, ὁ σωζων σε· εποιησα αλλαγμα σου Αιγυπτον, και Αιθιοπιαν, και Σοηνην ὑπερ σου. *Esa. xliii.* 3. και ου ληψεσθε λυτρα περι ψυχης παρα του φονευσαντος, κ. τ. λ. *Num. xxxv.* 31, 32. εσται ἡ ψυχη σου αντι της ψυχης αυτου. 3 *Reg. xx.* 39, 40. 4 *Reg. x.* 24. *Conf. Num. xviii.* 15. *Exod. xxx.* 12, 15, 16. και αντι ψυχων αυτων λαβε την εμην ψυχην. 4 *Mac.* § 6. το ανταλλαγμα του Χριστου σου. *Ps. lxxxviii.* 51. παρεδωκεν αυτον ταις ἁμαρτιαις ἡμων κ. τ. λ. *Esa. liii.* 6. 12. [εν καιροις. *Philo, de Abr. p.* 375.]

7 Εις ὁ ετεθην εγω κηρυξ και αποστολος· (αληθειαν λεγω εν Χριστῳ, ου ψευδομαι·) διδασκαλος εθνων, εν πιστει και αληθειᾳ.

προφητην εις εθνη τεθεικα σε. *Jer. i.* 5. αναγγελω ὑμιν τι εστιν εν χειρι Κυριου, ἁ εστι παρα παντοκατορι ου ψευσομαι. *Job. xxvii.* 11. *Rom. ix.* 1. εν πιστει και πρᾳΰτητι. *Sir. xlv.* 4. *Conf.* 1 *Joan. i.* 6. *Act. ix.* 15. *Rom. i.* 9. *Ephes. iii.* 8. *Gal. i.* 16. εδωκα σε εις διαθηκην εθνων. *Esa. xlix.* 8. *li.* 4. εν πιστει και αληθειᾳ, *i. e.* πιστος και αληθινος. *Conf. Sir. iii.* 11. διδασκαλος. *Dan. i.* 3. *alii.* 2 *Mac. i.* 10.

8 Βουλομαι ουν προσευχεσθαι τους ανδρας εν παντι τοπῳ, επαιροντας ὁσιους χειρας χωρις οργης και διαλογισμου·

και προσκυνησουσιν αυτῳ ἑκαστος εκ του τοπου αυτου. *Soph. ii.* 11. [χερσι καθαραις. *Jos. Bell. Jud. iv.* 9. 2.] επαρσις των χειρων μου θυσια ἑσπερινη. *Ps. cxl.* 2. *Conf. Esa. i.* 15. *Thren. iii.* 3. *Sir. l.* 20. *Conf. Ps. cxxxiii.* 2. *Mal. i.* 11. *Esa. lvi.* 7. 2 *Par. vi.* 17-42. και ευλογησεν Εσδρας Κυριον—και απεκριθη πας ὁ λαος, Αμην, επαραντες τας χειρας αυτων. *Neh. viii.* 6. *Job. xvi.* 18.

9 Ὡσαυτως και τας γυναικας, εν καταστολῃ κοσμιῳ, μετα αιδους και σωφροσυνης κοσμειν ἑαυτας, μη εν πλεγμασιν, η χρυσῳ, η μαργαριταις, η ἱματισμῳ πολυτελει,

και οἱ εν αγαπησει κεκοσμημενοι. *Sir. xlviii.* 11. κοσμιον παραβολων. *Eccles. xii.* 9. καταστολην δοξης. *Esa. lxi.* 3. *Comp.* ὡς νυμφην κατεκοσμησε με κοσμῳ. *Esa. lxi.* 10. [καταστολη και σχημα σωματος. *Jos. Bell. Jud. ii.* 8. 4.] ὡσαυτως και. 2 *Mac. ii.* 12. εν πλεγμασι. *Esa. xxxviii.* 5. *Aq. Theod. Conf. xxii.* 17. *lxi.* 3. *iii.* 16-24. *Ps. cxliii.* 12. *Tit. ii.* 3. 1 *Pet. iii.* 3. *Prov. vii.* 10. *xxxi.* 31. 4 *Reg. ix.* 30. εστι χαριν αισχυνης επαγγελλομενος φιλῳ. *Sir. xx.* 23. δια την του μετηλλαχοτος σωφροσυνην και πολλην ευταξιαν. 2 *Mac. iv.* 37.

10 Αλλ᾽ (ὁ πρεπει γυναιξιν επαγγελλομεναις θεοσεβειαν) δι᾽ εργων αγαθων.

τῳ οικῳ σου πρεπει ἁγιασμα, Κυριε. *Ps. xcii.* 5. *xxxii.* 1. ασεβης ποιει εργα αδικα. *Prov. xi.* 18. *xxxi.* 31. επαγγελλεται γνωσιν εχειν Θεου, κ. τ. λ. *Sap. ii.* 13. θεοσεβεια. *Gen. xx.* 11.

11 Γυνη εν ἡσυχιᾳ μανθανετω εν πασῃ ὑποταγῃ.

ὑποταγηθι τῳ Κυριῳ. *Ps. xxxvi.* 7. *lxi.* 5. εν ἡσυχιᾳ. 1 *Mac. ix.* 57. *Job. xxxiv.* 29. δοσις Κυριου γυνη σιγηρα. *Sir. xxvi.* 14.

12 Γυναικι δε διδασκειν ουκ επιτρεπω, ουδε αυθεντειν ανδρος, αλλ᾽ ειναι εν ἡσυχιᾳ.

αυθεντια, *jus.* 3 *Mac. ii.* 29. μη δῳς γυναικι την ψυχην σου, κ. τ. λ. *Sir. ix.* 2. επιτρεπειν. *Conf. Est. ix.* 14. *Job. xxxii.* 14. 1 *Mac. xv.* 6. και προς τον ανδρα σου αναστροφη σου, κ. τ. λ. *Gen. iii.* 16. και οὑτω πασαι αἱ γυναικες περιθησουσι τιμην τοις ανδρασιν ἑαυτων, απο πτωχου ἑως πλουσιου. *Est. i.* 20. *Conf. Jud. iv.* 19. *Ephes. v.* 24.

13 Αδαμ γαρ πρωτος επλασθη, ειτα Ευα.

Αυα. *Aq.* Ζωη. *LXX. Conf. Gen. iii.* 20. 1 *Cor. xi.* 8, 9. επλασεν ὁ Θεος τον ανθρωπον χουν απο της γης. *Gen. ii.* 7. [τῃ ἑκτῃ ἡμερᾳ τον ανθρωπον επλασε. *Jos. Ant. i.* 1. 1.] *Conf. Sap. x.* 1. αὑτη πρωτοπλαστον πατερα κοσμου μονον κτισθεντα διεφυλαξε, και εξειλατο αυτον εκ παραπτωματος ιδιου κ. τ. λ.

14 Και Αδαμ ουκ ηπατηθη· ἡ δε γυνη απατηθεισα εν παραβασει γεγονε·

απο γυναικος αρχη ἁμαρτιας, και δι᾽ αυτην αποθνησκομεν παντες. *Sir. xxv.* 24. ὁ οφις ηπατησε με. *Gen. iii.* 6. 13. 2 *Cor. xi.* 3. [ὁ οφις—αναπειθει κακοηθως την γυναικα—και τον Αδαμον ανε-

πεισεν αυτῳ χρησασθαι. Jos. Ant. i. 1. 4.] *ποιουντας παραβασεις εμισησα. Ps. c.* 3.

15 Σωθησεται δε δια της τεκνογονιας, εαν μεινωσιν εν πιστει
και αγαπῃ και ἁγιασμῳ μετα σωφροσυνης.

και τους μεμενηκοτας εν τῳ Ιουδαϊσμῳ. 2 Mac. viii. 1. *δια της τεκνογονιας, i. e. εν τῃ τεκνογονιᾳ.* = *διεσωθησαν δι' ὑδατος.* 1 *Pet. iii.* 20. *δι' ακροβυστιας. Rom. iv.* 11. *Elsner.* [*τεκνογονιαν φησει, το μη μονον τεκειν, αλλα και κατα Θεον αγαγειν. Chrysost.*] *Conf. Tit. ii.* 5. *Gen. v.* 29. *ιδου ἡ παρθενος εν γαστρι ληψεται, και τεξεται υἱον, κ. τ. λ. Esa. vii.* 14. *ἑως ποτε αποστρεψεις θυγατηρ ητιμωμενη; ὁτι εκτισε Κυριος σωτηριαν εις καταφυτευσιν καινην, εν σωτηριᾳ περιελευσονται ανθρωποι. Jer. xxxviii.* 22. *ἁγιασμος. Jud. xvii.* 3. *Alex. Ald.*

ΚΕΦ. γ. 3.

ΠΙΣΤΟΣ ὁ λογος· ει τις επισκοπης ορεγεται, καλου εργου επιθυμει.

ἡ μαρτυρια Κυριου πιστη. Ps. xviii. 7. *Sir. xxxvi.* 23. *επισκοπος Ελεαζαρ υἱος Ααρων του ἱερεως. Num. iv.* 16. *και την επισκοπην αυτου λαβοι ἑτερος. Ps. cviii.* 8. 4 *Reg. xi.* 18. *αληθινος ὁ λογος.* 3 *Reg. x.* 6. 2 *Par. ix.* 5. *ανηρ επιθυμιων. Dan. ix.* 23. *x.* 11. [*νεωτερων ορεγομενος πραγματων. Jos. Vit.* § 14.]

2 Δει ουν τον επισκοπον ανεπιληπτον ειναι, μιας γυναικος ανδρα, νηφαλεον, σωφρονα, κοσμιον, φιλοξενον, διδακτικον·

και επελεξεν ἱερεις αμωμους, θελητας νομου. 1 *Mac. iv.* 42. *δωσω —και τους επισκοπους σου εν δικαιοσυνῃ. Esa. lx.* 17. *Tit. i.* 6, 7. *οἱ ανδρες εν πιστει επι των εργων· και επ' αυτων επισκοποι, κ.τ.λ.* 2 *Par. xxxiv.* 12. *δια την εμην ὑποκρισιν.* 2 *Mac. vi.* 25. *ὁτι χειλη ἱερεως φυλαξεται γνωσιν, και νομον εκζητησουσιν εκ στοματος αυτου, διοτι αγγελος Κυριου παντοκρατορος εστι. Mal. ii.* 7. [*οὑτοι δε εισιν ανδρων οἱ ανεπιληπτως και καλως βιωσαντες. Philo. de Mund. Opific. p.* 33. *Conf. Krebs. et Loesner.*] [*αμωμοι, καθαροι, και νηφαλιοι. (de Sacerdot.) Jos. Ant. iii.* 12. 2. *μη προς χρηματα, μηδε τας αλλας αποβλεπειν τιμας. c. Ap. i.* 7.] [*νηφαλεον εστιν ὁ αει νηφων και συνεσιν εχων τῃ ἡλικιᾳ καταλληλον. Phav.*] *και ου πληθυνει ἑαυτῳ γυναικας, ἱνα μη μεταστῃ αυτου ἡ καρδια. Deut. xvii.* 17.

3 Μη παροινον, μη πληκτην, μη αισχροκερδη, αλλ' επιεικη, αμαχον, αφιλαργυρον·

φιλαργυρια. Jer. viii. 10. Comp. 4 Mac. 2. [*πληκτης· μαχιμος, ὑβριστης. Hesych.*] *ου των εγχρονιζοντων εν οινοις, κ. τ. λ. Prov. xxiii. 30. αφιλαργυρος ὁ τροπος. Heb. xiii. 5. Conf. 1 Pet. v. 2. γλωσση αμαχος. Sir. xix. 4. Comp. Conf. Lev. x. 9. Esa. v. 11. lvi. 11. Jer. vi. 13. Mich. iii. 11.* [*παροινια· ἡ εκ του οινου ὑβρις και οιαδηποτε ἁμαρτια. Hesych.*] *αισχροκερδη. Conf. Prov. i. 19. Aq. Theod. xv. 27. Sym. υἱε ανθρωπου, σκοπον δεδωκα σε τῳ οικῳ Ισραηλ, και ακουσῃ εκ στοματος μου λογον, και διαπειλησῃ αυτοις παρ᾽ εμου, κ. τ. λ. Ezech. iii. 17, 18. ii. 6-10. Conf. Sir. xxv. περι ἡγουμενων.*

4 Του ιδιου οικου καλως προϊσταμενον, τεκνα εχοντα εν ὑποταγῃ μετα πασης σεμνοτητος·

τοις προεστηκοσι της οικιας. Amos. vi. 10. κατα τον συμπαντα κοσμον ἱερου σεμνοτητι και ασυλιᾳ. 2 Mac. iii. 12. ηδειν γαρ ὁτι συνταξει τοις υἱοις αυτου, και τῳ οικῳ αυτου, κ. τ. λ. Gen. xviii. 19. Jos. xxiv. 15. μη ισθι ὡς λεων εν τῳ οικῳ σου, και φαντασιοκοπων εν τοις οικεταις σου. Sir. iv. 30.

5 (Ει δε τις του ιδιου οικου προστηναι ουκ οιδε, πως εκκλησιας Θεου επιμελησεται;)

λοιδορος εκ του ιδιου οικου. Prov. xxvii. 15. καταγαγετε αυτον —και επιμελουμαι αυτου. Gen. xliv. 21. 1 Mac. xi. 37. Prov. xxvii. 25. κακολογουντες Θεον οἱ υἱοι αυτου, και ουκ ενουθετει αυτους. 1 Reg. iii. 13. ii. 29. Conf. Luc. xvi. 11, 12.

6 Μη νεοφυτον, ἱνα μη τυφωθεις εις κριμα εμπεσῃ του διαβολου.

και ανθρωπος του Ιουδα νεοφυτον ηγαπημενον. Esa. v. 7. Ps. cxliv. 12. Conf. Sir. x. 12, 13. [*νεοφυτον· νεοπροσηλυτον. Alberti. Gloss.*] *αρχαιος μαθητης. Act. xxi. 16. τυφοις φερομενοι παλαιοτεροις. 3 Mac. iii. 18. ἡγουμενον σε κατεστησαν; μη επαιρου, κ. τ. λ. Sir. xxxv. 1. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον· πειραζουσι δε αυτον οἱ της εκεινου μεριδος οντες. Sap. ii. 24. μη δῳς αυτῳ εξουσιαν εν νεοτητι. Sir. xxx. 11.* [*πως ουν ουκ αλογον τετυφωσθαι τους Ἑλληνας, ὡς μονους επισταμενους τα αρχαια; Jos. c. Ap. i. 3.*] *κριμα θανατου. Deut. xxi. 22.*

7 Δει δε αυτον και μαρτυριαν καλην εχειν απο των εξωθεν, ἱνα μη εις ονειδισμον εμπεσῃ και παγιδα του διαβολου.

οἱ εκτοι. Prol. Sir. οἱ εξω. 1 Cor. v. 12. 1 Thess. iv. 12. Sir. xxxiii. 1-4. και μαρτυρια της καλλονης αυτου πιστη. Sir. xxxiv. 23. και παγιδας εστησαν του διαφθειραι ανδρας. Jer. v. 26. μη-

ποτε εμπεσης εις τας παγιδας αυτης. Sir. ix. 3. Ps. xxxiv. 8. μη εὑρησομεν ανθρωπον τοιουτον, ὁς εχει πνευμα Θεου εν αυτῳ; Gen. xli. 38. Dan. v. 12. vi. 3. Job. i. 1. Num. xii. 7.

8 Διακονους ὡσαυτως σεμνους, μη διλογους, μη οινῳ πολλῳ προσεχοντας, μη αισχροκερδεις,

ανηρ διγλωσσος αποκαλυπτει βουλας εν συνεδριῳ. Prov. xi. 13. xx. 10. δικαιοσυνῃ προσεχω. Job. xxvii. 6. Sir. xxviii. 16. ὁ δωροληπτης. Prov. xv. 27. Conf. Act. vi. 3. Lev. x. 9. οἱ ἱερεις σου ενδυσονται δικαιοσυνην. Ps. cxxxi. 9. 16.

9 Εχοντας το μυστηριον της πιστεως εν καθαρᾳ συνειδησει.

και ουκ αποκρυψω ὑμιν μυστηρια, αλλ' απ' αρχης γενεσεως εξιχνιασω. Sap. vi. 22. την ὁδον εχειν. Job. xvii. 9. εν καθαρᾳ καρδιᾳ. Gen. xx. 5, 6. [καθαρου του συνειδοτος. Jos. B. J. i. 23. 3.]

10 Και οὑτοι δε δοκιμαζεσθωσαν πρωτον, ειτα διακονειτωσαν, ανεγκλητοι οντες.

Κυριε εδοκιμασας με, και εγνως με. Ps. cxxxviii. 1. ανεγκλητοι. 3 Mac. v. 31. προ κρισεως εξεταζε σεαυτον, και εν ὡρᾳ επισκοπης εὑρησεις εξιλασμον. Sir. xviii. 20.

11 Γυναικας ὡσαυτως σεμνας, μη διαβολους, νηφαλεους, πιστας εν πασι.

ου γαρ αξιος ὁ διαβολος της αυλης του βασιλεως. Est. vii. 4. viii. 1. Ps. xv. 3. Lev. xxi. 7. 13. 15. Ezech. xliv. 22. Prov. xxxi. 10.

12 Διακονοι εστωσαν μιας γυναικος ανδρες, τεκνων καλως προϊσταμενοι και των ιδιων οικων.

εστωσαν, maneant. Deut. x. 10. Ps. i. 1. Prov. xv. 13. Eccles. viii. 3. Conf. Sir. iv. 30. Gen. xviii. 19.

13 Οἱ γαρ καλως διακονησαντες βαθμον ἑαυτοις καλον περιποιουνται, και πολλην παῤῥησιαν εν πιστει τῃ εν Χριστῳ Ιησου.

ασεβης δε αισχυνεται, και ουχ ἑξει παῤῥησιαν. Prov. xiii. 5. και περιποιησαι ἑαυτῳ ονομα αιωνιον. 1 Mac. vi. 44. [νομοι πολλην προς ἁμαρτανοντας ἑξουσι παῤῥησιαν. Jos. Ant. iv. 8. 12.] βαθμον. Conf. 4 Reg. xx. 9, 10. Ezech. xl. 22.

14 Ταυτα σοι γραφω, ελπιζων ελθειν προς σε ταχιον·

ταχιον. 1 Mac. ii. 40. Conf. Tob. x. 8.

15 Εαν δε βραδυνω, ἱνα ειδῃς πως δει εν οικῳ Θεου αναστρεφεσθαι, ἡτις εστιν εκκλησια Θεου ζωντος, στυλος και ἑδραιωμα της αληθειας.

ει μη γαρ εβραδυναμεν. *Gen. xliii.* 10. ὁς αναστρεφεται αμωμος εν δικαιοσυνῃ. *Prov. xx.* 7. Θεου ζωντος. *Deut. iv.* 26. στυλος αναπαυσεων. *Sir. xxxvi.* 24. στηριγμα. *Tob. viii.* 6. ἑδραιωμα. *Exod. xv.* 17. *Sch. Ps. xxxii.* 14. *Aq. Conf. Tob. iv.* 14-16. *Deut. xxxi.* 23. ευηγγελισαμην δικαιοσυνην εν εκκλησιᾳ μεγαλῃ. *Ps. xxxix.* 9. ἡ αινεσις αυτου εν εκκλησιᾳ ὁσιων. *cxlix.* 9.

16 Και ὁμολογουμενως μεγα εστι το της ευσεβειας μυστηριον, Θεος εφανερωθη εν σαρκι, εδικαιωθη εν πνευματι, ωφθη αγγελοις, εκηρυχθη εν εθνεσιν, επιστευθη εν κοσμῳ, ανεληφθη εν δοξῃ.

ὁμολογουμενως ουν δεσποτης των παθων εστιν ὁ ευσεβης λογισμος. 4 *Mac. vi.* [ην ὁμολογουμενως Ἑβραιων αριστος. *Jos. Ant. ii.* 9. 6.] μυστηριον. *Sap. vi.* 22. τοις ἑνδεκα εφανερωθη. *Marc. xvi.* 14. *Joan. xxi.* 1. 14. 1 *Joan. iii.* 5, 8. ευσεβεια εις τον Θεον. *Prov. i.* 7. εδικαιωθη. *Rom. i.* 3, 4. *Act. ii.* 33. ωφθη. *Luc. ii.* 9. 13. *Matt. iv.* 11. *Luc. xxii.* 43. *xxiv.* 4. ανεληφθη. *Luc. xxiv.* 51. *Act. i.* 2. 11. εδωκα το πνευμα μου επ᾽ αυτον, κρισιν τοις εθνεσιν εξοισει. *Esa. xlii.* 1. πνευμα Κυριου επ᾽ εμε, οὑ εἱνεκεν εχρισε με, κ. τ. λ. *lxi.* 1. *Conf. Esa. vii.* 14. *ix.* 6. *Jer. xxiii.* 5, 6. *Mich. v.* 2. ὁπως αν δικαιωθῃς τοις λογοις σου. *Ps. l.* 4. *Conf. Ezech. xvi.* 52. *Esa. liii.* 11. κηρυξατε ταυτα εν τοις εθνεσι. *Joel. iii.* 9. επιστευθη Σαμουηλ. 1 *Reg. iii.* 21. *xxvii.* 12. πιστευθησονται τα ῥηματα ὑμων. *Gen. xlii.* 20. 1 *Reg. xxvii.* 12. *Act. xiv.* 27. πριν η αναληφθηναι με απο σου. 4 *Reg. ii.* 9, 10. ὁ αναληφθεις εν λαιλαπι πυρος. *Sir. xlviii.* 9. *xlix.* 14. καυχησονται ὁσιοι εν δοξῃ. *Ps. cxlix.* 5. *Conf. Matt. iii.* 16. *Marc. xvi.* 17, 18. *Joan. i.* 14. *Ephes. iii,* 5, 6. 1 *Joan. i.* 2. 1 *Pet. iii.* 18. αναβας εις ὑψος, ῃχμαλωτευσας αιχμαλωσιαν· ελαβες δοματα εν ανθρωπῳ, κ. τ. λ. *Ps. lxvii.* 18. καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *Ps. cix.* 1. αγαπησω αυτους ὁμολογως. *Ose. xiv.* 5. ὁμολογουμενως. *Comp.* πασης συντελειας ειδον περας, πλατεια ἡ εντολη σου σφοδρα. *Ps. cxviii.* 96. συ γαρ ει Θεος, και ουκ ῃδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. *Esa. xlv.* 15. εν κοσμῳ, "*inter homines.*" *Bretschn.* πατηρ του κοσμου (Αδαμ). *Sap. x.* 1. [αναστησει γαρ Κυριος εκ του Λευϊ ὡς αρχιερεα, και εκ του Ιουδα ὡς βασιλεα Θεον και ανθρωπον. *Test. XII Patr. p.* 542.] και ὑψωθησεται Κυριος μονος εν τῃ ἡμερᾳ εκεινῃ. *Esa. ii.* 11.

ΚΕΦ. δ. 4.

ΤΟ δε Πνευμα ῥητως λεγει, ὁτι εν ὑστεροις καιροις αποστησονται τινες της πιστεως, προσεχοντες πνευμασι πλανοις και διδασκαλιαις δαιμονιων,

στομα κατα στομα λαλησω αυτῳ εν ειδει, και ου δ' αινιγματων. Num. xii. 8. Ezech. i. 3. εν ταις εσχαταις ἡμεραις. Esa. ii. 2. απο Κυριου αποστη ἡ καρδια αυτου. Jer. xvii. 5. πλανωντες, και πλανωσι. Esa. ix. 16. δαιμονια. Conf. Matt. vii. 22. διδασκαλια] Conf. Esa. xxix. 13. Matt. xv. 9. Col. ii. 22. [διο και προειπων— ῥητως επιφερει. Philo, p. 180.] Conf. Num. xxiv. 14. Deut. iv. 30. Ezech. xxxviii. 16. Sir. xiv. 2. 2 Pet. iii. 3. Juda. 18. 1 Joan. ii. 18. και απο των συνιεντων ασθενησουσι, κ. τ. λ. Dan. xi. 35-38. Esa xix. 14. 3 Reg. xxii. 22. 2 Par. xix. 22.

2 Εν ὑποκρισει ψευδολογων, κεκαυτηριασμενων την ιδιαν συνειδησιν,

και αυτοι δια την εμην ὑποκρισιν και δια το μικρον και ακαραιον ζῃν πλανωσι δι' εμε. 2 Mac. vi. 25. [κεκαυτηριασμενοι· μη εχοντες την συνειδησιν ὑγιη. Hesych.] συνειδησις. Sap. xvii. 11. Conf. Rom. xvi. 18. Dan. viii. 23-25. μακαριος ανηρ ὁς καταπτησσει παντα δι' ευλαβειαν, ὁ δε σκληρος την καρδιαν εμπεσειται κακοις. Prov. xxviii. 14. ψευδολογων. Dan. xi. 27. LXX.

3 Κωλυοντων γαμειν, απεχεσθαι βρωματων, ἁ ὁ Θεος εκτισεν εις μεταληψιν μετα ευχαριστιας τοις πιστοις και επεγνωκοσι την αληθειαν.

απεχεσθαι απο κακων. Job. xxviii. 28. εκκλησια πιστων. 1 Mac. iii. 13. Conf. Gen. ix. 3. Rom. xiv. 6. 1 Cor. x. 30. και επιθυμια γυναικων, κ. τ. λ. Dan. xi. 37. Conf. Eccles. vii. 17.

4 Ὁτι παν κτισμα Θεου καλον, και ουδεν αποβλητον, μετα ευχαριστιας λαμβανομενον·

αποβλητον. Jer. xxii. 28. Ose. ix. 3. Sym. και ειδεν ὁ Θεος τα παντα ὁσα εποιησε· και ιδου καλα λιαν. Gen. i. 31. Ps. xxiii. 1. φαγονται αυτα, και αινεσουσι Κυριον. Esa. lxii. 9. Conf. Deut. viii. 10. Joel. ii. 26. ευχαριστια. Sap. xvi. 28. εκ γαρ μεγεθους καλλονης κτισματων αναλογως ὁ γενεσιουργος αυτων θεωρειται. κ. τ. λ. xiii. 5-7.

5 Ἁγιαζεται γαρ δια λογου Θεου και εντευξεως.

ενετυχον τῳ Κυριῳ και εδεηθην αυτῳ. Sap. viii. 21. και ιδου παντα

καθαρα ὑμιν εστι. *Luc. xi.* 41. [προκατευχεται ὁ ἱερευς της τροφης, και γευσασθαι τινα πριν της ευχης αθεμιτον· αριστοποιησαμενος επευχεται παλιν· κ. τ. λ. *Jos. Bell. Jud. ii.* 8. 5.] εγω Κυριος ὁ ἁγιαζων αυτον. *Lev. xxi.* 15. 23.

6 Ταυτα ὑποτιθεμενος τοις αδελφοις, καλος εσῃ διακονος Ιησου Χριστου, εντρεφομενος τοις λογοις της πιστεως, και της καλης διδασκαλιας ᾗ παρηκολουθηκας.

παρακολουθειν. 2 *Mac. ix.* 27. *ii.* 4. *Conf.* 2 *Tim. i.* 5. *iii.* 14, 15. [εικοτως ουν ἑνι παραγγελλει, ταις αρεταις εντρεφεσθαι. *Philo.* 1 *Alleg. p.* 59.] και εσται ὁ λογος σου εμοι εις ευφροσυνην και χαραν καρδιας μου. *Jer. xv.* 16. ὁ νομος του Κυριου αμωμος επιστρεφων ψυχας, κ. τ. λ. *Ps. xviii.* 7. [ὑποτιθεναι γνωμην τινι. *Jos. Ant. xiii.* 6. 5. *Conf. Krebs.*] και αυτος γραμματευς ταχυς εν νομῳ Μωυση. *Esd. vii.* 6.

7 Τους δε βεβηλους και γραωδεις μυθους παραιτου· γυμναζε δε σεαυτον προς ευσεβειαν·

παραιτου. 2 *Mac. ii.* 31. γυμναζειν. *x.* 15. βεβηλους κενοφωνιας. 2 *Tim. ii.* 16. 23. *Tit. i.* 14. *iii.* 9. 1 *Cor. ix.* 24. [τους αρετης αθλους Μωυσης διηθλει—γυμναζομενος προς τους αριστους βιους. *Philo.* 1. *Vit. Mos. p.* 610.] μυθος ακαιρος. *Sir. xx.* 19.

8 Ἡ γαρ σωματικη γυμνασια προς ολιγον εστιν ωφελιμος· ἡ δε ευσεβεια προς παντα ωφελιμος εστιν, επαγγελιαν εχουσα ζωης της νυν και της μελλουσης.

ευσεβεια εις Θεον αρχη αισθησεως. *Prov. i.* 7. παντος δυνατωτερα εστιν ευσεβεια. *Sap. x.* 12. ὡν χρησιμωτερον ουδεν εστιν εν βιῳ ανθρωποις. *viii.* 7. απο του νυν, ἁ μελλει γινεσθαι. *Esa. xlviii.* 6. οἱ δε ευσεβεις συνετα εβουλευσαντο, και αὑτη ἡ βουλη μενει. *Esa. xxxii.* 8. ιδου, ἡ θεοσεβεια εστι σοφια, το δε απεχεσθαι απο κακων, εστιν επιστημη. *Job. xxvii.* 28. *Conf. Prov. viii.* 36. [αἱ δικαιοσυναι και αρεται—καρπον φερουσαι τοις απογονοις σωτηριον, και προς παντα ωφελιμον. *Philo, de Creat. p.* 727.] εν τῳ νυν καιρῳ. *Gen. xxx.* 20. ουκ εν τῃ δυναστειᾳ του ἱππου θελησει, ουδε εν ταις κνημαις του ανδρος ευδοκει. *Ps. cxlvi.* 10. ποτερον ουχι ὁ Κυριος εστιν ὁ διδασκων συνεσιν και επιστημην; *Job. xxii.* 2. *Deut. xxviii.* 1-14. επιθυμιαι σωματικαι. 4 *Mac.* 2. δει παντα τα αλλα τελος εχειν την ευσεβειαν. 19. [σωματικη ἑξις. *Jos. Bell. Jud. vi.* 1.] και εν λογοις οἱς ουδεν οφελος. *Job. xv.* 3. *Conf. Col. ii.* 23. 1 *Tim. vi.* 6. 1 *Cor. viii.* 8.

9 Πιστος ὁ λογος και πασης αποδοχης αξιος·

Conf. cap. i. 15. Esa. liii. 1. Ps. cxviii. 160.

10 Εις τουτο γαρ και κοπιωμεν και ονειδιζομεθα, ὁτι ηλπικαμεν επι Θεῳ ζωντι, ὁς εστι σωτηρ παντων ανθρωπων, μαλιστα πιστων.

επι σοι ηλπισαν οἱ πατερες ἡμων. *Ps. xxi.* 4. *xxi.* 9. *xxxvii.* 40. ιδου ὁ Θεος μου σωτηρ μου, πεποιθως εσομαι. *Esa. xii.* 2. ὁ γαρ επιστραφεις ου δια το θεωρουμενον εσωζετο, αλλα δια σε τον παντων σωτηρα. *Sap. xvi.* 7. αλλα ζω εγω, και ζων το ονομα μου. *Num. xiv.* 21. ονειδιζομεθα. *Conf. Ps. lxxxviii.* 51. *et Biel. voce* ανταλλαγμα. ελπισον επι Κυριον, και ποιει χρηστοτητα, και κατασκηνου την γην, και ποιμανθηση επι τῳ πλουτῳ αυτης. κ. τ. λ. *Ps. xxxvi.* 3-6. Κυριε των δυναμεων, μακαριος ανθρωπος ὁ ελπισων επι σε. *lxxxiii.* 12. οἱ πεποιθοτες επ᾽ αυτῳ συνησουσιν αληθειαν, και οἱ πιστοι εν αγαπῃ προσμενουσιν αυτον, ὁτι χαρις και ελεος τοις εκλεκτοις αυτου. *Sap. iii.* 9. εκκλησια πιστων. 1 *Mac. iii.* 13. ελεος ανθρωπου επι τον πλησιον αυτου, ελεος δε Κυριου επι πασαν σαρκα. *Sir. xviii.* 13. εγω ὁ Θεος, και ουκ εστιν αλλος πλην εμου· δικαιος και σωτηρ, ουκ εστι παρεξ εμου. *Esa. xlv.* 21. *Conf. Sir. xxiv.* 34. *xxx.* 17.

11 Παραγγελλε ταυτα και διδασκε.

και εδιδασκον εν Ιουδα, και μετ᾽ αυτων βιβλος νομου Κυριου, και διηλθον εν ταις πολεσιν Ιουδα, και εδιδασκον τον λαον. 2 *Par. xvii.* 9. αναβοησον εν ισχυϊ, κ. τ. λ. *Esa. lviii.* 1.

12 Μηδεις σου της νεοτητος καταφρονειτω, αλλα τυπος γινου των πιστων εν λογῳ, εν αναστροφῃ, εν αγαπῃ, εν πνευματι, εν πιστει, εν ἁγνειᾳ,

μη λεγε ὁτι νεωτερος εγω ειμι. *Jer. i.* 6, 7. τις εξουδενωσεν εις ἡμερας μικρας; *Zach. iv.* 10. νεωτερος εγω ειμι και εξουδενωμενος, τα δικαιωματα σου ουκ επελαθομην. *Ps. cxviii.* 141. ὁς αναστρεφεται αμωμος εν δικαιοσυνῃ. *Prov. xx.* 7. ισθι πεπαιδευμενος εν πασῃ αναστροφῃ σου. *Tob. iv.* 14. ασεβειας τυπος. 4 *Mac. vi.* [ἁγνεια. *Jos. Ant. iii.* 5. 1.] *Conf.* 1 *Cor. xvi.* 11.

13 Ἑως ερχομαι, προσεχε τῃ αναγνωσει, τῃ παρακλησει, τῃ διδασκαλιᾳ.

προσεχειν τῃ φιλοσοφιᾳ. 4 *Mac. i. Sir. xxviii.* 16. εν τῃ αναγνωσει. *Neh. viii.* 8. παρακλησις. 2 *Mac. vii.* 24. διδασκαλια. *Prov. ii.* 17. εν τῳ νομῳ Κυριου το θελημα αυτου, και εν τῳ νομῳ αυτου μελετησει ἡμερας και νυκτος. *Ps. i.* 2. *Conf. Deut. xvii.* 19. *Jos. i.* 8. *Esd. vii.* 10. *Sir. vi.* 37.

14 Μη αμελει του εν σοι χαρισματος, ὁ εδοθη σοι δια προφητειας μετα επιθεσεως των χειρων του πρεσβυτεριου.

αμελει. Sap. iii. 10. 2 Mac. iv. 14. Conf. Jer. i. 9, 10. και επιθησουσιν οἱ πρεσβυτεροι της συναγωγης τας χειρας κ. τ. λ. Lev. iv. 15. Ααρων και παντες οἱ πρεσβυτεροι Ισραηλ. Exod. xxxiv. 30. και συνεσις εδοθη αυτῳ. Dan. x. 1. Conf. Act. vi. 6.

15 Ταυτα μελετα, εν τουτοις ισθι· ἱνα σου ἡ προκοπη φανερα ᾐ εν πασιν.

[εν ὑμνοις ησαν—ὁλην την νυκτα. Jos. Ant. ii. 16. 4.] προκοπη εγενετο μοι εν αυτῃ. Sir. li. 17. 2 Mac. viii. 8. καρδια ανδρος λογιζεσθω δικαια, ἱνα ὑπο του Θεου διορθωθῃ τα διαβηματα αυτου. Prov. xvi. 1. φανερα. Gen. xlii. 16.

16 Επεχε σεαυτῳ και τῃ διδασκαλιᾳ· επιμενε αυτοις. τουτο γαρ ποιων, και σεαυτον σωσεις και τους ακουοντας σου.

προσεχε σεαυτῳ. Sir. xxix. 20. τοις καιροις επεχοντες. 2 Mac. ix. 25. Sir. xxxi. 2. μη επεχε επι τοις χρημασι σου. v. 1. Conf. Jer. xxiii. 22. Ezech. xxxiii. 9. Esa. lv. 11. Act. xx. 28. Rom. xi. 14. 1 Cor. ix. 22. και οἱ συνιεντες λαμπψουσιν ὡς ἡ λαμπροτης του στερεωματος, και απο των δικαιων των πολλων ὡς οἱ αστερες εις τους αιωνας, και ετι. Dan. xii. 3. και συ την ψυχην σου ῥυσῃ. Ezech. iii. 19. xiv. 20. ιδε νυν, ὁτι Κυριος ἡρετικε σε οικοδομησαι αυτῳ οικον εις ἁγιασμα, ισχυε και ποιει. 1 Par. xxviii. 10.

Κεφ. ε. 5.

ΠΡΕΣΒΥΤΕΡΩ μη επιπληξῃς, αλλα παρακαλει ὡς πατερα· νεωτερους, ὡς αδελφους·

και τιμησεις προσωπον πρεσβυτερου. Lev. xix. 32. Deut. xxiii. 9. χαριν επιπληξεως και παιδειας. 2 Mac. vii. 33. [επιπλησσειν, redarguere. Jos. Ant. i. 16. 2.] τουτους μεν γαρ ὡς πατηρ νουθετων εδοκιμασας. Sap. xi. 10. αδελφε μου Ιωναθαν. 2 Reg. i. 26. Conf. 1 Pet. v. 1. παρακαλει. 1 Mac. ix. 35.

2 Πρεσβυτερας, ὡς μητερας· νεωτερας, ὡς αδελφας, εν πασῃ ἁγνειᾳ.

Conf. 2 Cor. vi. 6. [ἁγνεια. Jos. Ant. iii. 5. 1. viii. 3. 9.]

3 Χηρας τιμα τας οντως χηρας.

Conf. 2 Mac. iii. 10. Ps. lxvii. 5. Act. vi. 1. οντως. Num. xxii. 37.

4 Ει δε τις χηρα τεκνα η εκγονα εχει, μανθανετωσαν πρωτον τον ιδιον οικον ευσεβειν, και αμοιβας αποδιδοναι τοις προγονοις· τουτο γαρ εστι καλον και αποδεκτον ενωπιον του Θεου.

ὁς αποδιδωσιν ἑκαστῳ κατα τα εργα αυτου. Prov. xxiv. 12. *τοις προγονοις. Sir. viii.* 5. *Conf.* 2 *Reg. xiii.* 20. *εκγονα. Esa. xlix.* 15. [*εκγονα· τεκνα τεκνων. Hesych. αποδεκτον· επαινετον. Id.*] *αμοιβη χειρων. Prov. xii.* 14. *Aq. Sym. Theod.* [*Philo, de Parent. Benefic. ουκ αμοιβας ενδεχονται. de Decal.* 760.] [*ευσεβειν τον Θεον. Jos. Ant. x.* 3. 2. *Conf. Gen. xlv.* 9. *xlvii.* 12.]

5 Ἡ δε οντως χηρα και μεμονωμενη ηλπικεν επι τον Θεον, και προσμενει ταις δεησεσι και ταις προσευχαις νυκτος και ἡμερας·

οντως. Num. xxii. 37. *ὁ πατηρ των ορφανων και κριτης των χηρων. Ps. lxviii.* 5. *Conf. Esa. xlix.* 21. *liv.* 4. *εγω δε επι τῳ ελεει σου ηλπισα. Ps. xii.* 5. *Conf. Ps. ix.* 9. *πιστοι εν αγαπῃ προσμενουσιν αυτῳ. Sap. iii.* 9. *και σωσει αυτους, ὁτι ηλπισαν επ᾽ αυτον. Ps. xxxvi.* 40. *ἡμερας εκεκραξα και εν νυκτι. lxxxvii.* 1. *liv.* 10. *Conf. Luc. ii.* 37. *ἡ νυξ εκεινη ειη μεμονωμενη. Job. iii.* 7. *alii.* [*μεμονωμενος· εγκαταλελειμμενος. Hesych.*] *επληθυνε προσευχομενη ενωπιον Κυριου.* 1 *Reg. i.* 12.

6 Ἡ δε σπαταλωσα, ζωσα τεθνηκε.

σπαταλωσα. Sir. xxi. 15. *xxvii.* 13. *Jac. v.* 5. *κατασπαταλᾳ. Prov. xxix.* 21. *Conf. Ephes. ii.* 1. *ακουσον δη της προσευχης των τεθνηκοτων Ισραηλ, και υἱων των ἁμαρτανοντων εναντιον σου. Bar. iii.* 4. *εν ευθηνιᾳ εσπαταλων αὑτη και αἱ θυγατερες αυτης. Ezech. xvi.* 49. *Amos. vi.* 4. [*σπαταλᾳ· τρυφᾳ. Hesych.*] [*εδιδαξε γαρ με (ἡ σκεψις) ὁτι και ζωντες ενιοι τεθνηκασι, και τεθνηκοτες ζωσι· τους μεν γαρ φαυλους αχρι γηρως ὑστατου παρατεινοντας, νεκρους ελεγεν ειναι, τον μετ᾽ αρετης βιον αφῃρημενους κ. τ. λ. Philo, Profug.* 458. *Conf. de. Somn. p.* 1140.] *Luc. xv.* 24. 32. *ει ζησεται τα οστεα ταυτα; Ezech. xxxvii.* 3.

7 Και ταυτα παραγγελλε, ἱνα ανεπιληπτοι ωσιν.

Conf. cap. i. 3. *iii.* 2. *iv.* 11. *ανεπιληπτοι, i. e. ανεγκλητοι. Conf. Tit.* 1. 7. *Job. i.* 1. *ii.* 3.

8 Ει δε τις των ιδιων και μαλιστα των οικειων ου προνοει, την πιστιν ηρνηται, και εστιν απιστου χειρων.

και προνοου καλα ενωπιον Κυριου και ανθρωπων. Prov. iii. 4. *νυν*

ουν ποτε ποιησω καγω εμαυτῳ οικον; *Gen.* xxx. 30. χειρων κυνος. 1 *Reg.* xvii. 43. απο των οικειων του σπερματος σου ουχ ὑπεροχει. *Esa.* lviii. 7. iii. 6. *Num.* xxv. 5. *Conf. Gal.* vi. 10. 2 *Tim.* iii. 6. *Tit.* i. 16. ὁ μη συμπεριφερομενος [ταρασσων οικον. *Aq.*] τῳ ἑαυτου οικῳ, κληρονομησει ανεμον. *Prov.* xi. 29. *Sap.* xiii. 6.

9 Χηρα καταλεγεσθω μη ελαττον ετων ἑξηκοντα, γεγονυια ἑνος ανδρος γυνη,

ελαττον των ετων. *Lev.* xxv. 16. *Conf.* 1 *Cor.* vii. 10, 11.

10 Εν εργοις καλοις μαρτυρουμενη, ει ετεκνοτροφησεν, ει εξενοδοχησεν, ει ἁγιων ποδας ενιψεν, ει θλιβομενοις επηρκεσεν, ει παντι εργῳ αγαθῳ επηκολουθησε.

και ηρξατο νιπτειν τους ποδας των μαθητων. *Joan.* xiii. 5-10. ουδε επαρκεσουσι σιτον. 1 *Mac.* viii. 26. xi. 35. ὁτι πνευμα ἑτερον εν αυτῳ, και επηκολουθησε μοι. *Num.* xiv. 24. και επακολουθησατε ταις ὁδοις μου. *Esa.* lv. 3. *Conf. Gen.* xix. 2. *Luc.* vii. 30. 1 *Pet.* iv. 9. [οἱς αρετην μεμαρτυρηκεν ὁ νομοθετης. *Philo.* 2 *Alleg. p.* 66.] ετεκνοτροφησε. *Conf.* 2 *Tim.* ii. 15. εξω δε ουκ ηυλιζετο ξενος, ἡ δε θυρα μου παντι ελθοντι ανεῳκτο. *Job.* xxxi. 32. *Lev.* xxv. 38. ῥυσασθε αδικουμενον, κ. τ. λ. *Esa.* i. 17. ληφθητω δη ὑδωρ, και νιψατωσαν τους ποδας ὑμων, κ. τ. λ. *Gen.* xviii. 4. συ ενετειλω τας εντολας σου, του φυλαξασθαι σφοδρα. *Ps.* cxviii. 4. [ξενοδοχειον. *Act. Thom. c.* 16.] *Conf. Act.* ix. 39.

11 Νεωτερας δε χηρας παραιτου· ὁταν γαρ καταστρηνιασωσι του Χριστου, γαμειν θελουσιν,

Conf. Esa. iii. 16. *Apoc.* xviii. 3. 7. 9. *Deut.* xxxii. 15. *Ose.* xiii. 6. το στρηνος σου ανεβη εν τοις ωσι μου. 4 *Reg.* xix. 28. [στρηνιωντες· πεπλησμενοι δηλοι δε και δια πλουτον ὑβριζειν. *Hesych.*]

12 Εχουσαι κριμα, ὁτι την πρωτην πιστιν ηθετησαν·

ὁ ομνυων τῳ πλησιον αυτου, και ουκ αθετων. *Ps.* xiv. 4. *Conf. Apoc.* ii. 4, 5. εμνησθην ελεος νεοτητος σου, κ. τ. λ. *Jer.* ii. 2.

13 Ἁμα δε και αργαι μανθανουσι περιερχομεναι τας οικιας· ου μονον δε αργαι, αλλα και φλυαροι και περιεργοι, λαλουσαι τα μη δεοντα.

στεγναι διατριβαι οικων αυτης, σιτα δε οκνηρα ουκ εφαγε. *Prov.* xxxi. 27. ἁμα και. *Sir.* xlv. 15. μεμαθηκεν ἡ γλωσσα αυτων λαλειν ψευδη. *Jer.* ix. 5. μη αγαπα καταλαλειν. *Prov.* xx. 13. [δεοντα· πρεποντα. *Hesych.*] φλυαροι. 4 *Mac.* 5. ελεγχων εν ῥημασιν οἱς ου δει. *Job.* xv. 3. *Prol. Sir.* ζωη πονηρα εξ οικιας

εις οικιαν. *Sir. xxix.* 24. *Conf. Lev. xix.* 26, 27. περιερχομενοι. *Job. i.* 7. και λαλουντες ἁ μη θεμις. 2 *Mac. xii.* 14.

14 Βουλομαι ουν νεωτερας γαμειν, τεκνογονειν, οικοδεσποτειν, μηδεμιαν αφορμην διδοναι τῳ αντικειμενῳ λοιδοριας χαριν.

αφορμης διδομενης ειη διαθεσιν. 3 *Mac. iii.* 2. διδου σοφῳ αφορμην, και σοφωτερος εσται. *Prov. ix.* 9. *Conf.* 2 *Mac. xiv.* 25. *Tit. ii.* 8. *Neh. v.* 9. πλην ὁτι παροργιζων παρωργισας τους εχθρους του Κυριου εν τῳ ῥηματι τουτῳ, κ. τ. λ. 2 *Reg. xii.* 14. 1 *Reg. ii.* 24.

15 Ηδη γαρ τινες εξετραπησαν οπισω του Σατανα.

και επορευθησαν οπισω των ματαιων. *Jer. ii.* 5. *Conf.* 3 *Reg. i.* 8. μεταστραφησαν εις τοξον στρεβλον. *Ps. lxxvii.* 57.

16 Ει τις πιστος ἡ πιστη εχει χηρας, επαρκειτω αυταις, και μη βαρεισθω ἡ εκκλησια, ἱνα ταις οντως χηραις επαρκεσῃ.

παντα επαρκως παριεμεν αυτοις. 1 *Mac. xi.* 35. [ὁτι και μετ' οικειου πονου τοις δεομενοις επαρκειν ουκ εφυγε. *Jos. Ant. i.* 16. 2.] ου δωσουσιν ουδε επαρκεσουσι σιτον. 1 *Mac. viii.* 26. εν βαρει ειναι. 1 *Thess. ii.* 6. 9. [ουδε γαρ εσεσθαι βαρυς, μισθον τε της ξενιας τελεσας, και δαπαναις ιδιαις χρησαμενος. *Jos. ut supra.*] *Conf. sup.* 3.

17 Οἱ καλως προεστωτες πρεσβυτεροι διπλης τιμης αξιουσθωσαν, μαλιστα οἱ κοπιωντες εν λογῳ και διδασκαλιᾳ.

οἱ ἡγουμενοι εκκλησιας ενωτισασθε. *Sir. xxx.* 18. τοις προεστηκοσι της οικιας. *Amos. vi.* 10. 1 *Mac. v.* 19. γενηθητω δη διπλα εν πνευματι σου επ' εμε. 4 *Reg. ii.* 9. *Sap. xi.* 12. ανταποδωσω διπλας τας κακιας. *Jer. xvi.* 18. ὁτι διπλους εσται των κατα σε. *Job. xi.* 6. και ουκ ηξιωθην καταφιλησαι τα παιδια μου. *Gen. xxxi.* 28. *Conf. Rom. xii.* 8. 1 *Cor. ix.* 11. *Gal. vi.* 6. *Phil. ii.* 29. 1 *Thess. v.* 12. *Heb. xiii.* 17. εξαποστειλον αυτην (σοφιαν) εξ ἁγιων ουρανων—ἱνα συμπαρουσα μοι κοπιασῃ, και γνω τι ευαρεστον εστι παρα σοι. *Sap. ix.* 10. *Sir. vi.* 34.

18 Λεγει γαρ ἡ γραφη, Βουν αλοωντα ου φιμωσεις· και αξιος ὁ εργατης του μισθου αὑτου.

και εγραψε—λεγων. 4 *Reg. x.* 1. 6. κατα γραφην βιβλου Μωυση. *Esd. vi.* 18. λεγει ουν ὁ νομος. 4 *Mac.* 3. ου φιμωσεις βουν αλοωντα. *Deut. xxv.* 4. και ου μη κοιμηθησεται ὁ μισθος του μισθωτου σου παρα σοι ἑως πρωϊ. *Lev. xix.* 13. *Conf. Matt. x.* 10. *Luc. x.* 7. *ipsissima verba.* 1 *Cor. ix.* 9. *CITAT.* 237.

19 Κατα πρεσβυτερου κατηγοριαν μη παραδεχου, εκτος ει μη επι δυο η τριων μαρτυρων.

ου παραδεξῃ ακοην ματαιαν. *Exod.* xxiii. 1. εκτος ει μη. [*Winer.* § 67. *p.* 445.] αμπλακημα ουχ εὑρον κατ' αυτου, ὁτι πιστος ην. *Dan. vi.* 4. επι στοματος δυο μαρτυρων, και επι στοματος τριων μαρτυρων στησεται παν ῥημα. *Deut. xix.* 15. κατηγοριαν ψευδη συστησασθαι καθ' ἡμων. *Gen. xliii.* 17. [*Conf. Schleusn. V. T. Lex. voce* κατηγορια.]

20 Τους ἁμαρτανοντας ενωπιον παντων ελεγχε, ἱνα και οἱ λοιποι φοβον εχωσι.

διο τους παραπιπτοντας κατ' ολιγον ελεγχεις, και εν οἱς ἁμαρτανουσιν ὑπομιμνησκων νουθετεις, ἱνα απαλλαγεντες της κακιας πιστευσωσιν επι σε, Κυριε. *Sap. xii.* 2. ηλεγξεν Ἀβρααμ τον Αβιμελεχ. *Gen. xxi.* 25. *Conf. Tit. i.* 13. *Deut. xiii.* 11. ὁ φυλασσων ελεγχους δοξασθησεται. *Prov. xiii.* 18.

21 Διαμαρτυρομαι ενωπιον του Θεου και Κυριου Ιησου Χριστου και των εκλεκτων αγγελων, ἱνα ταυτα φυλαξῃς χωρις προκριματος, μηδεν ποιων κατα προσκλισιν.

διαμαρτυρομαι ὑμιν σημερον τον τε ουρανον και την γην. *Deut. iv.* 26. και παντες οἱ αγγελοι σου και εκλεκτοι σου. *Tob. viii.* 15. εγω ειμι Ῥαφαηλ εἱς εκ των ἑπτα ἁγιων αγγελων. *xii.* 15. φυλασσε εντολας. *Prov. iv.* 4. *Conf. Exod. xxiii.* 2. ου ποιησετε αδικον εν κρισει, κ. τ. λ. *Lev. xix.* 15. *Deut. i.* 17. *Gal. i.* 20. *Phil. i.* 8. 1 *Thess. ii.* 5. *Mal. ii.* 9. και εναντιον αγγελων ψαλω σοι. *Ps. cxxxvii.* 1. [την αγαπην αυτων μη κατα προκλισεις, αλλα πασι τοις φοβουμενοις τον Θεον ὁσιως ισην παρεχετωσαν. *Clem. Epist. c.* 21.] [μαρτυρομαι δ' εγω μεν ὑμων τα ἁγια, και τους ἱερους αγγελους του Θεου, και πατριδα την κοινην, ὡς ουδεν των σωτηριων ὑμιν καθυφηκαμην. *Jos. Bell. ii.* 16. 4. *p.* 1090. *Edit. Hudson.*] [προκριμα· προτιμησις. *Suid.*]

22 Χειρας ταχεως μηδενι επιτιθει, μηδε κοινωνει ἁμαρτιαις αλλοτριαις. Σεαυτον ἁγνον τηρει·

ελθε μεθ' ἡμων, κοινωνησον αἱματος. *Prov. i.* 11. ετηρησεν αυτον αμεμπτον Θεῳ. *Sap. x.* 5. οὑτος κοινωνος εστιν ανδρος ασεβους. *Prov. xxviii.* 24. μη καταδεσμευσῃς δις ἁμαρτιαν, εν γαρ τῃ μιᾳ ουκ αθωος εσῃ. *Sir. vii.* 8. *xiii.* 1. και ελαβον οἱ αρχοντες του επισιτισμου αυτων, και Κυριον ουκ επηρωτησαν. *Jos. ix.* 14. ελεγμῳ ελεγξεις τον πλησιον σου, και ου ληψῃ δι' αυτον ἁμαρτιαν. *Lev. xix.* 17.

23 Μηκετι ὑδροποτει, αλλ' οινῳ ολιγῳ χρω, δια τον στομαχον σου και τας πυκνας σου ασθενειας.

ολιγον ὑδωρ. 3 Reg. xvii. 10. οινος ευφραινει καρδιαν ανθρωπου. Ps. ciii. 15. Sir. xxxvi. 27. Prov. xxxi. 4-7. ὑδροποτειν. Dan. i. 12. LXX.

24 Τινων ανθρωπων αἱ ἁμαρτιαι προδηλοι εισι, προαγουσαι εις κρισιν· τισι δε και επακολουθουσιν.

ἡ σοφια σου προδηλος εστι. Judith. viii. 29. προδηλον εγενετο τοις θεωρουσι. 2 Mac. iii. 17. xiv. 39. επιθυμιᾳ προαχθεντες. Sap. xix. 11. εις κρισιν. xii. 26. Conf. Gal. v. 19. Jer. ii. 34.

25 Ὡσαυτως και τα καλα εργα προδηλα εστι· και τα αλλως εχοντα κρυβηναι ου δυναται.

ὡσαυτως και. 2 Mac. ii. 12. κρυβηναι ου μη δυνωνται. Jer. xxix. 10. αποκαλυψον προς Κυριον την ὁδον σου, και ελπισον επ' αυτον, και αυτος ποιησει· και εξοισει ὡς φως την δικαιοσυνην σου, και το κριμᾳ σου ὡς μεσημβριαν. Ps. xxxvi. 3, 6. Amos. ix. 2, 3.

ΚΕΦ. ϛ. 6.

ὉΣΟΙ εισιν ὑπο ζυγον δουλοι, τους ιδιους δεσποτας πασης τιμης αξιους ἡγεισθωσαν, ἱνα μη το ονομα του Θεου και ἡ διδασκαλια βλασφημηται.

υἱος δοξαζει πατερα, και δουλος τον κυριον αυτου, κ. τ. λ. Mal. i. 6. Alex. Comp. πασι τοις ὑπ' αυτον. 1 Esd. iii. 1. συνετριψα τον δεσμον του ζυγου ὑμων. Lev. xxvi. 13. ὁ ζυγος ὁ επ' αυτων κειμενος. Esa. ix. 4. και ἡγησαμην αξιους κυνων των εμων νομαδων. Job. xxx. 1. δι' ὑμας διαπαντος το ονομα βλασφημειται εν τοις εθνεσι. Esa. lii. 5. Ezech. xxxvi. 23. Conf. 2 Reg. xii. 14. Col. iii. 22. Tit. ii. 5-9. και οὑτω πασαι αἱ γυναικες περιθησουσι τιμην τοις ανδρασιν ἑαυτων, απο πτωχου ἑως πλουσιου. Est. i. 20.

2 Οἱ δε πιστους εχοντες δεσποτας, μη καταφρονειτωσαν, ὁτι αδελφοι εισιν· αλλα μαλλον δουλευετωσαν, ὁτι πιστοι εισι και αγαπητοι, οἱ της ευεργεσιας αντιλαμβανομενοι. ταυτα διδασκε και παρακαλει.

αντιλαμβανομενος αληθειας. Esa. xxvi. 3. και ητιμασθη ἡ κυρια εναντιον αυτης. Gen. xvi. 4. μεγαλης ευεργεσιας σημειον. 2 Mac. vi. 13. εις ευεργεσιαν. Sap. xvi. 24. Joel. ii. 28. Mal. i. 6.

3 Ει τις ἑτεροδιδασκαλει, και μη προσερχεται ὑγιαινουσι λο-

γεις τοις του Κυριου ἡμων Ιησου Χριστου και τῃ κατ' ευσεβειαν διδασκαλιᾳ,

προσελθε προς το θυσιαστηριον. *Lev. ix.* 7. ευσεβεια εις Θεον αρχη αισθησεως. *Prov. i.* 7. ιασις γλωσσης. *xv.* 4. κρινε παντας ὑγιως. *xxxi.* 8. *Conf. Gal. i.* 6, 7. 1 *Tim. i.* 3, 4. [τους μεν γαρ λογους ὑγιαινοντας και ἐρρωμενους εις παθος ανηκεστον και φθοραν περιηγαγον, κ. τ. λ. *Philo, de Plant. Noe. p.* 236. *de Abrah. p.* 32. μηδενι προσερχεσθαι γνωμῃ των ειρημενων. *de Gigant. p.* 289.] τους δεκα λογους. *Exod. xxxiv.* 28. *Conf. cap. i.* 10.

4 Τετυφωται, μηδεν επισταμενος, αλλα νοσων περι ζητησεις και λογομαχιας, εξ ὡν γινεται φθονος, ερις, βλασφημιαι, ὑπονοιαι πονηραι,

ψυχη νοσουση. *Sap. xvii.* 8. ουκ εστι φθονος ουδε ζηλος εν αυτοις. 1 *Mac. viii.* 16. τυφοις φερομενοι παλαιοτεροις. 3 *Mac. iii.* 18. πασα κεφαλη εις νοσον. *Esa. i.* 5. *Sym.* ὑπονοια πονηρα. *Sir. iii.* 24. *Dan. iv.* 16. *LXX. Conf.* 1 *Cor. viii.* 2. 2 *Tim. ii.* 23. και φυλαξῃ απο παντος ῥηματος πονηρου. *Deut. xxiii.* 9. εις κρισεις και μαχας νηστευετε. *Esa. lviii.* 4. τετυφωται. *Cap. iii.* 6.

5 Παραδιατριβαι διεφθαρμενων ανθρωπων τον νουν, και απεστερημενων της αληθειας, νομιζοντων πορισμον ειναι την ευσεβειαν. αφισταισο απο των τοιουτων.

κατα τα επιτηδευματα ὑμων τα διεφθαρμενα. *Ezech. xx.* 44. ορεξις πορισμων. *Sap. xiv.* 2. αποστηθι απο αδικου. *Sir. vii.* 2. παραδιατριβαι = διαπαρακυπτομενον. 3 *Reg. vi.* 4. *Ald.* 2 *Reg. iii.* 30. [παρατριβη· λογιμαχια, ερις. *Suid.*] ἑκαστος κατα το ἑαυτου. *Esa. lvi.* 11. παντες διεφθαρμενοι εισι. *Jer. vi.* 28. και οπισω των μιασματων ἡ καρδια αυτων. *Ezech. xxxiii.* 31.

6 Εστι δε πορισμος μεγας ἡ ευσεβεια μετα αυταρκειας.

επιστημη και ευσεβεια—οὑτοι εισι θησαυροι δικαιοσυνης. *Esa. xxxiii.* 6. κρεισσον ολιγον τῳ δικαιῳ ὑπερ πλουτον ἁμαρτωλων πολυν. *Ps. xxxvi.* 16. ὑπαρχει σοι πολλα, εαν φοβηθῃς τον Θεον, κ. τ. λ. *Tob. iv.* 21. ζωη αυταρκους εργατου γλυκανθησεται. *Sir. xl.* 18.

7 Ουδεν γαρ εισηνεγκαμεν εις τον κοσμον, δηλον ὁτι ουδε εξενεγκειν τι δυναμεθα·

αυτος γυμνος εξηλθον εκ κοιλιας μητρος μου, γυμνος και απελευσομαι εκει, κ. τ. λ. *Job. i.* 21. *xxvii.* 19. *Gen. iii.* 19. *Ps. xlviii.* 17. *Prov. xxvii.* 24. [τον μηδεν εις κοσμον αλλα μηδε σαυτον εισενηνοχοτα· γυμνος μεν γαρ, θαυμασιε, ηλθες, γυμνος παλιν απιῃς—εν ᾡ τι ποιειν προσηκον ην, η κοινωνιας και ὁμονοιας, ισο-

τητος τε και φιλανθρωπιας και της αρετης επιμελεισθαι; Philo, de Vict. Off. p. 852.] *καθως εξηλθεν απο γαστρος μητρος αυτου γυμνος, κ. τ. λ. Eccles. v.* 14. *Κυριος εκτισεν εκ γης ανθρωπον, και παλιν απεστρεψεν αυτον εις αυτην. Sir. xvii.* 1. *μια δε παντων εισοδος εις τον βιον, εξοδος τε ιση. Sap. vii. 6.*

8 *Εχοντες δε διατροφας και σκεπασματα, τουτοις αρκεσθησομεθα.*

και δῳ μοι αρτον φαγειν, και ἱματιον περιβαλεσθαι. Gen. xxviii. 20. *αρχη ζωης ὑδωρ και αρτος, και ἱματιον, και οικος καλυπτων ασχημοσυνην. Sir. xxix.* 21, 22. *ουκ ην αυτοις εκει διατροφη.* 1 *Mac. vi.* 49. [*ζωσαμενοι σκεπασμασι λινοις. Jos. Bell. Jud. ii.* 8. 5.] [*γαστρι, εξω των αναγκαιων δασμων, ου ἡ φυσις εταξεν, ουδεν πλεον εχορηγει. Philo, de Vit. Mos.* 1. *p.* 607. *αρτον και ἱματιον τον φυσεως πλουτον. De Somn. p.* 584.] *και ουκ αρκεσθεις δε τουτοις.* 2 *Mac. v.* 15. *Conf. Ps. liv.* 22. *Matt. vi.* 25. *Heb. xiii.* 5. *πλουτον δε και πενιαν μη μοι δῳς, συνταξον δε μοι τα δεοντα και τα αυταρκη. Prov. xxx.* 8. *Sir. xxxiv.* 8. 19.

9 *Οἱ δε βουλομενοι πλουτειν, εμπιπτουσιν εις πειρασμον και παγιδα και επιθυμιας πολλας ανοητους και βλαβερας, αἱτινες βυθιζουσι τους ανθρωπους εις ολεθρον και απωλειαν.*

σπευδει πλουτειν. Prov. xxviii. 22. *οἱ βουλομενοι ειρηνην. xii.* 20. *βουλομενος ἱερατευειν.* 1 *Mac. vii.* 5. *εμπιπτει εις παγιδας ἁμαρτωλος. Prov. xii.* 13. *επιθυμιαι ασεβων κακαι.* 12. *εβυθισαν.* 2 *Mac. xii.* 4. *μηδε καταπιετω με βυθος. Ps. lxviii.* 15. *εις ολεθρον και εις αφανισμον.* 3 *Reg. xiii.* 34. *και οἱ κοποι ανοητοι. Sap. iii.* 11. *βλαβερος. Prov. x.* 26. *Conf. Prov. xi.* 28. *Matt. xiii.* 22. *Marc. iv.* 19. *Jac. v.* 1. *Sir. xxxiv.* 3-6.

10 *Ῥιζα γαρ παντων των κακων εστιν ἡ φιλαργυρια· ἡς τινες ορεγομενοι απεπλανηθησαν απο της πιστεως, και ἑαυτους περιεπειραν οδυναις πολλαις.*

ῥιζα αθανασιας. Sap. xv. 3. *παντες φιλαργυριαν αποδιωκουσι. Jer. viii.* 10. *Comp. ῥιζα σοφιας φοβεισθαι τον Κυριον. Sir. i.* 20. *προσεχε μη αποπλανηθῃς. Sir. xiii.* 11. *Deut. xvi.* 19. *xxix.* 19. *Conf. Exod. xxiii.* 8. 2 *Tim. iv.* 10. *Tit. i.* 11. *και αργυριον και χρυσιον ου πληθυνει ἑαυτῳ σφοδρα. Deut. xvii.* 17. [*την του κακοδαιμονειν πηγην πλεονεξιαν. Philo, de Vit. Mos.* 3. *p.* 681. *Edit.* 1640. *ανηκεστοις περιεπειρε κακοις. in Flac. p.* 965. *ταυτα δε ουχ ὑπερ ευσεβειας ελεγεν Ιωαννης, δι' αισχροκερδειαν δε φανερωτατην. Jos. Vit.* § 13.] *εκοπιασε πλουσιος εν συναγωγῃ χρηματων. Sir. xxxiv.* 3. *κρεισσων πτωχος—η πλουσιος μεμαστιγωμενος. xxx.*

13. σπευδει πλουτειν ανηρ βασκανος. *Prov.* xxviii. 22. οδυνας θεριουσιν ἑαυτοις. *Job.* iv. 8. αλλ' ελογισαντο παιγνιον ειναι την ζωην ἡμων, και τον βιον πανηγυρισμον επικερδη· δειν γαρ φησιν ὁθεν δη καν εκ κακου ποριζειν. *Sap.* xv. 12. φιλαργυρου μεν γαρ ουδεν ανομωτερον, κ. τ. λ. *Sir.* x. 9, 10. *Comp.* [περιεπειραν· επηξαν. *Hesych. et Phav.*] *Conf. Prov.* xvii. 26. *Cap.* iii. 1.

11 Συ δε, ω ανθρωπε του Θεου, ταυτα φευγε· διωκε δε δικαιοσυνην, ευσεβειαν, πιστιν, αγαπην, ὑπομονην, πρᾳοτητα·

ανθρωπος του Θεου. 3 *Reg.* xiii. 1. προσευχη του Μωυση ανθρωπου του Θεου. *Ps.* lxxxix. φευγε απο ἁμαρτιας. *Sir.* xxi. 2. διωκοντας δικαιοσυνην αγαπᾳ. *Prov.* xv. 9. δικαιως το δικαιον διωξῃ. *Deut.* xvi. 20. *Conf. cap.* i. 8. ἑνεκεν αληθειας και πρᾳυτητος και δικαιοσυνης. *Ps.* xlv. 4. *Conf.* 2 *Tim.* ii. 22.

12 Αγωνιζου τον καλον αγωνα της πιστεως, επιλαβου της αιωνιου ζωης, εις ἡν και εκληθης, και ὡμολογησας την καλην ὁμολογιαν ενωπιον πολλων μαρτυρων.

αμιαντων αθλων αγωνα νικησασα. *Sap.* iv. 2. επιλαβου ὁπλου και θυρεου. *Ps.* xxxiv. 2. [των ὑψηλων επελαβομεθα. *Test. XII Patr.* p. 595.] [αγωνισασθαι τον περι της πολιτειας αγωνα. *Philo ad Cai.* p. 1040.] γενναιως αγωνισασθαι μεχρι θανατου. 2 *Mac.* xiii. 14. επιλαβου εμης παιδειας. *Prov.* iv. 13. σωζειν εις ζωην αιωνιον. 4 *Mac.* 15. ποιουσαι ποιησομεν τας ὁμολογιας ἡμων. *Jer.* li. 25. *Conf. Gen.* xxxii. 24-28. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel.* ii. 32. *Ps.* xxi. 22. lxxxviii. 5.

13 Παραγγελλω σοι ενωπιον του Θεου του ζωοποιουντος τα παντα, και Χριστου Ιησου του μαρτυρησαντος επι Ποντιου Πιλατου την καλην ὁμολογιαν,

και συ ζωοποιεις τα παντα. *Neh.* ix. 6. ὁς ελαλησεν επι Δαρειου. 1 *Esd.* v. 6. [ὁ Θεος τον κοσμον ζωοποιων. *Act. Thom.* c. 10.] [*Conf. Jos. Ant.* xviii. 3. 2, 3.] παραγγειλατε τῳ λαῳ περιελειν. *Jos.* vi. 6. *Dan.* iii. 4. *LXX. Conf. Deut.* xxxii. 39.

14 Τηρησαι σε την εντολην ασπιλον, ανεπιληπτον, μεχρι της επιφανειας του Κυριου ἡμων Ιησου Χριστου,

αγαπη δε τηρησις νομων αυτης. *Sap.* vi. 18. τηρησις εντολων. *Sir.* xxxii. 23. *Conf. Phil.* i. 6. 10. 1 *Thess.* iii. 13. και νυν Σαλωμων υἱε, γνωθι τον Θεον των πατερων σου, και δουλευε αυτῳ κ. τ. λ. 1 *Par.* xxviii. 9. τῃ του Θεου—επιφανειᾳ. 2 *Mac.* xv. 27. *Conf. cap.* iii. 2.

15 Ἡν καιροις ιδιοις δειξει ὁ μακαριος και μονος δυναστης, ὁ

βασιλευς των βασιλευοντων και Κυριος των κυριευοντων,

πασης εξουσιας δυναστης. 2 Mac. iii. 24. κοσμου δυναστης. xii. 15. ὁ εν ουρανῳ δυναστης. xv. 4. 23. αυτος εστι Θεος θεων, και Κυριος των βασιλεων. Dan. ii. 47. iv. 22. 29. Θεος των θεων, και Κυριος των κυριων. Deut. x. 17. Ps. cxxxvi. 3. και συ κυριευεις πασων των βασιλειων. 2 Par. xx. 6. Conf. cap. i. 11. Apoc. xvii. 14. xix. 16. [ὁ αγεννητος και αφθαρτος, και αΐδιος—και βασιλευς των βασιλευοντων, και Θεος θεων. Philo, de Decal. p. 749.]

16 Ὁ μονος εχων αθανασιαν, φως οικων απροσιτον, ὃν ειδεν ουδεις ανθρωπων, ουδε ιδειν δυναται, ᾧ τιμη και κρατος αιωνιον. αμην.

ὁτι ουκ αθανατος υἱος ανθρωπου. Sir. xvii. 30. παντοκρατορος, και ουχ εὑρισκομεν αλλον ὁμοιον. Job. xxxvii. 23. φως μετ' αυτου εστι. Dan. ii. 22. Ps. ciii. 2. φωτι συγκρινομενη (σοφια) εὑρισκεται προτερα. Sap. vii. 29. ενεγκατε τῳ Κυριῳ δοξαν και τιμην. Ps. xxviii. 1. εν φωτι του προσωπου σου πορευσονται. lxxxviii. 15. δος το κρατος σου τῳ παιδι σου. lxxxv. 16. ου δυνηση ιδειν το προσωπον μου, κ. τ. λ. Exod. xxxiii. 20. [αχωρητον ἡμιν, Κυριε, το φως σου εστι, και ου δυναμεθα φερειν αυτο, κ. τ. λ. Act. Thom. c. 27.] το μεν γαρ οικητηριον σου ουρανος του ουρανου ανεφικτος ανθρωποις εστι. 3 Mac. ii. 15. [Θεον εν αυτῳ (Σιναιῳ) διατριβειν φοβερον και απροσιτον. Jos. Ant. iii. 5. 1.] Deut. iv. 12. Joan. i. 18. 1 Joan. iv. 12. Sap. xviii. 4. Ezech. i. 4. 13. 26-28. ᾧ ἡ δοξα εις τους αιωνας των αιωνων, Αμην. 4 Mac. sub fin.

17 Τοις πλουσιοις εν τῳ νυν αιωνι παραγγελλε, μη ὑψηλοφρονειν, μηδε ηλπικεναι επι πλουτου αδηλοτητι, αλλ' εν τῳ Θεῳ τῳ ζωντι τῳ παρεχοντι ἡμιν πλουσιως παντα εις απολαυσιν,

και τα ὑψηλα απο μακροθεν γινωσκει. Ps. cxxxvii. 6. Κυριε ουχ ὑψωθη ἡ καρδια μου, κ. τ. λ. cxxx. 1-3. Esa. x. 33. επι πλουτου αδηλοτητι = εν πληθει σοφιας. Eccles. i. 18. αλλ' επηλπισεν επι το πληθος του πλουτου αυτου. Ps. li. 7. lxi. 10. τῳ Θεῳ ζωντι. Deut. iv. 26. xxxii. 41. ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον, και εναντι Κυριου εὑρησεις χαριν. Sir. iii. 18. ζω εγω, και ζων το ονομα μου. Num. xiv. 21. δοντος σου αυτοις, συλλεξουσι. Ps. ciii. 28. και απολαυσωμεν των οντων αγαθων. Sap. ii. 6. Deut. xii. 15. xiv. 26. αἱ εντολαι σου απολαυσις μου. Ps. cxviii. 143. 3 Mac. vii. 16. Conf. Job. xxxi. 24. μακαριος πλουσιος ὁς εὑρεθη αμωμος. Sir. xxxiv. 8. εν τῳ νυν καιρῳ. Gen. xxx. 20. αιων. Sap. iv. 2. Eccles. iii. 11. Conf. Gen. i. 29, 30. Act. xiv. 17.

18 Αγαθοεργειν, πλουτειν εν εργοις καλοις, ευμεταδοτους ειναι, κοινωνικους,

αγαθοποιειν. *Num. x.* 32. *Tob. xii.* 13. *Conf. Luc. xii.* 21. *Jac. ii.* 5. *Rom. xii.* 8. [ισος και κοινωνικος. *Philo, Leg. ad Cai. p.* 1001. ανισος, ακοινωνητος. *p.* 864.] εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες. *Prov. xiii.* 7. αγαθοεργειν. *Conf. Gal. vi.* 10. πλουτησει πλουτον. *Dan. xi.* 2. ὁς διδωσι πτωχοις ουκ ενδεηθησεται, ὁς δε αποστρεφει τον οφθαλμον αυτου, εν πολλῃ αποριᾳ εσται. *Prov. xxviii.* 27. *Conf. Esa. xxxii.* 8.

19 Αποθησαυριζοντας ἑαυτοις θεμελιον καλον εις το μελλον, ἱνα επιλαβωνται της αιωνιου ζωης.

θεμα γαρ αγαθον θησαυριζεις σεαυτῳ εις ἡμεραν αναγκης. *Tob. iv.* 9. αποθησαυριζειν. *Sir. iii.* 3. *Conf. Prov. i.* 18. θες τον θησαυρον σου κατ᾽ εντολας Ὑψιστου. *Sir. xxix.* 11. *Conf. Matt. vi.* 20. *Luc. xii.* 18. *xvi.* 19. *Prov. xxii.* 9. θεμελιον αιωνος ενοσσευσε. *Sir. i.* 15. εργα δικαιων ζωην ποιει, καρποι δε ασεβων ἁμαρτιας. *Prov. x.* 16. ισχυν και ευπρεπειαν ενεδυσατο, και ευφρανθη εν ἡμεραις εσχαταις. *xxxi.* 25. του δε αρχιερευς ὑποδειξαντος παραθηκας ειναι χηρων τε και ορφανων. κ. τ. λ. 2 *Mac. iii.* 10-15.

20 Ω Τιμοθεε, την παρακαταθηκην φυλαξον, εκτρεπομενος τας βεβηλους κενοφωνιας και αντιθεσεις της ψευδωνυμου γνωσεως·

τοις παρακαταθεμενοις ταυτα σωα διαφυλαξαι. 2 *Mac. iii.* 15. παρακαταθηκη. *iii.* 10. 15. *Alex. Tob. x.* 13. *Exod. xxii.* 8. *Conf.* 2 *Tim. i.* 12. [ὁ δε φυλαττειν επιτραπεις την αναγκαιοτατην παρακαταθηκην. *Philo in Flac. p.* 984.] [παρακαταθηκην δε, ὡσπερ ἱερον τι και θειον χρημα, ὁ παραλαβων φυλακης αξιουτω. *Jos. Ant. iv.* 8. 38.] χειλη ἱερεως φυλαξεται γνωσιν. *Mal. ii.* 7. [κενοφωνιας· ματαιολογιας. *Hesych.*] απο της φλυαρου φιλοσοφιας. 4 *Mac.* 5. *Sir. iii.* 21-24.

21 Ἡν τινες επαγγελλομενοι, περι την πιστιν ηστοχησαν. Ἡ χαρις μετα σου. αμην.

γνωσεως δε αμοιρων μη επαγγελλου κ. τ. λ. *ne jactes. Sir. iii.* 26. *Comp.* ηστοιχησαν. *Conf. cap. i.* 6. 2 *Tim. ii.* 18. επαγγελλεται γνωσιν εχειν Θεου, και παιδα Κυριου ἑαυτον ονομαζει. *Sap. ii.* 13. [θεοις ουν τοις ψευδωνυμοις ουκ αν πιστον αληθη Θεον συγκρινειν ὑπεμεινε. *Philo, p.* 246.] Κυριος μεθ᾽ ὑμων. *Ruth. ii.* 4. Αμην. *Neh. v.* 13. *viii.* 6.

[Προς Τιμοθεον πρωτη εγραφη απο Λαοδικειας, ἡτις εστι μητροπολις Φρυγιας της Πακατιανης.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ αποστολος Ιησου Χριστου δια θεληματος Θεου κατ' επαγγελιαν ζωης της εν Χριστῳ Ιησου,

Conf. Rom. i. 1, 2. αναστασις εις ζωην. 2 *Mac. vii.* 14. κατ' επαγγελιαν. = 2 *Mac. vi.* 11. [κατ' αλλην αιτιαν. *Jos. Ant. iv.* 8. 23.] ὡς και εν τῃ απαγγελιᾳ σου. *Ps. lv.* 8. λειτουργοι αυτου ποιουντες τα θεληματα αυτου. *cii.* 21.

2 Τιμοθεῳ αγαπητῳ τεκνῳ· χαρις, ελεος, ειρηνη απο Θεου πατρος και Χριστου Ιησου του Κυριου ἡμων.

Conf. 1 *Tim. i.* 2.

3 Χαριν εχω τῳ Θεῳ, ᾡ λατρευω απο προγονων εν καθαρᾳ συνειδησει, ὡς αδιαλειπτον εχω την περι σου μνειαν εν ταις δεησεσι μου νυκτος και ἡμερας,

πολλας τῳ Ονιᾳ τῳ αρχιερει χαριτας εχε. 2 *Mac. iii.* 33. ὁ Θεος σου ᾡ συ λατρευεις ενδελεχως. *Dan. vi.* 16. ἱνα μη ατιμαζωνται οἱ προγονοι σου. *Sir. viii.* 5. 2 *Mac. viii.* 19. *xi.* 25. καθαρᾳ καρδιᾳ. *Ps. l.* 1. μνειᾳ μνησθησῃ ὁσα εποιησε Κυριος ὁ Θεος σου. *Deut. vii.* 18. και εμοι μηδαμως του ἁμαρτειν τῳ Κυριῳ ανιεναι του προσευχεσθαι περι ὑμων. 1 *Reg. xii.* 23. σοι ὁ Θεος των πατερων μου εξομολογουμαι και αινω. *Dan. ii.* 23. *Exod. xv.* 2.

4 Επιποθων σε ιδειν, μεμνημενος σου των δακρυων, ἱνα χαρας πληρωθω·

επιποθει—ἡ ψυχη μου. *Ps. lxxxiii.* 2. ανεμνησθη ὁ Θεος του Νωη. *Gen. viii.* 1. τοτε επλησθη χαρας το στομα ἡμων. *Ps. cxxxv.* 2. ενωτισαι των δακρυων μου. *xxxviii.* 12. οἱ σπειροντες εν δακρυσιν, εν αγαλλιασει θεριουσι. *Ps. cxxv.* 5. χαρητε ἁμα αυτῃ χαρᾳ παντες ὁσοι πενθειτε, κ. τ. λ. *Esa. lxvi.* 10.

5 Ὑπομνησιν λαμβανων της εν σοι ανυποκριτου πιστεως, ἡτις
ενῳκησε πρωτον εν τῃ μαμμῃ σου Λωΐδι, και τῃ μητρι σου
Ευνεικῃ, πεπεισμαι δε ὁτι και εν σοι.

[ὑπομνησιν ποιεισθαι. *Act. Thom.* 38.] *Sap. xvi.* 11. κρισιν ανυποκριτον. *v.* 18. *Conf. Rom. xii.* 9. ενῳκησε. *Sir. xxv.* 16. μαμμη. 4 *Mac.* 16. πεπεισμαι γαρ αυτον επιεικως και φιλανθρωπως παρακολουθουντα τῃ εμῃ προαιρεσει. 2 *Mac. ix.* 27. *Conf. Act. xvi.* 1. ὁ Θεος εν τοις ωσιν ἡμων ηκουσαμεν, οἱ πατερες ἡμων ανηγγειλαν ἡμιν, κ. τ. λ. *Ps. xliii.* 1. *Dan. ii.* 23. [και την μεν ων ετεκε μητερα τε και μαμμην. *Philo, de Legg. p.* 778.] [ουκ ενῳκησεν εν αυτῳ ουδεν πονηρον. *Test. XII. Patr. p.* 539.] [μαμμη· οἱ αρχαιοι, τιθη. *Phav.*]

6 Δι' ἡν αιτιαν αναμιμνησκω σε αναζωπυρειν το χαρισμα του
Θεου, ὁ εστιν εν σοι δια της επιθεσεως των χειρων μου·

μνησθητε ταυτα. *Esa. xlvi.* 8, 9. *Conf.* 3 *Reg. xvii.* 18. *Esa. xliii.* 26. δι' ἡν αιτιαν. 1 *Esd. ii.* 23. 2 *Mac. iv.* 35. και ανεζωπυρησε το πνευμα του λαου. 1 *Mac. xiii.* 7. *Gen. xlv.* 27. επιθησει τας χειρας αυτου επι την κεφαλην. *Exod. xxix.* 10. 15. *et pass. Conf. Act. vi.* 6. 1 *Tim. iv.* 14. *v.* 22. [οἱ δε λειτουργοι Θεου την ουρανιαν φλογα ανακαίειν και ζωπυρειν επειγομενοι. *Philo. de Somn. p.* 1134. παρεκαλεσεν αυτον δεηθηναι του Θεου αναζωπυρησαι την δεξιαν αυτῳ. *Jos. Ant. viii.* 8. 5.] *Conf. Sap. ix.* 10. *Ps. lxxxiv.* 6.

7 Ου γαρ εδωκεν ἡμιν ὁ Θεος πνευμα δειλιας, αλλα δυναμεως
και αγαπης και σωφρονισμου.

οὑς ενεπλησα πνευματος σοφιας και αισθησεως. *Exod. xxviii.* 3. δειλια θανατου. *Ps. liv.* 4. εδωκα το πνευμα μου επ' αυτον. *Esa. xlii.* 1. εαν μη εγω εμπλησω ισχυν εν πνευματι Κυριου, και κριματος και δυναστειας. *Mich. iii.* 8. *Conf. Rom. viii.* 15. *Luc. xxiv.* 49. ουκ εν δυναμει μεγαλῃ, ουδε εν ισχυΐ, αλλα εν Πνευματι μου, κ. τ. λ. *Zach. iv.* 6. = πνευμα δειλον.

8 Μη ουν επαισχυνθῃς το μαρτυριον του Κυριου ἡμων, μηδε
εμε τον δεσμιον αυτου· αλλα συγκακοπαθησον τῳ ευαγγελιῳ
κατα δυναμιν Θεου,

επαισχυνθῃς. *Conf. Luc. ix.* 26. ασεβης ασχυνεται, και ουκ ἑξει παρρὁησιαν. *Prov. xiii.* 5. ωνειδισαν το ανταλλαγμα του Χριστου σου. *Ps. lxxxviii.* 51. [*Conf. Biel. voce* ανταλλαγμα.] γενηθητω ἡ καρδια μου αμωμος εν τοις δικαιωμασι σου, ὁπως αν μη αισχυνθω. *Ps. cxviii.* 80. *Esa. li.* 7. ἡ μαρτυρια Κυριου πιστη, κ. τ. λ. *Ps.*

xviii. 7. μη τουτων αισχυνθῃς—περι νομου Ὑψιστου και διαθηκης, και περι κριματος δικαιωσαι τον ασεβη. *Sir. xlii.* 1, 2.

9 Του σωσαντος ἡμας και καλεσαντος κλησει ἁγιᾳ, ου κατα τα εργα ἡμων, αλλα κατ᾽ ιδιαν προθεσιν, και χαριν την δοθεισαν ἡμιν εν Χριστῳ Ιησου προ χρονων αιωνιων,

και αποστελει αυτοις ανθρωπον ὁς σωσει αυτους. *Esa. xix.* 20. εγω Κυριος ὁ Θεος εκαλεσα σε εν δικαιοσυνῃ. *xlii.* 6. και γνωσῃ ὁτι εγω Κυριος ὁ σωζων σε. *lx.* 16. ουδε αγγελος, αλλ᾽ αυτος εσωσεν αυτους. *lxiii.* 9. ουκ εκαλεσεν εις την κλησιν. *Judith. xii.* 10. *Alex. Ald.* αποδωσεις ἑκαστῳ κατα τα εργα αυτου. *Ps. lxi.* 12. την του βασιλεως προθεσιν επιτελεσων. 2 *Mac. iii.* 8. προ δε παντων βουνων γεννᾳ με. *Prov. viii.* 25. *Ps. lxxi.* 5. 17. εις τον αιωνα χρονον. *Esa. xiii.* 20. ἡμερα κλησεως. *Jer. xxxviii.* 6. και ἑνεκεν της επ᾽ αυτους επικλησεως του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 *Mac. viii.* 15. του βασιλεως προθεσιν επιτελεσων. *iii.* 8. ουχι δια την δικαιοσυνην σου, ουδε δια την ὁσιοτητα της καρδιας σου, κ. τ. λ. *Deut. ix.* 5. ὁ ὑπαρχων προ των αιωνων. *Ps. liv.* 19. *Conf. Tit. i.* 2.

10 Φανερωθεισαν δε νυν δια της επιφανειας του σωτηρος ἡμων Ιησου Χριστου, καταργησαντος μεν τον θανατον, φωτισαντος δε ζωην και αφθαρσιαν δια του ευαγγελιου,

προσοχη δε νομων βεβαιωσις αφθαρσιας, αφθαρσια δε εγγυς ειναι ποιει Θεου. *Sap. vi.* 19, 20. και ην φωτιζων αυτους. 4 *Reg. xvii.* 27, 28. ἡ δηλωσις των λογων σου φωτιει. *Ps. cxviii.* 130. εκ χειρος ᾁδου ῥυσομαι, και εκ θανατου λυτρωσομαι κ. τ. λ. *Ose. xiii.* 14. *Esa. xxv.* 8. [Κυριος ὁ Θεος μεγας του Ισραηλ φαινομενος επι γης ὡς ανθρωπος. *Test. XII Patr. p.* 541. οφθησεται Κυριος εν ανθρωποις ἑως παρουσιας του Θεου της δικαιοσυνης. *p.* 615.]

11 Εις ὁ ετεθην εγω κηρυξ και αποστολος και διδασκαλος εθνων·

ἡγιακα σε, προφητην εις εθνη τεθεικα σε. *Jer. i.* 5. διδασκαλος. *Dan. i.* 3. *alii.* 2 *Mac. i.* 10. 1 *Tim. ii.* 7. *Act. ix.* 15. *Ephes. iii.* 8. *Gal. i.* 15.

12 Δι᾽ ἡν αιτιαν και ταυτα πασχω, αλλ᾽ ουκ επαισχυνομαι. οιδα γαρ ᾡ πεπιστευκα, και πεπεισμαι ὁτι δυνατος εστι την παραθηκην μου φυλαξαι εις εκεινην την ἡμεραν.

ὁ πιστευων επι αυτῳ ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. *Ald. Comp.* πεπεισμαι. 2 *Mac. ix.* 27. και αποδῳ—την παραθηκην

ἡτις παρετεθη αυτῳ. *Lev. vi.* 4. κατα ψυχην δε ἡδεως δια τον αυτου φοβον ταυτα πασχω. *2 Mac. vi.* 30. οιδα γαρ ὁτι αεννασς εστιν ὁ εκλυειν με μελλων, κ. τ. λ. *Job. xix.* 25, 26. δικαιων δε ψυχαι εν χειρι Θεου, και ου μη ἁψηται αυτων βασανος. *Sap. iii.* 1. εις χειρας σου παραθησομαι το πνευμα μου, ελυτρωσω με Κυριε ὁ Θεος της αληθειας. *Ps. xxx.* 5. [ει δε τις του σφετερου σωματος εκβαλῃ την παρακαταθηκην του Θεου, λεληθεναι δοκει τον αδικουμενον; *Jos. Bell. Jud. iii. p.* 382.] οἱ τας παραθηκας πιστευσαντες τῳ ἱρεῳ θησαυρῳ. 4 *Mac.* § 4. [τουτ᾽ επαινος εστι του σπουδαιου, την ἱεραν παρακαταθηκην ψυχης—μη ἑαυτῳ, μονῳ δε τῳ πεπιστευκοτι, φυλαξαντος. *Philo. p.* 387.]

13 Ὑποτυπωσιν εχε ὑγιαινοντων λογων, ὡν παρ᾽ εμου ηκουσας, εν πιστει και αγαπῃ τῃ εν Χριστῳ Ιησου·

ὑποτυπωσις. *Conf.* 1 *Tim. i.* 16. και οἱ πιστοι εν αγαπῃ προσμενουσιν αυτῳ. *Sap. iii.* 9. την ὁδον εχειν. *Job. xvii.* 9. *Conf.* 1 *Tim. i.* 10. *Prov. iii.* 18. [ὑγιαινοντες τῃ κρισει. *Jos. c. Ap. i.* 21.] κρινε ταυτα ὑγιως. *Prov. xxi.* 8. *Ald.*

14 Την καλην παρακαταθηκην φυλαξον δια Πνευματος ἁγιου του ενοικουντος εν ἡμιν.

παρακαταθηκη. *Conf.* 1 *Tim. vi.* 20. ὡδε κατοικησω, ὁτι ἡρετισαμην αυτην. *Ps. cxxxi.* 14. *cxxxix.* 13. επιθησω το Πνευμα μου επι το σπερμα σου. *Esa. xliv.* 3. *Conf. Lev. xxvi.* 12. *Exod. xxix.* 45. *Ezech. xxxvii.* 27. *Rom. viii.* 11. [μνημῃ τα ασκητα παραδουναι θεωρηματα των ἁγιων, επιστημης καλην παρακαταθηκην φυλακι πιστῃ. *Philo, Tom. i. p.* 204. *Mangey.*]

15 Οιδας τουτο, ὁτι απεστραφησαν με παντες οἱ εν τῃ Ασιᾳ, ὡν εστι Φυγελλος και Ἑρμογενης.

οἱ αδελφοι οἱ εν Ἱεροσολυμοις. 2 *Mac. i.* 1. συ απεστραφης με, λεγει Κυριος, κ. τ. λ. *Jer. xv.* 6. *Ose. viii.* 3. 3 *Mac. viii.* 3.

16 Δῳη ελεος ὁ Κυριος τῳ Ονησιφορου οικῳ· ὁτι πολλακις με ανεψυξε, και την ἁλυσιν μου ουκ επησχυνθη,

δῳη ὑμιν καρδιαν πασιν εις το σεβεσθαι αυτον. 2 *Mac. i.* 3. ἁλυσις. *Sap. xvii.* 17. αναψυξειν. *Exod. xxiii.* 12. *Jud. xv.* 19. *Alex. Ald. Ps. xxxviii.* 13. ελεος. *Exod. xx.* 6. *Job. x.* 12. *Sir. xxxii.* 20. [αναψυχειν τους τεθλιμμενους. *Act. Thom.* § 19. κατα παντα σου αντιψυχον εγω, και τα δεσμα μου ἁ ηγαπησας. *Ignat. ad Polyc. p.* 12.]

17 Αλλα γενομενος εν Ῥωμῃ, σπουδαιοτερον εζητησε με και εὑρε·

18 Δῳη αυτῳ ὁ Κυριος εὑρειν ελεος παρα Κυριου εν εκεινῃ τῃ ἡμερᾳ. και ὁσα εν Εφεσῳ διηκονησε, βελτιον συ γινωσκεις.

ει εὑρηκα ελεος παρα σοι. Num. xi. 15. και εκδικησω—εν εκεινῃ τῃ ἡμερᾳ. Soph. i. 9. και Κυριος εβρεξεν—παρα Κυριου εξ ουρανου. Gen. xix. 24. δῳη σοι κατα την καρδιαν σου, και πασαν την βουλην σου πληρωσαι. Ps. xix. 1-4.

ΚΕΦ. β. 2.

ΣΥ ουν, τεκνον μου, ενδυναμου εν τῃ χαριτι τῃ εν Χριστῳ Ιησου·

ισχυε και ποιει. 1 Par. xxviii. 10. ισχυε και ανδριζου. Jos. i. 6, 7. δευτε τεκνα, ακουσατε μου. Ps. xxxiii. 11. Gen. xliii. 29. ενεδυναμωθη επι τῃ ματαιοτητι αυτου. Ps. li. 7. δυναμωσον ὁ Θεος τουτο, ὁ κατηρτισω εν ἡμιν. lxvii. 28.

2 Και ἁ ηκουσας παρ' εμου δια πολλων μαρτυρων, ταυτα παραθου πιστοις ανθρωποις, οἱτινες ἱκανοι εσονται και ἑτερους διδαξαι.

ηλθε δε Μωυσης, και εκαλεσε τους πρεσβυτερους του λαου, και παρεθηκεν αυτοις παντας τους λογους τουτους. Exod. xix. 7. ουχ ἱκανος ειμι. iv. 10. και εδιδασκον εν Ιουδα, και μετ' αυτων βιβλος νομου Κυριου, και διηλθον εν ταις πολεσιν Ιουδα, και εδιδασκον τον λαον. 2 Par. xvii. 9. ὁτι Εσδρας εδωκεν εν καρδιᾳ αυτου ζητησαι τον νομον, και ποιειν και διδασκειν εν Ισραηλ προσταγματα και κριματα. Esd. vii. 10. Mal. ii. 7. Neh. vii. 2.

3 Συ ουν κακοπαθησον ὡς καλος στρατιωτης Ιησου Χριστου.

Conf. 1 Tim. i. 18. Cap. i. 8. ἡδεως την κακοπαθειαν ὑποισομεν. 2 Mac. ii. 26, 27. Conf. 2 Mac. vii. 29. ὡ μητηρ, δι' ευσεβειαν Θεου στρατιωτι πρεσβυτι, κ. τ. λ. 4 Mac. § 16. [νηφη ὡς Θεου αθλητης. Ignat. p. 12.] [ου δυναμενος αυτος ετι κακοπαθειν. Jos. c. Ap. i. 19. Ant. x. 11. 1.] ἱεραν και ευγενη στρατειαν στρατευσασθε ὑπερ της ευσεβειας. 4 Mac. 9. Conf. Ezech. ii. 6.

4 Ουδεις στρατευομενος εμπλεκεται ταις του βιου πραγματειαις, ἱνα τῳ στρατολογησαντι αρεσῃ.

και μετα σου εν πασῃ πραγματειᾳ, και πας προθυμος. 1 Par.

xxviii. 21. ὁ δε σκολιαις ὁδοις πορευομενος εμπλακησεται. *Prov. xxviii.* 18. *Conf. Deut. xv.* 5-7. *xxiv.* 5. αρεσῃ. *Est. ii.* 4.

5 Εαν δε και αθλῃ τις, ου στεφανουται εαν μη νομιμως αθλησῃ.

τον των αμιαντων αθλων αγωνα νικησασα. *Sap. iv.* 2. *Conf.* 1 *Cor. ix.* 25. ει δε και. *Job. xxxi.* 13. θεοσεβεια δε ενικα, τους ἑαυτης αθλητας στεφανουσα. 4. *Mac.* § 16. νομιμως. § 6.

6 Τον κοπιωντα γεωργον δει πρωτον των καρπων μεταλαμβανειν.

Conf. 1 *Cor. ix.* 10. αγαθων και κινδυνων μεταληψεσθαι. *Sap. xviii.* 9. 2 *Reg. iii.* 35. *Sym.* μη ὁλην την ἡμεραν αροτριασει ὁ αροτριων; κ. τ. λ. *Esa. xxviii.* 24, 25. *Conf.* 1 *Tim. v.* 18. 1 *Reg. ii.* 14.

7 Νοει ἁ λεγω· δῳη γαρ σοι ὁ Κυριος συνεσιν εν πασι.

νοητως νοει τα παρατιθεμενα σοι. *Prov. xxiii.* 1. συνετε δη ταυτα. *Ps. xlix.* 22. νυν σοφιαν και συνεσιν δος μοι. 2 *Par. i.* 10-12. και δῳη ὑμιν καρδιαν πασιν εις το σεβεσθαι αυτον. 2 *Mac. i.* 3. και οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. συνετισον με, κ. τ. λ. *Ps. cxviii.* 34. 104. και ην Δαυιδ εν πασαις ὁδοις αυτου συνιων, και Κυριος ην μετ᾽ αυτου. 1 *Reg. xviii.* 14.

8 Μνημονευε Ιησουν Χριστον εγηγερμενον εκ νεκρων, εκ σπερματος Δαβιδ, κατα το ευαγγελιον μου·

μνημονευωμεν εις αιωνα διαθηκης αυτου. 1 *Par. xvi.* 15. αναστησονται οἱ νεκροι και εγερθησονται. *Esa. xxvi.* 19, ὁ εγειρας νεκρον εκ θανατου. *Sir. xlviii.* 5. και θησομαι εις τον αιωνα του αιωνος το σπερμα αυτου. *Ps. lxxxviii.* 29. *Conf. Ps. xv.* 10. *cxxxi.* 11. 2 *Reg. vii.* 12. *Esa. xi.* 1. *Jer. xxiii.* 5. *Matt. i.* 1. *Act. ii.* 30. *Rom. i.* 3. 1 *Cor. xv.* 1. 4. διατουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8.

9 Εν ᾡ κακοπαθω μεχρι δεσμων, ὡς κακουργος· αλλ᾽ ὁ λογος του Θεου ου δεδεται.

και ἡμιν μεν τοις την κακοπαθειαν επιδεδεγμενοις. 2 *Mac. ii.* 26. αγωνισασθαι μεχρι θανατου περι νομων. *xiii.* 14. καθησεσθε εν οχυρωμασι δεσμιοι της συναγωγης, κ. τ. λ. *Zach. ix.* 12. ὁ αποστελλων το λογιον αυτου τῃ γῃ, ἑως ταχους δραμειται ὁ λογος αυτου. *Ps. cxlvii.* 15. *cxviii.* 45. *Esa. lxi.* 1.

10 Δια τουτο παντα ὑπομενω δια τους εκλεκτους, ἱνα και αυτοι σωτηριας τυχωσι της εν Χριστῳ Ιησου, μετα δοξης αιωνιου.

ὑπομενω. *Mal. iii.* 2. *Sir. xxii.* 18. ὁ ποιησας τους πατερας εκλεκτους, και ἁγιασας αυτους. 2 *Mac. i.* 25. και κληρονομησουσιν

οἱ εκλεκτοι μου. *Esa. lxv.* 9. του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης. *Esa. xlix.* 6. εαν ευκαιριας τυχω. 1 *Mac. xi.* 42. της ελευθεριας τευξεται. 3 *Mac. iii.* 28. και μετα δοξης προσελαβου με. *Ps. lxxii.* 24.

11 Πιστος ὁ λογος· ει γαρ συναπεθανομεν, και συζησομεν·
ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. συναποθανετω σοι. *Sir. xix.* 10. και εσομεθα παρα Θεῳ, δι' ὁν και πασχομεν. 4 *Mac.* § 9.

12 Ει ὑπομενομεν, και συμβασιλευσομεν· ει αρνουμεθα, κακεινος αρνησεται ἡμας·
τιμησατε σοφιαν, ἱνα εις τον αιωνα βασιλευσητε. *Sap. vi.* 21.

13 Ει απιστουμεν, εκεινος πιστος μενει· αρνησασθαι ἑαυτον ου δυναται.
πολλη ἡ πιστις σου. *Thren. iii.* 23. ουχ ὡς ανθρωπος ὁ Θεος, διαρτηθηναι, κ. τ. λ. *Num. xxiii.* 19. και γαρ εαν ἁμαρτωμεν, σοι εσμεν, κ. τ. λ. *Sap. xv.* 2. *Conf. Esa. xxv.* 1.

14 Ταυτα ὑπομιμνησκε, διαμαρτυρομενος ενωπιον του Κυριου μη λογομαχειν, εις ουδεν χρησιμον, επι καταστροφῃ των ακουοντων.
διαμαρτυρομαι ὑμιν σημερον. *Deut. iv.* 26. *Conf.* 1 *Reg. xii.* 3. *Neh. ix.* 26. μη χρησιμον εσται εις εργασιαν. *Ezech. xv.* 4. χρησιμον σκευος εις ὑπηρεσιαν ζωης. *Sap. xiii.* 11. καιρος καταστροφης. 1 *Mac. ii.* 49. *Prov. i.* 18. *Conf.* 1 *Tim. vi.* 4. *Tit. iii.* 9. και οπισω ανωφελους επορευθησαν. *Jer. ii.* 8. και λημμα Κυριου μη ονομαζετε ετι, ὁτι το λημμα τῳ ανθρωπῳ εσται ὁ λογος αυτου. *xxiii.* 36. *Sir. xiii.* 11. *xx.* 8.

15 Σπουδασον σεαυτον δοκιμον παραστησαι τῳ Θεῳ, εργατην ανεπαισχυντον, ορθοτομουντα τον λογον της αληθειας.
σπουδασον. *Job. xxxi.* 5. γνωριζε αυτην, ἱνα ορθοτομῃ τας ὁδους σου. *Prov. iii.* 6. [εργατης Κυριου. *Test. XII Patr. p.* 746.] δοκιμος. *Conf.* 2 *Cor. x.* 18. 1 *Cor. ix.* 27. δικαιοσυνη αμωμου ορθοτομει ὁδους. *Prov. xi.* 5. *Conf. Tit. ii.* 7, 8. και παραστησει αυτους εναντι Κυριου κ. τ. λ. *Lev. xvi.* 7. *Ald. Comp.*

16 Τας δε βεβηλους κενοφωνιας περιϊστασο· επι πλειον γαρ προκοψουσιν ασεβειας,
του προσθειναι επι πλημμελιαν Ισραηλ. *Esd. x.* 10. *Conf.* 1 *Tim. vi.* 20. *iv.* 7. προκοπτειν. *Ps. xliv.* 5. *alii.* [και προυκοψαν εις

τοσουτον παρανομιας. *Jos. Bell. Jud. vi.* 2. 3.] *Conf. Ose. xii.* 1. 2 *Par. xxxvi.* 16. *Ps. li.* 7.

17 Και ὁ λογος αυτων ὡς γαγγραινα νομην ἑξει· ὡν εστιν Ὑμεναιος και Φιλητος,

Conf. 1 *Tim. i.* 20. [καθαπερ σηπομενου σωματος—φθανοντες την εις το προσω νομην. *Jos. Bell. Jud. vi.* 2. 9.] τι ετι πληγητε προστιθεντες ανομιαν; πασα κεφαλη εις νοσον—πληγη φλεγμαινουσα, κ. τ. λ. *Esa. i.* 5, 6. *Ps. cxxxix.* 3.

18 Οἱτινες περι την αληθειαν ηστοχησαν, λεγοντες την αναστασιν ηδη γεγονεναι, και ανατρεπουσι την τινων πιστιν.

ζωην δε ασεβων ανατρεψει. *Prov. x.* 3. *Ps. cxvii.* 13. αστοχειν. *Sir. vii.* 19. *Conf.* 1 *Tim. vi.* 21. δια τουτο ὑπομεινον με—εις ἡμεραν αναστασεως μου. *Sophon. iii.* 8.

19 Ὁ μεντοι στερεος θεμελιος του Θεου ἑστηκεν, εχων την σφραγιδα ταυτην, Εγνω Κυριος τους οντας αὑτου· και, Αποστητω απο αδικιας πας ὁ ονομαζων το ονομα Χριστου.

οἱ θεμελιοι αυτου εν τοις ορεσι τοις ἁγιοις. *Ps. lxxxvi.* 1. *Esa. xiv.* 32. *xxv.* 2. εκ στερεας πετρας. *Deut. xxxii.* 13. *Jer. vi.* 5. *Prov. xviii.* 19. γλυμμα σφραγιδος διαγλυψεις τους δυο λιθους επι τοις ονομασι των υἱων Ισραηλ. *Exod. xxviii.* 11. *Conf. Zach. iii.* 9. *iv.* 9. *Joan. x.* 14. επεσκεπται και εγνω ὁ Θεος τους οντας αυτου. *Num. xvi.* 5. ὁδον αδικιας αποστησον απ' εμου. *Ps. cxviii.* 29. *Conf. Num. vi.* 27. *Matt. vii.* 21-23. *Esa. lii.* 11. *Thren. iv.* 2. 15. και θησομαι σε ὡς σφραγιδα, διοτι σε ἡρετισα, κ. τ. λ. *Agg. ii.* 24. *Conf. Esa. lxiii.* 9. *lxv.* 15. *xxviii.* 16. [εν σφραγιδι ὁ τραχηλος αυτων. *Psalt. Sal. ii.* 6.] οἱ αγαπωντες τον Κυριον, μισειτε πονηρον. *Ps. xcvi.* 10. *Conf.* 2 *Mac. viii.* 15. αποστητε απ' εμου παντες οἱ εργαζομενοι την ανομιαν. *Ps. vi.* 8. και τα ονοματα των θεων αυτων ουκ ονομασθησεται εν ὑμιν κ. τ. λ. *Jos. xxiii.* 7. και εσφραγισται εν τοις θησαυροις μου. *Deut. xxxii.* 34. Κυριε ὁ Θεος ἡμων, κτησαι ἡμας· Κυριε, εκτος σου αλλον ουκ οιδαμεν· το ονομα σου ονομαζομεν. *Esa. xxvi.* 13. *Prov. xvi.* 5. *CITAT.* 238.

20 Εν μεγαλῃ δε οικιᾳ ουκ εστι μονον σκευη χρυσα και αργυρα, αλλα και ξυλινα και οστρακινα, και ἁ μεν εις τιμην, ἁ δε εις ατιμιαν.

σκευη αργυρα και χρυσα. *Gen. xxiv.* 53. σκευος ξυλινον. *Lev. xv.* 12. *Dan. ii.* 46. *v.* 2. σκευος οστρακινον. *Lev. vi.* 28. τα των καθαρων εργων δουλα σκευη, τα δ' εναντια. *Sap. xv.* 7. παντα τα

εργα του Κυριου μετα δικαιοσυνης, φυλασσεται δε ὁ ασεβης εις ἡμεραν κακην. *Prov. xvi.* 5. *Jer. xviii.* 4.

21 Εαν ουν τις εκκαθαρῃ ἑαυτον απο τουτων, εσται σκευος εις τιμην, ἡγιασμενον, και ευχρηστον τῳ δεσποτῃ, εις παν εργον αγαθον ἡτοιμασμενον.

και ενιψαμην εν αθωοις τας χειρας μου. *Ps. lxxii.* 13. και εκκαθαρω σοι αυτον εκει. *Jud. vii.* 4. τα σκευη της καυχησεως σου. *Ezech. xvi.* 17. παν σκευος επιθυμητον αυτων. *Dan. xi.* 8. ὡς σκευος αχρηστον. *Ose. viii.* 8. και σκευη εντιμα χειλη συνεσεως. *Prov. xx.* 18. *Comp.* ητιμωθη Ιεχονιας ὡς σκευος οὑ ουκ εστι χρεια. *Jer. xxii.* 28. *Conf. cap. iii.* 17. *Esa. i.* 25. *Ps. cxviii.* 9. *Sir. xliii.* 2.

22 Τας δε νεωτερικας επιθυμιας φευγε· διωκε δε δικαιοσυνην, πιστιν, αγαπην, ειρηνην μετα των επικαλουμενων τον Κυριον εκ καθαρας καρδιας.

διωκοντας δε δικαιοσυνην αγαπᾳ. *Prov. xv.* 9. *Esa. li.* 1. και φανερωσω αυτοις εισακουειν—ειρηνην και πιστιν. *Jer. xl.* 6. *Alex. Ald.* τον Κυριον ουκ επεκαλεσαντο. *Ps. xiii.* 4. εγγυς Κυριος πασι τοις επικαλουμενοις αυτον. *cxliv.* 18. καρδιαν καθαραν κτισον εν εμοι. *l.* 10. *Conf.* 1 *Cor. i.* 2. 1 *Tim. vi.* 11. *Gen. xx.* 6. *Eccles. xi.* 9. ἁμαρτιας νεοτητος μου—μη μνησθῃς. *Ps. xxv.* 7. τεκνον, εκ νεοτητος σου επιλεξαι παιδειαν, και ἑως πολιων εὑρησεις σοφιαν. *Sir. vi.* 18. [φευγετε την πορνειαν. *Test. XII Patr. p.* 529. ὑπο τε αυθαδειας νεωτερικης και βασιλικης οιησεως. *Jos. Ant. xvi.* 11. 7.] *Conf. Jer. xxxviii.* 19.

23 Τας δε μωρας και απαιδευτους ζητησεις παραιτου, ειδως ὁτι γεννωσι μαχας·

Conf. 1 *Tim. i.* 4. *vi.* 4. *Tit. iii.* 9. στομα δε απαιδευτων γνωσεται κακα. *Prov. xv.* 14. αποσχου απο μαχης, και ελαττωσεις ἁμαρτιας. *Sir. xxviii.* 8. εις κρισεις και μαχας νηστευετε. *Esa. lviii.* 4. *Conf. Ose. vii.* 16. *Prov. v.* 23. μεγαλαι γαρ σου αἱ κρισεις και δυσδιηγητοι· δια τουτο απαιδευτοι ψυχαι επλανηθησαν. *Sap. xvii.* 1. παραιτου. *Conf.* 2 *Mac. ii.* 31.

24 Δουλον δε Κυριου ου δει μαχεσθαι, αλλ᾽ ηπιον ειναι προς παντας, διδακτικον, ανεξικακον,

και εμαχεσαντο—φασκοντες αυτων ειναι το ὑδωρ. *Gen. xxvi.* 20. ὁ Κυριε, εγω δουλος σος. *Ps. cxv.* 6. μετα ηπιοτητος αει διεξαγων. *Addit. Est. xiii.* 2. 1 *Thess. ii.* 7. ανεξικακια. *Sap. ii.* 19. *Conf.* 1 *Tim. iii.* 2. *Tit. i.* 9. *Esa. xl.* 11. και ὁ ανθρωπος Μωυσης πραϋς σφοδρα παρα παντας τους ανθρωπους κ. τ. λ. *Num. xii.* 3.

25 Εν πραοτητι παιδευοντα τους αντιδιατιθεμενους· μηποτε δῳ
αυτοις ὁ Θεος μετανοιαν εις επιγνωσιν αληθειας,

ὁτι επηλθε πραυτης εφ' ἡμας, και παιδευθησομεθα. *Ps. lxxxix.* 10. και αποκριθητι αυτῳ ειρηνικα εν πραΰτητι. *Sir. iv.* 8. πλην μετανοουσι εδωκεν επανοδον, κ. τ. λ. *Sir. xvii.* 24. ανηρ επιστημων ου γογγυσει παιδευμενος. *Sir. x.* 28. επιστρεψον με, και επιστρεψω. *Jer. xxxi.* 18. *Zach. xii.* 10. διδως επι ἁμαρτημασι μετανοιαν. *Sap. xii.* 19. φειδῃ δε παντων, ὁτι σα εστι δεσποτα φιλοψυχε. *xi.* 26. και επιγνωσιν Θεου εὑρησεις. *Prov. ii.* 5. *Ose. iv.* 1. επιστραφητε προς Κυριον—τις οιδεν ει επιστρεψει, και μετανοησει κ.τ.λ. *Joel. ii.* 13, 14. *Conf. Jona. iii.* 10. του πραυτητι τα εργα σου διεξαγε. *Sir. iii.* 17. 1 *Mac. iv.* 10. μηποτε (*siquidem, siquando*). *Gen. iii.* 22. *xxiv.* 5. 39. 2 *Mac. iii.* 32. *Hoogev. p.* 518. *Gatak. ad Antonin. p.* 147. ισως ακουσονται, και αποστραφησονται, κ.τ.λ. *Jer. xxxiii.* 3.

26 Και ανανηψωσιν, εκ της του διαβολου παγιδος εζωγρημενοι
ὑπ' αυτου, εις το εκεινου θελημα.

μηποτε εμπεσῃς εις τας παγιδας αυτης. *Sir. ix.* 3. 1 *Tim. iii.* 7. και εκνηψουσιν οἱ επιβουλοι σου. *Hab. ii.* 7. φθονῳ διαβολου θανατος εισηλθεν εις τον κοσμον κ. τ. λ. *Sap. ii.* 24. σωσον με εκ στοματος λεοντος, κ. τ. λ. *Ps. xxi.* 21.

ΚΕΦ. γ. 3.

ΤΟΥΤΟ δε γινωσκε, ὁτι εν εσχαταις ἡμεραις ενστησονται καιροι χαλεποι.

δια τουτο ὁ συνιων εν τῳ καιρῳ εκεινῳ σιωπησεται, ὁτι καιρος πονηρων εστι. *Amos. v.* 13. γνωτε ὁτι Κυριος αυτος εστιν ὁ Θεος. *Ps. xcix.* 3. ὁτι εσται εν ταις εσχαταις ἡμεραις. *Esa. ii.* 2. *Gen. xlix.* 1. μικραι και πονηραι γεγονασιν αἱ ἡμεραι. *xlvii.* 9. *Ps. xlviii.* 5. *Conf.* 1 *Tim. iv.* 1. 2 *Pet. ii.* 1. *Juda.* 18. γενεας γαρ αδικου χαλεπα τα τελη. *Sap. iii.* 19. 2 *Mac. iv.* 16. περι δε τουτων ενεστη κρισις. 43.

2 Εσονται γαρ οἱ ανθρωποι φιλαυτοι, φιλαργυροι, αλαζονες,
ὑπερηφανοι, βλασφημοι, γονευσιν απειθεις, αχαριστοι, ανοσιοι,

υἱοι αλαζονων. *Job. xxviii.* 8. καταφρονητης, ανηρ αλαζων. *Hab. ii.* 5. αχαριστος. *Sap. xvi.* 29. *Sir. xxix.* 17. 25. [φιλαυτος και αθεος ὁ νους. *Philo. Abel. et Cain. p.* 173.] *Conf. Judith. v.* 8.

3 Αστοργοι, ασπονδοι, διαβολοι, ακρατεις, ανημεροι, αφιλαγαθοι,

φιλαγαθον. *Sap. vii.* 22. [ασπονδοι πολεμιοι. *Philo. p.* 397.]

4 Προδοται, προπετεις, τετυφωμενοι, φιληδονοι μαλλον η φιλοθεοι,

Conf. Phil. iii. 19. προδοτης. 2 *Mac. v.* 15. *x.* 13. 2. προπετης. *Prov. x.* 14. *xiii.* 3. *Sir. ix.* 18. τυφοις φερομενοι παλαιοτεροις. 3 *Mac. iii.* 18. [φιληδονιας ἡ ἁμαρτια. *Test. XII Patr. p.* 522.] [και φιληδονον και φιλοπαθη, μαλλον η φιλαρετον και φιλοθεον. *Philo, de Agric. p.* 200. τουτους μεν φιλανθρωπους—τουτους δε φιλοθεους. *de Decal. p.* 586. *Edit. Col.*]

5 Εχοντες μορφωσιν ευσεβειας, την δε δυναμιν αυτης ηρνημενοι. και τουτους αποτρεπου.

[και νυν εισι τινες των επιμορφασοντων ευσεβειαν. *Philo, de Plant. Noe. p.* 340.] εγγιζει μοι ὁ λαος οὑτος εν τῳ στοματι κ. τ. λ. *Esa. xxix.* 13.

6 Εκ τουτων γαρ εισιν οἱ ενδυνοντες εις τας οικιας και αιχμαλωτευοντες τα γυναικαρια σεσωρευμενα ἁμαρτιαις, αγομενα επιθυμιαις ποικιλαις,

και πνευμα ενεδυσε αυτον. 1 *Par. xii.* 18. *Jud. vi.* 34. αιχμαλωτευειν. *Judith. xvi.* 9. ανθρακας πυρος σωρευσεις επι την κεφαλην. *Prov. xxv.* 22. ὡσπερ μια των αφρονων γυναικων. *Job. ii.* 10. πληρης ἁμαρτιων. *Esa. i.* 4. *Conf. xxiv.* 20. *Matt. xxiii.* 14. *Tit. i.* 11. *Marc. xii.* 40. αἱ ανομιαι μου ὑπερηραν την κεφαλην μου, ὡσει φορτιον βαρυ εβαρυνθησαν επ' εμε. *Ps. xxxvii.* 4. [ενδυναι· εισδυναι, εισελθειν. *Hesych.*] *Conf. Prov. vii.* 22.

7 Παντοτε μανθανοντα, και μηδεποτε εις επιγνωσιν αληθειας ελθειν δυναμενα.

Conf. Deut. xxix. 4. *Prov. xiv.* 6. *Esa. xxx.* 10. *Ezech. xiv.* 4-10.

8 Ὁν τροπον δε Ιαννης και Ιαμβρης αντεστησαν Μωϋσει, οὑτως και οὑτοι ανθιστανται τῃ αληθειᾳ, ανθρωποι κατεφθαρμενοι τον νουν, αδοκιμοι περι την πιστιν.

ὁν τροπον—οὑτως. *Esa. xiv.* 24. και αντεστησαν τῳ Θεῳ. *Mal. iii.* 15. *Jer. xxvii.* 24. *Conf. Exod. vii.* 11. *Jos. ix.* 18. κατα τα επιτηδευματα ὑμων τα διεφθαρμενα. *Ezech. xx.* 44. *Conf. Gen. vi.* 12. το αργυριον ὑμων αδοκιμον. *Esa. i.* 22. *Rom. i.* 28. [Ιαννης και Ιαμβρης. *Conf. Fabric. Cod. Pseudepigr. T. i. pp.* 813-825.] βδελυγμα δε ἁμαρτωλῳ θεοσεβεια. *Sir. i.* 24.

9 Αλλ' ου προκοψουσιν επι πλειον· ἡ γαρ ανοια αυτων εκδηλος εσται πασιν, ὡς και ἡ εκεινων εγενετο.

και ησαν μυκτηριζοντες—εως ουκ ην ιαμα. 2 Par. xxxvi. 16. ανοια, impietas. Conf. 2 Mac. iv. 6. xiv. 5. xv. 33. Sap. xix. 3. ὁτι ενθυμιον ανθρωπου εξομολογησεται σοι, και εγκαταλειμμα ενθυμιου ἑορτασει σοι. Ps. lxxv. 10. και μη προβῃ επι πλειον τα της κακιας. 1 Esd. ii. 29. Conf. cap. ii. 16.

10 Συ δε παρηκολουθηκας μου τῃ διδασκαλιᾳ, τῃ αγωγῃ, τῃ προθεσει, τῃ πιστει, τῃ μακροθυμιᾳ, τῃ αγαπῃ, τῃ ὑπομονῃ,

πεπεισμαι γαρ αυτον επιεικως και φιλανθρωπως παρακολουθουντα τῃ εμῃ προαιρεσει. 2 Mac. ix. 27. αγωγην κατα των Ιουδαιων. vi. 8. τῃ προθεσει. iii. 8. Ps. ix. 17. Aq. [αγωγη· τροπος, αναστροφη. Hesych.] [ὑγιαινους δε δι' αγωγης νομιμου, η και παιδευσεως ορθης. Philo. p. 158.] εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε. 2 Par. xx. 20.

11 Τοις διωγμοις, τοις παθημασιν, οἱα μοι εγενετο εν Αντιοχειᾳ, εν Ικονιῳ, εν Λυστροις, οἱους διωγμους ὑπηνεγκα· και εκ παντων με ἐρρυσατο ὁ Κυριος.

θλιψις οἱα ου γεγονεν αφ' οὑ γεγενηται εθνος εν τῃ γῃ. Dan. xii. 1. ὁτι ἑνεκα σου ὑπηνεγκα ονειδισμον. Ps. lxviii. 7. Mich. vii. 9. σωσον με εκ παντων των διωκοντων με, και ῥυσαι με. Ps. vii. 1. ὁτι συ ει ὁ ῥυομενος εκ παντος κακου. Sap. xvi. 8. [πλειονων παθηματων φυσεις βουλομενος μαθειν. Jos. Ant. ii. 13. 2.]

12 Και παντες δε οἱ θελοντες ευσεβως ζῃν εν Χριστῳ Ιησου διωχθησονται.

τοις ζωσιν αδικως. Sap. xiv. 28. τεκνον, ει προσερχῃ δουλευειν Κυριῳ Θεῳ, ἑτοιμασον την ψυχην σου εις πειρασμον. Sir. ii. 1. Conf. Matt. xvi. 24. 1 Thess. iii. 3. παρατηρησεται ὁ ἁμαρτωλος τον δικαιον, κ. τ. λ. Ps. xxxvii. 12-15. αδικως κατεδιωξαν με, βοηθησον μοι. cxviii. 86. μνησθητι Κυριε του ονειδισμου των δουλων σου—οὑ ωνειδισαν το ανταλλαγμα του Χριστου σου. Ps. lxxxviii. 50, 51. [ευσεβως ζῃν. Conf. Jos. Ant. viii. 12. 3.]

13 Πονηροι δε ανθρωποι και γοητες προκοψουσιν επι το χειρον, πλανωντες και πλανωμενοι.

λογοι γοητικοι. Prov. xxvi. 22. Aq. μαλακοι. LXX. γοητεια. 2 Mac. xii. 24. Conf. Prov. xxvi. 22. Aq. 1 Tim. iv. 1. ψευδος, και ου πιστις ενισχυσεν επι της γης, κ. τ. λ. Jer. ix. 3. ιδετε, ουκ ερειτε ὁτι, Ψευδος εν τῃ δεξιᾳ μου. Esa. xliv. 20. ὁτι οἱ οφθαλμοι σου οψονται τους πλανωντας σε, κ. τ. λ. xxx. 20, 21. [και προσκοψουσιν επι το κακον. Test. XII Patr. p. 614. επι πλειον. Jos.

Ant. iv. 4. 1. ὡς γοητα και απατεωνα. 2 *Ap.* § 14.] ὁ ἁμαρτωλος προσθησει ἁμαρτιαν εφ᾽ ἁμαρτιαις. *Sir.* iii. 27.

14 Συ δε μενε εν οἱς εμαθες και επιστωθης, ειδως παρα τινος εμαθες,

ουδε επιστωθησαν εν τῃ διαθηκῃ αυτου. *Ps.* lxxvii. 37. τα μαρτυρια σου επιστωθησαν σφοδρα. xcii. 5. *Conf. cap.* ii. 2. εμπιστευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε, κ. τ. λ. 2 *Par.* xx. 20. [επιστωθη· επεισθη, επληροφορηθη. *Hesych.*] [και δια πολλων και εικοτων και αληθινων επιστωσαμεθα. *Philo. p.* 670. *Edit. Col.*] *Conf. Ps.* lxxvii. 5-8.

15 Και ὁτι απο βρεφους τα ἱερα γραμματα οιδας, τα δυναμενα σε σοφισαι εις σωτηριαν, δια πιστεως της εν Χριστῳ Ιησου.

ἡ μαρτυρια Κυριου πιστη, σοφιζουσα νηπια. *Ps.* xviii. 7. civ. 22. την ἱεραν βιβλον. 2 *Mac.* viii. 23. 1 *Reg.* ii. 18. *Conf. Joan.* v. 39. *Rom.* xv. 4. και μνησθητι του κτισαντος σε εν ἡμεραις νεοτητος σου. *Eccles.* xii. 1. [απο βρεφους. *Philo. de Legg. p.* 774.] βιβλος διαθηκης Θεου ὑψιστου, νομον ὁν ενετειλατο Μωυσης, κληρονομιαν συναγωγαις Ιακωβ. *Sir.* xxiv. 23. *Conf. Bar.* i. 14. [εν τοις ἱεροις γραμμασι. *Jos. Ant.* x. 10. 4. εν ταις ἱεραις βιβλοις. ii. 16. 5. *Conf. Ottii Spicileg. ad loc.*] Κυριε ἡ ελπις μου εκ νεοτητος μου. *Ps.* lxx. 5. εδιδαξας με ὁ Θεος εκ νεοτητος μου. 17. [ἱεραι γραφαι. *Philo, de Mund. Opific. p.* 12. *Edit. Col. Leg ad Cai. p.* 1020. τους εντυγχανοντας τοις ἱεροις γραμμασιν ου δει συλλαβομαχειν. *Tom.* II. *p.* 656. *Edit. Mangey.*]. αλλ᾽ η αναγγελω σοι το εντεταγμενον εν γραφῃ αληθειας, κ. τ. λ. *Dan.* x. 21. και εδιδασκον εν Ιουδα, και μετ᾽ αυτων βιβλος νομου, κ. τ. λ. 2 *Par.* xvii. 9.

16 Πασα γραφη θεοπνευστος και ωφελιμος προς διδασκαλιαν, προς ελεγχον, προς επανορθωσιν, προς παιδειαν την εν δικαιοσυνῃ·

επανορθωσις. 1 *Mac.* xiv. 34. δραξασθε παιδειας. *Ps.* ii. 12. γνωναι σοφιαν και παιδειαν. *Prov.* i. 2. vi. 23. *Conf.* 1 *Mac.* xii. 9. πνευμα Κυριου ελαλησεν εν εμοι, και ὁ λογος αυτου επι γλωσσης μου. 2 *Reg.* xxiii. 2. [αἱ γραφαι των προφητων—κατα την επινοιαν την απο του Θεου μαθοντων, κ. τ. λ. *Conf. omnino Jos. c. Ap.* 1. 7. ii. 17-19.] *Sir.* xxxv. 24. *Exod.* xiii. 9.

17 Ἱνα αρτιος ῃ ὁ του Θεου ανθρωπος, προς παν εργον αγαθον εξηρτισμενος.

του Θεου ανθρωπος. *Conf.* 1 *Tim.* vi. 11. και εκραταιωθησαν αἱ

χειρες αυτων εις το αγαθον. *Neh. ii.* 18. [Θεου δε ανθρωποι ἱερεις και προφηται. *Philo, de Gigant. p.* 292. ὁταν δε βελτιωθεις μελλῃ μετονομαζεσθαι, γινεται ανθρωπος Θεου, κατα το χρησθεν αυτῳ λογιον, "Εγω ειμι ὁ Θεος σου." *de Abr.*] [πολεμειν προς ανθρωπους τοις ἁπασι καλως εξηρτισμενους. *Jos. Ant. iii.* 2. 2.] και αυτος γραμματευς ταχυς εν νομῳ. *Esd. vii.* 6.

ΚΕΦ. δ. 4.

ΔΙΑΜΑΡΤΥΡΟΜΑΙ ουν εγω ενωπιον του Θεου και του Κυριου Ιησου Χριστου του μελλοντος κρινειν ζωντας και νεκρους κατα την επιφανειαν αὑτου και την βασιλειαν αὑτου,

Θεος μαρτυς μεταξυ εμου και μεταξυ σου. *Gen. xxxi.* 50. και νυν ἡ εντολη αὑτη προς ὑμας οἱ ἱερεις κ. τ. λ. *Mal. ii.* 1. ὡρκισεν αυτους ενωπιον Κυριου. 4 *Reg. xi.* 4. *Ald. Comp.* διαμαρτυρομαι. 1 *Tim. v.* 21. *et supra ii.* 14. επιφανεια. *Conf.* 2 *Mac. ii.* 21. *iii.* 24. *v.* 4. ὁτι ἡκει κριναι την γην· κρινει την οικουμενην εν δικαιοσυνῃ, κ. τ. λ. *Ps. xcvii.* 9. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10.

2 Κηρυξον τον λογον, επιστηθι ευκαιρως ακαιρως, ελεγξον, επιτιμησον, παρακαλεσον, εν πασῃ μακροθυμιᾳ και διδαχῃ.

ευκαιρως. *Sir. xviii.* 22. 1 *Mac. xi.* 42. ακαιρως. *Sir. xxxv.* 4. επιτιμησον. *Gen. xxxvii.* 10. *Conf. Tit. i.* 9. 11. *ii.* 15. κηρυξατε ταυτα εν τοις εθνεσι. *Joel. iii.* 9. παρακαλεσον. *Esa. xxxv.* 3. πλατυνον τον τοπον της σκηνης σου, και των αυλαιων σου, πηξον, κ. τ. λ. *liv.* 2. αναβοησον εν ισχυϊ, και μη φεισῃ, κ. τ. λ. *lviii.* 1. ευαγγελιζεσθε ἡμεραν εξ ἡμερας το σωτηριον αυτου. *Ps. xcv.* 2. *xl.* 9. επεστησε τον νουν. *Exod. vii.* 23. *Esa. xli.* 22. *Conf. Prov. xxv.* 15. *Jer. xv.* 15.

3 Εσται γαρ καιρος, ὁτε της ὑγιαινουσης διδασκαλιας ουκ ανεξονται, αλλα κατα τας επιθυμιας τας ιδιας ἑαυτοις επισωρευσουσι διδασκαλους, κνηθομενοι την ακοην·

[κνηθομενοι την ακοην· ζητουντες τι ακουσαι καθ' ἡδονην. *Hesych.*] [οἱ σοφισται—αποκναιουσιν ἡμιν τα ωτα. *Philo. p.* 205. *Mangey.*] μαντευομενος τα προς χαριν. *Ezech. xii.* 24. [τους ὑγιαινοντας λογους. *Philo. p.* 32.] ὁτι ὁ λαος απειθης εστι—οἱ ουκ ηβουλοντο ακουειν τον νομον του Θεου, κ. τ. λ. *Esa. xxx.* 9. *xxviii.* 12. *Jer. v.* 31. *xxiii.* 31, 32. *Conf. Ezech. ii.* 3-7.

4 Και απο μεν της αληθειας την ακοην αποστρεψουσιν, επι δε τους μυθους εκτραπησονται.

αποστρεψον δε σον ποδα απο ὁδου κακης. Prov. iv. 27. 2 *Par. xxx.* 9. *μυθος ακαιρος. Sir. xx.* 19.

5 Συ δε νηφε εν πασι, κακοπαθησον, εργον ποιησον ευαγγελιστου, την διακονιαν σου πληροφορησον.

[*και οἱ μεν την διακονιαν εκπλησαντες απηεσαν. Philo, in Flac. p.* 988. *νηφε ὡς Θεου αθλητης. Ignat. p.* 12.] *Conf. Deut. xxxi.* 6. *καθεστηκα εφ' ὑμας σκοπους. Jer. vi.* 17. *Ezech. iii.* 17. *xxxiii.* 2-7. *Esa. lxii.* 6. *ὑβρει και βασανῳ ετασωμεν αυτον, ἱνα γνωμεν την επιεικειαν αυτου, και δοκιμασωμεν την ανεξικακιαν αυτου. Sap. ii.* 19. *Conf. Joel. ii.* 32. *Ps. lxvii.* 11.

6 Εγω γαρ ηδη σπενδομαι, και ὁ καιρος της εμης αναλυσεως εφεστηκε·

ανελυσε. abiit, decessit. 2 *Mac. xii.* 7. *Judith. xiii.* 1. *και ειπε Κυριος προς Μωυσην, Ιδου εγγικασιν αἱ ἡμεραι του θανατου σου. Deut. xxxi.* 14. *και εσπεισεν επ' αυτην σπουδην, και επεχεεν επ' αυτην ελαιον. Gen. xxxv.* 14. [*ἡ εκ του βιου τελευταια αναλυσις. Philo in Flac. p.* 991.] [*ἑορτης επιστασης. Jos. Ant. ii.* 4. 3.] *ιδου εγω αποθνησκω, κ. τ. λ. Gen. xlviii.* 21. [*σπενδομαι, δοτικη, θυομαι, η Θεῳ ανατιθεμαι. Suid.*]

7 Τον αγωνα τον καλον ηγωνισμαι, τον δρομον τετελεκα, την πιστιν τετηρηκα·

αμιαντων αθλων αγωνα νικησασα. Sap. iv. 2. *και αγωνα ισχυρον εβραβευσεν αυτῳ. x.* 12. *ενεφαινε την κατα ψυχην αγωνιαν.* 2 *Mac. iii.* 16. *γενναιως αγωνισασθαι μεχρι θανατου. xiii.* 14. *διελιπεν ὁ τρεχων απο του δρομου αυτου. Jer. viii.* 6. *τηρησον δε εμην βουλην. Prov. iii.* 21. [*ανα κρατος νικω καλην νικην καρτεριας και σωφροσυνης. Philo,* 2 *Alleg. p.* 89. *τον αγωνα του βιου διηθλησαν, αδιαφθορον και αηττητον φυλαξαντες. de Congr. p.* 448.] *ὡς γενναιος αθλητης ὁ γερων ενικα τους βασανιζοντας.* 4 *Mac. sect.* 6. *Conf. Act. xx.* 24. 1 *Cor. ix.* 24. *Phil. iii.* 14. 1 *Tim. vi.* 12. *Heb. xii.* 1. *Tob. xiv.* 3. *Sir. iv.* 28.

8 Λοιπον αποκειται μοι ὁ της δικαιοσυνης στεφανος, ὁν αποδωσει μοι ὁ Κυριος εν εκεινη τη ἡμερᾳ, ὁ δικαιος κριτης, ου μονον δε εμοι, αλλα και πασι τοις ηγαπηκοσι την επιφανειαν αυτου.

[*ὁ δικαιοτατος κριτης (de Deo). Philo.* 3 *Vit. Mos. p.* 695.] *οἱ αγαπωντες το σωτηριον σου. Ps. xxxix.* 16. *ιασεως πλατυνει δε καυχησις τοις αγαπωσιν αυτον. Sir. i.* 18. *Comp. εμβλεπων τοις μετ' ευσεβειας κοιμωμενοις καλλιστον αποκειμενον χαριστηριον.* 2 *Mac. xii.* 45. *Conf. Col. i.* 5. [*τοις Θεου γνωμῃ κατακολουθουσι— γερας ευδαιμονιας προκειται παρα Θεου. Jos. Proem. Ant.* § 3. 4.]

Conf. Luc. xiv. 14. [γεγονας μοι αθλητης τελειος και βραβειων και στεφανων ηξιωθης. *Philo, de Mig. Abrah. p.* 392.] λοιπον. *Exod. xxix.* 12. θεοσεβεια δε ενικα, τους ἑαυτης αθλητας στεφανουσα. 4 *Mac.* § 19. [εφιλοτιμειτο την αγαθην εριν. *Jos. Bell. Jud. i.* 10. 5.] ὁ Θεος κριτης δικαιος. *Ps. vii.* 11. τῃ ἡμερᾳ εκεινῃ εσται Κυριος σαβαωθ ὁ στεφανος της ελπιδος, ὁ πλεκεις της δοξης. *Esa. xxviii.* 5. ου μονον—αλλα και. 3 *Mac. iii.* 23. ὁ δε στεφανος εσται τοις ὑπομενουσι. *Zach. vi.* 14. μακαριοι οἱ εμμενοντες επ᾽ αυτῳ. *Esa. xxx.* 18. *Conf. Ps. xxx.* 19. *Dan. xii.* 13. *Thren. v.* 16. 1 *Cor. ix.* 25. *Jac. i.* 12. *Phil. iii.* 12.

9 Σπουδασον ελθειν προς με ταχεως.

εσπουδασαν του καταβηναι εις την πυλην. *Judith. xiii.* 14.

10 Δημας γαρ με εγκατελιπεν, αγαπησας τον νυν αιωνα, και επορευθη εις Θεσσαλονικην· Κρησκης εις Γαλατιαν, Τιτος εις Δαλματιαν·

μετεστραφησαν εις τοξον στρεβλον. *Ps. lxxvii.* 57. *lxxxiii.* 11. εν τῳ νυν καιρῳ. *Gen. xxx.* 20. εαν ὑποστειληται, ουκ ευδοκει ἡ ψυχη μου εν αυτῳ. *Hab. ii.* 4. *Ose. iv.* 17, 18.

11 Λουκας εστι μονος μετ᾽ εμου. Μαρκον αναλαβων αγε μετα σεαυτου· εστι γαρ μοι ευχρηστος εις διακονιαν.

εις ουδεν ευχρηστον. *Sap. xiii.* 13. *Prov. xi.* 16. *Ald.*

12 Τυχικον δε απεστειλα εις Εφεσον.

13 Τον φαιλονην, ὁν απελιπον εν Τρωαδι παρα Καρπῳ, ερχομενος φερε, και τα βιβλια, μαλιστα τας μεμβρανας.

[φαιλονην· ειλητα ριον μεμβραϊνον. *Phav.* ηλιταριον, εχον τον νομον. *Alberti Gloss.*] [μεμβρανα. *Lat.*] *Conf.* 2 *Par. xvii.* 9. τα βιβλια τα ἁγια. 1 *Mac. xii.* 9.

14 Αλεξανδρος ὁ χαλκευς πολλα μοι κακα ενεδειξατο· αποδῳη αυτῳ ὁ Κυριος κατα τα εργα αυτου·

ὁτι πονηρα σοι ενεδειξαντο. *Gen. l.* 17. κακα, ἁ ενεδειξαμεθα εις αυτον. 15. *Exod. xxv.* 2. ανταποδῳ ανθρωπῳ κατα τας πραξεις αυτου. *Sir. xxxii.* 19. δος αυτοις κατα τα εργα αυτων. *Ps. xxvii.* 4. *Thren. iii.* 64. *Conf.* 2 *Reg. iii.* 39. *Act. xix.* 33. 1 *Tim. i.* 20. χαλκεις σιδηρου και χαλκου. 2 *Par. xxiv.* 12.

15 Ὁν και συ φυλασσου, λιαν γαρ ανθεστηκε τοις ἡμετεροις λογοις.

εὑρεθης, και εληφθης, ὁτι τῳ Κυριῳ αντεστης. *Jer. xxvii.* 24. *Dan. iv.* 32. *Ald. Conf. Ps. ii.* 2. και φυλαξαι απ᾽ αυτου. *Sir. xii.* 11.

16 Εν τῃ πρωτῃ μου απολογιᾳ ουδεις μοι συμπαρεγενετο, αλλα παντες με εγκατελιπον· μη αυτοις λογισθειη·

μη δη λογισασθω ὁ Κυριος μου ανομιαν. 2 Reg. xix. 19. Job. xxxiv. 37. Conf. 2 Mac. viii. 13. παρα παντας τους εχθρους μου εγενηθην ονειδος, και τοις γειτοσι μου σφοδρα, κ. τ. λ. Ps. xxx. 11. Thren. i. 2. και ελυσε την ἁμαρτιαν αυτοις δια Ιωβ. Job. xlii. 9. τι ὁτι συ μονος, και ουθεις μετα σου; 1 Reg. xxi. 1. απολογια. Sap. vi. 10. Ασσουρ συμπαρεγενετο μετ᾽ αυτων. Ps. lxxxii. 8.

17 Ὁ δε Κυριος μοι παρεστη, και ενεδυναμωσε με, ἱνα δι᾽ εμου το κηρυγμα πληροφορηθῃ, και ακουσῃ παντα τα εθνη· και ερρυσθην εκ στοματος λεοντος·

ει μη παρεστην σοι εν καιρῳ των κακων αυτων. Jer. xv. 11. ουτε μη σε ανῃ, ουτε μη σε εγκαταλιπῃ. Deut. xxxi. 6. δυναμωσον ὁ Θεος τουτο, ὁ κατηρτισω. Ps. lxvii. 28. 1 Tim. i. 12. σωσον με εκ στοματος λεοντος. Ps. xxi. 21. Est. Additt. xiv. 13. Conf. Nah. ii. 12. Prov. xxviii. 15. Act. xxiii. 11. ὁτι εγω ὁ Θεος σου, ὁ κρατων της δεξιας σου. Esa. xli. 13. αναγγειλατε εν τοις εθνεσι κ. τ. λ. Ps. civ. 1. εδωκα σε εις διαθηκην εθνων. Gen. xlix. 8. ὡς αἱ ἡμεραι σου, ἡ ισχυς σου. Deut. xxxiii. 25. [τεθνηκεν ὁ λεων (viz. Tiberias.) Jos. Ant. xviii. 7. 10.] δος λογον ευρυθμον εις το στομα μου ενωπιον του λεοντος. (de Artaxerx.) Est. iv. 17. παντα τα εθνη ὁσα εποιησας ἡξουσι—και δοξασουσι το ονομα σου. Ps. lxxxv. 9. Conf. Deut. xxxii. 34-36.

18 Και ῥυσεται με ὁ Κυριος απο παντος εργου πονηρου, και σωσει εις την βασιλειαν αὑτου την επουρανιον· ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων. αμην.

Κυριος φυλαξει σε απο παντος κακου, φυλαξει την ψυχην σου ὁ Κυριος. Ps. cxx. 7. Alex. ὁ ῥυομενος εκ παντος κακου. Sap. xvi. 8. Gen. xlviii. 16. και εκ πασων των παροικιων μου ερρυσατο με. Ps. xxxiii. 4. και σωσω σε εν τῃ ἡμερᾳ εκεινῃ. Jer. xlvi. 17. ὁ την κατοικιαν επουρανιον εχων. 2 Mac. iii. 39. ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων, Αμην. 4 Mac. sub. fin. Ps. ciii. 31. Alex. Ald.

19 Ασπασαι Πρισκαν και Ακυλαν, και τον Ονησιφορου οικον.

Conf. Act. xviii. 2. Rom. xvi. 3. Cap. i. 16. συ και πας ὁ οικος σου. Gen. vii. 1. Conf. 1 Mac. xii. 17. 2 Mac. i. 1.

20 Εραστος εμεινεν εν Κορινθῳ· Τροφιμον δε απελιπον εν Μιλητῳ ασθενουντα.

Conf. Act. xix. 22. xx. 4. Rom. xvi. 23.

21 Σπουδασον προ χειμωνος ελθειν. Ασπαζεται σε Ευβουλος,
και Πουδης, και Λινος, και Κλαυδια, και οἱ αδελφοι παντες.

[ασπαζεται ὑμας ἡ αγαπη των αδελφων των εν Τρωαδι, ὁθεν και γραφω ὑμιν δια Βουῤῥου, κ. τ. λ. *Ignat. ad Smyrn. p.* 9.] φιλιαζειν φιλοις και αδελφοις. 1 *Esd. iii.* 22. *Ps. cxxxii.* 1.

22 Ὁ Κυριος Ιησους Χριστος μετα του πνευματος σου. ἡ χαρις μεθ' ὑμων. αμην.

Κυριος μεθ' ὑμων. *Ruth. ii.* 4. ἡ δε εκ του ουρανου βοηθεια εστω μεθ' ὑμων. 1 *Mac. xvi.* 3. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *viii.* 6. *Conf. Philem.* 25. ᾧ ἡ δοξα εις τους αιωνας των αιωνων, Αμην. *Clem. Rom. Epist.* § 38. *Conf. Agg. ii.* 5, 6.

[Προς Τιμοθεον δευτερα της Εφεσιων εκκλησιας πρωτον επισκοπον χειροτονηθεντα, εγραφη απο Ῥωμης, ὁτε εκ δευτερου παρεστη Παυλος τῳ Καισαρι Νερωνι.]



ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦ. α. 1.

ΠΑΥΛΟΣ δουλος Θεου, αποστολος δε Ιησου Χριστου, κατα πιστιν εκλεκτων Θεου και επιγνωσιν αληθειας της κατ' ευσεβειαν,

Μωϋσης δουλος Κυριου. *Jos. xxii.* 4. *Comp.* Ιησους—δουλος Κυριου. *Jud. ii.* 8. τῃ κατ' ευσεβειαν διδασκαλιᾳ. 1 *Tim. vi.* 3. *iii.* 16. εκλεκτους Κυριου. 2 *Reg. xxi.* 6. *Ps. lxxxviii.* 3. ευσεβεια εις Θεον. *Prov. i.* 7. επιγνωσιν Θεου. *ii.* 5. [κατα την τιμην του Θεου τουτο ποιων. *Jos. Ant. iii.* 11. 4.]

2 Επ' ελπιδι ζωης αιωνιου, ἡν επηγγειλατο ὁ αψευδης Θεος
προ χρονων αιωνιων,

προσδεχομενος την ελπιδα της σωτηριας μου. *Job. ii.* 9. ἡ ελπις αυτων αθανασιας πληρης. *Sap. iii.* 4. ὁ σωζων τους ελπιζοντας επι σε. *Ps. xvi.* 7. εις τον αιωνα χρονον. *Esa. xviii.* 7. προ των αιωνων. *Ps. liv.* 19. αψευδης. *Job. xxxvi.* 4. *Sym.* *Sap. vii.* 17.

ουχ ὡς ανθρωπος ὁ Θεος διαρτηθηναι, ουδ' ὡς υἱος ανθρωπου απειληθηναι, κ. τ. λ. *Num. xxiii.* 19. προ του αιωνος εθεμελιωσε με, εν αρχῃ προ του την γην ποιησαι. *Prov. viii.* 23-31. ζωην ῃτησατο σε, και εδωκας αυτῳ μακροτητα ἡμερων εις αιωνα του αιωνος. *Ps. xx.* 4. [*Conf. inscript. Epist. Ignat. ad Smyrn. Ephes. Magnes. Trall.*]

3 Εφανερωσε δε καιροις ἰδιοις τον λογον αὑτου, εν κηρυγματι
ὁ επιστευθην εγω κατ' επιταγην του σωτηρος ἡμων Θεου·

και φανερωσω αυτοις εισακουειν—ειρηνην και πιστιν. *Jer. xl.* 6. *Alex. Ald. Comp.* τα φανερα ἡμιν και τοις τεκνοις ἡμων. *Deut. xxix.* 29. [ὁ πεπιστευμενος την φυλακην. *Jos. Vit.* 28.] κατα την επιταγην του βασιλεως. 1 *Esd. i.* 18. *Sap. xviii.* 16. ὁ Θεος ὁ σωτηρ ἡμων. *Ps. lxiv.* 5. *Conf. Esa. xii.* 2. *Ose. xiii.* 4. *Dan. ii.* 21. *Sap. vi.* 22.

4 Τιτῳ γνησιῳ τεκνῳ κατα κοινην πιστιν· χαρις, ελεος, ει-
ρηνη απο Θεου πατρος και Κυριου Ιησου Χριστου του σωτηρος
ἡμων.

αδελφος γνησιος. *Sir. vii.* 18. και κοινην ἱκετειαν ποιησαμενοι. 2 *Mac. viii.* 29. *ix.* 21. *xv.* 36. *Conf.* 1 *Tim. i.* 2.

5 Τουτου χαριν κατελιπον σε εν Κρητῃ, ἱνα τα λειποντα επι-
διορθωσῃ, και καταστησῃς κατα πολιν πρεσβυτερους, ὡς εγω
σοι διεταξαμην·

τουτου χαριν. *Prov. xvii.* 17. και αυτον κατελιπον εκει. *Dan. x.* 13. των σοφων διορθωτης. *Sap. vii.* 15. ἱνα την λειπουσαν ταις βασανοις προσαναπληρωσωσι κολασιν. *xix.* 4. διορθωσατε τας ὁδους ὑμων. *Jer. vii.* 2. [περι της λειποντων επιδιορθωσεως. *Philo. p.* 535.] και κατεστησεν αυτον επι πασης χωρας. *Dan. ii.* 48. κατα πολιν και πολιν. 1 *Mac. i.* 51. και εστησαν κατα την κρισιν αυτων επι τας λειτουργιας αυτων. 1 *Par. vi.* 32. και συ Εσδρα, ὡς ἡ σοφια του Θεου εν χειρι σου, καταστησον γραμματεις κ. τ. λ. *Esd. vii.* 25. [*De Judæis in Cretá degent. conf. Jos. Bell. Jud. ii.* 7. 1. *et Ottii Spicileg. ad loc.*] *Conf. Num. xi.* 16. 1 *Mac. xv.* 23.

6 Ει τις εστιν ανεγκλητος, μιας γυναικος ανηρ, τεκνα εχων
πιστα, μη εν κατηγοριᾳ ασωτιας η ανυποτακτα.

ασωτια. 2 *Mac. vi.* 4. *Deut. xxi.* 20. *Conf. Ephes. v.* 18. υἱοι ανυποτακτοι. 1 *Reg. ii.* 12. *Sym.* ανεγκλητος. 3 *Mac. v.* 31. *Conf.* 1 *Tim. iii.* 2. *Prov. xxviii.* 7. *Lev. xxi.* 7. *Ezech. xliv.* 22. ηδειν γαρ ὁτι συνταξει τοις υἱοις αυτου, και τῳ οικῳ αυτου μετ' αυτον. κ. τ. λ. *Gen. xviii.* 19. και νυν ἡ εντολη αὑτη προς ὑμας οἱ ἱερεις. κ. τ. λ. *Mal. ii.* 1. κατηγοριαν ψευδη συστησασθαι καθ' ἡμων. *Gen. xliii.* 18. *Sym. Shleusn. Vet. Test. Lex. voce* κατηγορια.

7 Δει γαρ τον επισκοπον ανεγκλητον ειναι, ὡς Θεου οικονομον· μη αυθαδη, μη οργιλον, μη παροινον, μη πληκτην, μη αισχροκερδη,

αυθαδης και αλαζων. *Prov. xxi.* 24. οικονομος. 1 *Esd. iv.* 49. ανηρ οργιλος εξωρυξεν ἁμαρτιαν. *Prov. xxix.* 22. *Gen. xlix.* 3-7. *Esa. xxiii.* 7. *Lev. x.* 9. οξυθυμος πρασσει μετα αβουλιας, ανηρ δε φρονιμος πολλα ὑποφερει. *Prov. xiv.* 17. οἱ ανδρες εν πιστει επι των εργων· και επ' αυτων επισκοποι, κ. τ. λ. 2 *Par. xxxiv.* 12. [πληκτης· μαχιμος, ὑβριστης. *Hesych.*] [και γαρ νυν εις την δεσποιναν αγνωμονα και αυθαδη γενομενην. *Jos. Ant. i.* 10. 4.] και δωσω—τους επισκοπους σου εν δικαιοσυνῃ. *Esa. lx.* 17.

8 Αλλα φιλοξενον, φιλαγαθον, σωφρονα, δικαιον, ὁσιον, εγκρατη,

εστι γαρ εν αυτῃ πνευμα—φιλαγαθον. *Sap. vii.* 22. εγκρατη. *viii.* 21. 2 *Mac. xiii.* 13. σωφροσυνη εστιν επικρατεια των επιθυμιων. 4 *Mac.* 2. μετοχος εγω ειμι παντων των φοβουμενων σε, και των φυλασσοντων τας εντολας σου. *Ps. cxviii.* 63.

9 Αντεχομενον του κατα την διδαχην πιστου λογου, ἱνα δυνατος ᾐ και παρακαλειν εν τῃ διδασκαλιᾳ τῃ ὑγιαινουσῃ, και τους αντιλεγοντας ελεγχειν.

οἱ αντεχομενοι του νομου. *Jer. ii.* 8. αντεχομεθα της κληρονομιας των πατερων. 1 *Mac. xv.* 34. *Esa. lvi.* 2. 4. 6. *Prov. iii.* 18. μη αντιλεγε τῃ αληθειᾳ. *Sir. iv.* 25. [τους ὑγιαινοντας λογους. *Philo, de Abr. p.* 32.] *Conf.* 1 *Tim. i.* 10. 2 *Tim. i.* 13. προς λαον απειθουντα και αντιλεγοντα. *Esa. lxv.* 2. *Ose. iv.* 4.

10 Εισι γαρ πολλοι και ανυποτακτοι ματαιολογοι και φρεναπαται, μαλιστα οἱ εκ περιτομης,

οὑτοι οἱ ανδρες οἱ λογιζομενοι ματαια. *Ezech. xi.* 2. *xiii.* 19. [φρεναπατειν· χλευαζειν. *Hesych.*] οἱ μακαριζοντες τον λαον τουτον πλανωντες. *Esa. ix.* 16. *Conf. Act. xv.* 1. 1 *Tim. i.* 6. 2 *Tim. iii.* 13. απεριτμητοι καρδιας αυτων. *Jer. ix.* 26.

11 Οὑς δει επιστομιζειν· οἱτινες ὁλους οικους ανατρεπουσι, διδασκοντες ἁ μη δει, αισχρου κερδους χαριν.

[επιστομιζων· ελεγχων. *Hesych.*] και ἑνεκεν κλασματων αρτων του αποκτειναι ψυχας ἁς ουκ εδει αποθανειν. *Ezech. xiii.* 19. ενεφραγη στομα λαλουντων αδικα. *Ps. lxii.* 11. χαριν χρυσιου. *Sir. xxxiv.* 6. παντι τῳ οικῳ του πατρος. *Gen. xlvii.* 12. *Conf. Matt.*

xxiii. 23. 1 *Tim. vi.* 5. 2 *Tim. iii.* 6. *Esa. lvi.* 10, 11. [ὁ ἱερος λογος—παθους θυμου και επιθυμιας ἑκατερον επιστομιζει. *Philo,* 1 *Alleg. p.* 83.] ζωην δε ασεβων ανατρεψει. *Prov. x.* 3. [την Ιουδαιων νεοτεροποιΐαν επιστομιουντας. *Jos. Ant. xvii.* 10. 1. επιστομιει ὁ λογος και εγχαλινωσει την ῥυμην και φοραν του παθους. *Philo. Alleg. lib. ii. p.* 89.] μετα αργυριου εμαντευοντο, κ.τ.λ. *Mich. iii.* 11.

12 Ειπε τις εξ αυτων ιδιος αυτων προφητης, Κρητες αει ψευσται, κακα θηρια, γαστερες αργαι.

[γαστριμαργοι· απληστοι. *Suid.* ακρατεις, πολυφαγοι. *Hesych.*] προφητης, *vates. Conf. Exod. xv.* 20. 1 *Reg. x.* 5. [τουτων ησαν οἱ πλειους Αιγυπτιοι πονηρα σπερματα, κροκοδειλων και ασπιδων των εγχωριων αναμεμαγμενοι τον ιον ὁμου και θυμον εν ταις ψυχαις. *Philo, leg. ad Cai. p.* 1016.] [*Callimach. in. Jov.* 8.]

13 Ἡ μαρτυρια αὑτη εστιν αληθης. δι' ἡν αιτιαν ελεγχε αυτους αποτομως, ἱνα ὑγιαινωσιν εν τῃ πιστει,

δια τηνδε την αιτιαν. 2 *Mac. xii.* 40. *iv.* 35. αποτομως. *Sap. v.* 22. αποτομος οργη. *v.* 20. ἡ μαρτυρια Κυριου πιστη. *Ps. xviii.* 7. ηλεγξεν Ἁβρααμ τον Αβιμελεχ. *Gen. xxi.* 25. ὁ ελεγχων ανθρωπου ὁδους, χαριτας ἑξει μαλλον του γλωσσοχαριτουντος. *Prov. xxviii.* 23. κρεισσους ελεγχοι αποκεκαλυμμενοι κρυπτομενης φιλιας. *xxvii.* 5. [ὑγιαινοντες τῃ κρισει. *Jos. c. Ap. i.* 21.] ὁ δε φοβουμενος εντολην, οὑτος ὑγιαινει. *Prov. xiii.* 13.

14 Μη προσεχοντες Ιουδαϊκοις μυθοις, και εντολαις ανθρωπων αποστρεφομενων την αληθειαν.

και ου προσεχων τοις λογοις αυτων. 1 *Mac. vii.* 11. ὁ προσεχων αυτῃ, ου μη εὑρῃ αναπαυσιν. *Sir. xxviii.* 16. 27. απεστρεψατο αγαθα. *Ose. viii.* 3. 3 *Mac. iii.* 23. διδασκοντες ενταλματα ανθρωπων. *Esa. xxix.* 13. μυθος ακαιρος. *Sir. xx.* 19.

15 Παντα μεν καθαρα τοις καθαροις· τοις δε μεμιασμενοις και απιστοις ουδεν καθαρον, αλλα μεμιανται αυτων και ὁ νους και ἡ συνειδησις.

[πεφυκε πως τα γινομενα τοις δρωσιν εξομοιουσθαι. *Philo. p.* 334. *Mangey.*] [ὁ εχων διανοιαν καθαραν. *Test. XII Patr. p.* 736.] αἱμα σταφυλης, και ελαιον, και ἱματιον, ταυτα παντα τοις ευσεβεσιν εις αγαθα, οὑτως τοις ἁμαρτωλοις τραπησεται εις κακα. *Sir. xxxix.* 26, 27. *Matt. xv.* 11. *Luc. xi.* 39. *Rom. xiv.* 14. 1 *Cor. vi.* 12. φως δικαιοις διαπαντος, φως δε ασεβων σβεννυται, κ.τ.λ. *Prov. xiii.* 9. λαμπτηρ δε ασεβων ἁμαρτια. *xxi.* 4. και ου μιανειτε τας ψυχας ὑμων. *Lev. xi.* 44. *Ezech. iv.* 14. συνεχομενη τῃ συνειδησι. *Sap.*

xvii. 11. και ἡμεις δουλοι αυτου καθαροι. *Neh. ii.* 20. = και σωμα και ψυχην. 2 *Mac. xiv.* 38. εαν ἁψηται μεμιασμενος ακαθαρτος επι ψυχῃ επι παντος τουτον, ει μιανθησεται; και απεκριθησαν οἱ ἱερεις, και ειπαν, Μιανθησεται. *Agg. ii.* 14.

16 Θεον ὁμολογουσιν ειδεναι, τοις δε εργοις αρνουνται, βδελυκτοι οντες και απειθεις και προς παν εργον αγαθον αδοκιμοι.

ακαθαρτος και βδελυκτος παρα Θεῳ. *Prov. xvii.* 15. *Job. xv.* 16. 2 *Tim. iii.* 5. *Juda.* 4. απειθης. *Sir. xli.* 2. και την καρδιαν αυτων εταξαν απειθη. *Zach. vii.* 12. εγγιζει μοι ὁ λαος οὑτος εν τῳ στοματι αυτου, κ. τ. λ. *Esa. xxix.* 13. *Jer. vi.* 20. *Conf. Sap. xii.* 27. *xiii.* 1. [αδοκιμον· πονηρον, αποβλητον, αχρηστον. *Hesych.*]

ΚΕΦ. β. 2.

ΣΥ δε λαλει ἁ πρεπει τῃ ὑγιαινουσῃ διδασκαλιᾳ·

ὡς δεον εστι και πρεπον. 1 *Mac. xii.* 11. *Ps. xxxii.* 1. κρινε παντας ὑγιως. *Prov. xxxi.* 8. διδασκαλια. *Esa. xxix.* 13. *Conf.* 1 *Tim. i.* 10. *vi.* 3. [τους ὑγιαινοντας λογους. *Philo. p.* 32.]

2 Πρεσβυτας νηφαλιους ειναι, σεμνους, σωφρονας, ὑγιαινοντας τῃ πιστει, τῃ αγαπῃ, τῃ ὑπομονῃ·

Conf. Lev. xix. 32. *Job. xii.* 12. στεφανος καυχησεως γηρας, εν δε ὁδοις δικαιοσυνης εὑρισκεται. *Prov. xvi.* 31. *Esa. lxv.* 20. ἡλικια γηρως βιος ακηλιδωτος. *Sap. iv.* 9.

3 Πρεσβυτιδας ὡσαυτως εν καταστηματι ἱεροπρεπεις, μη διαβολους, μη οινῳ πολλῳ δεδουλωμενας, καλοδιδασκαλους,

ου των εγχρονιζοντων εν οινοις; ου των ιχνευοντων που ποτοι γινονται; *Prov. xxiii.* 30. ἱεροπρεπης νεανιας. 4 *Mac.* § 9. και αναμεσον ειρηνευοντων εμβαλλει διαβολην. *Sir. xxviii.* 9. *Conf.* 1 *Tim. ii.* 9. 1 *Pet. iii.* 3. *Deut. iv.* 10. *vi.* 7.

4 Ἱνα σωφρονιζωσι τας νεας, φιλανδρους ειναι, φιλοτεκνους,

Conf. Prov. xxii. 6. *Comp.* φιλοτεκνος. 4 *Mac.* § 15.

5 Σωφρονας, ἁγνας, οικουρους, αγαθας, ὑποτασσομενας τοις ιδιοις ανδρασιν, ἱνα μη ὁ λογος του Θεου βλασφημηται.

ονομα μου βλασφημειται εν τοις εθνεσι. *Esa. lii.* 5. *Conf. Prov. vii.* 11, 12. *Gen. xxvii.* 47. *xxxiv.* 1. 1 *Cor. xiv.* 34. *Ephes. v.* 22. [οψονται και γυναικας ἁς ηγαγοντο κουριδιας επι γνησιων παιδων σποραν, σωφρονας, οικουρους και φιλανδρους. *Philo, de Exsecr. p.* 932.]

6 Τους νεωτερους ὡσαυτως παρακαλει σωφρονειν,

Conf. Job. xxix. 8. *Eccles.* iv. 13. εν τινι κατορθωσει νεωτερος την οδον αυτου; εν τῳ φυλαξασθαι τους λογους σου. *Ps.* cxviii. 9. ευφραινου νεανισκε—και περιπατει εν οδοις καρδιας σου αμωμος, κ. τ. λ. *Eccles.* xi. 9. σωφρονειν. *Conf. Sap.* ix. 11.

7 Περι παντα σεαυτον παρεχομενος τυπον καλων εργων, εν τῃ διδασκαλιᾳ αδιαφθοριαν, σεμνοτητα, αφθαρσιαν,

αφθαρσια δε εγγυς ειναι ποιει Θεου. *Sap.* vi. 19. κατα τον τυπον δεδειγμενον σοι. *Exod.* xxv. 40. τυπος της ασεβειας. 4 *Mac.* 6. *Conf.* 1 *Tim.* iv. 12. 1 *Pet.* v. 3. *Judith.* viii. 24. φθορα, απιστια. *Sap.* xiv. 25. αδιαφθορος. *Sir.* xlii. 5. [*Schleusn.*]

8 Λογον ὑγιη, ακαταγνωστον, ἱνα ὁ εξ εναντιας εντραπῃ, μηδεν εχων περι ὑμων λεγειν φαυλον.

ενδυσασθωσαν αισχυνην και εντροπην. *Ps.* xxxiv. 26. απελυθησαν αν ακαταγνωστοι. 2 *Mac.* iv. 47. [τους ὑγιαινοντας λογους. *Philo, de Abrah. p.* 32.] κρινε παντας ὑγιως. *Prov.* xxiv. 8. *Conf.* 1 *Tim.* v. 14. 1 *Pet.* ii. 12. iii. 16. *Neh.* v. 9. οἱ εναντιοι (*hostes*). *Ps.* cxxxviii. 20. *Sym.* ὁ σπειρων φαυλα θερισει κακα. *Prov.* xxii. 8. ουκ αγαθος ὁ λογος ὁν ὑμεις ποιειτε· ουχ οὑτως εν φοβῳ Θεου ἡμων απελευσεσθε απο ονειδισμου των εθνων κ. τ. λ. *Neh.* v. 9. ἱνα το ονομα Κυριου δοξασθῃ—και εκεινοι αισχυνθησονται. *Esa.* lxvi. 5. και συγκλεισον εξεναντιας των καταδιωκοντων με. *Ps.* xxxiv. 3. *Conf. Prov.* iii. 4. *Deut.* iv. 6.

9 Δουλους ιδιοις δεσποταις ὑποτασσεσθαι, εν πασιν ευαρεστους ειναι, μη αντιλεγοντας,

και οικεται ιδιοις δεσποταις δανειουσι. *Prov.* xxii. 7. ευαρεστος τῳ Θεῳ. *Sap.* iv. 10. *Conf. Ephes.* vi. 5. *Col.* iii. 22. 1 *Tim.* vi. 1, 2. 1 *Pet.* ii. 18. αποστραφηθι προς την κυριαν σου, και ταπεινωθητι ὑπο τας χειρας αυτης. *Gen.* xvi. 9.

10 Μη νοσφιζομενους, αλλα πιστιν πασαν ενδεικνυμενους αγαθην· ἱνα την διδασκαλιαν του σωτηρος ἡμων Θεου κοσμωσιν εν πασιν.

χρυσωματα τινα των του ἱερου νοσφισαμενος. 2 *Mac.* iv. 32. *Jos.* vii. 1. [μαρτυραμενος Θεον, μη νοσφιζεσθαι αλλοτρια. *Jos. Ant.* iv. 8. 29.] ὁ δε ποιων πιστιν δεκτος παρ' αυτῳ. *Prov.* xii. 22. *Ald.* πασι την δυναμιν ενδεικνυμενος. 2 *Mac.* ix. 8. και εν αγαπησει κεκοσμημενοι. *Sir.* xlviii. 11. κατεκοσμησε με κοσμῳ. *Esa.* lxi. 10. [ὁ ἑαυτῳ τι προσνεμων, τα ἑτερου νοσφιζεται. *Philo.* 2 *Alleg. p.* 66.] *Conf. Esa.* xliii. 11. *Ose.* xiii. 4. 4 *Reg.* v. 20-27.

11 Επεφανη γαρ ἡ χαρις του Θεου ἡ σωτηριος πασιν ανθρωποις,

επιφανησεται Κυριος επ᾽ αυτους. *Sophon. ii.* 11. 2 *Mac. iii.* 30. *xv.* 13. 27. και σωτηριοι αἱ γενεσεις του κοσμου, κ. τ. λ. *Sap. i.* 14. *Conf.* 1 *Tim. ii.* 4. *Tit. iii.* 4. *Luc. iii.* 6. *Ps. xcvi.* 1-3. ειδοσαν παντα τα περατα της γης το σωτηριον του Θεου ἡμων. *Ps. xcvii.* 3. *Ezech. xviii.* 32. *xxxiii.* 11.

12 Παιδευουσα ἡμας, ἱνα αρνησαμενοι την ασεβειαν και τας κοσμικας επιθυμιας, σωφρονως και δικαιως και ευσεβως ζησωμεν εν τῳ νυν αιωνι·

τοις ζωσιν αδικως. *Sap. xiv.* 28. *Conf. Ephes. i.* 4. *Col. i.* 22. 1 *Joan. ii.* 16. σωφρονως. *Sap. ix.* 11. τοις πορευομενοις εν ακακιᾳ. *Ps. lxxxiv.* 11. απο του νυν εις τον αιωνα. *Mich. iv.* 7. εν τῳ νυν καιρῳ. *Gen. xxx.* 20. και το Πνευμα μου δωσω εν ὑμιν, και ποιησω ἱνα εν τοις δικαιωμασι μου πορευησθε, και τα κριματα μου φυλαξησθε, και ποιησητε. *Ezech. xxxvi.* 27. *Conf. Ps. civ.* 35.

13 Προσδεχομενοι την μακαριαν ελπιδα και επιφανειαν της δοξης του μεγαλου Θεου και σωτηρος ἡμων Ιησου Χριστου,

προσδεχομενος την ελπιδα της σωτηριας μου. *Job. ii.* 9. ετι δε και ἡ σαρξ μου κατασκηνωσει επ᾽ ελπιδι. *Ps. xv.* 9. τας ὑπο Θεου προσδοκαν ελπιδας. 2 *Mac. vii.* 14. τις θεος μεγας ὡς ὁ Θεος ἡμων. *Ps. lxxvii.* 13. ὑπομενω επι τῳ Θεῳ τῳ σωτηρι μου. *Mich. vii.* 7. και εισηκουσθη προσευχη αμφοτερων ενωπιον της δοξης του μεγαλου. *Tob. iii.* 16. ἡ ελπις αυτων αθανασιας πληρης. *Sap. iii.* 4. *Conf. Job. xix.* 25-27. *Esa. xxv.* 9. 1 *Cor. i.* 7. *Phil. iii.* 20. 1 *Joan. iii.* 2. = κατελιπες τον Θεον τον Σωτηρα σου, και Κυριου του βοηθου σου ουκ εμνησθης. *Esa. xvii.* 10. *Conf. Middleton ad loc.* την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18.

14 Ὁς εδωκεν ἑαυτον ὑπερ ἡμων, ἱνα λυτρωσηται ἡμας απο πασης ανομιας, και καθαριση ἑαυτῳ λαον περιουσιον, ζηλωτην καλων εργων.

εδωκε γαρ ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. ανθ᾽ ὡν παρεδοθη εις θανατον ἡ ψυχη αυτου. *Esa. liii.* 12. και εξ αδικιας λυτρωσεται τας ψυχας αυτων. *Ps. lxxi.* 14. και δοτε τας ψυχας ὑμων ὑπερ διαθηκην. 1 *Mac. ii.* 50. και αυτος λυτρωσεται τον Ισραηλ εκ πασων των ανομιων αυτου. *Ps. cxxix.* 8. επιστραφηθε προς με, και λυτρωσομαι σε. *Esa. xliv.* 22. εσεσθε μοι λαος περιουσιος. *Exod. xix.* 5. *Deut. vii.* 6. και καλεσει αυτον, Λαον ἁγιον, λελυτρωμενον

ὑπο Κυριου. *Esa. lxii.* 12. κοσμησαι προσφοραν ὑψιστου. *Sir. l.* 16. ζηλωτης των νομων. 2 *Mac. iv.* 2. και εζηλωσα το αγαθον. *Sir. li.* 18. περιουσιασμος. *Ps. cxxxiv.* 4. *Eccles. ii.* 8. και περιποιησαι ἑαυτῳ ονομα αιωνιον. 1 *Mac. vi.* 44. *Conf. Ephes. ii.* 10. *Gal. i.* 4. *Heb. ix.* 14. ετραυματισθη δια τας ἁμαρτιας ἡμων, και μεμαλακισται δια τας ανομιας ἡμων—απο των ανομιων του λαου μου ηχθη εις θανατον, κ. τ. λ. *Esa. liii.* 5-8. [τον Κυριον αντιλλαξω σημερον ειναι σοι εις Θεον, και Κυριος αντηλλαξατο σε σημερον γενεσθαι λαον αυτῳ. *Conf. Deut. xxvi.* 17, 18. *Philo, de Charit. p.* 554. *Edit. Col.*] [περιουσιος· ὁ εγκτητος. *Suid.* περιποιητος. *Phav.*] προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου κ. τ. λ. 2 *Mac. i.* 26. ουχ ἁμαρτησομεθα δε, ειδοτες ὁτι σοι λελογισμεθα. *Sap. xv.* 2.

15 Ταυτα λαλει και παρακαλει και ελεγχε μετα πασης επιταγης· μηδεις σου περιφρονειτω.

παιδευσει με δικαιος εν ελεει και ελεγξει με. *Ps. cxl.* 5. και εγνωσαν πας Ισραηλ—ὁτι πιστος Σαμουηλ εις προφητην τῳ Κυριῳ. 1 *Reg. iii.* 20. περιφρονει της αναγκης. 4 *Mac.* § 6. ὁδος ζωης, και ελεγχος και παιδεια. *Prov. vi.* 23.

ΚΕΦ. γ. 3.

ΥΠΟΜΙΜΝΗΣΚΕ αυτους αρχαις και εξουσιαις ὑποτασσεσθαι, πειθαρχειν, προς παν εργον αγαθον ἑτοιμους ειναι,

φοβου τον Θεον, υἱε, και βασιλεα, κ. τ. λ. *Prov. xxiv.* 21. *Eccles. viii.* 2-5. *x.* 4. *Conf. Rom. xiii.* 1. 1 *Pet. ii.* 13. και γινου ἑτοιμος εις το πρωϊ. *Exod. xxxiv.* 2. πασαι αἱ αρχαι. *Dan. vii.* 27. *Conf. Deut. xvii.* 12. τῳ Θεῳ ὑποταγηθι. *Ps. lxi.* 5. [πειθαρχειν τοις νομοις. *Jos. c. Ap. ii.* 41.] εξουσιαις. *Conf. Sir. x.* 4.

2 Μηδενα βλασφημειν, αμαχους ειναι, επιεικεις, πασαν ενδεικνυμενους πρᾳοτητα προς παντας ανθρωπους.

εν πρᾳοτητι τα εργα σου διεξαγε. *Sir. iii.* 17. *Comp. Conf. Gen. xiii.* 8. 2 *Tim. ii.* 24, 25. γλωσση αμαχη. *Sir. xix.* 4. *Comp.* ὁτι συ Κυριε χρηστος και επιεικης, και πολυελεος πασι τοις επικαλουμενοις σε. *Ps. lxxxv.* 5. Μωυσης πραΰς σφοδρα παρα παντας τους ανθρωπους. *Num. xii.* 3.

3 Ημεν γαρ ποτε και ἡμεις ανοητοι, απειθεις, πλανωμενοι, δουλευοντες επιθυμιαις και ἡδοναις ποικιλαις, εν κακιᾳ και

φθονῳ διαγοντες, στυγητοι, μισουντες αλληλους·

ανοητοι. Prov. xv. 21. xvii. 28. απειθεις. Num. xx. 10. πλανωμενοι. 4 Reg. xxi. 9. Ezech. xliv. 10. [δουλευουσῃ ταις επιθυμιαις. Jos. Ant. xv. 4. 1.] ὁστις νυκτωρ ὡς ἡμερᾳ διαγει. Sir. xxxviii. 27. Conf. Prov. vi. 16. 1 Cor. vi. 11. Ephes. ii. 1. Col. iii. 7. 1 Pet. iv. 3. [στυγητοι. Philo. de Dec. p. 202.] ὁσον αν χρονον ακακοι εχονται της δικαιοσυνης, κ. τ. λ. Prov. i. 22. παντας δ' επιμιξ εχει αἱμα και φονος, κλοπη και δολος, φθορα, απιστια, ταραχη, επιορκια, κ. τ. λ. Sap. xiv. 25.

4 *Ὁτε δε ἡ χρηστοτης και ἡ φιλανθρωπια επεφανη του σωτηρος ἡμων Θεου,*

ὡς πολυ το πληθος της χρηστοτητος σου Κυριε, κ. τ. λ. Ps. xxx. 19. εχεις προς ἁπαντας φιλανθρωπιαν. 2 Mac. xiv. 9. φιλανθρωπον γαρ πνευμα σοφια. Sap. i. 6. βοηθησον ἡμιν ὁ Θεος ὁ σωτηρ ἡμων. Ps. lxxviii. 9. [χρηστοτητα γαρ και φιλανθρωπιαν ελπισαντες. Philo. leg. ad. Cai. p. 1002. δια την συμφυτον επιεικειαν και φιλανθρωπιαν—ὁ Θεος ελεησας, κ. τ. λ. Vit. Mos. p. 633.]

5 *Ουκ εξ εργων των εν δικαιοσυνῃ ὡν εποιησαμεν ἡμεις, αλλα κατα τον αὑτου ελεον, εσωσεν ἡμας, δια λουτρου παλιγγενεσιας, και ανακαινωσεως Πνευματος ἁγιου,*

ουχ ὁτι πολυπληθειτε παρα παντα τα εθνη—αλλα παρα το αγαπαν Κυριον ὑμας κ. τ. λ. Deut. vii. 7, 8. Conf. Dan. ix. 7. σωσον με κατα το ελεος σου. Ps. cviii. 26. Κυριε, μνησθησομαι της δικαιοσυνης σου μονου. lxx. 16. κατα το ελεος σου μνησθητι μου. xxiv. 7. και πνευμα καινον δωσω εν ὑμιν. Ezech. xxxvi. 26. ου δι' ὑμας εγω ποιω, λεγει Κυριος, Κυριος, γνωστον εστιν ὑμιν· αισχυνθητε και εντραπητε. xxxvi. 32. και εγενηθημεν ὡς ακαθαρτοι παντες ἡμεις, ὡς ῥακος αποκαθημενης πασα ἡ δικαιοσυνη ἡμων. Esa. lxiv. 6. Conf. Bar. i. 15. τις Θεος ὡσπερ συ, εξαιρων ανομιας κ. τ. λ. Mich. vii. 18. ὑπομενω ἑως παλιν γενωμαι. Job. xiv. 14. ἑως αν ελθῃ ἡ ἁγια φυσις μου. Theod. Sym. βαπτιζομενος απο νεκρου, και παλιν ἁπτομενος αυτου, τι ωφελησε τῳ λουτρῳ αυτου; Sir. xxxi. 25. πνευμα ευθες εγκαινισον εν τοις εγκατοις. Ps. l. 11. λουτρον παλιγγενεσιας. Conf. Ezech. xvi. 4. Joan. iii. 3-5. Job. iv. 17. xxxv. 2. Deut. ix. 4. Ps. lxxxviii. 16. Esa. xliv. 3.

6 *Οὑ εξεχεεν εφ' ἡμας πλουσιως, δια Ιησου Χριστου του σωτηρος ἡμων,*

και εκχεω επι τον οικον Δαυιδ—πνευμα χαριτος και οικτιρμου. Zach. xii. 10. επλεονασας την δικαιοσυνην σου, κ. τ. λ. Ps. lxx.

21. και εξεχεεν απ' αυτους το ελεος αυτου. *Sir. xviii.* 11. *Conf. Joel. ii.* 28. *Ezech. xxxvi.* 25. *Act. ii.* 33. *Rom. v.* 5.

7 Ἱνα δικαιωθεντες τῃ εκεινου χαριτι, κληρονομοι γενωμεθα κατ' ελπιδα ζωης αιωνιου.

ὁτι ου δικαιωθησεται ενωπιον σου πας ζων. *Ps. cxlii.* 2. Κυριος ὁ Θεος εβουλευσατο ἱνα δικαιωθῃ. *Esa. xlii.* 21. *xlv.* 26. και κληρονομησουσιν οἱ εκλεκτοι μου. *lxv.* 8. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. ἡ ελπις της σωτηριας. *Job. ii.* 9. ἡ ελπις αυτων αθανασιας πληρης. *Sap. iii.* 4. μη αισχυνθῃς—περι νομου Ὑψιστου και διαθηκης, και περι κριματος δικαιωσαι τον ασεβη. *Sir. xlii.* 1, 2.

8 Πιστος ὁ λογος, και περι τουτων βουλομαι σε διαβεβαιουσθαι, ἱνα φροντιζωσι καλων εργων προϊστασθαι οἱ πεπιστευκοτες τῳ Θεῳ· ταυτα εστι τα καλα και ωφελιμα τοις ανθρωποις.

φροντιζῃ τα περι ἡμων. 2 *Reg. ix.* 5. *Prov. xxxi.* 21. του συμφεροντος φροντιζων. 2 *Mac. xi.* 15. *Ps. xxxix.* 17. *Conf. Ephes. ii.* 10. 1 *Tim. i.* 15. 2 *Tim. ii.* 11. τοις ἁγιοις τοις εν τῃ γῃ αυτου, εθαυμαστωσε παντα τα θεληματα αυτου εν αυτοις. *Ps. xv.* 3. *Job. xxii.* 15. διαβεβαιουσθαι. *Conf.* 1 *Tim. i.* 7.

9 Μωρας δε ζητησεις και γενεαλογιας και ερεις και μαχας νομικας περιΐστασο· εισι γαρ ανωφελεις και ματαιοι.

αποσχου απο μαχης. *Sir. xxviii.* 8. [φευγει—και περιΐσταται. *Jos. Ant. i.* 1. 4.] [ἁμαρτια ανωφελης. *Test. XII Patr. p.* 959.] *Conf. Prov. xxviii.* 3. ελεγχων εν ῥημασιν οἱς ου δει, και εν λογοις οἱς ουδεν οφελος. *Job. xv.* 3. *Jer. ii.* 8. *Sap. i.* 11.

10 Αἱρετικον ανθρωπον μετα μιαν και δευτεραν νουθεσιαν παραιτου,

ὁτι γενεα εξεστραμμενη εστιν· υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. αἱρετικος. *Conf. Act. v.* 17. *xxiv.* 5. 14. 1 *Cor. xi.* 19. παραιτου. 2 *Mac. ii.* 31. *Conf. Matt. xviii.* 17. *Rom. xvi.* 17. 2 *Tim. iii.* 5. 2 *Joan.* 10. νουθεσια. *Conf. Ephes. vi.* 4.

11 Ειδως ὁτι εξεστραπται ὁ τοιουτος, και ἁμαρτανει, ων αυτοκατακριτος.

ελεγξαι σε το σον στομα και μη εγω, τα δε χειλη σου καταμαρτυρησουσι σου. *Job. xv.* 6. ὁ τοιουτος. *Conf. Gen. xli.* 38.

12 Ὁταν πεμψω Αρτεμαν προς σε η Τυχικον, σπουδασον ελθειν προς με εις Νικοπολιν· εκει γαρ κεκρικα παραχειμασαι.

καθως δε αν αυτῳ κριθειη. *2 Mac. xv.* 21. εσπουδασαν του καταβηναι εις την πυλην. *Judith. xiii.* 12. *Conf. Act. xx.* 4. *Ephes. vi.* 21. *Col. iv.* 7. *2 Tim. iv.* 12. μη οκνησῃς ελθειν. *Marc. xii.* 17.

13 Ζηναν τον νομικον και Απολλω σπουδαιως προπεμψον, ἱνα μηδεν αυτοις λειπῃ.

και μετα σπουδης προπεμψαντες αυτους. *Sap. xix.* 2. *1 Esd. iv.* 47. σπουδαιως. *Sap. ii.* 6. ετι ἑν σοι λειπει. *Luc. xviii.* 22. *Sap. xix.* 4. *Conf. Act. xviii.* 24. *1 Cor. i.* 12.

14 Μανθανετωσαν δε και οἱ ἡμετεροι καλων εργων προϊστασθαι εις τας αναγκαιας χρειας, ἱνα μη ωσιν ακαρποι. Ασπαζονται σε οἱ μετ᾿ εμου παντες·

ὁ προεστως αλλοτριας κρισεως. *Prov. xxvi.* 17. και κληθησονται γενεαι δικαιοσυνης, φυτευμα Κυριου εις δοξαν. *Esa. lxi.* 3. κατα πασαν την χρειαν σου. *2 Par. ii.* 16. πονος ακαρπος. *Sap. xv.* 4. ὁτι συναγωγη ὑποκριτου ακαρπος. *Job. xv.* 34. *Aq. Theod.* παντες οἱ μετ᾿ αυτου. *Ezech. xxxviii.* 22. *Ps. i.* 2. ἱνα ωσι σοι αρνες. *Prov. xxvii.* 26. *Conf. 1 Thess. ii.* 9. *2 Thess. iii.* 8. [του δικαιου οἱ προϊσταμενοι. *Jos. Ant. v.* 7. 1.]

15 Ασπασαι τους φιλουντας ἡμας εν πιστει. ἡ χαρις μετα παντων ὑμων. αμην.

[παντες οἱ παρ᾿ ἡμιν πιστοι προσαγορευουσι σε. *Ignat. Epist. p.* 69.] εγω τους εμε φιλουντας αγαπω. *Prov. viii.* 17. ενετειλαμεθα ουν αυτοις και προς ὑμας πορευθηναι, και ασπασασθαι ὑμας, κ. τ. λ. *1 Mac. xii.* 17. Κυριος μεθ᾿ ὑμων. *Ruth. ii.* 4. *Conf. Esa. lxvi.* 10. Αμην. *Neh. v.* 13. *viii.* 6.

[Προς Τιτον της Κρητων εκκλησιας πρωτον επισκοπον χειροτονηθεντα, εγραφη απο Νικοπολεως της Μακεδονιας.]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ.

ΠΑΥΛΟΣ δεσμιος Χριστου Ιησου, και Τιμοθεος ὁ αδελφος, Φιλημονι τῳ αγαπητῳ και συνεργῳ ἡμων,

[Ιγνατιος, ὁ και Θεοφορος, ελεος, ειρηνη απο του Θεου Πατρος και Κυριου Ιησου Χριστου, κ. τ. λ.] *Conf.* 1 *Mac. x.* 18. 2 *Mac. i.* 1. 3 *Mac. vii.* 1. *Rom. i.* 1. *Ephes. iii.* 1. 2 *Tim. i.* 8.

2 Και Απφιᾳ τῃ αγαπητῃ, και Αρχιππῳ τῳ συστρατιωτῃ ἡμων, και τῃ κατ᾽ οικον σου εκκλησιᾳ·

και εκκλησια πιστων μετ᾽ αυτου. 1 *Mac. iii.* 13. *Lev. x.* 14. *Conf. Rom. xvi.* 5. 1 *Cor. xvi.* 19. *Phil. ii.* 25. 1 *Tim. i.* 18.

3 Χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων και Κυριου Ιησου Χριστου.

Conf. Rom. i. 7. 2 *Cor. xiii.* 13.

4 Ευχαριστω τῳ Θεῳ μου, παντοτε μνειαν σου ποιουμενος επι των προσευχων μου,

Conf. Ephes. i. 16. 2 *Mac. i.* 1-6. 1 *Thess. i.* 2. 2 *Tim. i.* 3. *Rom. i.* 8. μνειαν μου ποιησῃ. *Job. xiv.* 13.

5 Ακουων σου την αγαπην και την πιστιν, ἡν εχεις προς τον Κυριον Ιησουν και εις παντας τους ἁγιους·

Conf. Ephes. i. 15. *Col. i.* 4. τοις ἁγιοις τοις εν τῃ γῃ αυτου. *Ps. xv.* 2, 3. ευσεβεια εις Θεον. *Prov. i.* 7. ὁ φιλαδελφος οὑτος εστιν ὁ πολλα προσευχομενος περι του λαου, κ. τ. λ. 2 *Mac. xv.* 14.

6 Ὁπως ἡ κοινωνια της πιστεως σου ενεργης γενηται εν επιγνωσει παντος αγαθου του εν ὑμιν εις Χριστον Ιησουν.

κοινωνια λογων της σοφιας. *Sap. viii.* 18. ὁπως. *Amos. ii.* 7. *Sap. xvi.* 28. *Conf. Rom. xii.* 13. 2 *Cor. viii.* 4. *Phil. i.* 5. *Sap. i.* 6.

7 Χαριν γαρ εχομεν πολλην και παρακλησιν επι τῃ αγαπῃ

σου, ὅτι τα σπλαγχνα των ἁγιων αναπεπαυται δια σου αδελφε.

ὁ Κυριος του ουρανου και της γης δῳη σοι χαριν αντι της λυπης σου ταυτης. *Tob. vii.* 18. και επι παση βοη ταραχθησεται σπλαγχνα αυτου. *Sir. xxx.* 7. *xxxiii.* 5. τα δε σπλαγχνα των ασεβων ανελεημονα. *Prov. xii.* 10. αναπαυσει σε Κυριος, κ. τ. λ. *Esa. xiv.* 3. *Prov. xxix.* 17. *Ezech. xxxiv.* 16. *Job. iv.* 3, 4.

8 *Διο πολλην εν Χριστῳ παῤῥησιαν εχων επιτασσειν σοι το ανηκον,*

εν πολλῃ παῤῥησιᾳ. *Sap. v.* 1. *Prov. xiii.* 5. και τα αλλα τα ανηκοντα ἡμιν. 1 *Mac. xi.* 35. [ανηκον· πρεπον. *Suid.*]

9 *Δια την αγαπην μαλλον παρακαλω· τοιουτος ων ὡς Παυλος πρεσβυτης, νυνι δε και δεσμιος Ιησου Χριστου·*

παρακαλω ὑμας και αξιω. 2 *Mac. ix.* 26. κραταια ὡς θανατος αγαπη, κ. τ. λ. *Cant. viii.* 6, 7. ὁ προφητης ὁ πρεσβυτης. 3 *Reg. xiii.* 25. τοιουτος. *Conf. Sir. xlix.* 14. ἑως γηρους και πρεσβειου. *Ps. lxx.* 18. δεσμιοι της συναγωγης. *Zach. ix.* 12.

10 *Παρακαλω σε περι του εμου τεκνου, ὁν εγεννησα εν τοις δεσμοις μου, Ονησιμον,*

και προσευξεται περι σου. *Gen. xx.* 7. υἱους εγεννησα. *Esa. i.* 2. *Conf. Gal. iv.* 29. 1 *Cor. iv.* 15. *Col. iv.* 9. [εμον εστι του Μακρωνος εργον Γαϊος· μαλλον αυτον η ουχ ἡττον των γονεων γεγεννηκα. *Philo, Leg. ad Cai. p.* 1000.] εστι φιλος προσκολληθεις ὑπερ αδελφον. *Prov. xviii.* 22. *Comp.*

11 *Τον ποτε σοι αχρηστον, νυνι δε σοι και εμοι ευχρηστον, ὁν ανεπεμψα·*

ὡς σκευος αχρηστον. *Ose. viii.* 8. *Prov. xxxi.* 13. τεκνων πληθος αχρηστων. *Sir. xvi.* 1. *xxxvii.* 19. εις ουδεν ευχρηστον. *Sap. xiii.* 13. *Alex. Winer.* § 62. εις παντα καιρον φιλος ὑπαρχετω σοι, αδελφοι δε εν αναγκαις χρησιμοι εστωσαν, τουτου γαρ χαριν γεννωνται. *Prov. xvii.* 17. [αχρηστα και βδελυκτα εργα διαπραττομενοι. *Act. Thom.* 12.] νυνι δε. *Gen. xxxii.* 10.

12 *Συ δε αυτον, τουτεστι τα εμα σπλαγχνα, προσλαβου.*

ὁ υἱος μου ὁ εξελθων εκ της κοιλιας μου. 2 *Reg. xvi.* 11. φιλος ισος τῃ ψυχῃ σου. *Deut. xiii.* 6. και ἡ ψυχη Ιωναθαν συνεδηθη τῃ ψυχῃ Δαυιδ, κ. τ. λ. 1 *Reg. xviii.* 1. *Alex. Ald. Comp. Jer. xxxviii.* 20. προσλαβου. *Ps. lxiv.* 4.

13 *Ὁν εγω εβουλομην προς εμαυτον κατεχειν, ἱνα ὑπερ σου διακονῃ μοι εν τοις δεσμοις του ευαγγελιου·*

προς εμαυτον ἡ ψυχη μου εταραχθη. Ps. xli. 6. εν δεσμοις αγαπησεως μου. Ose. xi. 4. ὑπερ σου. Sir. xxix. 15.

14 Χαρις δε της σης γνωμης ουδεν ηθελησα ποιησαι, ἱνα μη ὡς κατα αναγκην το αγαθον σου ῃ, αλλα κατα ἑκουσιον.

κατ' αναγκην. 2 Mac. xv. 2. καθ' ἑκουσιον. Num. xv. 3. Lev. vii. 6. Conf. 2 Cor. ix. 7. 1 Par. xxix. 17. Tob. iv. 8, 9.

15 Ταχα γαρ δια τουτο εχωρισθη προς ὡραν, ἱνα αιωνιον αυτον απεχῃς·

προς ὡραν. Conf. 1 Thess. ii. 17. ταχα. Sap. xiv. 19. Conf. Esa. x. 7. [απεχῃς, απολαβῃς. Oecumen. et Theoph.] το αργυριον ὑμων ευδοκιμουν απεχω. Gen. xliii. 23. Num. xxxii. 19. και δουλευσει αυτῳ εις τον αιωνα. Exod. xxi. 6. και εσται σοι οικετης εις τον αιωνα. Deut. xv. 17. i. e. ἑως ἡμερας θανατου αυτου. Conf. 1 Reg. i. 22. xi. 28. Gen. xlv. 5. Job. xl. 23.

16 Ουκετι ὡς δουλον, αλλ' ὑπερ δουλον, αδελφον αγαπητον, μαλιστα εμοι, ποσῳ δε μαλλον σοι, και εν σαρκι και εν Κυριῳ;

Conf. Matt. xxiii. 8. 1 Tim. vi. 2. περι Δουλων. Sir. xxx. 24-31. εαν δε πραθῃ σοι ὁ αδελφος σου ὁ Ἑβραιος η Ἑβραια, δουλευσει σοι ἑξ ετη, και τῳ ἑβδομῳ εξαποστελεις αυτον ελευθερον κ. τ. λ. Deut. xv. 12, 13. ου σκληρον εσται εναντιον σου ἐξαποστελλομενων αυτων ελευθερων απο σου κ. τ. λ. 18. 2 Mac. vii. 29.

17 Ει ουν εμε εχεις κοινωνον, προσλαβου αυτον ὡς εμε.

τους φευγαδευθεντας απο Ἱεροσολυμων προσλαβομενοι. 2 Mac. x. 15. ει εὑρον χαριν ενωπιον του βασιλεως, δοθητω ἡ ψυχη τῳ αιτηματι μου, κ. τ. λ. Est. vii. 3. φιλος κοινωνος τραπεζων. Sir. vi. 10. περι λογου κοινωνου. xlii. 3. vii. 20, 21.

18 Ει δε τι ηδικησε σε η οφειλει, τουτο εμοι ελλογει.

ηδικησε τι τον πλησιον. Lev. vi. 2. Conf. Gen. xliii. 8, 9. οφειλει, deliquit. = Sap. xii. 15. 20. [ελλογει· καταλογησαι. Hesych.] [ουκ ελλογισω με μετα των ἁμαρτωλων εις απωλειαν. Psalt. Sal. xvi. 5.]

19 Εγω Παυλος εγραψα τῃ εμῃ χειρι, εγω αποτισω· ἱνα μη λεγω σοι, ὁτι και σεαυτον μοι προσοφειλεις.

αποτισει το διπλουν. Exod. xxii. 7. Lev. xxiv. 18. Conf. Luc. x. 35.

20 Ναι, αδελφε, εγω σου οναιμην εν Κυριῳ· αναπαυσον μου τα σπλαγχνα εν Κυριῳ.

ὁ παιδευων τον υἱον αυτου ονησεται επ' αυτῳ. Sir. xxx. 2. [οναιμην· τυχοιμι, απολαυσαιμι, ωφεληθειην. Hesych.] ναι δη επ' αλη-

θειας. *Job. xix.* 4. [και ούτως εβοα Ιακωβ· Ω τεκνον Ιωσηφ, ενικησας τα σπλαγχνα Ιακωβ του πατρος σου. κ. τ. λ. *Test. XII Patr. p.* 730.] ὁ εισακουων Κυριου αναπαυσει μητερα αυτου. *Sir. iii.* 6.

21 Πεποιθως τῃ ὑπακοῃ σου εγραψα σοι, ειδως ὁτι και ὑπερ ὁ λεγω ποιησεις.

εαυτῳ πεποιθως. *Prov. xiv.* 16. ακοη ὑπερ θυσιαν. 1 *Reg. xv.* 22.

22 Ἁμα δε και ἑτοιμαζε μοι ξενιαν· ελπιζω γαρ ὁτι δια των προσευχων ὑμων χαρισθησομαι ὑμιν.

[ἁμα· ὁμου, εν τῳ αυτῳ χρονῳ. *Hesych.*] χαρισθησομαι. *Conf. Act. iii.* 14. *Heb. xiii.* 2. [ξενια. *Jos. Ant. v.* 2. 8.] *Conf. Act. xxviii.* 23.

23 Ασπαζονται σε Επαφρας ὁ συναιχμαλωτος μου εν Χριστῳ Ιησου,

Conf. Col. i. 7. *iv.* 12. 1 *Mac. xii.* 17.

24 Μαρκος, Αρισταρχος, Δημας, Λουκας, οἱ συνεργοι μου.

Conf. Act. xii. 12. *xx.* 4. *Col. iv.* 10. 2 *Tim. iv.* 10. 1 *Pet. v.* 13.

25 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μετα του πνευματος ὑμων. αμην.

Κυριος μετα σου—Θεος Θεος πνευματων. *Num. xvi.* 22. πνευμα ευθες εγκαινισον εν τοις εγκατοις μου—και το πνευμα το ἁγιον σου μη αντανελῃς απ' εμου. *Ps. l.* 10, 11. εις χειρας σου παραθησομαι το πνευμα μου. *xxx.* 5. Κυριε Ιησου, δεξαι το πνευμα μου. *Act. vii.* 59. Κυριος μεθ' ὑμων. *Ruth. ii.* 4. Αμην. *Neh. v.* 13. *viii.* 6.

[Προς Φιλημονα εγραφη απο Ῥωμης δια Ονησιμου οικετου.]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦ. α. 1.

ΠΟΛΥΜΕΡΩΣ και πολυτροπως παλαι ὁ Θεος λαλησας τοις πατρασιν εν τοις προφηταις, επ᾽ εσχατων των ἡμερων τουτων ελαλησεν ἡμιν εν υἱῳ,

πνευμα πολυμερες [σοφια.] *Conf. Sap. vii.* 22. πολυτροπως. 4 *Mac.* 3. [πολυμερως· πολυσχεδως. πολυτροπως· διαφορως, ποικιλως. *Hesych.*] και ελαλησεν αυτῳ ὁ Θεος. *Gen. xvii.* 3. *et pass.* καθως ελαλησας εν χειρι δουλου σου. 3 *Reg. viii.* 53. επ᾽ εσχατων των ἡμερων. *Gen. xlix.* 1. *Ezech. xxxviii.* 16. ὁ παντοδυναμος σου λογος. *Sap. xviii.* 15. [ταυτα παντα ὁ Σαλομων εις την Θεου τιμην πολυμερως και μεγαλοπρεπως κατεσκευασε. *Jos. Ant. viii.* 3. 9.] ηκουσας παλαι ἁ εγω εποιησα; *Esa. xxxvii.* 26. μη Μωυσῃ μονῳ λελαληκε Κυριος; ουχι και ἡμιν ελαλησε; *Num. xii.* 2. και λαλησω προς προφητας, και εγω ορασεις επληθυνα, και εν χερσι προφητων ὡμοιωθην. *Ose. xii.* 10. *Jer. vii.* 25. και εν προφητῃ ανηγαγε Κυριος τον Ισραηλ εκ γης Αιγυπτου. *Ose. xii.* 13. εν τοις ενυπνιοις, και εν τοις δηλοις, και εν τοις προφηταις. 1 *Reg. xxviii.* 6. εν πνευματι αυτου εν χερσι των προφητων των εμπροσθεν. *Zach. vii.* 12. ὑστερον δε απεστειλε προς αυτους τον υἱον αυτου. *Matt. xxi.* 30.

2 Ὁν εθηκε κληρονομον παντων, δι᾽ οὑ και τους αιωνας εποιησεν,

προφητην—τεθεικα σε. *Jer. i.* 5. ὑψωσατε τον βασιλεα των αιωνων. *Tob. xiii.* 6. 10. ὁ ποιησας τα παντα εν λογῳ σου. *Sap. ix.* 1. αιων. *Sap. xiii.* 9. *xiv.* 6. *Eccles. iii.* 11. *Conf. Ps. xxxii.* 6. *Joan. i.* 3. 7. υἱος μου ει συ—αιτησαι παρ᾽ εμου, και δωσω σοι εθνη την κληρονομιαν σου, κ. τ. λ. *Ps. ii.* 7, 8. *cxlvi.* 4. *Esa. xliv.* 24. *xlv.* 12. 18. *Gen. i.* 1. 16. *Job. xii.* 9.

3 Ὁς ων απαυγασμα της δοξης και χαρακτηρ της ὑποστασεως αυτου, φερων τε τα παντα τῳ ῥηματι της δυναμεως αὐ-

του, δι' ἑαυτου καθαρισμον ποιησαμενος των ἁμαρτιων ἡμων, εκαθισεν εν δεξιᾳ της μεγαλωσυνης εν ὑψηλοις,

απαυγασμα γαρ εστι φωτος αϊδιου—και εικων της αγαθοτητος αυτου. Sap. vii. 26. [ὁ της αρετης χαρακτηρ οικειος. Philo. 1 Alleg. p. 51.] Κυριος δωσει ῥημα—δυναμει πολλῃ. Ps. lxvii. 11. διατι ουκ εποιησω—καθαρισμον της ἁμαρτιας μου; Job. vii. 21. Exod. xxix. 36. xxx. 10. καθου εκ δεξιων μου, κ. τ. λ. Ps. cix. 1. ὑποστασις. Sap. xvi. 21. [πασα ἡ ὑποστασις των σπλαγχνων. Test. XII Patr. p. 633.] [χαρακτηρ· ὁμοιωσις. Hesych.] σοι Κυριε ἡ μεγαλωσυνη, και ἡ δυναμις. 1 Par. xxix. 11. Prov. xviii. 10. θαυμαστος εν ὑψηλοις. Ps. xcii. 4. χαρακτηρ του κατακαυματος. Lev. xiii. 28. Ps. xlviii. 15. Aq. της δοξης. Conf. Exod. xvi. 7. 10. xxiv. 17. xl. 34, 35. εγω εστερεωσα τους στυλους αυτης. Ps. lxxiv. 3. [χαρακτηρ· διατυπωσις διπλουσα την ὑποστασιν. Phav.] αἱμα καθαρισμου. Conf. Exod. xxx. 10. Lev. ix. 15. xvi. 30. [το του αορατου και μεγιστου Θεου περιφεγγεστατον και περιαυγεστατον φως. Philo, de Somn. p. 448. αυτος (ὁ λογος) εικων ὑπαρχων Θεου των νοητων ἁπαξαπαντων ὁ πρεσβυτατος, κ. τ. λ. de Prof. p. παντα φερων σπουδαια ὁ Θεος. de Nom. Mut. p. 1084. Edit. 1640. το εμφυσωμενον πνευμα της μακαριας και τρισμακαριας φυσεως απαυγασμα. de leg. spec. p. 356. του θειου και αορατου εικονα—ὁ χαρακτηρ εστιν αϊδιος λογος. de Plant. Noe. p. 332. ib. λογος δε αϊδιος Θεου του αιωνιου το οχυρωτατον και βεβαιοτατον ερεισμα των ὁλων εστι. p. 330.] Conf. 2 Cor. iv. 4.

4 Τοσουτῳ κρειττων γενομενος των αγγελων, ὁσῳ διαφορωτερον παρ' αυτους κεκληρονομηκεν ονομα.

καθοτι δε αυτους εταπεινουν, τοσουτῳ πλειους εγιγνοντο. Exod. i. 12. κρειττων. Jud. viii. 2. Prov. viii. 11. Sir. iii. 18. ου πρεσβυς, ουδε αγγελος, αλλ' αυτος εσωσεν αυτους. Esa. lxiii. 9. και εκτισεν ὁ Θεος τον ανθρωπον εν εικονι διαφορῳ. Gen. i. 27. Sym. Esd. viii. 27. ὁ γαρ Κυριος ὁ Θεος, ζηλωτον ονομα. Exod. xxxiv. 14. Conf. Phil. ii. 9. [διαφορώτερον· κρειττον, ὑψηλοτερον. Hesych.] του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 Mac. viii. 15.

5 Τινι γαρ ειπε ποτε των αγγελων, Υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε; Και παλιν, Εγω εσομαι αυτῳ εις πατερα, και αυτος εσται μοι εις υἱον;

υἱος μου ει συ κ. τ. λ. Ps. ii. 7. εγω εσομαι κ. τ. λ. 2 Reg. vii. 14. Conf. 1 Par. xvii. 14. xxii. 10. xxviii. 6. CITAT. 239, 240.

6 Ὁταν δε παλιν εισαγαγῃ τον πρωτοτοκον εις την οικουμενην, λεγει,

[παρηγαγεν εις βιον. *Jos. Ant. v.* 1. 15. *Conf. Krebs. et Loesner.*] τα περατα της οικουμενης. *Ps. xviii.* 4. και εισηγαγεν αυτην προς ἑαυτον εις την κιβωτον. *Gen. viii.* 9. *xxiv.* 67. *Aq.* ὁταν εγενηθησαν αστρα, ῃνεσαν με φωνῃ μεγαλῃ παντες αγγελοι μου. *Job. xxxviii.* 7. καγω πρωτοτοκον θησομαι αυτον, ὑψηλον παρα τοις βασιλευσι της γης. *Ps. lxxxviii.* 27.

7 Και προσκυνησατωσαν αυτῳ παντες αγγελοι Θεου. Και προς μεν τους αγγελους λεγει, Ὁ ποιων τους αγγελους αὑτου πνευματα, και τους λειτουργους αὑτου πυρος φλογα·

προσκυνατωσαν αυτῳ παντες αγγελοι κ. τ. λ. *Deut. xxxii.* 43. *Conf. Ps. xcvi.* 7. *Job. xxxviii.* 7. *Neh. ix.* 6. ὁ ποιων τους αγγελους αυτου κ. τ. λ. *Ps. ciii.* 4. *CITAT.* 241, 242.

8 Προς δε τον υἱον, Ὁ θρονος σου, ὁ Θεος, εις τον αιωνα του αιωνος· ῥαβδος ευθυτητος ἡ ῥαβδος της βασιλειας σου.

9 Ηγαπησας δικαιοσυνην, και εμισησας ανομιαν. δια τουτο εχρισε σε ὁ Θεος, ὁ Θεος σου, ελαιον αγαλλιασεως παρα τους μετοχους σου.

ὁ θρονος σου, ὁ Θεος κ. τ. λ. *Ps. xliv.* 6, 7. *CITAT.* 243.

10 Και, Συ κατ᾽ αρχας, Κυριε, την γην εθεμελιωσας, και εργα των χειρων σου εισιν οἱ ουρανοι.

10-12.] [εν αρχῃ εποιησεν ὁ Θεος τον ουρανον και την γην. *Gen. i.* 1. *Philo, de Mund. Opific. p.* 4.] ὁ Ων Κυριε, συ εποιησας τον ουρανον και την γην, κ. τ. λ. *Jer. xxxix.* 17. *Conf. Joan. i.* 18. *iii.* 13. *vi.* 46. *viii.* 47. *Rom. ix.* 5. 2 *Cor. xi.* 31. *Apoc. i.* 8. 11. 18.

11 Αυτοι απολουνται, συ δε διαμενεις. και παντες ὡς ἱματιον παλαιωθησονται,

ἑως αν ὁ ουρανος παλαιωθῃ. *Job. xiv.* 12. *Alex.*

12 Και ὡσει περιβολαιον ἑλιξεις αυτους και αλλαγησονται· συ δε ὁ αυτος ει, και τα ετη σου ουκ εκλειψουσι.

Conf. Esa. xxxiv. 4. *li.* 6. *Job. xxv.* 2-6. *Sir. xiv.* 18. κατ᾽ αρχας την γην συ Κυριε εθεμελιωσας κ. τ. λ. *Ps. ci.* 25. *CITAT.* 244.

13 Προς τινα δε των αγγελων ειρηκε ποτε, Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου;

Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου κ. τ. λ. *Ps. cix.* 1. *CITAT.* 245.

14 Ουχι παντες εισι λειτουργικα πνευματα, εις διακονιαν αποστελλομενα δια τους μελλοντας κληρονομειν σωτηριαν;

τα σκευη τα λειτουργικα. *Num. iv.* 12. 26-28. *Conf.* 3 *Reg. xxii.* 19. *Zach. iii.* 5-7. *Dan. vii.* 10. και κληρονομησουσιν οἱ εκλεκτοι μου. *Esa. lxv.* 9. ὁ Θεος των πνευματων. *Num. xxvii.* 16. σωτηρια δε των δικαιων παρα Κυριου. *Ps. xxxvi.* 39. ευλογειτε τον Κυριον πασαι αἱ δυναμεις αυτου, λειτουργοι αυτου ποιουντες τα θεληματα αυτου. *cii.* 21. ὁτι τοις αγγελοις αυτου εντελειται περι σου, του διαφυλαξαι σε κ. τ. λ. *xc.* 11. παρεμβαλει αγγελος Κυριου κυκλῳ των φοβουμενων αυτον, κ. τ. λ. *xxxiii.* 7. *lxvii.* 17. *Gen. xxviii.* 12. [αγγελους προσαγορευει, πρεσβευομενας και διαγγελλουσας τα τε παρα του ἡγεμονος τοις ὑπηκοοις αγαθα, και τῳ βασιλει ᾡ εισιν ὑπηκοοι, χρειοι, κ. τ. λ. *Philo de Plant. Noe. p.* 168. *Edit. Col. Conf. Ottii Spicileg. ad loc.*] *Conf. Gen. xxiv.* 7. *Exod. xxiii.* 20. *Num. xx.* 16.

ΚΕΦ. β. 2.

ΔΙΑ τουτο δει περισσοτερως ἡμας προσεχειν τοις ακουσθεισι, μη ποτε παραῤῥυωμεν.

προσεχε σεαυτῳ, και φυλαξον την ψυχην σου σφοδρα, κ. τ. λ. *Deut. vi.* 9. 23. προσεχετε τῃ καρδιᾳ επι παντας τους λογους τουτους, κ. τ. λ. *xxxii.* 46. μη παραῤῥυησατωσαν εξ οφθαλμων σου. *Prov. iv.* 21. *Sym.* υἱε μη παραῤῥυῃς, τηρησον δε εμην βουλην. *iii.* 21. μηποτε επιλαθωνται του νομου σου. *Ps. lviii.* 11. ουδε ηθελον εμαις προσεχειν βουλαις. *Prov. i.* 30. *Job. xxvii.* 6. *Conf. Heb. i.* 1. *Ps. cxviii.* 11. [περισσοτερως ηγαπησα αυτους. *Test. Patr. p.* 721.]

2 Ει γαρ ὁ δι᾽ αγγελων λαληθεις λογος εγενετο βεβαιος, και πασα παραβασις και παρακοη ελαβεν ενδικον μισθαποδοσιαν,

Κυριος εκ Σινα ἡκει—εκ δεξιων αυτου αγγελοι μετ᾽ αυτου. *Deut. xxxiii.* 2. *Ps. lxvii.* 17. ποιουντας παραβασεις εμισησα. *c.* 3. [αποθνησκομεν τῃ του ανθρωπου παρακοῃ. *Just. Mart. de Resur. p.* 213.] ληψεται μισθον πιστον. *Prov. xi.* 21. [ενδικον· αληθες, δικαιον, αξιον. *Hesych.*] [*Conf. Krebs. ad Act. vii.* 53.] = μισθοφορια. 1 *Reg. xvii.* 18. *Sym.*

3 Πως ἡμεις εκφευξομεθα τηλικαυτης αμελησαντες σωτηριας; ἡτις αρχην λαβουσα λαλεισθαι δια του Κυριου, ὑπο των ακουσαντων εις ἡμας εβεβαιωθη,

την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18. Θεου κρισιν εκπεφευγας. 2 *Mac. vii.* 35. οἱ αμελησαντες του δικαιου και του Κυριου αποσταντες. *Sap. iii.* 10. και των θυσιων αμελουντες. 2 *Mac. iv.* 14. τηλικουτο το δυσσεβημα. *xii.* 3. βεβαιωσον με εν τοις λογοις σου. *Ps. cxviii.* 28. *xl.* 12. ἡτις. *Conf. Deut. v.* 26. *Jonas. iv.* 11. ὑπο. *Esa. vii.* 2. *Job. xxi.* 18. *Conf. Ezech. xvii.* 15. 18. [την αρχην του γενεσθαι λαβον εν Αιγυπτῳ. *Philo, T. II. p.* 93.] Ιδου ὁ Θεος μου, σωτηρ μου, πεποιθως εσομαι επ' αυτῳ, κ. τ. λ. *Esa. xii.* 2. *li.* 5. *lxii.* 11. και ερουσιν οἱ κατοικουντες—εν τῃ ἡμερᾳ εκεινῃ,—και πως ἡμεις σωθησομεθα; *xx.* 6. [ταυτ' ουν και βεβαιωσον. *Jos. Ant. i.* 18. 6.]

4 Συνεπιμαρτυρουντος του Θεου σημειοις τε και τερασι, και ποικιλαις δυναμεσι, και Πνευματος ἁγιου μερισμοις, κατα την αὑτου θελησιν.

εν σημειοις, και εν τερασι. *Deut. iv.* 34. τῃ του Θεου θελησει. 2 *Mac. xii.* 16. κατα το θελημα αυτου. *Dan. iv.* 32. μερισμοι. *Jos. xi.* 25. *xviii.* 10. *Esd. vi.* 18. εξαποστειλον αυτην (σοφιαν)—ἱνα συμπαρουσα μοι κοπιασῃ, κ. τ. λ. *Sap. ix.* 10.

5 Ου γαρ αγγελοις ὑπεταξε την οικουμενην την μελλουσαν, περι ἡς λαλουμεν·

ὑπεταξας. *Conf. Ps. viii.* 6. *Dan. xi.* 39. πατηρ του μελλοντος αιωνος. *Esa. ix.* 6. *Alex. Conf. cap. i.* 6. 2 *Pet. iii.* 13. *Apoc. xi.* 15. κατα δε αγγελων αυτου σκολιον τι επενοησε. *Job. iv.* 18.

6 Διεμαρτυρατο δε που τις λεγων, Τι εστιν ανθρωπος, ὁτι μιμνησκῃ αυτου, η υἱος ανθρωπου, ὁτι επισκεπτῃ αυτον;

7 Ηλαττωσας αυτον βραχυ τι παρ' αγγελους· δοξῃ και τιμῃ εστεφανωσας αυτον, και κατεστησας αυτον επι τα εργα των χειρων σου· παντα ὑπεταξας ὑποκατω των ποδων αυτου.

εα δε, ανθρωπος σαπρια, και υἱος ανθρωπου σκωληξ. *Job. xxv.* 6. *Sap. ix.* 13. τι εστιν ανθρωπος, ὁτι μιμνησκῃ αυτου, κ. τ. λ. *Ps. viii.* 4-6. τι γαρ εστιν ανθρωπος ὁτι εμεγαλυνας αυτον; κ. τ. λ. *Job. vii.* 17, 18. *Esa. xl.* 17. *Conf. Ps. cxliii.* 3. *Matt. xxiv.* 47. *Gen. i.* 26. και διαμαρτυρῃ αυτοις τα προσταγματα του Θεου. *Exod. xviii.* 20. [ου παρ' ὁσον ὑστατον γεγονεν ανθρωπος, δια την ταξιν ηλαττωται. *Philo, de Opific. p.* 20. εστι εν ατιμιᾳ βραχυ

τι των εις επιτιμιαν εὑρειν. *in Flac. p.* 976. αργυριον η σιτον—του δημου λαμβανοντος, ουδεποτε τους Ιουδαιους ηλαττωσε της χαριτος. *Leg. ad Cai. p.* 1015.] και τῃ σοφιᾳ σου κατεσκευασας ανθρωπον, ἱνα δεσποζῃ των ὑπο σου γενομενων κτισματων. *Sap. ix.* 2. *CITAT.* 246.

8 Εν γαρ τῳ ὑποταξαι αυτῳ τα παντα, ουδεν αφηκεν αυτῳ ανυποτακτον· νυν δε ουπω ὁρωμεν αυτῳ τα παντα ὑποτεταγμενα.

εν δε τῳ διαλεγεσθαι αυτην. *Est. v.* 2. ὁτε διεμεριζεν ὁ ὑψιστος εθνη, ὡς διεσπειρεν υἱους Αδαμ, εστησεν ὁρια εθνων κατα αριθμον αγγελων Θεου. *Deut. xxxii.* 8. *Conf. Sir. xvii.* 17. *Job. xxxix.* 1-12. *xli. passim.* 1 *Cor. xv.* 27. *Matt. xxviii.* 18. *Ephes. i.* 22. *Phil. ii.* 9.

9 Τον δε βραχυ τι παρ᾽ αγγελους ηλαττωμενον βλεπομεν Ιησουν δια το παθημα του θανατου, δοξῃ και τιμῃ εστεφανωμενον, ὁπως χαριτι Θεου ὑπερ παντος γευσηται θανατου.

ηλαττωσας αυτον βραχυ τι παρ᾽ αγγελους.—δοξῃ και τιμῃ εστεφανωσας αυτον. *Ps. viii.* 5. εγευσατο ὁτι καλον εστι το εργαζεσθαι. *Prov. xxxi.* 18. *Ps. xxxiii.* 8. εδωκα γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου Ισραηλ. 2 *Mac. i.* 26. [δια την αγαπην ἡν εσχεν προς ἡμας, το αἱμα αυτου εδωκεν ὑπερ ἡμων ὁ Χριστος ὁ Κυριος ἡμων, εν θεληματι Θεου, και την σαρκα ὑπερ της σαρκος ἡμων, και την ψυχην ὑπερ των ψυχων ἡμων. *Clem. Rom. i.* 49.] ανθ᾽ ὡν παρεδοθη εις θανατον ἡ ψυχη αυτου, κ. τ. λ. *Esa. liii.* 12. [παθημα. *Jos. Ant. ii.* 13. 2.] *Conf. Act. ii.* 33. *Phil. ii.* 7. *Joan. iii.* 16. 1 *Thess. v.* 10. εθηκας επι την κεφαλην αυτου στεφανον εκ λιθου τιμιου. *Ps. xx.* 3. και συ, εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους σου κ. τ. λ. *Zach. ix.* 11.

10 Επρεπε γαρ αυτῳ, δι᾽ ὁν τα παντα και δι᾽ οὑ τα παντα, πολλους υἱους εις δοξαν αγαγοντα, τον αρχηγον της σωτηριας αυτων δια παθηματων τελειωσαι.

σοι γαρ πρεπει. *Jer. x.* 7. *Comp. Theod. Ps. xxxii.* 1. *xcii.* 5. αγαγειν τα τεκνα σου μακροθεν. *Esa. lx.* 9. [τον αρχιερεα και ἡγεμονα της ιδιας σωτηριας αυτων. *Jos. Bell. Jud. iv.* 5. 2. *de Anan. Pontif.*] *Conf. Esa. lv.* 4. *Mich. ii.* 12. *Dan. ix.* 26. και πατερα και αρχηγον. *Jer. iii.* 4. ἱνα τελειωθῃ ἡ ευλογια σου. *Sir. vii.* 32. τελειωθεις εν ολιγῳ επληρωσε χρονους μακρους. *Sap. iv.* 13. τις εδοκιμασθη εν αυτῳ, και ετελειωθη; *Sir. xxxiv.* 10. *Conf. Luc. xxiv.* 26. 46. *Act. iii.* 15. *Rom. xi.* 36. και Κυριος βου-

λεται καθαρισαι αυτον της πληγης. εαν δωτε περι ἁμαρτιας, κ. τ. λ. Esa. liii. 10-12. *Ιδου μαρτυριον εν εθνεσιν εδωκα αυτον, αρχοντα και προστασσοντα εθνεσι. Esa. lv.* 4. *Τετελεσθαι. Joan. xix.* 30. [*ψυχη τελειωσθεια εν αρετων αθλοις. Philo, de Somn. p.* 585.]

11 Ὁ, τε γαρ ἁγιαζων και οἱ ἁγιαζομενοι, εξ ἑνος παντες· δι' ἡν αιτιαν ουκ επαισχυνεται αδελφους αυτους καλειν,

εγω Κυριος ὁ ἁγιαζων αυτους. Ezech. xx. 12. *xxxvii.* 28. *Conf. Lev. xxii.* 2. *Exod. xiii.* 2. *Job. i.* 5. *δι' ἡν αιτιαν και ἡ πολις αὑτη ηρημωθη.* 1 *Esd. ii.* 23. *ἁγιοι εσεσθε, ὁτι ἁγιος εγω Κυριος ὁ Θεος ὑμων. Lev. xix.* 2. *ὁ ποιησας τους πατερας εκλεκτους, και ἁγιασας αυτους.* 2 *Mac. i.* 25. *επαισχυνεται. Esa. i.* 29. *Alex. φιλον σκεπασαι ουκ αισχυνθησομαι. Sir. xxii.* 25. *του γενεσθαι ὑφ' ἑνα.* 1 *Mac. x.* 38. *Conf. Act. xvii.* 26. *Heb. x.* 10. *Matt. xxviii.* 10. *Rom. viii.* 29. [*ου γαρ ὡς ανθρωπος επαισχυνεται ὁ Θεος. Test. XII Patr. p.* 700.]

12 Λεγων, Απαγγελω το ονομα σου τοις αδελφοις μου, εν μεσῳ εκκλησιας ὑμνησω σε.

διηγησομαι το ονομα σου κ. τ. λ. Ps. xxi. 22. *και απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. Amos. iv.* 13. *CITAT.* 247.

13 Και παλιν, Εγω εσομαι πεποιθως επ' αυτῳ. Και παλιν, Ιδου Εγω, και τα παιδια ἁ μοι εδωκεν ὁ Θεος.

και πεποιθως εσομαι κ. τ. λ. Esa. viii. 17. 2 *Reg. xxii.* 3. *CITAT.* 248. *Ιδου Εγω κ. τ. λ. Esa. viii.* 18. *Conf. Ps. xvii.* 2. *Joan. x.* 29. *CITAT.* 249.

14 Επει ουν τα παιδια κεκοινωνηκε σαρκος και αἱματος, και αυτος παραπλησιως μετεσχε των αυτων, ἱνα δια του θανατου καταργησῃ τον το κρατος εχοντα του θανατου, τουτεστι τον διαβολον,

επει. Conf. 2 *Mac. xiv.* 29. 3 *Mac. ii.* 16. *ευεργετηματων—εκοινωνησε.* 2 *Mac. v.* 20. *ὁτι ὁ Θεος εκτισε τον ανθρωπον επ' αφθαρσιᾳ, και εικονα της ιδιας ιδιοτητος εποιησεν αυτον. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον, κ. τ. λ. Sap. ii.* 23, 24. *και κατηργησαν αυτους εν ἱπποις και δυναμει. Esd. iv.* 23. *το κρατος της θαλασσης. Ps. lxxxviii.* 10. *lxxv.* 3. *Conf. Sap. xix.* 6. 1 *Cor. xv.* 54. *Phil. ii.* 7. 2 *Tim. i.* 10. *ἡ παρθενος εν γαστρι ληψεται, και καλεσεις το ονομα αυτου Εμμανουηλ. Esa. vii.* 14. *μετειχον—της ανομιας ταυτης.* 1 *Esd. viii.* 70. *Conf. Gen. iii.* 15. *Esa. xxv.* 8. *Joan. i.* 14. *Job. xxxiii.* 23. *εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. Job. xii.* 10. *επιτιμησαι Κυριος εν σοι*

διαβολε, κ. τ. λ. *Zach. iii.* 1-3. πως εξεπεσεν εκ του ουρανου ὁ Ἑωσφορος ὁ πρωϊ ανατελλων; κ.τ.λ. *Esa. xiv.* 12. ανθ᾽ ὡν παρεδοθη εις θανατον ἡ ψυχη αυτου, κ. τ. λ. *Esa. liii.* 12. εκ χειρος ᾁδου ῥυσομαι, και εκ θανατου λυτρωσομαι αυτους. κ. τ. λ. *Ose. xiii.* 14. [παραπλησιως. *Jos. Vit.* § 37.]

15 Και απαλλαξῃ τουτους, ὁσοι φοβῳ θανατου δια παντος του ζῃν ενοχοι ησαν δουλειας.

ἱνα απαλλαγεντες της κακιας πιστευσωσιν επι σε, Κυριε. *Sap. xii.* 2. και σαλος και φοβος θανατου. *Sir. xl.* 5. τον ἱεροσυλιας ενοχον οντα. 2 *Mac. xiii.* 6. *Esa. liv.* 17. καθησεσθε εν οχυρωμασι δεσμιοι της συναγωγης, κ. τ. λ. *Zach. ix.* 12. επαξω δουλειαν εις την καρδιαν αυτων. *Lev. xxvi.* 36. *Conf. Luc. i.* 74. *Rom. viii.* 15. 2 *Tim. i.* 7. [δια παντος, *sc.* χρονου. = δια του παντος αιωνος. *Jos. c. Ap. ii.* 23.] Ω θανατε, ὡς πικρον σου το μνημοσυνον εστιν ανθρωπῳ ειρηνευοντι εν τοις ὑπαρχουσιν αυτου; *Sir. xli.* 1. και δειλια θανατου επεπεσεν επ᾽ εμε. *Ps. liv.* 4.

16 Ου γαρ δηπου αγγελων επιλαμβανεται, αλλα σπερματος Αβρααμ επιλαμβανεται.

και επιληψονται ἑπτα γυναικες ανθρωπου. *Esa. iv.* 1. Κυριος ὁ ῥυσαμενος σε, και αντιλαμβανομενος ισχυος Ιακωβ. *xlix.* 26. και δῳη σοι την ευλογιαν—και τῳ σπερματι σου. *Gen. xxviii.* 4. *xxii.* 18. [επειδαν αρξηται των γεννητικων, η γενεσεως, η ανθρωπειων σπουδασματων επιλαμβανεσθαι. *Philo, de Somn. p.* 1117. *Conf. Rom. xiv.* 1. μικρου κατεπεσεν, ει μη των παρεστωτων τινες ὑπελαβον αυτον. *Leg. ad Cai. p.* 1030.] ἡ σοφια—επιλαμβανεται των ζητουντων αυτην. *Sir. iv.* 11.

17 Ὁθεν ωφειλε κατα παντα τοις αδελφοις ὁμοιωθηναι, ἱνα ελεημων γενηται και πιστος αρχιερευς τα προς τον Θεον, εις το ἱλασκεσθαι τας ἁμαρτιας του λαου.

ὁ κοινωνων ὑπερηφανῳ ὁμοιωθησεται αυτῳ. *Sir. xiii.* 1. *Ps. cxliii.* 4. γινου συ τῳ λαῳ τα προς τον Θεον. *Exod. xviii.* 19. *Deut. ix.* 7. 24. ὁμοιος μοι, ὁμοιος σοι. 4 *Reg. iii.* 7. εξιλασεται—ὁ ἱερευς περι της ἁμαρτιας. *Lev. iv.* 35. *v.* 6-10. *Sir. xvii.* 29. *Ps. lxiv.* 3. *lxxvii.* 42. *lxxviii.* 9. εξιλασμος αποστηναι απο αδικιας. *Sir. xxxii.* 3. ουδε εν πληθει θυσιων εξιλασκεται ἁμαρτιας. *xxxi.* 19. και του εξιλασασθαι αδικιας, και του αγαγειν δικαιοσυνην αιωνιον. *Dan. ix.* 24. 1 *Reg. iii.* 14. *Cap. iv.* 15. *v.* 2. [αυτη ἡ ὁδος, αγαπητοι, εν ᾗ εὑρομεν το σωτηριον ἡμων Ιησουν Χριστον, τον αρχιερεα των προσφορων ἡμων, και τον προστατην και βοηθον της ασθενειας

ἡμων κ. τ. λ. Clem. Rom. i. 36.] *και εσται ἱερευς εκ δεξιων αυτου, και βουλη ειρηνικη εσται αναμεσον αμφοτερων. Zach. vi. 13. και εσται δικαιοσυνῃ εζωσμενος την οσφυν αυτου, και αληθειᾳ εἰλημενος τας πλευρας. Esa. xi. 5. ὁθεν. Conf. 3 Mac. ii. 23.*

18 Εν ᾡ γαρ πεπονθεν αυτος πειρασθεις, δυναται τοις πειραζομενοις βοηθησαι.

δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 2 Mac. vii. 32. ὁς ουκ επειραθη ολιγα οιδεν, κ. τ. λ. Sir. xxxi. 9, 10. αυτος εγνω το πλασμα ἡμων, κ. τ. λ. Ps. cii. 13, 14. lxxvii. 18. 56. αυτος δε ετραυματισθη δια τας ἁμαρτιας ἡμων, και μεμαλακισται δια τας ανομιας ἡμων, παιδεια ειρηνης ἡμων επ' αυτον, τῳ μωλωπι αυτου ἡμεις ιαθημεν. Esa. liii. 5. [εν ᾡ. Winer. § 52.]

ΚΕΦ. γ. 3.

Ὁ ΘΕΝ, αδελφοι ἁγιοι, κλησεως επουρανιου μετοχοι, κατανοησατε τον αποστολον και αρχιερεα της ὁμολογιας ἡμων Χριστον Ιησουν·

ὁθεν. Sap. xii. 23. Judith. viii. 20. Epist. Jer. 64. μετοχος εγω ειμι παντων των φοβουμενων σε. Ps. cxviii. 63. ἑνεκεν της επ' αυτους επικλησεως του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 Mac. viii. 15. κατανοησω τα θαυμασια εκ του νομου σου. Ps. cxviii. 18. Esa. v. 12. Conf. Gen. xlix. 10. της μεν αρχιερωσυνης ουδεν αξιον φερων. 2 Mac. iv. 25. συ ἱερευς εις τον αιωνα. Ps. cix. 4. ὁμολογια. Conf. Jer. li. 25. Cap. x. 23. iv. 14. Phil. iii. 14. [δια του αρχιερεως και προστατου ἡμων Ιησου Χριστου. Clem. Rom. i. 57.] [ὁ μεν δη μεγας αρχιερευς της ὁμολογιας κ. τ. λ. Philo, de Somn. i. 654.]

2 Πιστον οντα τῳ ποιησαντι αυτον, ὡς και Μωσης εν ὁλῳ τῳ οικῳ αυτου.

ουχ οὑτως ὁ θεραπων μου Μωυσης, εν ὁλῳ τῳ οικῳ μου πιστος εστι. Num. xii. 7. Jos. i. 2. ὁ ποιησας τον Μωυσην και τον Ααρων. 1 Reg. xii. 6. ηγαπημενον ὑπο Θεου και ανθρωπων Μωυσην, κ. τ. λ. Sir. xlv. 1. CITAT. 250.

3 Πλειονος γαρ δοξης οὑτος παρα Μωσην ηξιωται, καθ' ὁσον πλειονα τιμην εχει του οικου ὁ κατασκευασας αυτον·

και ουκ ηξιωθην καταφιλησαι τα παιδια μου. Gen. xxxi. 28. Matt. xvi. 18. αἱ χειρες Ζοροβαβελ εθεμελιωσαν τον οικον τουτον,

κ. τ. λ. *Zach. iv.* 9. ιδου ανηρ, Ανατολη ονομα αυτῳ—και οικοδομησει τον οικον Κυριου. *vi.* 12. Θεος, ὁ κατασκευασας τα ακρα της γης. *Esa. xl.* 28. εγω ὁ κατασκευασας φως, κ. τ. λ. *xlv.* 7. και ὑψωσει αυτον παρα τους πλησιον αυτου. *Sir. xv.* 5. *Ps. xliv.* 7.

4 Πας γαρ οικος κατασκευαζεται ὑπο τινος· ὁ δε τα παντα κατασκευασας, Θεος.

τῃ σοφιᾳ σου κατασκευασας ανθρωπον. *Sap. ix.* 2. *Alex. Ald.* ει ὁ ουρανος και ὁ ουρανος του ουρανου ουκ αρκεσουσι σοι, πλην και ὁ οικος οὑτος κ. τ. λ. 3 *Reg. viii.* 27. *Conf. Prov. xxiii.* 5. 2 *Par. xxxii.* 5.

5 Και Μωσης μεν πιστος εν ὁλῳ τῳ οικῳ αυτου, ὡς θεραπων, εις μαρτυριον των λαληθησομενων·

Μωυσης ὁ θεραπων μου. *Jos. i.* 2. ὁ θεραπων μου Ιωβ. *Job. xlii.* 8. *Ps. civ.* 26. *Sap. x.* 16. προφητην εκ των αδελφων σου, ὡς εμε, αναστησει σοι Κυριος κ. τ. λ. *Deut. xviii.* 15. 18. *Conf. Jos. c. Ap. ii.* § 16. εις μαρτυριον. *Sophon. iii.* 8. [πιστος δε μονος ὁ Θεος, και ει τις φιλος Θεῳ, καθαπερ Μωσης λεγεται πιστος εν παντι τῳ οικῳ γεγενησθαι. *Philo,* 2 *lib. Alleg. p.* 75. *Edit. Col.*] και συντελεσε Μωυσης παντα τα εργα—και ουκ ηδυνασθη Μωυσης εισελθειν εις την σκηνην του μαρτυριου, κ. τ. λ. *Exod. xl.* 33. 35. ὁτι πιστος Σαμουηλ εις προφητην τῳ Κυριῳ. 1 *Reg. iii.* 20. και επιστευσαν τῳ Θεῳ, και Μωυσῃ τῳ θεραποντι αυτου. *Exod. xiv.* 31.

6 Χριστος δε, ὡς υἱος επι τον οικον αὐτου· οὑ οικος εσμεν ἡμεις, εανπερ την παρρησιαν και το καυχημα της ελπιδος μεχρι τελους βεβαιαν κατασχωμεν.

μεχρι τελους. *Sap. xvi.* 6. *xix.* 1. *Eccles. iii.* 11. και εσται ἡ κατασκηνωσις μου εν αυτοις κ. τ. λ. *Ezech. xxxvii.* 27. *Lev. xxvi.* 12. 1 *Cor. iii.* 16. υἱος μου ει συ. *Ps. ii.* 6, 7. ασεβης δε αισχυνεται, και ουχ ἑξει παρρησιαν. *Prov. xiii.* 5. μακαριος ὁ ὑπομενων κ. τ. λ. *Dan. xii.* 12, 13. [εανπερ. 2 *Mac. iii.* 38. *Hoogev. p.* 268.]

7 Διο καθως λεγει το Πνευμα το ἁγιον, Σημερον, εαν της φωνης αυτου ακουσητε,

8 Μη σκληρυνητε τας καρδιας ὑμων, ὡς εν τῳ παραπικρασμῳ, κατα την ἡμεραν του πειρασμου εν τῃ ερημῳ,

9 Οὑ επειρασαν με οἱ πατερες ὑμων, εδοκιμασαν με και ειδον τα εργα μου, τεσσαρακοντα ετη.

10 Διο προσωχθισα τη γενεα εκεινη, και ειπον, Αει πλανωνται τη καρδια· αυτοι δε ουκ εγνωσαν τας ὁδους μου·

11 Ὡς ωμοσα εν τη οργη μου, Ει εισελευσονται εις την καταπαυσιν μου.

Πνευμα Κυριου ελαλησεν εν εμοι, και ὁ λογος αυτου επι γλωσσης μου. *2 Reg. xxiii.* 2. ει εισελευσονται κ. τ. λ. *plenius* = ταδε ποιησαι μοι ὁ Θεος και ταδε ποσθειη, ει στησεται ἡ κεφαλη επ' αυτω σημερον. *4 Reg. vi.* 31. *Conf.* *1 Reg. iii.* 17. *2 Reg. iii.* 35. σημερον εαν της φωνης αυτου ακουσητε, κ. τ. λ. *Ps. xciv.* 7-11. [*Conf. Jos. Ant. iii.* 1. 4.] *CITAT.* 251.

12 Βλεπετε, αδελφοι, μη ποτε εσται εν τινι ὑμων καρδια πονηρα απιστιας, εν τω αποστηναι απο Θεου ζωντος·

εν σκολιοτητι της καρδιας αυτων. *Jer. xi.* 8. της καρδιας αυτων της πονηρας. *iii.* 17. *xiii.* 10. βλεπετε. *Conf. Exod. xxv.* 40. *xxxiii.* 5. απεστησαν απ' εμου. *Ezech. xx.* 8. του Κυριου αποσταντες. *Sap. iii.* 10. *Sir. x.* 12. Θεου ζωντος. *4 Reg. xix.* 4. 16. και ἡ κραυγη μου ενωπιον αυτου εισελευσεται εις τα ωτα αυτου. *Ps. xvii.* 6. απιστια. *Sap. xiv.* 25. υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. αλλα ζω εγω, και ζων το ονομα μου. *Num. xiv.* 21.

13 Αλλα παρακαλειτε ἑαυτους καθ' ἑκαστην ἡμεραν, αχρις οὑ το σημερον καλειται, ἱνα μη σκληρυνθη τις εξ ὑμων απατη της ἁμαρτιας·

καθ' ἑκαστην ἡμεραν ευλογησω σε. *Ps. cxliv.* 2. *vi.* 6. *Job. i.* 4. αχρι γαρ Ιουδας περιεστι. *2 Mac. xiv.* 10. και εσκληρυνθη ἡ καρδια Φαραω. *Exod. viii.* 19. μηποτε σκληρυνθεις απειθηση σοι. *Sir. xxx.* 12. ὁ οφις ηπατησε με. *Gen. iii.* 13. *Conf.* *2 Par. xxxii.* 15. σποδος ἡ καρδια αυτων. *Esa. xliv.* 20. βαθεια ἡ καρδια παρα παντα, κ. τ. λ. *Jer. xvii.* 9. ὁτι εσκληρυναν τον τραχηλον αυτων, του μη εισακουειν των εντολων μου. *xix.* 15. και παρεκαλεσαν ἑαυτους, και επορευοντο συνεστραμμενοι ἑτοιμοι εις πολεμον. *1 Mac. xii.* 50. ὁτι εστιν ἡμερα κλησεως κ. τ. λ. *Jer. xxxviii.* 6. απατη. *Judith. ix.* 10.

14 Μετοχοι γαρ γεγοναμεν του Χριστου, εανπερ την αρχην της ὑποστασεως μεχρι τελους βεβαιαν κατασχωμεν·

ἡ ὑποστασις μου παρα σοι εστι. *Ps. xxxviii.* 7. εαν ὑποστειληται, ουκ ευδοκει ἡ ψυχη μου εν αυτω. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab. ii.* 4. μετοχος ειδωλων. *Ose. iv.* 17. *Conf. Dan. xii.* 13. *Ps. cxviii.* 112. *Matt. x.* 22.

15 Εν τω λεγεσθαι, Σημερον, εαν της φωνης αυτου ακουσητε,

μη σκληρυνητε τας καρδιας ὑμων, ὡς εν τῳ παραπικρασμῳ.
Conf. supra. 7, 8. εν τῳ λεγεσθαι. = 1 *Reg. i.* 7. *xvi.* 6.

16 Τινες γαρ ακουσαντες παρεπικραναν, αλλ᾽ ου παντες οἱ εξελθοντες εξ Αιγυπτου δια Μωσεως;

παραπικραινοντες ητε τα προς τον Θεον. *Deut. xxxi.* 27. ὁτι παρεπικραναν σε, Κυριε. *Ps. v.* 10. *Conf. Num. xiv.* 4. *xxvi.* 64. και εν προφητῃ ανηγαγε Κυριος τον Ισραηλ εκ γης Αιγυπτου, και εν προφητῃ διεφυλαχθη. *Ose. xii.* 13. αλλ᾽ ου. *Conf. Luc. xvii.* 8.

17 Τισι δε προσωχθισε τεσσαρακοντα ετη; ουχι τοις ἁμαρτησασιν, ὡν τα κωλα επεσεν εν τῃ ερημῳ;

εν τῃ ερημῳ ταυτῃ πεσειται τα κωλα ὑμων. *Num. xiv.* 29. *Ps. cv.* 23-29. 1 *Cor. x.* 5. *Juda.* 5. τεσσαρακοντα ετη προσωχθισα τῃ γενεᾳ εκεινῃ, κ. τ. λ. *Ps. xciv.* 10. *Lev. xxvi.* 30.

18 Τισι δε ωμοσε μη εισελευσεσθαι εις την καταπαυσιν αὑτου, ει μη τοις απειθησασι;

ου γαρ ἡκατε ἑως του νυν εις την καταπαυσιν. *Deut. xii.* 9. προσεχε σεαυτῳ, και εισακουε αυτου, και μη απειθει αυτῳ. *Exod. xxiii.* 21. *Conf. Ps. lxxvii. Deut. ii.* απεστραφητε απειθουντες. *Num. xiv.* 43. ουδε συ ου μη εισελθῃς εκει. *Deut. i.* 37. *xxxiv.* 4. και εξουδενωσαν γην επιθυμητην, και ουκ επιστευσαν τῳ λογῳ αυτου. *Ps. cv.* 24. *Conf. supra.* 11.

19 Και βλεπομεν ὁτι ουκ ηδυνηθησαν εισελθειν δι᾽ απιστιαν.
ὁτι ουκ επιστευσατε ἁγιασαι με εναντιον των υἱων Ισραηλ, δια τουτο ουκ εισαξατε ὑμεις την συναγωγην ταυτην εις την γην. *Num. xx.* 12. και (*idcirco.*) *Jos. xxiii.* 11. βλεπομεν. *Neh. ii.* 17.

ΚΕΦ. δ. 4.

ΦΟΒΗΘΩΜΕΝ ουν μη ποτε καταλειπομενης επαγγελιας εισελθειν εις την καταπαυσιν αυτου, δοκῃ τις εξ ὑμων ὑστερηκεναι.

ὁ δε φοβουμενος εντολην οὑτος ὑγιαινε. *Prov. xiii.* 13. ὁτι φοβουμαι εγω αυτον, μηποτε, κ. τ. λ. *Gen. xxxii.* 11. μηποτε επιλαθωνται του νομου σου. *Ps. liii.* 11. και εφοβηθη μηποτε. 1 *Mac. xii.* 40. *Conf. Hoogev. p.* 517. το καταλειφθεν Ισραηλ. *Conf. Esa. x.* 19-21. και καταλειψουσιν αλλοτριοις τον πλουτον αυτων. *Ps. xlviii.* 10. ει εισελευσονται εις την καταπαυσιν μου. *Ps. xciv.* 12. *Conf. supra. iii.* 19. εσταθη εν ζυγῳ, και εὑρεθη ὑστερουσα. *Dan.*

v. 27. *και τον φοβον μου δωσω εις την καρδιαν αυτων, προς το μη αποστηναι αυτους απ' εμου.* *Jer. xxxix.* 40. *δοκη.* *Susan.* 6. [*οἱ δοκουντες ακριβεστατοι συγγραφεις.* *Jos. c. Ap. i.* 12.]

2 Και γαρ εσμεν ευηγγελισμενοι, καθαπερ κακεινοι· αλλ' ουκ ωφελησεν ὁ λογος της ακοης εκεινους, μη συγκεκραμενος τῃ πιστει τοις ακουσασιν.

ουκ ωφελησουσι θησαυροι ανομους. *Prov. x.* 2. *ωφελειαν ουκ ωφελησουσι τον λαον τουτον.* *Jer. xxiii.* 32. *και γαρ.* *Job. v.* 2. *Conf. cap. iii.* 17. *Esa. xxx.* 5. *xliv.* 9. *και εαν μη πιστευσητε, ουδε μη συνητε.* *vii.* 9. Κυριε *τις επιστευσε τῃ ακοῃ ἡμων; κ. τ. λ.* *liii.* 1. *οἱ καπηλοι σου μισγουσι τον οινον ὑδατι.* *i.* 22. *Conf. Dan. ii.* 43. 2 *Mac. xv.* 39. *Deut. xxxii.* 20. *ευηγγελισμενοι.* *Conf.* 2 *Reg. xviii.* 31.

3 Εισερχομεθα γαρ εις την καταπαυσιν οἱ πιστευσαντες, καθως ειρηκεν, Ὡς ωμοσα εν τῃ οργῃ μου, Ει εισελευσονται εις την καταπαυσιν μου· καιτοι των εργων απο καταβολης κοσμου γενηθεντων·

Conf. cap. iii. 11. *και ειδεν ὁ Θεος τα παντα, κ. τ. λ.* *Gen. i.* 31. *καταβαλλομενος βιβλιοθηκην.* 2 *Mac. ii.* 13. [*CITAT.* 251.]

4 Ειρηκε γαρ που περι της ἑβδομης οὑτω, Και κατεπαυσεν ὁ Θεος εν τῃ ἡμερᾳ τῃ ἑβδομῃ απο παντων των εργων αὑτου.

και ευλογησεν ὁ Θεος *την ἡμεραν την ἑβδομην και ἡγιασεν αυτην· ὁτι εν αυτῃ κατεπαυσεν απο παντων των εργων αυτου, ὡν ηρξατο ὁ* Θεος *ποιησαι.* *Gen. ii.* 3. [*την ἡμεραν την ἑβδομην—ἁγιαν προειπων.* *Philo, de Mund. Opific. p.* 15. *και ηυλογησεν ὁ* Θεος *την ἡμεραν την ἑβδομην κ. τ. λ.* *p.* 33. *Edit. Col.*] *CITAT.* 252.

5 Και εν τουτῳ παλιν, Ει εισελευσονται εις την καταπαυσιν μου.

ἁπαξ ωμοσα—ει τῳ Δαυιδ *ψευσομαι.* *Ps. lxxxviii.* 35.

6 Επει ουν απολειπεται τινας εισελθειν εις αυτην, και οἱ προτερον ευαγγελισθεντες ουκ εισηλθον δι' απειθειαν,

Conf. Num. xiv. 12. *Esa. lx.* 15. *επει.* *Conf.* 2 *Mac. xiv.* 29. 3 *Mac. xxi.* 16. *απολειπεται.* *Conf. Sap. xiv.* 6. *εκει ησαν προτερον διδοντες.* *Neh. xiii.* 5. *ευαγγελισθητω ὁ* Κυριος *μου ὁ βασιλευς.* 2 *Reg. xviii.* 31. *ὁτι ου μη εισελθητε εις την γην—διοτι παρωξυνατε με κ. τ. λ.* *Num. xx.* 24. *ακουσατε μου οἱ απειθεις.* *xx.* 10. *Jer. v.* 23.

7 Παλιν τινα ὁριζει ἡμεραν, σημερον, εν Δαβιδ λεγων, μετα

τοσουτον χρονον, καθως ειρηται, Σημερον, εαν της φωνης αυτου ακουσητε, μη σκληρυνητε τας καρδιας ὑμων.

[*εις τον ὁρισμενον καιρον. Jos. Ant. vi.* 5. 3.] *μετ' ου πολυν χρονον.* 2 *Mac. vi.* 1. *και οὑτοι οἱ λογοι Δαυιδ κ.τ.λ.* 2 *Reg. xxiii.* 1. *Conf. cap. iii.* 7. [CITAT. 251.]

8 Ει *γαρ αυτους* Ιησους *κατεπαυσεν, ουκ αν περι αλλης ελαλει μετα ταυτα ἡμερας·*

[*Conf. Jos. Ant. v.* 1.] *ἑως αν καταπαυση* Κυριος ὁ Θεος *ὑμων τους αδελφους ὑμων. Deut. iii.* 20. *Conf. Jos. i.* 13-15. *Ps. cv.* 44. *και εσται εν τῃ ἡμερᾳ εκεινῃ ἡ ῥιζα του* Ιεσσαι—*και εσται αναπαυσις αυτου. Esa. xi.* 10. *μετα ταυτα. Exod. v.* 1.

9 Αρα *απολειπεται σαββατισμος τῳ λαῳ του* Θεου.

εστι γαρ σαββατα αναπαυσις τῳ Κυριῳ. *Exod. xvi.* 25. *Ald. και εσαββατισεν ὁ λαος. Exod. xvi.* 30. *Lev. xxiii.* 32. *ην δ' ουτε σαββατιζειν, ουτε πατρῳους ἑορτας.* 2 *Mac. vi.* 6. *Conf. Apoc. vii.* 14. 4 *Esd. ii.* 11. *εις την ἡμεραν του σαββατου. Tit. Ps. xci. xcii.* [*ὁ μεν γαρ σαββατον, κατα την* Ιουδαιαν *διαλεκτον, αναπαυσις εστιν απο παντος εργου. Jos. c. Ap. ii.* 2. *Conf. Schoett. Hor. Heb. ad loc.*] *ει αρα εστι καρπος τῳ δικαιῳ, αρα εστιν ὁ* Θεος *κρινων αυτους εν τῃ γῃ. Ps. lvii.* 11. *και συ δευρο, και αναπαυου—και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. Dan. xii.* 13. *μακαριος ὁ λαος ὁ γινωσκων αλαλαγμον. Ps. lxxxviii.* 15. *λαος* Κυριου *οὑτοι. Ezech. xxxvi.* 20. *Ose. ii.* 1.

10 Ὁ *γαρ εισελθων εις την καταπαυσιν αυτου, και αυτος κατεπαυσεν απο των εργων αὑτου, ὡσπερ απο των ιδιων ὁ* Θεος.

Conf. sup. v. 4. *διαθησομαι τῳ* Δαυιδ *διαθηκην ειρηνης. Ezech. xxxiv.* 25. *και εσται αυτη ειρηνη. Mich. v.* 5. *Esa. lvii.* 2.

11 Σπουδασωμεν *ουν εισελθειν εις εκεινην την καταπαυσιν, ἱνα μη εν τῳ αυτῳ τις ὑποδειγματι πεσῃ της απειθειας.*

ὑποδειγμα μετανοιας. Sir. xliv. 16. 2 *Mac. vi.* 28. 31. *ει δε και εσπουδασεν ὁ πους μου εις δολον. Job. xxxi.* 5. *εσπουδασα του μη βλεπειν. Esa. xxi.* 3. *Conf. Num. xiv.* 29. *και εσται τα σαββατα της γης βρωματα σοι. Lev. xxv.* 6. [*δι' ὑπο οιων τροφιμον γαρ και απολαυστον μονον, ἡ εν τῳ* Θεῳ *αναπαυσις, το μεγιστον αγαθον περιποιουσα, την απολεμον ειρηνην. Philo, de Prof. p.* 371. *αυτη δ' ἡ καταστασις εστιν ἑβδομαδος, αναπαυομενης εν* Θεῳ *ψυχης, και περι μηδεν των θνητων εργων ετι πονουμενης. p.* 230.] *Conf. Ps. lxxvii.* 1 *Cor. x.* 6-11.

12 Ζων γαρ ὁ λογος του Θεου, και ενεργης, και τομωτερος ὑπερ πασαν μαχαιραν διστομον, και διϊκνουμενος αχρι μερισμου ψυχης τε και πνευματος, ἁρμων τε και μυελων, και κριτικος ενθυμησεων και εννοιων καρδιας·

το ονομα αυτων ζῃ εις γενεας. *Sir. xliv.* 14. ἑως ταχους δραμειται ὁ λογος αυτου. *Ps. cxlvii.* 15. ἡ δηλωσις των λογων σου φωτιει και συνετιει νηπιους. *cxviii.* 130. ῥομφαιαι διστομοι. *cxlix.* 6. = ου κρεισσων ειμι ὑπερ τους πατερας μου. 3 *Reg. xix.* 4. φως Κυριου—ερευνᾳ ταμιεια κοιλιας. *Prov. xx.* 27. *Ps. cxxxviii.* 1, 2. [οὑτως ὁ Θεος ακονησαμενος τον τομεα, των συμπαντων αυτου λογον, διαιρει τε αμορφον και αποιον των ὁλων ουσιαν. κ. τ. λ. *Quis. rer. div. hær. p.* 391. *Edit. Col.*] και εθηκε το στομα μου ὡς μαχαιραν οξειαν, κ.τ.λ. *Esa. xlix.* 2. *lv.* 11. ουκ ιδου οἱ λογοι μου ὡσπερ πυρ, λεγει Κυριος, και ὡς πελυξ κοπτων πετραν; *Jer. xxiii.* 29. επορευθησαν εν τοις ενθυμημασι της καρδιας. *vii.* 24. και ηκονημενον μαλλον μαχαιρας διστομου. *Prov. v.* 4. και το πνευμα μου εφεστηκεν εν μεσῳ ὑμων. *Agg. ii.* 6. *Conf. Eccles. xii.* 11. *Job. vi.* 4. *Jer. iv.* 19. διϊκνουμενος. *Exod. xxvi.* 28. μερισμος. *Jos. xi.* 23. τα βελη σου ηκονημενα δυνατε. *Ps. xliv.* 5. μεγαλοι εξετασμοι (εξιχνιασμοι. *Ald. Comp.*) καρδιας. *Jud. v.* 16. [οἱ ἁρμοι του σωματος. *Test. XII Patr. p.* 633.] *Conf. Sir. xxvii.* 2. μυελος. *Gen. xlv.* 18. *Ezech. xxxvii.* 7. *Ps. xlv.* 3. και δια παντων χωρουν (ἡ σοφια) πνευματων νοερων καθαρων λεπτοτατων. *Sap. vii.* 23. *Conf. Zach. xi.* 11. [κριτικος ενθυμησεων· διακρινων λογισμους. *Hesych.*]

13 Και ουκ εστι κτισις αφανης ενωπιον αυτου, παντα δε γυμνα και τετραχηλισμενα τοις οφθαλμοις αυτου, προς ὁν ἡμιν ὁ λογος.

σοφια κεκρυμμενη και θησαυρος αφανης, τις ωφελεια εν αμφοτεροις; *Sir. xx.* 30. 2 *Par. xvi.* 9. γυμνος ὁ ᾁδης ενωπιον αυτου. *Job. xxvi.* 6. *Prov. v.* 21. [ὑφ' ὡν βασανων γυμναζομενος μεθ' ἡμεραν και νυκτωρ εξετραχηλιζατο. *Philo, de Abrah. p.* 363. λησεται γαρ ουδεποτε τον τα εν μυχοις της διανοιας ὁρωντα, και τοις αδυτοις αυτοις εμπεριπατουντα. *de Gigant.* τῳ Θεῳ, ὡς εν αυγῃ καθαρᾳ, παντα αριδηλα κ. τ. λ. *p.* 297.] *Conf. Judith. ix.* 5, 6. [τετραχηλισμενα· πεφανερωμενα. *Hesych.* φανερα και ανακεκλυμμενα. *Phav.*] προς ὁν. *Conf. Neh. ii.* 18. ακατεργαστον μου ειδον οἱ οφθαλμοι σου, και επι το βιβλιον σου παντες γραφησονται, κ. τ. λ. *Ps. cxxxviii.* 16. ὁτι σκοτος ου σκοτισθησεται απο σου, και νυξ ὡς ἡμερα φωτισθησεται, κ. τ. λ. 12. λογος

μοι προς σε. 4 *Reg.* ix. 5. *Jud.* xviii. 7. 28. [αφανη· μη ὁρωμενον. *Hesych.*] ἁπαντα τα εργα αυτων ὡς ὁ ἡλιος εναντιον αυτου, κ.τ.λ. *Sir.* xvii. 19. ὁτι ανθρωπος οψεται εις προσωπον, ὁ δε Θεος οψεται εις καρδιαν. 1 *Reg.* xvi. 7. βασιλευς πασης κτισεως. *Judith.* ix. 12.

14 Εχοντες ουν αρχιερεα μεγαν, διεληλυθοτα τους ουρανους, Ιησουν τον υἱον του Θεου, κρατωμεν της ὁμολογιας.

ὁ κρατων αυτης κληρονομησει δοξαν. *Sir.* iv. 13. κρατησουσιν αισθησεως. *Prov.* xiv. 18. και αναστησω εμαυτῳ ἱερεα πιστον, ὁς παντα τα εν τῃ καρδιᾳ μου και τα εν τῃ ψυχῃ μου ποιησει, κ.τ.λ. 1 *Reg.* ii. 35. συ ἱερευς εις τον αιωνα. *Ps.* cix. 4. αναβας εις ὑψος. lxvii. 18. εμμειναι ενεμεινατε ταις ὁμολογιαις ὑμων. *Jer.* li. 25. *Prov.* iii. 21. και εσται ἱερευς εκ δεξιων αυτου, και βουλη ειρηνικη εσται αναμεσον αμφοτερων. *Zach.* vi. 13. και εδειξε μοι Κυριος τον Ιησουν τον ἱερεα τον μεγαν, κ.τ.λ. iii. 1. χειρ εκλεκτων κρατησει ευχερως, κ.τ.λ. *Prov.* xii. 24.

15 Ου γαρ εχομεν αρχιερεα μη δυναμενον συμπαθησαι ταις ασθενειαις ἡμων, πεπειραμενον δε κατα παντα καθ' ὁμοιοτητα, χωρις ἁμαρτιας·

κατα γενος και καθ' ὁμοιοτητα. *Gen.* i. 11, 12. νοει τα του πλησιον εκ σεαυτου. *Sir.* xxxiv. 15. συμπαθουσα. 4 *Mac.* § v. *Job.* ii. 11. *Sym. Conf. Exod.* xxiii. 9. *Luc.* xxii. 28. 2 *Cor.* v. 21. *Phil.* ii. 7. οὑτος τας ἁμαρτιας ἡμων φερει, και περι ἡμων οδυναται, κ.τ.λ. *Esa.* liii. 4, 5. ανομιαν ουκ εποιησε κ.τ.λ. lxiii. 9. [και συμπαθει τῳ φθονουμενῳ. *Test. XII Patr.* p. 536. αρχιερευς ὁ πρωτογονος αυτου θειος λογος. *Philo, de Somn.*] *Conf. cap.* ii. 17. iii. 1. ὁτι αυτος εγνω το πλασμα ἡμων, μνησθητι ὁτι χους εσμεν. *Ps.* cii. 14. [χωρις ἁμαρτιας, *excepto peccato. Ita*, χωρις Σαλομωντος. *Jos. Ant.* vii. 4. 4.]

16 Προσερχωμεθα ουν μετα παῤῥησιας τῳ θρονῳ της χαριτος, ἱνα λαβωμεν ελεον, και χαριν εὑρωμεν, εις ευκαιρον βοηθειαν.

προσελθατε προς αυτον και φωτισθητε. *Ps.* xxxiii. 5. και ποιησεις ἱλαστηριον κ.τ.λ. *Exod.* xxv. 17-22. θησομαι εν σωτηριῳ, παῤῥησιασομαι εν αυτῳ. *Ps.* xi. 5. μετα παῤῥησιας. *Lev.* xxvi. 13. 1 *Mac.* iv. 18. εὑρε χαριν εναντιον Κυριου. *Gen.* vi. 8. xviii. 3. *Est.* ii. 17. δουναι την τροφην αυτων εις ευκαιρον. *Ps.* ciii. 27. *Ald. Comp.* θρονος ανομιας. xciii. 20. ὑπελαβομεν ὁ Θεος το ελεος σου. xlvii. 9. ζητησατε τον Κυριον, και εν τῳ εὑρισκειν αυτον, επικαλεσασθε. ἡνικα δ' αν εγγιζῃ ὑμιν, κ.τ.λ. *Esa.* lv. 6, 7. εν ἡμερᾳ σωτηριας εβοηθησα σοι. xlix. 8.

ΚΕΦ. ε. 5.

ΠΑΣ γαρ αρχιερευς, εξ ανθρωπων λαμβανομενος, ὑπερ ανθρωπων καθισταται τα προς τον Θεον, ἱνα προσφερῃ δωρα τε και θυσιας ὑπερ ἁμαρτιων,

γινου συ τῳ λαῳ τα προς τον Θεον. *Exod. xviii.* 19. *Conf. xxviii.* 1. *xxix.* 1. *Lev. viii.* 2. λαβε παντας τους αρχηγους του λαου. *Num. xxv.* 4. *Amos. ii.* 11. και προσοισει το δωρον. 15. μη σφαγια και θυσιας προσηνεγκατι μοι; *v.* 25. *Conf. Lev. ix.* 4-7. χιμαρους ὑπερ ἁμαρτιας παντος του Ισραηλ. 1 *Esd. vii.* 8. καθισταται. *Matt. xxiv.* 45. *Luc. xii.* 14. *Cap. ii.* 17. δια το προσκεισθαι αυτον τα προς Κυριον. *Deut. i.* 36. προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου Ισραηλ. 2 *Mac. i.* 26. [αρχιερευς—κατα τους νομους ευχας δε και θυσιας τελων καθ' ἑκαστην ἡμεραν. *Philo, de Spec. leg. p.* 797. *Edit.* 1640. *et de Victim. p.* 836, *etc. Conf. Jos. Ant. iii. c.* 9-11.] *Conf. Exod. xx.* 19-24.

2 Μετριοπαθειν δυναμενος τοις αγνοουσι και πλανωμενοις, επει και αυτος περικειται ασθενειαν·

ψυχη εαν ἁμαρτῃ εναντι Κυριου ακουσιως. *Lev. iv.* 2. *LXX.* αγνοιᾳ. *Aq.* εν μεγαλῳ και εν μικρῳ μη αγνοει. *Sir. v.* 15. διοτι ηγνοησαμεν καθ' ὁτι ἡμαρτομεν. *Num. xii.* 11. *Conf. cap. ii.* 18. μετανοησατε οἱ πεπλανημενοι. *Esa. xlvi.* 8. περικειται. *Conf. Act. xxviii.* 20. [Ουεσπασιανου δ' αν τις και Τιτου την μεγαλοφροσυνην εικοτως εκπλαγειη, μετα πολεμους και τηλικουτους αγωνας—μετριοπαθησαντων. *Jos. Ant. xii.* 3. 2. *Conf. Krebs.*]

3 Και δια ταυτην οφειλει, καθως περι του λαου, οὑτω και περι ἑαυτου προσφερειν ὑπερ ἁμαρτιων.

και προσοισει περι ἁμαρτιας. *Lev. xvi.* 9. *Gen. xii.* 17. *xxv.* 21. *Conf. Lev. xvi.* 6. *Cap. vii.* 26. *Exod. xxix.* 14-19. και εξιλασεται περι αυτων ὁ ἱερευς. *Lev. iv.* 20. προσαξει περι της ἁμαρτιας αυτου, ἡς ἡμαρτε, κ. τ. λ. 3. και προσφερε περι αυτων θυσιας, κατα τον αριθμον αυτων, και μοσχον ἑνα περι ἁμαρτιας περι των ψυχων αυτων. *Job. i.* 5. *Conf. Gen. xviii.* 27.

4 Και ουχ ἑαυτῳ τις λαμβανει την τιμην, αλλα ὁ καλουμενος ὑπο του Θεου, καθαπερ και ὁ Ααρων.

εποιησε δε Μωυσης και Ααρων καθαπερ ενενειλατο αυτοις Κυριος. *Exod. vii.* 6. και ποιησεις στολην ἁγιαν Ααρων τῳ αδελφῳ σου εις

τιμην και δοξαν. *xxviii.* 2. *Conf. Dan. ii.* 6. *v.* 20. 22. και προσεθηκεν Ααρων δοξαν, κ. τ. λ. *Sir. xlv.* 20-25. και ζητειτε και ἱερατευειν; *Num. xvi.* 1-10. [*Conf. Jos. Ant. iii.* 6. 1. *iii.* 8. *Philo, de Sacerd. honor. pass.*] *Conf. Esa. xlix.* 1.

5 Οὑτω και ὁ Χριστος ουχ ἑαυτον εδοξασε γενηθηναι αρχιερεα, αλλ᾽ ὁ λαλησας προς αυτον, Ὑἱος μου ει συ, εγω σημερον γεγεννηκα σε·

ὁθεν αφελομενος την προγονικην δοξαν, λεγω δη την αρχιερωσυνην κ. τ. λ. 2 *Mac. xiv.* 7. και εγενηθη αυτοις αρχιερευς. 1 *Mac. xiv.* 30. υἱος μου ει συ, κ. τ. λ. *Ps. ii.* 7. *Conf. cap. i.* 5. *Joan. viii.* 54. [CITAT. 239.]

6 Καθως και εν ἑτερῳ λεγει, Συ ἱερευς εις τον αιωνα, κατα την ταξιν Μελχισεδεκ.

Συ ἱερευς εις τον αιωνα κ. τ. λ. *Ps. cix.* 4. *Conf. cap. vii.* 17. 21. [ενθα ὁ της Σολυμα πολεως ὑποδεχεται βασιλευς αυτον Μελχισεδεκης σημαινει δε τουτο, βασιλευς δικαιος, και ην δε τοιουτος ὁμολογουμενως, ὡς δια ταυτην αυτον την αιτιαν και ἱερεα γενεσθαι του Θεου. *Jos. Ant. i.* 10. 2.] *Conf. Gen. xiv.* 18-20. ελαβε διαθηκην ἱερωσυνης αιωνιας κ. τ. λ. 1 *Mac. ii.* 54. *CITAT.* 253.

7 Ὁς εν ταις ἡμεραις της σαρκος αὑτου, δεησεις τε και ἱκετηριας προς τον δυναμενον σωζειν αυτον εκ θανατου μετα κραυγης ισχυρας και δακρυων προσενεγκας, και εισακουσθεις απο της ευλαβειας,

δυναμενος απολυθηναι του θανατου. 2 *Mac. vi.* 30. Κυριος ὁ Θεος σου εν σοι δυνατος σωσει σε. *Sophon. iii.* 18. μετ᾽ οδυρμων και δακρυων ἱκετευον. 2 *Mac. xi.* 6. εισακουσον της προσευχης μου. *Ps. liii.* 2. κραυγης τε μετα δακρυων. 3 *Mac. i.* 6. λαλησει δε σοι δεησει, ἱκετηριᾳ μαλακως; *Job. xl.* 22. εκει κεκραξονται, και ου μη εισακουσῃ, και απο ὑβρεως πονηρων. *xxxv.* 12. *Conf.* 2 *Mac. iii.* 21. ἑνεκα ευλαβειας. *Jos. xxii.* 24. *Esa. lvii.* 11. *Conf. Matt. xxvii.* 46. *Ps. xv.* 10. ὁ δε νυν ζω εν σαρκι. *Gal. ii.* 20. *Phil. i.* 22. 24. εν σωματι σαρκος αυτου. *Sir. xxiii.* 16. ὁ Θεος ὁ Θεος μου προσχες μοι, κ. τ. λ. *Ps. xxi.* 1. [προσφερειν τῳ Θεῳ ευχην. *Jos. Bell. Jud. iii.* 8. 3.] απο του πληθους. 2 *Par. v.* 6. *Ps. xxi.* 21. [*Conf. Glass. Philolog. Sac. iii.* 3. 2.] ιδετε ει εστιν αλγος κατα το αλγος μου. *Thren. i.* 12. [ἱκετηριαν σου προσφερω ὑπερ των νεωτερων τουτων. *Act. Thom. c.* 10.] και κοινην ἱκετηριαν ποιησαμενος. 2 *Mac. xii.* 29. [ευλαβεια Θεου. *Philo, de Cherub. p.* 113.]

8 Καιπερ ων υἱος, εμαθεν αφ' ὡν επαθε την ὑπακοην,

[ὁ παθων ακριβως εμαθε. *Philo. p.* 673.] ἡ παιδεια Κυριου Κυριου ανοιγει μου τα ωτα· εγω δε ουκ απειθω, κ. τ. λ. *Esa. xlix.* 5-9.

9 Και τελειωθεις εγενετο τοις ὑπακουουσιν αυτῳ πασιν αιτιος σωτηριας αιωνιου·

και εγενετο μοι εις σωτηριαν. *Esa. xii.* 2. σωζεται ὑπο Κυριου σωτηριαν αιωνιον. *xlv.* 17. *Zach. ix.* 9. συ γαρ ει Θεος, και ουκ ᾐδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. *Esa. xlv.* 15. τελειωθεις εν ολιγῳ, επληρωσε χρονους μακρους. *Sap. iv.* 13. τις εδοκιμασθη εν αυτῳ και ετελειωθη; *Sir. xxxiv.* 10. *Conf. Ps. lxvii.* 18. *Dan. ix.* 24. τις εν ὑμιν ὁ φοβουμενος τον Κυριον; ὑπακουσατω της φωνης του παιδος αυτου, κ. τ. λ. *Esa. l.* 10. και Κυριος βουλεται καθαρισαι αυτον της πληγης. εαν δωτε [δωται, *Ald.*] περι ἁμαρτιας, κ. τ. λ. *liii.* 10. [ψυχη τελειωθεισα εν αρετων αθλοις. *Philo, de Somn. p.* 585.] [Θεον—της σωτηριας—αιτιον. *Jos. Ant. iii.* 3.

10 Προσαγορευθεις ὑπο του Θεου αρχιερευς, κατα την ταξιν Μελχισεδεκ.

προσηγορευνται οἱ Ιουδαιοι ὑπο Ῥωμαιων φιλοι. 1 *Mac. xiv.* 40. *Sap. xiv.* 22. [ην ὁ νομος ἁγνειαν προσαγορευει. *Jos. Ant. iii.* 7. 1.] *Conf. sup. v.* 6.

11 Περι οὑ πολυς ἡμιν ὁ λογος και δυσερμηνευτος λεγειν, επει νωθροι γεγονατε ταις ακοαις.

μη γινου—νωθρος—εν τοις εργοις σου. *Sir. iv.* 29. επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσιν αυτων βαρεως ηκουσαν. *Esa. vi.* 10. [δυσερμηνευτος. *Philo, de Somn. p.* 649.] ὁρατικον ανδρα—δει παρεσταναι—και μη νωθροις. *Prov. xxii.* 29.

12 Και γαρ οφειλοντες ειναι διδασκαλοι δια τον χρονον, παλιν χρειαν εχετε του διδασκειν ὑμας, τινα τα στοιχεια της αρχης των λογιων του Θεου· και γεγονατε χρειαν εχοντες γαλακτος, και ου στερεας τροφης.

και χρειαν εχει βοηθειας. *Sap. xiii.* 16. στοιχειωσις. 2 *Mac. vii.* 22. ψωμιει αυτον αρτον συνεσεως, και ὑδωρ σοφιας ποτισει αυτον. *Sir. xv.* 3. *Conf. Esd. vii.* 10. οινον και στεαρ. *Esa. lv.* 1. αρχη των λογων σου αληθεια. *Ps. cxviii.* 160. *Dan. vii.* 1. *LXX.* αρχη λογου Κυριου. *Ose. i.* 2. [λογια θεοχρηστα. *Philo. leg. ad Cai. p.* 1022.] [επει δε νηπιοις εστι γαλα τροφη, τελειοις δε τα πυρων πεμματα κ. τ. λ. *Philo, de Agric. Tom. i. p.* 301. *Mangey.*] και εδι-

δασκον εν Ιουδα, και μετ᾽ αυτων βιβλος νομου Κυριου, κ. τ. λ. 2 *Par. xvii.* 9.

13 Πας γαρ ὁ μετεχων γαλακτος, απειρος λογου δικαιοσυνης· (νηπιος γαρ εστι·)

απειροτατος (επικουριας.) *Sap. xiii.* 18. μη μετεχειν των ἁγιων. 1 *Esd. v.* 40. *Conf.* 1 *Cor. iii.* 2. *xiii.* 11. *Ephes. iv.* 14. *Phil. iii.* 15. οἱ απογεγαλακτισμενοι απο γαλακτος κ. τ. λ. *Esa. xxviii.* 9. *Ps. cxxx.* 2. ὡς το απογεγαλακτισμενον επι την μητερα αυτου ποιμην απειρος. *Zach. xi.* 15. *Conf.* 1 *Reg. xvii.* 39. νηπιος. *Conf. Job. v.* 2. *Sym.*

14 Τελειων δε εστιν ἡ στερεα τροφη, των δια την ἑξιν τα αισθητηρια γεγυμνασμενα εχοντων προς διακρισιν καλου τε και κακου.

και τα αισθητηρια της καρδιας μου. *Jer. iv.* 19. εν τουτοις ἱκανην ἑξιν περιποιησαμενος. *Prol. Sir.* του ειδεναι γνωστον καλου και πονηρου. *Jer. iii.* 5. σοφιζουσα νηπια. *Ps. xviii.* 7. *cxviii.* 130. [γυμναζειν αυτους τοις αρτιχαλεποις. *Jos. Ant. iii.* 1. 4.] πριν η γνωναι αυτον η προελεσθαι πονηρα, εκλεξασθαι το αγαθον. *Esa. vii.* 15. ὡς γλυκεα τῳ λαρυγγι μου τα λογια σου, ὑπερ μελι τῳ στοματι μου. *Ps. cxviii.* 103. τελειων και μανθανοντων. 1 *Par. xxv.* 8.

ΚΕΦ. ϛ. 6.

ΔΙΟ αφεντες τον της αρχης του Χριστου λογον, επι την τελειοτητα φερωμεθα· μη παλιν θεμελιον καταβαλλομενοι μετανοιας απο νεκρων εργων, και πιστεως επι Θεον,

και γνωσομεθα. διωξωμεν του γνωναι τον Κυριον. *Ose. vi.* 4. αρχη παντος εργου λογος, και προ πασης πραξεως βουλη. *Sir. xxxvii.* 16. τελειοτης ευθειων ὁδηγησει αυτους. *Prov. xi.* 3. *Alex. Comp.* φρονησεως τελειοτης. *Sap. vi.* 15. [ανελων δε τους αρχαιους θεμελιους, καταβαλλομενος ἑτερους, επ᾽ αυτον τον ναον ηγειρε. *Jos. Ant. xv.* 11. 3. *Krebs.*] αγαπης τελειωσεως σου. *Jer. ii.* 2. δυναμεως τελειοτης. *xii.* 17. *Conf.* 2 *Mac. ii.* 29-32. 1 *Cor. ii.* 6. *Conf. Esa. lv.* 6. *vii.* 9. 2 *Par. xx.* 20. αἱ δε ὁδοι των δικαιων ὁμοιως φωτι λαμπουσι, πορευονται και φωτιζουσιν, ἑως κατορθωσῃ ἡ ἡμερα. *Prov. iv.* 18. καταβαλλομενος βιβλιοθηκην. 2 *Mac. ii.*

13. απο των νεκρων ενδεδυκοτων, ἡ μερις εν ζωῃ. *Ps. xvi.* 14. *Sym.*

2 Βαπτισμων διδαχης, επιθεσεως τε χειρων, αναστασεως τε νεκρων, και κριματος αιωνιου.

και επεθηκε τας χειρας αυτου επ' αυτον. *Num. xxvii.* 23. αναστησονται οἱ νεκροι κ. τ. λ. *Esa. xxvi.* 19. ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43. οὑτοι εις ζωην αιωνιον, και οὑτοι—εις αισχυνην αιωνιον. *Dan. xii.* 2. 13. *Sophon. iii.* 8. [ουδεν ἡμας ῥυσεται εκ της αιωνιου κολασεως, εαν παρακουσωμεν των εντωλων αυτου. *Clem. Rom. ii.* 6.] ὁτι συμπαν το ποιημα ὁ Θεος αξει εν κρισει. *Eccles. xii.* 14. *xi.* 9. [ἡ απωλεια του ἁμαρτωλου εις τον αιωνα. *Psalt. Sal. iii.* 13. 16. *Conf. Test. XII Patr. p.* 693.]

3 Και τουτο ποιησομεν, εαν περ επιτρεπῃ ὁ Θεος.

και επιτρεψεν οὑτως γενεσθαι. *Est. ix.* 14.

4 Αδυνατον γαρ τους ἁπαξ φωτισθεντας, γευσαμενους τε της δωρεας της επουρανιου και μετοχους γενηθεντας Πνευματος ἁγιου,

ἡ δηλωσις των λογων σου φωτιει και συνετιει νηπιους. *Ps. cxviii.* 130. του φωτισαι οφθαλμους ἡμων. *Neh. ix.* 8. [ἁπαξ το νεον γευσαμενον ξενικων εθισμων, απληστως αυτων ενεφορειτο. *Jos. Ant. iv.* 6. 9. τοις γευσαμενοις αρετης. *Philo, de Abrah. p.* 362. Μωυσην—γευσαμενον ευσεβειας. *Vit. Mos. p.* 164.] λαμπτηρ δε ασεβων ἁμαρτια. *Prov. xxi.* 4. δοματα και δωρεας. *Dan. ii.* 6. βαπτιζομενος απο νεκρου, και παλιν ἁπτομενος αυτου, τι ωφελησε τῳ λουτρῳ αυτου; κ. τ. λ. *Sir. xxxiv.* 22. φησι Βαλααμ—φησιν ὁ ανθρωπος ὁ αληθινως ὁρων, κ. τ. λ. *Num. xxiv.* 3. *xxxi.* 8.

5 Και καλον γευσαμενος Θεου ῥημα, δυναμεις τε μελλοντος αιωνος,.

εγευσατο ὁτι καλον εστι το εργαζεσθαι. *Prov. xxxi.* 18. ῥηματα καλα. *Jos. xxi.* 43. ῥηματα καλα και λογους παρακλητικους. *Zach. i.* 13. και ανεστησε Κυριος το ῥημα αυτου. 3 *Reg. viii.* 20. *xii.* 15. επι τῳ Θεῳ αινεσω ῥημα. *Ps. lv.* 10. πατηρ του μελλοντος αιωνος. *Esa. ix.* 6. *Alex. Conf. sup. cap. ii.* 5. 1 *Cor. xii.* 10. *xiii.* 1. *Gal. iii.* 5. ὡσπερ κυων κ. τ. λ. *Prov. xxvi.* 11.

6 Και παραπεσοντας, παλιν ανακαινιζειν εις μετανοιαν, ανασταυρουντας ἑαυτοις τον υἱον του Θεου και παραδειγματιζοντας.

εν τοις παραπτωμασιν αυτων εν οἱς παρεπεσον εις εμε. *Ezech. xx.*

27. εν δε τῳ αποστρεψαι δικαιον εκ της δικαιοσυνης αυτου—εν ταις ἁμαρτιαις αυτου αἱς ἡμαρτεν, εν αυταις αποθανειται. *xviii.* 24. [τον ναον ανακαινισαι του Θεου. *Jos. Ant. ix.* 8. 2. ζωντες ετι και εμπνεοντες ανεσταυρουντο. *xii.* 5. 4. μαστιγουμενοι δη και προβασανιζομενοι του θανατου πασαν αικιαν, ανεσταυρουντο τους τειχους αντικρυ. *Bell. Jud. v.* 11. 1. *p.* 1247. *Edit. Hud. Conf. Krebs. in loc.* ανακαινισας ἡμας εν τῃ αφεσει των ἁμαρτιων. *Epist. Barnab.*] διο τους παραπιπτοντας κατ᾽ ολιγον ελεγχεις. *Sap. xii.* 2. και παρορᾳς ἁμαρτηματα ανθρωπων εις μετανοιαν. *xi.* 23. πνευμα ευθες εγκαινισον εν τοις εγκατοις. *Ps. l.* 10. ανακαινισθησεται. *cii.* 5. *ciii.* 30. και παραδειγματισον αυτους Κυριῳ κατεναντι του ἡλιου. *Num. xxv.* 4. *Matt. i.* 19. *Conf. Ps. xciv.* 10. και θησομαι σε εις παραδειγμα. *Nah. iii.* 6.

7 Γη γαρ ἡ πιουσα τον επ᾽ αυτης πολλακις ερχομενον ὑετον, και τικτουσα βοτανην ευθετον εκεινοις δι᾽ οὑς και γεωργειται, μεταλαμβανει ευλογιας απο του Θεου·

γη ορεινη και πεδεινη, εκ του ὑετου του ουρανου πιεται ὑδωρ. *Deut. xi.* 11. ησαν γεωργουντες την γην αυτων. 1 *Mac. xiv.* 8. 1 *Par. xxvii.* 26. 1 *Esd. iv.* 6. και τα πεδια σου πλησθησονται πιοτητος. *Ps. lxiv.* 11. ὡς ὁ παραδεισος του Θεου. *Gen. xiii.* 10. *Ezech. xxviii.* 2. ὡς οσμη αγρου πληρους, ὁν ευλογησε Κυριος. *Gen. xxvii.* 27. [γης της παντα τικτουσης. *Philo, de Opific.*] και αγαθων και κινδυνων μεταληψεσθαι τους ἁγιους. *Sap. xviii.* 9. ὡς γαρ αν καταβῃ ὁ ὑετος η χιων εκ του ουρανου, κ. τ. λ. *Esa. lv.* 10. 13. *Joel. ii.* 21-26. *Jac. v.* 7. *Mal. iii.* 10.

8 Εκφερουσα δε ακανθας και τριβολους, αδοκιμος και καταρας εγγυς, ἡς το τελος εις καυσιν.

εξηνεγκεν ἡ γη βοτανην. *Gen. i.* 12. επικαταρατος ἡ γη—ακανθας και τριβολους ανατελει σοι. *iii.* 17, 18. Σιων ὡς ερημος εγενηθη, Ἱερουσαλημ εις καταραν. *Esa. lxiv.* 10. εις καυσιν πυρος. *Dan. vii.* 11. *Esa. xliv.* 15. και ησαν μυκτηριζοντες τους αγγελους αυτου—ἑως ανεβη ὁ θυμος Κυριου—ἑως ουκ ην ιαμα. 2 *Par. xxxvi.* 16. ιδου ἡμερα ερχεται καιομενη ὡς κλιβανος, και φλεξει αυτους, κ. τ. λ. *Mal. iv.* 1. γενεας γαρ αδικου χαλεπα τα τελη. *Sap. iii.* 19. *Job. xxxi.* 40. *Jer. xvii.* 6.

9 Πεπεισμεθα δε περι ὑμων, αγαπητοι, τα κρειττονα και εχομενα σωτηριας, ει και οὑτω λαλουμεν.

πεπεισμαι γαρ αυτον επιεικως και φιλανθρωπως παρακολουθουντα τῃ εμῃ προαιρεσει. 2 *Mac. ix.* 27. [τα καρτεριας και σωφροσυνης

και της αλλης αρετης εχομενα μονα, κ. τ. λ. Philo, de Agric. p. 202.] *εχομενον του θυσιαστηριου. Lev. vi.* 10. *Amos. ii.* 1. *Jud. xix.* 14. *ετι δε εχεται ακακιας. Job. ii.* 3. [*εχομενα· πλησιον, εγγυτατω. Hesych.*] *Conf. Esa. lvii.* 17, 18.

10 Ου γαρ αδικος ὁ Θεος, επιλαθεσθαι του εργου ὑμων και του κοπου της αγαπης ἧς ενεδειξασθε εις το ονομα αυτου, διακονησαντες τοις ἁγιοις και διακονουντες.

Θεος πιστος, και ουκ εστιν αδικια. Deut. xxxii. 4. *οἱ αγαπωντες το ονομα αυτου. Ps. lxviii.* 36. *Conf.* 2 *Mac. viii.* 15. *λειτουργησει τῳ ονοματι Κυριου. Deut. xviii.* 7. *και συ Ισραηλ μη επιλανθανου μου. Esa. xliv.* 21. *Conf. Prov. xiv.* 31. *Matt. x.* 42. *Marc. ix.* 41. *Judith. viii.* 24. *ειπον τη ψυχῃ μου, Σωτηρια σου εγω ειμι. Ps. xxxiv.* 3. *φανεραν του Θεου πασι την δυναμιν ενδεικνυμενος.* 2 *Mac. ix.* 8. *μνησθητι μου ὁ Θεος εις αγαθον παντα ὁσα εποιησα τῳ λαῳ τουτῳ. Neh. v.* 19. *μη επιλησεται γυνη του παιδιου αυτης —αλλ' εγω ουκ επιλησομαι σου. Esa. xlix.* 15. *Jer. ii.* 2. *Ps. xix.* 3.

11 Επιθυμουμεν δε ἑκαστον ὑμων την αυτην ενδεικνυσθαι σπουδην προς την πληροφοριαν της ελπιδος αχρι τελους·

αχρι αιωνος. 2 *Mac. iv.* 15. *ἡ ελπις αυτων αθανασιας πληρης. Sap. iii.* 4. *και εσται τα εργα της δικαιοσυνης ειρηνη· και κρατησει ἡ δικαιοσυνη αναπαυσιν, και πεποιθοτες ἑως του αιωνος, κ. τ. λ. Esa. xxxii.* 17. *και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. Dan. xii.* 13. *πληροφορια. Conf. Eccles. viii.* 11.

12 Ἱνα μη νωθροι γενησθε, μιμηται δε των δια πιστεως και μακροθυμιας κληρονομουντων τας επαγγελιας.

νωθρος και παρειμενος εν τοις εργοις σου. Sir. iv. 29. *χειρ εκλεκτων κρατησει ευχερως, κ. τ. λ. Prov. xii.* 24. *και ολιγωψυχοις διδους μακροθυμιαν. Esa. lvii.* 15. *δικαιοι δε κληρονομησουσι γην. Ps. xxxvi.* 29. [*τοιουτοις ουν ὑποδειγμασι κολληθηναι και ἡμας δει—κολληθωμεν ουν τοις αθωοις και δικαιοις· εισιν δε οὑτοι εκλεκτοι του Θεου, κ. τ. λ. Clem. Rom. i.* 46.] *μνησθητι ἡμων—του επαινεισθαι μετα της κληρονομιας σου. Ps. cv.* 4, 5.

13 Τῳ γαρ Αβρααμ επαγγειλαμενος ὁ Θεος, επει κατ' ουδενος ειχε μειζονος ομοσαι, ωμοσε καθ' ἑαυτου,

14 Λεγων, Η μην ευλογων ευλογησω σε, και πληθυνων πληθυνω σε·

κατ' εμαυτου ωμοσα, λεγει Κυριος—η μην ευλογων ευλογησω σε,

και πληθυνων πληθυνω το σπερμα σου. *Gen. xxii.* 16, 17. *Conf. Amos. vi.* 8. *Ps. civ.* 9. *Luc. i.* 73. [κατ' εμαυτου ωμοσα, κ. τ. λ. *Citatur a Philon. de Abrah. p.* 303. *Edit. Col.* ὁρᾳς γαρ ὁτι ου καθ' ἑτερου ομνυει ὁ Θεος, ουδεν γαρ αυτου κρειττον, αλλα καθ' ἑαυτου, ὁς εστι παντων αριστος. 2 *de Alleg. p.* 75.] *Mich. vii.* 20. *Jer. xxii.* 5. *CITAT.* 254.

15 Και οὑτω μακροθυμησας επετυχε της επαγγελιας.

μακροθυμησατε την παρα του Θεου—οργην. *Bar. iv.* 25. εν αλλαγμασι ταπεινωσεως σου μακροθυμησον. *Sir. ii.* 4. ουκ επιτευξεται δολιος θηρας. *Prov. xii.* 27. *Conf. Rom. iv.* 17. *Gen. xii.* 2, 3. *xv.* 2. 6. *xlix.* 18. εαν ὑστερηση, ὑπομεινον αυτον, κ. τ. λ. *Hab. ii.* 3. [ἱνα Ιησου Χριστου επιτυχω. *Ignat. ad Rom. p.* 59.]

16 Ανθρωποι μεν γαρ κατα του μειζονος ομνυουσι, και πασης αυτοις αντιλογιας περας εις βεβαιωσιν ὁ ὁρκος·

οἱ επαινουντες με κατ' εμου ωμνυον. *Ps. ci.* 8. αντιλογιας παυει σιγηρος. *Prov. xviii.* 18. προσοχη δε νομων βεβαιωσις αφθαρσιας. *Sap. vi.* 18. *Conf. Gen. xiv.* 22. *xxi.* 23. *Exod. xxii.* 11. *Deut. vi.* 13. *Esa. xlv.* 23. δια τουτο επωνομασε το ονομα του τοπου εκεινου, Φρεαρ ὁρκισμου· ὁτι εκει ωμοσαν αμφοτεροι. *Gen. xxi.* 31.

17 Εν ᾡ περισσοτερον βουλομενος ὁ Θεος επιδειξαι τοις κληρονομοις της επαγγελιας το αμεταθετον της βουλης αὑτου, εμεσιτευσεν ὁρκῳ,

επιδειξασθαι την ευλογιαν παρα Ὑψιστου. *Sir. l.* 21. ὡς επληθυνας το ελεος σου ὁ Θεος, κ. τ. λ. *Ps. xxxv.* 7, 8. κατα παν αμεταθετος. 3 *Mac. v.* 1. 12. [ταυτα ομνυοντες ελεγον, και Θεον μεσιτην ὡν ὑπισχνουντο ποιουμενοι. *Jos. Ant. iv.* 6, 7.] ἁπαξ ωμοσα εν τῳ ἁγιῳ μου ει τῳ Δαυιδ ψευσομαι. *Ps. lxxxviii.* 35. *Conf. Ps. xxxii.* 11. *Prov. xix.* 21. *Job. xxiii.* 13. *Gal. iv.* 28. *Rom. xi.* 28. εγω Κυριος ὁ Θεος ὑμων, και ουκ ηλλοιωμαι. *Mal. iii.* 6. *Esa. xiv.* 24.

18 Ἱνα δια δυο πραγματων αμεταθετων, εν οἱς αδυνατον ψευσασθαι Θεον, ισχυραν παρακλησιν εχωμεν οἱ καταφυγοντες κρατησαι της προκειμενης ελπιδος·

μεγαλα και ισχυρα. *Jer. xl.* 3. καταφευγη επι τον Θεον. 2 *Mac. x.* 28. [φιλεργιας αθλα μισθοι προκεινται τοις δημιουργοις. *Philo, de Creat. p.* 729. τοσουτων ουν προκειμενων αθλων. *de Sacerd. p.* 834.] ωμοσε Κυριος, και ου μεταμεληθησεται. *Ps. cix.* 4. αυτος ειπας, ουχι ποιησει; λαλησει, και ουχι εμμενει; *Num. xxiii.* 19. Εγω Ειμι, ὁ παρακαλων σε, κ. τ. λ. *Esa. li.* 12. *lxvi.* 10. οἱ δε πανουργοι κρατησουσιν αισθησεως. *Prov. xiv.* 18. καταφευξονται

εθνη πολλα επι τον Κυριον. *Zach. ii.* 11. [ἱνα εχοντες καταφυγην προς ἱκεσιας και λιτας, κ. τ. λ. *Philo, de Abrah. p.* 93.] *Conf.* 1 *Reg. xv.* 29. *Zach. ix.* 11, 12.

19 Ἡν ὡς αγκυραν εχομεν της ψυχης ασφαλη τε και βεβαιαν,
και εισερχομενην εις το εσωτερον του καταπετασματος,

και εν κυμασι τριβον ασφαλη. *Sap. xiv.* 3. ουδε ασφαλη βασιν ἑδρασει. *iv.* 3. εσωτερον του καταπετασματος. *Lev. xvi.* 2. 12. την ὁδον εχειν. *Job. xvii.* 9. *Ezech. xliv.* 27. ελπισον επι τον Θεον, ὁτι εξομολογησομαι αυτῳ, κ. τ. λ. *Ps. xli.* 5. *Esa. xii.* 12.

20 Ὁπου προδρομος ὑπερ ἡμων εισηλθεν Ιησους, κατα την ταξιν
Μελχισεδεκ αρχιερευς γενομενος εις τον αιωνα.

προδρομος συκου. *Esa. xxviii.* 4. προδρομος του στρατοπεδου. *Sap. xii.* 8. συ ἱερευς εις τον αιωνα, κατα την ταξιν Μελχισεδεκ. *Ps. cix.* 4. εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. και ευλογημενος ὁ ανθρωπος, ὁς πεποιθεν επι τῳ Κυριῳ, και εσται Κυριος ελπις αυτου. *Jer. xvii.* 7. [και Μελχισεδεκ βασιλεα τε της ειρηνης, Σαλημ, (τουτο γαρ ἑρμηνευεται) ἱερεα ἑαυτου πεποιηκεν ὁ Θεος. *Philo,* 2 *Alleg. p.* 57. *Edit. Col.*]

ΚΕΦ. ζ. 7.

ΟΥΤΟΣ γαρ ὁ Μελχισεδεκ βασιλευς Σαλημ, ἱερευς του Θεου του ὑψιστου, ὁ συναντησας Αβρααμ ὑποστρεφοντι απο της κοπης των βασιλεων και ευλογησας αυτον,

εξηλθε δε βασιλευς Σοδομων εις συναντησιν αυτῳ, μετα το ὑποστρεψαι αυτον απο της κοπης του Χοδολλογομορ και των βασιλεων των μετ᾽ αυτου. *Gen. xiv.* 17. και Μελχισεδεκ βασιλευς Σαλημ εξηνεγκεν αρτους και οινον· ην δε ἱερευς του Θεου του ὑψιστου. και ευλογησε Ἁβραμ, κ. τ. λ. 18, 19. και αυτος ληψεται αρετην, και καθιειται, και καταρξει επι του θρονου αυτου, και εσται ἱερευς εκ δεξιων αυτου, και βουλη ειρηνικη αναμεσον αμφοτερων. *Zach. vi.* 13. και εγενηθη εν Ειρηνῃ ὁ τοπος αυτου, και το κατοικητηριον αυτου εν Σιων. *Ps. lxxv.* 2. *CITAT.* 255.

2 Ὡ και δεκατην απο παντων εμερισεν Αβρααμ· πρωτον μεν
ἑρμηνευομενος βασιλευς δικαιοσυνης, επειτα δε και βασιλευς
Σαλημ, ὁ εστι βασιλευς ειρηνης·

και εδωκεν αυτῳ Ἁβραμ δεκατην απο παντων. *Gen. xiv.* 20. *Lev. xxvii.* 30. *Gen. xxxii.* 29. και ποιησω και ειρηνην και πιστιν.

Jer. xl. 6. και ην Δαυιδ ποιων κριμα και δικαιοσυνην κ. τ. λ. *2 Reg. viii. 15.* [Μελχισεδεκης—σημαινει δε τουτο βασιλευς δικαιος, κ. τ. λ. *Jos. Ant. i. 10. 2.*] [ὁ μεν ουν σοφος Αβρααμ επανελθων λεγεται απο κοπης του Χολογοδομορ, και των βασιλεων μετ᾽ αυτου, κ. τ. λ. *Philo, de Temul. p. 189. Edit. Col.* εδωκε γαρ, φησιν, αυτῳ δεκατην απο παντων. *p. 342.*]

3 Απατωρ, αμητωρ, αγενεαλογητος, μητε αρχην ἡμερων μητε ζωης τελος εχων, αφωμοιωμενος δε τῳ υἱῳ του Θεου, μενει ἱερευς εις το διηνεκες.

μη και ὑμεις—αλλοφυλοις αφομοιωθητε. *Epist. Jer. v. 63.* εις το διηνεκες. *Ps. xlvii. 14. Sym. Conf. Ps. cix. 4.* ελαβε διαθηκην ἱερωσυνης αιωνιας. *1 Mac. ii. 54.* απατωρ. *Conf. Sturz. de voc. Alex. p. 140.* την γενεαν αυτου τις διηγησεται; *Esa. liii. 8.* [απατωρ. *Conf.* τινες των ἱερεων—ὡν ουτε αυτος το γενος ειχον ειπειν, ουτ᾽ εν ταις γενεαλογιαις των Λευιτων και ἱερεων εὑρεθησαν. *Jos. Ant. xi. 3. 10.*] και ιδου—ὡς υἱος ανθρωπου ερχομενος. *Dan. vii. 13.*

4 Θεωρειτε δε πηλικος οὑτος, ᾡ και δεκατην Αβρααμ εδωκεν εκ των ακροθινιων, ὁ πατριαρχης.

του ιδειν, πηλικον το πλατος αυτης εστι και πηλικον το μηκος. *Zach. ii. 2. Conf. Gen. xiv. 20.* Αβρααμ—και παντες οἱ πατριαρχαι. *4 Mac. § 16.* [Αβραμου δε διδοντος και την δεκατην της λειας αυτῳ, προσδεχεται την δοσιν. *Jos. Ant. i. 10. 2.*] [ακροθινιον· απαρχη των θινων· θινες δε εισιν οἱ σωροι των πυρων, η κριθων, η πασα απαρχη. *Hesych.*]

5 Και οἱ μεν εκ των υἱων Λευϊ την ἱερατειαν λαμβανοντες, εντολην εχουσιν αποδεκατουν τον λαον κατα τον νομον, τουτεστι τους αδελφους αὑτων, καιπερ εξεληλυθοτας εκ της οσφυος Αβρααμ·

και εδωκεν αυτῳ ἱερατειαν λαου. *Sir. xlv. 7.* τα ποιμνια ὑμων αποδεκατωσει. *1 Reg. viii. 17. Gen. xxviii. 22.* και βασιλεις εκ της οσφυος σου εξελευσονται. *Gen. xxxv. 11. 2 Par. vi. 9.* απο των υἱων Λευϊ ουχ εὑρον εκει. *Esd. viii. 15.* τους αδελφους αυτων. *Conf. Deut. xv. 2, 3. Exod. xxii. 25.*

6 Ὁ δε μη γενεαλογουμενος εξ αυτων, δεδεκατωκε τον Αβρααμ, και τον εχοντα τας επαγγελιας ευλογηκε·

και παντων ὡν εαν μοι δῳς, δεκατην αποδεκατωσω αυτα σοι. *Gen. xxviii. 22. Conf. xiii. 14-17. xvii. 2-21.* [αγενεαλογητος ειρηται, παρα το μη ὑπαρχειν εκ του σπερματος Αβρααμ ὁλως, ειναι δε

Χαναναιον γενος, και εκ της απαρατου σπορας ὁρμωμενον, ὁθεν ουδε γενεαλογιας ἠξιωτο. Suidas. voce Μελχισεδεκ.]

7 Χωρις δε πασης αντιλογιας το ελαττον ὑπο του κρειττονος ευλογειται.

και ευλογησεν αυτα ὁ Θεος κ. τ. λ. Gen. i. 22. 28. xxvii. 20-40.

8 Και ὡδε μεν δεκατας αποθνησκοντες ανθρωποι λαμβανουσιν· εκει δε, μαρτυρουμενος ὁτι ζῃ.

ζω Εγω, λεγει Κυριος. Esa. xlix. 18. ζω Εγω, και ζων το ονομα μου. Num. xiv. 21. Joan. xi. 25. xiv. 6. 19. Apoc. i. 18. Rom. v. 12.

9 Και ὡς επος ειπειν, δια Αβρααμ και Λευϊ ὁ δεκατας λαμβανων δεδεκατωται·

και αυτοι οἱ Λευϊται δεκτατουντες εν πασαις πολεσι. Neh. x. 37. [και ὡς επος ειπειν. Philo. p. 365.]

10 Ετι γαρ εν τῃ οσφυϊ του πατρος ην, ὁτε συνηντησεν αυτῳ ὁ Μελχισεδεκ.

και βασιλεις εκ της οσφυος σου ελευσονται. Gen. xxxv. 11.

11 Ει μεν ουν τελειωσις δια της Λευϊτικης ἱερωσυνης ην, (ὁ λαος γαρ επ' αυτῃ νενομοθετητο,) τις ετι χρεια, κατα την ταξιν Μελχισεδεκ ἑτερον ανιστασθαι ἱερεα, και ου, κατα την ταξιν Ααρων, λεγεσθαι;

ποιησαι κατα παντα ὁσα αν νομοθετηθῃ σοι. Deut. xvii. 10. Alex. συ ἱερευς εις τον αιωνα, κατα ταξιν Μελχισεδεκ. Ps. cix. 4. και εχρισαν αυτον—εις ἱερωσυνην. 1 Par. xxix. 22. βασιλευς ἑτερος. Exod. i. 8. τας εντολας, ἁς εγραψα νομοθετησαι αυτοις. Exod. xxiv. 12. ἑως αναστῃ ἱερευς τοις φωτιζουσι και τοις τελειοις. Esd. ii. 63. ἱνα μη φαγωσιν απο ἁγιου των ἁγιων ἑως αναστῃ ἱερευς φωτισων. Neh. vii. 65.

12 Μετατιθεμενης γαρ της ἱερωσυνης, εξ αναγκης και νομου μεταθεσις γινεται.

τῃ του πατρος επι τα Ἑλληνικα μεταθεσει. 2 Mac. xi. 24. και απ' αυτων ληψομαι ἱερεις και Λευιτας, ειπε Κυριος. Esa. lxvi. 21. Jer. xxxviii. 31. [ὑπο Λυσιου πεισθεις, μεταθηναι των τιμην (αρχιερωσυνην) απο ταυτης της οικιας εις ἑτερον οικον. Jos. Ant. xii. 9. 7. εξ αναγκης. xvi. 9. 3.] Conf. Ezech. xvi. 61.

13 Εφ' ὁν γαρ λεγεται ταυτα, φυλης ἑτερας μετεσχηκεν, αφ' ἡς ουδεις προσεσχηκε τῳ θυσιαστηριῳ·

προσεχειν τῃ φιλοσοφιᾳ. 4 Mac. 1. προσεχειν εντολαις Κυριου.

Sir. xxiii. 27. ὁταν προσπορευωνται λειτουργειν προς το θυσιαστηριον του ἁγιου. *Exod. xxviii.* 39. μηδεις αλλογενης, ὁς ουκ εστιν εκ του σπερματος Ααρων, επιθειναι θυμιαμα κ. τ. λ. *Num. xvi.* 40.

14 Προδηλον γαρ ὁτι εξ Ιουδα ανατεταλκεν ὁ Κυριος ἡμων, εις ἡν φυλην ουδεν περι ἱερωσυνης Μωσης ελαλησε.

δι' ὡν προδηλον εγενετο. 2 *Mac. iii.* 17. *xiv.* 39. ανατελει αστρον εξ Ιακωβ. *Num. xxiv.* 17. και αναστησω τῳ Δαυιδ ανατολην δικαιαν. *Jer. xxiii.* 5. εγω αγω τον δουλον μου ανατολην. *Zach. iii.* 8. ουκ εκλειψει αρχων εξ Ιουδα, κ. τ. λ. *Gen. xlix.* 10. *Conf. Esa. xi.* 1. *Mich. v.* 2. και διαθηκην τῳ Δαυιδ υἱῳ εκ φυλης Ιουδα, κληρονομια βασιλεως υἱου εξ υἱου μονου, κ. τ. λ. *Sir. xlv.* 25, 26. εμελετων εις σε (*de te.*) *Ps. lxiii.* 3. [ιδου ανθρωπος (*ex Zach. vi.* 12), ᾡ ονομα ανατολη—τουτον μεν γαρ πρεσβυτατον υἱον ὁ των οντων ανετειλε πατηρ. *Philo, de Confus. Ling. p.* 414. τιμησωσιν Ιουδαν και Λευι, ὁτι εξ αυτων ανατελει ὑμιν Κυριος. *Test. Patr. p.* 686.] και εξελεξατο την φυλην Ιουδα, κ. τ. λ. *Ps. lxxvii.* 68.

15 Και περισσοτερον ετι καταδηλον εστιν, ει κατα την ὁμοιοτητα Μελχισεδεκ ανισταται ἱερευς ἑτερος,

μη μετεχειν των ἁγιων, ἑως αναστῃ αρχιερευς ενδεδυμενος την δηλωσιν και την αληθειαν. 1 *Esd. v.* 40. κατα γενος και καθ' ὁμοιοτητα. *Gen. i.* 11. *Conf. Ps. cix.* 4. *cxxxi.* 11.

16 Ὁς ου κατα νομον εντολης σαρκικης γεγονεν, αλλα κατα δυναμιν ζωης ακαταλυτου·

σαρκικης. *Conf.* 1 *Cor. ix.* 11. [*Griesb.*] σαρκινης. *Sir. xvii.* 16. *Edit. Comp.* ακαταλυτους βασανους. 4 *Mac.* 10. ὁτι παρα σοι πηγη ζωης. *Ps. xxxv.* 9.

17 Μαρτυρει γαρ, ὁτι, Συ ἱερευς εις τον αιωνα, κατα την ταξιν Μελχισεδεκ.

Συ ἱερευς εις τον αιωνα, κ. τ. λ. *Ps. cix.* 4. τι μαρτυρησω σοι; *Thren. ii.* 13. *Conf. Gen. xxxi.* 47, 48. [εγω μεν μαρτυρω σοι. *Jos. Ant. vi.* 14. 6. *Conf. Krebs. p.* 115.] [CITAT. 253.]

18 Αθετησις μεν γαρ γινεται προαγουσης εντολης δια το αυτης ασθενες και ανωφελες,

Conf. Gal. iv. 9. *Rom. viii.* 3. *Ps. xlix.* 7-15. *Esa. xlii.* 9.

19 Ουδεν γαρ ετελειωσεν ὁ νομος, επεισαγωγη δε κρειττονος ελπιδος, δι' ἡς εγγιζομεν τῳ Θεῳ.

επι τῳ Κυριῳ ουκ επεποιθει, και προς τον Θεον αυτης ουκ ηγγισε.

Sophon. iii. 2. Conf. Ps. lxxii. 23. Ezech. xlii. 13. xliii. 19. Joan. i. 17. Act. xiii. 39. Rom. iii. 21. Ephes. ii. 18. Gal. ii. 16. [επεισαγωγη. *Jos. Ant. ii. 6. 3.*] οἱ αντεχομενοι του νομου ουκ ηπισταντο με κ. τ. λ. *Jer. ii. 8. xxxviii. 32. Conf. Sir. xlii. 2.*

20 Και καθ' ὁσον ου χωρις ὁρκωμοσιας, (οἱ μεν γαρ χωρις ὁρκωμοσιας εισιν ἱερεις γεγονοτες,

ὁρκωμοσια. *Conf. Ezech. xvii. 18, 19. 1 Esd. viii. 93.*

21 Ὁ δε μετα ὁρκωμοσιας δια του λεγοντος προς αυτον, Ωμοσε Κυριος και ου μεταμεληθησεται, Συ ἱερευς εις τον αιωνα κατα την ταξιν Μελχισεδεκ·)

ωμοσε Κυριος, και ου μεταμεληθησεται. *Ps. cix. 4. CITAT. 256.*

22 Κατα τοσουτον κρειττονος διαθηκης γεγονεν εγγυος Ιησους.

χαριτας εγγυου μη επιλαθη, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix. 15-17. Conf. cap. viii. 6.* και διαθησομαι αυτοις διαθηκην αιωνιον. *Jer. xxxix. 40. Alex. Esa. lxi. 8.* και δυναμωσει διαθηκην. *Dan. ix. 27. xi. 28. 30.* ὁ αγγελος της διαθηκης, ὁν ὑμεις θελετε. *Mal. iii. 1.* και διαθησομαι αυτοις διαθηκην ειρηνης, διαθηκη αιωνια εσται μετ' αυτων, κ. τ. λ. *Ezech. xxxvii. 26. Ps. lxviii. 31.* [εγγυος· μεσιτης. *Theoph.* αναδοχος, αντιφωνητης. *Alberti. Gloss. Hesych.*]

23 Και οἱ μεν πλειονες εισι γεγονοτες ἱερεις, δια το θανατῳ κωλυεσθαι παραμενειν·

κωλυεσθαι. *Conf. 1 Esd. vi. 6. Joan. xxi. 22. 1 Par. vi. 3-14. Neh. xii.* [της μεντοι ἱερατικης τιμης, μεγιστης ουσης εν τῳ γενει, και παραμενουσης, κ. τ. λ. *Jos. Ant. xi. 8. 2.*]

24 Ὁ δε δια το μενειν αυτον εις τον αιωνα, απαραβατον εχει την ἱερωσυνην·

συ δε Κυριε εις τον αιωνα μενεις. *Ps. ci. 12.* ελαβε διαθηκην ἱερωσυνης αιωνιας. *1 Mac. ii. 54.* εξουσια αιωνιος, ἡτις ου παρελευσεται. *Dan. vii. 14.* [απαραβατον· ασειστον. *Hesych.*]

25 Ὁθεν και σωζειν εις το παντελες δυναται τους προσερχομενους δι' αυτου τῳ Θεῳ, παντοτε ζων, εις το εντυγχανειν ὑπερ αυτων.

παντελως. *2 Mac. vii. 40.* Κυριος ὁ Θεος σου εν σοι, ὁ δυνατος σωσει σε. *Sophon. iii. 18.* [εις το παντελες. *Jos. Ant. vi. 2. 3.*] ὁθεν. *Judith. viii. 20.* ενετυχον τῳ Κυριῳ, και εδεηθην αυτου. *Sap. viii. 21. 2 Mac. iv. 36.* [εμου εντυγχανοντος ὑπερ ὑμων. *Jos. Ant. xiv. 10-13.*] εντυγχανειν κατα. *1 Mac. viii. 32. x. 61. xi. 25. Cap. ix. 24.* επιστραφητε επ' εμε, και σωθησεσθε, οἱ απ' εσχατου της γης.

Esa. xlv. 22. τις δ' αρα γνοιη, ότι εὑροιμι αυτον, και ελθοιμι εις τελος; *Job. xxiii.* 3. και ειδε, και ουκ ην ανηρ, και κατενοησε, και ουκ ην αντιληψομενος, κ. τ. λ. *Esa. lix.* 16. Κυριε, αντιληπτωρ μου ει. *Ps. iii.* 3. *cxviii.* 114. *xc.* 2. *xvii.* 3. και σωτηρ μου, αντιληπτωρ μου. *lxi.* 2. τα δωρα του Θεου ου προσελευσεται προσενεγκειν. *Lev. xxi.* 16. 21. και προσελευσονται οἱ ἱερεις, κ.τ.λ. *Deut. xxi.* 5. [αναγκαιον γαρ ην, τον ἱερωμενον τῳ του κοσμου πατρι, παρακλητῳ χρησθαι τελειοτατῳ την αρετην υἱῳ προς τε αμνηστειαν ἁμαρτηματων, και χορηγιας αφθονωτατων αγαθων. *Philo.* 3. *Vit. Mos. p.* 521. *Edit. Col.*] παντοτε μενοντα. *Sap. xix.* 18.

26 Τοιουτος γαρ ἡμιν επρεπεν αρχιερευς, ὁσιος, ακακος, αμιαντος, κεχωρισμενος απο των ἁμαρτωλων, και ὑψηλοτερος των ουρανων γενομενος·

σοι πρεπει ὑμνος ὁ Θεος εν Σιων. *Ps. lxiv.* 1. τοις ευθεσι πρεπει αινεσις. *xxxii.* 1. αμιαντος. *Sap. iv.* 2. *iii.* 13. 2 *Mac. xv.* 34. ακακος. *Job. viii.* 20. πας ὁ χωριζομενος της ακαθαρσιας εθνων. *Esd. vi.* 21. σκολιοι γαρ λογισμοι χωριζουσιν απο Θεου. *Sap. i.* 3. εν ὑψηλοις κατοικων. *Ps. cxii.* 5. θαυμαστος εν ὑψηλοις ὁ Κυριος. *xcii.* 4. ὁ ουρανος του ουρανου ουκ αρκεσουσι σοι. 3 *Reg. viii.* 27. *Ps. lxxxviii.* 27. εχωρισθησαν του ἱερατευειν. *Esd. v.* 61. [ὁτι ὁ προς αληθειαν Αρχιερευς και μη ψευδωνυμος, αμετοχος ἁμαρτηματων εστι. *p.* 652. λεγομεν γαρ, τον αρχιερεα ουκ ανθρωπον, αλλα Λογον θειον ειναι, παντων ουκ εκουσιων μονον, αλλα και ακουσιων αδικηματων αμετοχον. *p.* 364.] *Conf. Ottii Spicileg. ad loc.*

27 Ὁς ουκ εχει καθ' ἡμεραν αναγκην, ὡσπερ οἱ αρχιερεις, προτερον ὑπερ των ιδιων ἁμαρτιων θυσιας αναφερειν, επειτα των του λαου· τουτο γαρ εποιησεν εφαπαξ, ἑαυτον ανενεγκας.

ἡ θυσια ἡ καθ' ἡμεραν. *Num. iv.* 16. ανηνεγκεν ὁλοκαυτωσεις. 2 *Reg. xxiv.* 25. και προσαξει Ααρων τον μοσχον τον περι της ἁμαρτιας αυτου κ. τ. λ. *Lev. xvi.* 11. χιμαρους ὑπερ ἁμαρτιας παντος του Ισραηλ. 1 *Esd. vii.* 8. προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου. 2 *Mac. i.* 26. *Conf. Lev. vi.* 19-22. *Num. xxviii.* 3. 4. *Rom. vi.* 10. *Zach. iii.* 9. ανθ' ὡν παρεδοθη εις θανατον ἡ ψυχη αυτου, κ. τ. λ. *Esa. liii.* 12. *Dan. ix.* 24-26. θυσιαι αυτου (Μωυση) ὁλοκαρπωθησονται καθ' ἡμεραν ενδελεχως δις. *Sir. xlv.* 14.

28 Ὁ νομος γαρ ανθρωπους καθιστησιν αρχιερεις, εχοντας ασθενειαν· ὁ λογος δε της ὁρκωμοσιας της μετα τον νομον, υἱον εις τον αιωνα τετελειωμενον.

καθεστακαμεν σε σημερον αρχιερεα του εθνους. 1 *Mac. x.* 20. και

κατεστησεν αυτον επι του οικου αυτου. Gen. xxxix. 4. *την ὁρκωμοσιαν μου ἡν ητιμωσε. Ezech. xvii.* 19. *περι νομου Ὑψιστου, και διαθηκης, κ. τ. λ. Sir. xlii.* 2. *τετελειωμενου ενδυσασθαι τα ἱματια. Lev. xxi.* 10. *Exod. xxix.* 9. 29. *Conf. cap. ii.* 10. *v.* 1. *καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. Ps. cix.* 1. *του συντελεσθηναι ἁμαρτιαν, και του σφραγισαι ἁμαρτιας, και απαλειψαι τας αδικιας, και του αγαγειν δικαιοσυνην αιωνιον, κ. τ. λ. Dan. ix.* 24. *ἁπαξ ωμοσα εν τῳ ἁγιῳ μου, ει τῳ Δαυιδ ψευσομαι. Ps. lxxxviii.* 35.

ΚΕΦ. η. 8.

ΚΕΦΑΛΑΙΟΝ *δε επι τοις λεγομενοις, τοιουτον εχομεν αρχιερεα, ὁς εκαθισεν εν δεξιᾳ του θρονου της μεγαλωσυνης εν τοις ουρανοις·*

του κεφαλαιον των υἱων. Num. iv. 2. [*Conf. Jos. Ant. xi.* 3. 10.] *καθου εκ δεξιων μου. Ps. cix.* 1. *αρχιερεα. Conf. cap. vii.* 26. *κατα την μεγαλωσυνην του βραχιονος σου. lxxviii.* 11. *ὁ Θεος καθηται επι θρονου ἁγιου αυτου. xlvi.* 8. *κατα το πληθος της μεγαλωσυνης. cl.* 2. *μη εὑρησομεν ανδρα τοιουτον ἑνα; 1 Mac. x.* 16. *Gen. xli.* 38. *Conf. Ephes. i.* 20. *Col. iii.* 1. *Mich. v.* 4.

2 *Των ἁγιων λειτουργος, και της σκηνης της αληθινης, ἡν επηξεν ὁ* Κυριος, *και ουκ ανθρωπος·*

και εκει τα σκευη τα ἁγια, και οἱ ἱερεις και οἱ λειτουργοι. Neh. x. 39. *Conf. Exod. xxviii.* 1. *ειπε* Κυριος *τῳ* Ιησου—*τῳ λειτουργῳ* Μωυση. *Jos. i.* 1. *Alex. ὡσει σκηναι, ἁς επηξε* Κυριος. *Num. xxiv.* 6. *Sap. iii.* 14. *ὁ ποιησας τον ουρανον, και πηξας αυτον. Esa. xlii.* 5. *ὁτι ουκ ανθρωπῳ ἡ οικοδομη, αλλ' η* Κυριῳ. 1 *Par. xxix.* 1. *Alex. Ald. Conf. cap. ix.* 8. 11. [*ὁ ναος ὁ ἁγιος. Test. XII Patr. p.* 550.] [*ἱερον καθαρωτατον. Philo. Grot. in loc.*] *ὁτι εκρυψε με εν σκηνῃ αυτου εν ἡμερᾳ κακων μου. Ps. xxvi.* 5. *αναστησω την σκηνην* Δαυιδ *την πεπτωκυιαν. Amos. ix.* 11. *Conf. Sir. xxiv.* 8. [*Philo, de Mund. Opific. passim.*] *ναος—μιμημα σκηνης ἁγιας ἡν προητοιμασας απ' αρχης. Sap. ix.* 8.

3 *Πας γαρ αρχιερευς εις το προσφερειν δωρα τε και θυσιας καθισταται· ὁθεν αναγκαιον εχειν τι και τουτον ὁ προσενεγκῃ.*

και αποστελει αυτοις ανθρωπον ὁς σωσει αυτους. Esa. xix. 20. *καθεστακαμεν σε σημερον αρχιερεα.* 1 *Mac. x.* 20. *καρπωμα προσφερει δωρον αυτου* Κυριῳ. *Lev. i.* 14. *Conf. Ephes. v.* 2. *Heb. v.* 1. *vii.* 27. *Lev. ix.* 4. *Neh. vii.* 65. *ὁθεν. Judith. viii.* 20.

4 Ει μεν γαρ ην επι γης, ουδ' αν ην ἱερευς, οντων των ἱερεων των προσφεροντων κατα τον νομον τα δωρα,

μνημοσυνον—ὁς ουκ εστιν εκ του σπερματος Ααρων, κ. τ. λ. Num. xvi. 40. xvii. 5-8. 2 Par. xxvi. 18, 19. Esd. iii. 2-3.

5 Οἱτινες ὑποδειγματι και σκιᾳ λατρευουσι των επουρανιων, καθως κεχρηματισται Μωσης μελλων επιτελειν την σκηνην, Ὁρα γαρ, φησι, ποιησης παντα κατα τον τυπον τον δειχθεντα σοι εν τῳ ορει.

ὑποδειγμα = ὁμοιωμα. Deut. iv. 17. Aq. [χρηματισαντος αυτῳ του Θεου. Jos. Ant. x. 1. 3.] κεχρηματισται. Conf. Act. x. 22. [ἡ δε Μωυσεως σκηνη συμβολικως ουσα ανθρωπου αρετη, κλησεως, ουκ ὑπαρξεως, αξιωθησεται μιμημα και απεικονισμα της θειας εκεινης ὑπαρχουσα. Philo, p. 143. σκηνη—της αρετης ασωματου συμβολον. de Temulent. p. 202. ὁρα—ποιησεις παντα κατα τον τυπον κ. τ. λ. 2 Alleg. p. 61. Edit. Col.] ὁρα, ποιησεις κατα τον τυπον τον δεδειγμενον σοι εν τῳ ορει. Exod. xxv. 40. συνετελεσθη παν εργον της σκηνης. xxxix. 32. Conf. Act. vii. 44. Col. ii. 17. Cap. x. 1. CITAT. 257.

6 Νυνι δε διαφορωτερας τετευχε λειτουργιας, ὁσῳ και κρειττονος εστι διαθηκης μεσιτης, ἡτις επι κρειττοσιν επαγγελιαις νενομοθετηται.

αγγελος διαθηκης. Mal. iii. 1. βοηθειας τετευχοτες. 3 Mac. v. 35. της ελευθεριας τευξεται. iii. 28. τετευχως σκιας. Job. vii. 2. ἡτις. Conf. Deut. v. 26. Jona. iv. 11. η ουχι κρειττων επιφυλλις Εφραϊμ η τρυγητος Αβιεζερ; Jud. viii. 2. διαφορος. Gen. i. 27. Sym. ουκ εφυλαξαν την διαθηκην του Θεου, και εν τῳ νομῳ αυτου ουκ ηθελον πορευεσθαι. Ps. lxxvii. 10. Conf. 2 Cor. iii. 6. Cap. vii. 22. [τῳ δε αρχαγγελῳ και πρεσβυτατῳ Λογῳ δωρεαν εξαιρετον εδωκεν ὁ τα ὁλα γεννησας πατηρ, ἱνα μεθοριος στας κ. τ. λ. Philo. p. 397. 398. Edit. Col. Conf. Kidder. de Messia. Vol. iii. cap. 5.] [τετευχε, Ἑλληνικως· τετυχηκε, Αττικως. Conf. Fisch. Prol. p. 680.] ου κατα την διαθηκην ἡν διεθεμην τοις πατρασιν αυτων, κ. τ. λ. Jer. xxxviii. 32. ειθε ην ὁ μεσιτης ἡμων, και ελεγχων, και διακουων αναμεσον αμφοτερων. Job. ix. 33. [το νομοθετητεν. Jos. Ant. iii. 15. 3.] [μετεγγυος, Αττικως· μεσιτης, Ἑλληνικως. Moeris.] και επεβλεψα, και ουκ ην βοηθος· και προσενοησα, και ουθεις αντελαμβανετο. και ερρυσατο αυτους ὁ βραχιων μου, κ. τ. λ. Esa. lxiii. 5.

7 Ει γαρ ἡ πρωτη εκεινη ην αμεμπτος, ουκ αν δευτερας εζητειτο τοπος.

και ουκ εδοθη αυτῳ τοπος. Sir. xiii. 22. Conf. Gal. iii. 21. Agg. ii. 7. Ezech. xx. 25. ἡ πρωτη εκεινη. Conf. Esd. iv. 15.

8 Μεμφομενος γαρ αυτοις λεγει, Ἰδου, ἡμεραι ερχονται, λεγει Κυριος, και συντελεσω επι τον οικον Ισραηλ και επι τον οικον Ιουδα διαθηκην καινην·

9 Ου κατα την διαθηκην ἡν εποιησα τοις πατρασιν αυτων, εν ἡμερᾳ επιλαβομενου μου της χειρος αυτων, εξαγαγειν αυτους εκ γης Αιγυπτου· ὁτι αυτοι ουκ ενεμειναν εν τῃ διαθηκῃ μου, καγω ημελησα αυτων, λεγει Κυριος.

10 Ὁτι αὑτη ἡ διαθηκη ἡν διαθησομαι τῳ οικῳ Ισραηλ μετα τας ἡμερας εκεινας, λεγει Κυριος, διδους νομους μου εις την διανοιαν αυτων, και επι καρδιας αυτων επιγραψω αυτους· και εσομαι αυτοις εις Θεον, και αυτοι εσονται μοι εις λαον.

11 Και ου μη διδαξωσιν ἑκαστος τον πλησιον αὑτου, και ἑκαστος τον αδελφον αὑτου, λεγων, Γνωθι τον Κυριον· ὁτι παντες ειδησουσι με απο μικρου αυτων ἑως μεγαλου αυτων,

12 Ὁτι ἱλεως εσομαι ταις αδικιαις αυτων, και των ἁμαρτιων αυτων και των ανομιων αυτων ου μη μνησθω ετι.

Ιδου ἡμεραι ερχονται, φησι Κυριος, και διαθησομαι τῳ οικῳ Ισραηλ και τῳ οικῳ Ιουδα διαθηκην καινην, ου κατα την διαθηκην ἡν διεθεμην τοις πατρασιν αυτων εν ἡμερᾳ κ. τ. λ. φησι Κυριος. διδους δωσω νομους μου, και επι καρδιας γραψω αυτους. και των ἁμαρτιων αυτων ου μη μνησθω ετι. Jer. xxxviii. 31-34. και ου μη διδαξωσιν ἑκαστος τον πολιτην αυτου κ. τ. λ. εγω Κυριος ὁ συντελων παντα. Esa. xliv. 24. και εσονται εμοι εις λαον, καγω εσομαι αυτοις εις Θεον εν αληθειᾳ και εν δικαιοσυνῃ. Zach. viii. 8. καταδυσει τας αδικιας ἡμων, και απορριφησονται εις τα βαθη της θαλασσης πασας τας ἁμαρτιας ἡμων. Mich. vii. 19. ὁτι ενεπλησθη ἡ συμπασα του γνωναι τον Κυριον, ὡς ὑδωρ πολυ κατακαλυψαι θαλασσας. Esa. xi. 9. Hab. ii. 14. CITAT. 258.

13 Εν τῳ λεγειν καινην, πεπαλαιωκε την πρωτην· το δε παλαιουμενον και γηρασκον, εγγυς αφανισμου.

εν τῳ λεγειν. = Ezech. x. 16, 17. ὁ παλαιων ορη. Job. ix. 5. επαλαιωσε σαρκα μου. Thren. iii. 4. γηρασκον. Job. xiv. 8. και εσται Βαβυλων εις αφανισμον. Jer. xxviii. 37. τα απ' αρχης ιδου ἡκασι, και καινα ἁ εγω αναγγελλω, και προ του αναγγειλαι εδηλωθη ὑμιν. Esa. xlii. 9. li. 6. xxii. 17-19. και δωσω αυτοις καρδιαν ἑτεραν, κ. τ. λ. Ezech. xi. 19. [τον νομον αφανιζειν. Test. XII Patr. p. 581.]

ΚΕΦ. θ. 9.

ΕΙΧΕ *μεν ουν και ἡ πρωτη σκηνη δικαιωματα λατρειας, το τε ἁγιον κοσμικον.*

και την σκηνην ποιησεις. Exod. xxvi. 1. *κοσμικος opponitur επουρανιῳ. Bretschn. Conf. cap. viii.* 5. *ταυτα δε δικαιωματα ὁσα ενετειλατο* Κυριος τῳ Μωυσῃ. *Num. xxx.* 17. *Conf.* 3 *Reg. vi. Exod. xxv.* 8. *xxxvi.* 8. *λατρευειν λατρειαν* Κυριου. *Jos. xxii.* 27. *Conf. Lev. xviii.* 3, 4. *Ezech. xliii.* 11.

2 *Σκηνη γαρ κατεσκευασθη ἡ πρωτη, εν ᾗ ἡ τε λυχνια και ἡ τραπεζα και ἡ προθεσις των αρτων, ἡτις λεγεται ἁγια.*

και ποιησεις λυχνιαν εκ χρυσιου καθαρου. Exod. xxv. 31. *xxxvi.* 1. *τραπεζαν εφ᾽ ἡς οἱ αρτοι της προθεσεως.* 3 *Reg. vii.* 48. *Comp. Lev. xxiv.* 6. *Num. iv.* 7. *ἁγια.* 3 *Reg. viii.* 6. *Conf. Ps. lxxii.* 17. *Lev. xxi.* 23. *στησεις την σκηνην του μαρτυριου. Exod. xl.* 2. [*αυτος* Μωυσης, *ὁτε την πρωτην σκηνην τῳ* Θεῳ *κατεσκευασε. Jos. c. Ap. ii.* 2. *λυχνοι δ᾽ επιφερονται αυταις ἑπτα κατα μιαν, των πλανητων τον αριθμον μεμιμημενοι, κ. τ. λ. Ant. iii.* 6. 7. *Bell. Jud. v.* 5.] [*Conf. Philo, de Vit. Mos. et de Hæred. rer. div. et de Monarch. passim.*]

3 Μετα *δε το δευτερον καταπετασμα σκηνη ἡ λεγομενη ἁγια ἁγιων,*

και ποιησεις καταπετασμα εξ ὑακινθου. Exod. xxvi. 31. *αναμεσον του ἁγιου και αναμεσον του ἁγιου των ἁγιων. xxvi.* 33. *Lev. xxiv.* 9. [*ὁ μεν πας νεος ἁγιον εκαλειτο· το δε αβατον του εντος των τεσσαρων κιονων, του ἁγιου το ἁγιον. Jos. Ant. iii.* 6. 4. *xiv.* 4. 4. *Bell. Jud. i.* 7. 6.]

4 *Χρυσουν εχουσα θυμιατηριον, και την κιβωτον της διαθηκης περικεκαλυμμενην παντοθεν χρυσιῳ, εν ᾗ σταμνος χρυση εχουσα το μαννα, και ἡ ῥαβδος* Ααρων *ἡ βλαστησασα, και αἱ πλακες της διαθηκης·*

εν τῃ χειρι αυτου θυμιατηριον. 2 *Par. xxvi.* 19. *Ezech. viii.* 11. *ἡ κιβωτος της διαθηκης. Num. x.* 33. *περικεκαλυμμενα χρυσιῳ. Exod. xxviii.* 20. *λαβε σταμνον χρυσουν ἑνα, και εμβαλε εις αυτον πληρες το γομορ του μαν. xvi.* 33-36. *εβλαστησεν ἡ ῥαβδος* Ααρων. *Num. xvii.* 8. *πλακες της διαθηκης.* 3 *Reg. viii.* 9. *Num. xvii.* 10. *Conf. Exod. xvi.* 33. 2 *Par. v.* 10. [*επι του χρυσου θυμιατηριου. Jos.*

Ant. iii. 6. 8. *Conf. iv.* 4. 2. *iv.* 8. 44.] [και την νομοφυλακιδα ἱεραν κιβωτον ενδοθεν και εξωθεν εχρυσωσε κ. τ. λ. *Philo, de Nom. p.* 584. ου γαρ απερισκεπτως ἡμιν την κιβωτον ενδοθεν τε και εξωθεν χρυσῳ περιαμπισχει. *de Temul. p.* 252.]

5 Ὑπερανω δε αυτης Χερουβιμ δοξης, κατασκιαζοντα το ἱλαστηριον· περι ὡν ουκ εστι νυν λεγειν κατα μερος.

και ποιησεις δυο χερουβιμ. *Exod. xxv.* 18. 3 *Reg. viii.* 7. και ἡ δοξα Θεου Ισραηλ επ' αυτα (χερουβιμ) ὑπερανω αυτων. *Ezech. xi.* 22. και ποιησεις ἱλαστηριον επιθεμα χρυσιου. *Exod. xxv.* 17. 21. ουκ εστιν (εξεστιν) εν ᾁδου ζητησαι τρυφην. *Sir. xiv.* 16. ουκ εσται ὑμιν αραι. 1 *Esd. i.* 4. ουκ εστιν ειπειν. *Sir. xxxix.* 21. συσκιαζειν. *Exod. xxv.* 20. *xxxvii.* 9. *Comp.* κατα μερος. *Prov. xxix.* 11. 2 *Mac. ii.* 30. *Conf. xv.* 31-34. *Lev. xvi.* 2. [*Jos. Ant. iii.* 6. 5. *viii.* 3. 3.] των λειτουργησιμων σκευων της λατρειας οικου Κυριου. 1 *Par. xxviii.* 13. λαλησω σοι ανωθεν του ἱλαστηριου αναμεσον των δυο χερουβιμ, των οντων επι της κιβωτου κ. τ. λ. *Exod. xxv.* 22. [*Laudat Philo de Profug. pp.* 363. 393. *Edit. Col.*]

6 Τουτων δε οὑτω κατεσκευασμενων, εις μεν την πρωτην σκηνην διαπαντος εισιασιν οἱ ἱερεις τας λατρειας επιτελουντες·

εισιοντι (Ααρων) εις το ἁγιον. *Exod. xxviii.* 29. *Comp. Num. xxviii.* 3. *Dan. viii.* 11. *Exod. xxix.* 36-40. φυλαξασθε την λατρειαν ταυτην. *Exod. xii.* 25. διαπαντος. *Conf. Deut. xxxiii.* 10. [ὁ τας πατριους ευχας και θυσιας επιτελων. *Philo, de Somn. p.* 653.]

7 Εις δε την δευτεραν ἁπαξ του ενιαυτου μονος ὁ αρχιερευς, ου χωρις αἱματος, ὁ προσφερει ὑπερ ἑαυτου και των του λαου αγνοηματων·

δια το μηδε τοις εκ του εθνους εξειναι εισιεναι, μηδε πασι τοις ἱερευσιν, αλλ' η μονῳ τῳ προηγουμενῳ παντων αρχιερει, και τουτῳ ἁπαξ κατ' ενιαυτον. 3 *Mac. i.* 11. εξιλασεται Ααρων—ἁπαξ του ενιαυτου. *Exod. xxx.* 10. *Lev. xvi.* 2. 34. και νυν δεσποτα Κυριε ει μεν εστιν αγνοημα εν τῳ λαῳ τουτῳ. *Judith. v.* 20. *Sir. xxiii.* 2. *Gen. xliii.* 12. μη με εκδικης ταις ἁμαρτιαις μου και τοις αγνοημασι μου. *Tob. iii.* 3. 1 *Mac. xiii.* 39. *Lev. iv.* 3. εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. χιμαρους ὑπερ ἁμαρτιας. 1 *Esd. vii.* 8. και προσεφερε περι αυτων θυσιας, κατα τον αριθμον αυτων, και μοσχον ἑνα περι ἁμαρτιας, περι των ψυχων αυτων. *Job. i.* 5. [θυσιαι ὑπομιμνησκουσι τας ἑκαστων αγνοιας τε και διαμαρτιας. *Philo, de plant. Noe. p.* 229.] και ποιησει ὁ αφηγουμενος εν εκεινῃ τῃ ἡμερᾳ ὑπερ αυτου, και του οικου, και ὑπερ παν-

τος του λαου της γης, μοσχον ὑπερ ἁμαρτιας. *Ezech. xlv.* 22. [ὁταν γαρ φησιν, εισιτη εις τα ἁγια των ἁγιων ὁ αρχιερευς, ανθρωπος ουκ εσται, κ. τ. λ. *Philo, de Som. pp.* 872. 880. *Edit. Col.*] *Conf. Lev. xvi.* 16, 17. και εξιλασεται το ἁγιον απο των ακαθαρσιων των υἱων Ισραηλ, και απο των αδικηματων αυτων κ. τ. λ.

8 Τουτο δηλουντος του Πνευματος του ἁγιου, μηπω πεφανερωσθαι την των ἁγιων ὁδον, ετι της πρωτης σκηνης εχουσης στασιν·

Conf. Joan. xiv. 6. *Cap. x.* 19, 20. ἑως αναστη ἱερευς τοις φωτιζουσι και τοις τελειοις. *Esd. ii.* 63. που εστιν ὁ θεις εν αυτοις το πνευμα το ἁγιον; *Esa. lxiii.* 11. και φανερωσω αυτοις—και ποιησω και ειρηνην και πιστιν. *Jer. xl.* 6. διοτι μεγαλη εσται ἡ δοξα του οικου τουτου, ἡ εσχατη ὑπερ την πρωτην, κ. τ. λ. *Agg. ii.* 10. και του χρισαι ἁγιον ἁγιων. *Dan. ix.* 24. [εκειτο δ' ουδεν ὁλως εν αυτῳ, αβατον δε και αχραντον και αθεατον ην πασιν, ἁγιου δε ἁγιον εκαλειτο. *Jos. Bell. Jud. v.* 5. 5. την δε τριτην μοιραν μονῳ περιεγραψε τῳ Θεῳ, δια το και τον ουρανον ανεπιβατον ειναι ανθρωποις. *Ant. iii.* 7. 7.] στασις. *Conf. Jos. iv.* 3. *Theod.*

9 Ἡτις παραβολη εις τον καιρον τον ενεστηκοτα, καθ' ὁν δωρα τε και θυσιαι προσφερονται μη δυναμεναι κατα συνειδησιν τελειωσαι τον λατρευοντα,

δια τον ενεστωτα χειμωνα. 1 *Esd. ix.* 9. 6. μιμημα σκηνης ἁγιας ἡν προητοιμασας απ' αρχης. *Sap. ix.* 8. [ἡ συνειδησις μου συνεχει με περι της ἁμαρτιας. *Test. XII Patr. p.* 627.] πονηρια—συνεχομενη τῃ συνειδησει. *Sap. xvii.* 11.

10 Μονον επι βρωμασι και πομασι και διαφοροις βαπτισμοις, και δικαιωμασι σαρκος, μεχρι καιρου διορθωσεως επικειμενα.

ποματα. *Esd. iii.* 7. *Ald.* εσπεισε το πομα τῳ Θεῳ. 4 *Mac.* 3. εφυλαξε τα προσταγματα μου, και τας εντολας μου, και τα δικαιωματα μου. *Gen. xxvi.* 5. και την βασιλειαν αυτου, κατορθωσαι αυτην, κ. τ. λ. *Esa. ix.* 7. των σοφων διορθωτης. *Sap. vii.* 15. εις καιρου περας. *Dan. viii.* 17. *Hab. ii.* 3. ἑως εαν ελθῃ τα αποκειμενα αυτῳ. *Gen. xlix.* 10. = χρονοι αποκαταστασεως παντων. *Act. iii.* 21. καιροι αναψυξεως. 19.

11 Χριστος δε παραγενομενος, αρχιερευς των μελλοντων αγαθων, δια της μειζονος και τελειοτερας σκηνης, ου χειροποιητου, τουτεστιν ου ταυτης της κτισεως,

ιδου ὁ σωτηρ σοι παραγινεται. *Esa. lxii.* 11. *Ald. Comp.* μεχρι του παραγενηθηναι προφητην. 1 *Mac. iv.* 46. τις οὑτος ὁ παραγε-

νομενος εξ Εδωμ; *Esa. lxiii.* 1. πατηρ του μελλοντος αιωνος. 9. *Alex. Ald. Comp.* τοτε ειπον, Ιδου ἡκω, κ. τ. λ. *Ps. xxxix.* 7. ἡ τα αγαθα μου οψομαι. *Job. xvii.* 15. τις δειξει ἡμιν τα αγαθα; *Ps. iv.* 6. μνησθητι ταυτης της κτισεως σου. *lxxiii.* 18. [ὁ προς αληθειαν Αρχιερευς, και μη ψευδωνυμος αμετοχος ἁμαρτηματων εστιν. *Philo, de Vict. p.* 562. λεγομεν γαρ τον αρχιερεα ουκ ανθρωπον, αλλα Λογον θειον ειναι, κ. τ. λ. *de Profug. p.* 364. *apud Kidder. vol.* 3. *pp.* 230, 231.]

12 Ουδε δι' αἱματος τραγων και μοσχων, δια δε του ιδιου αἱματος, εισηλθεν εφαπαξ εις τα ἁγια, αιωνιαν λυτρωσιν εὑραμενος.

ὑπο Κυριου σωτηριαν αιωνιον. *Esa. xlv.* 17. πλην ὁ Θεος λυτρωσεται την ψυχην μου εκ χειρος ᾁδου, ὁταν λαμβανῃ με. *Ps. xlviii.* 15. και πολλη παρ' αυτου λυτρωσις. *cxxix.* 7. ὁ Θεος ὁ ὑψιστος λυτρωτης αυτων εστι. *lxvii.* 35. αινειτε τον Θεον εν τοις ἁγιοις αυτου. *cl.* 1. εις τα ἁγια. *cxxxiii.* 2. *Amos. iv.* 2. αναβας εις ὑψος, κ. τ. λ. *Ps. lxvii.* 18. μη φαγομαι κρεα ταυρων, ἡ αἱμα τραγων πιομαι; *xlix.* 13. θυσιαν και προσφοραν ουκ ηθελησας, σωμα δε κατηρτισω μοι. κ. τ. λ. *xxxix.* 6. αγαγειν δικαιοσυνην αιωνιον κ. τ. λ. *Dan. ix.* 24. [ατενισωμεν εις το αἱμα του Χριστου, και ιδωμεν ὡς εστιν τιμιον τῳ Θεῳ, ὁ, τι δια την ἡμετεραν σωτηριαν εκχυθεν, παντι τῳ κοσμῳ μετανοιας χαριν ὑπηνεγκε. *Clem. Rom. i.* § 7.] [και αυτοι σωτηριαν εὑραντο. *Philo. p.* 276. *Mangey.*] εν τινι καταλαβω τον Κυριον, αντιληψομαι Θεου μου ὑψιστου; ει καταληψομαι αυτον εν ὁλοκαυτωμασιν, εν μοσχοις ενιαυσιοις; κ. τ. λ. *Mich. vi.* 6, 7. μηδε πασι τοις ἱερευσιν, αλλ' η μονῳ τῳ προηγουμενῳ παντων αρχιερει, και τουτῳ ἁπαξ κατ' ενιαυτον. 3 *Mac. i.* 11.

13 Ει γαρ το αἱμα ταυρων και τραγων και σποδος δαμαλεως ῥαντιζουσα τους κεκοινωμενους ἁγιαζει προς την της σαρκος καθαροτητα,

σποδον της δαμαλεως—ὑδωρ ῥαντισμου ἁγνισμα εστι. *Num. xix.* 9, 10. αἱμα ταυρων και τραγων. *Esa. i.* 11. εγω Κυριος ὁ ἁγιαζων ὑμας. *Lev. xx.* 8. και ἁγιασθησεσθε, και ἁγιοι εσεσθε. *xi.* 44. του διαστελλειν του ἁγιου και του κοινου. *Ezech. xlii.* 20. *alii.* [*Schleusn. V. T. Lex.*] καθαροτης. *Ps. lxxxviii.* 43. *Sym. Conf. Num. xix.* 12-17. [*Jos. Ant. iv.* 4. 6. *Philo, de Victim. pass.*]

14 Ποσῳ μαλλον το αἱμα του Χριστου, ὁς δια Πνευματος αιωνιου ἑαυτον προσηνεγκεν αμωμον τῳ Θεῳ, καθαριει την συν-

ειδησιν ὑμων απο νεκρων εργων εις το λατρευειν Θεῳ ζωντι;

αιωνιος γαρ εστιν ὁ επανω βροτων. *Job. xxxiii.* 12. παντα ὁσα αν εχῃ μωμον εν αυτῳ ου προσαξουσι Κυριῳ, διοτι ου δεκτον εσται ὑμιν. *Lev. xxii.* 20. *Conf.* 1 *Thess. i.* 9. ὁτι ανομιαν ουκ εποιησεν, ουδε δολον εν τῳ στοματι αυτου. *Esa. liii.* 9. καθαρισμῳ ου καθαριει τον ενοχον. *Num. xiv.* 18. και λατρευσετε τῳ Θεῳ εν τῳ ορει τουτῳ. *Exod. iii.* 12. *Conf. Luc. i.* 75. *Rom. vi.* 13. *Ephes. v.* 2. *Gal. i.* 4. ῥαντιεις με ὑσσωπῳ, και καθαρισθησομαι. κ.τ.λ. *Ps. l.* 7. εαν δε ῃ εν αυτῳ μωμος, χωλον ἠ τυφλον, μωμον πονηρον, ου θυσεις αυτο Κυριῳ τῳ Θεῳ σου. *Deut. xv.* 21. *xvii.* 1. [αμωμον και καλλιστον ἱερειον οισει Θεῳ, πιστιν εν ου θνητων ἑορταις. *Philo, de Cherub. p.* 122.]

15 Και δια τουτο διαθηκης καινης μεσιτης εστιν, ὁπως θανατου γενομενου, εις απολυτρωσιν των επι τῃ πρωτῃ διαθηκῃ παραβασεων, την επαγγελιαν λαβωσιν οἱ κεκλημενοι της αιωνιου κληρονομιας.

μεσιτης. *Conf. cap. viii.* 6. *Job. ix.* 33. απολυτρωσει αυτην. *Exod. xxi.* 8. ελυτρωσαμην σε—εμος συ ει. *Esa. xliii.* 1. εγω Κυριος ὁ Θεος εκαλεσα σε εν δικαιοσυνῃ. *xlii.* 6. και κληρονομησουσιν οἱ εκλεκτοι μου. *lxv.* 9. ἱνα την κληρονομιαν αυτου συγκληρονομησῃς. *Sir. xxii.* 23. *Comp.* ιδου ἡμεραι ερχονται—και διαθησομαι —διαθηκην καινην. *Jer. xxxviii.* 31. και συ εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους σου—καθησεσθε εν οχυρωμασι δεσμιοι της συναγωγης. *Zach. ix.* 11, 12. γινωσκει Κυριος τας ὁδους των αμωμων, και ἡ κληρονομια αυτων εις τον αιωνα εσται. *Ps. xxxvi.* 18. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32.

16 Ὁπου γαρ διαθηκη, θανατον αναγκη φερεσθαι του διαθεμενου·

εγω αποθνησκω—εγω δε διδωμι σοι Σικιμα κ. τ. λ. *Gen. xlviii.* 21, 22. ὁπου. *Prov. xxvi.* 20. [φερεσθαι, *narrare. Jos. c. Ap. i.* 27. *Ant. xvii.* 5. 4.] [Αἱ Διαθηκαι των ιβ. Πατριαρχων. *pass.*]

17 Διαθηκη γαρ επι νεκροις βεβαια, επει μη ποτε ισχυει ὁτε ζῃ ὁ διαθεμενος;

[Τεκνια μου εγω αποθνησκω, και πορευομαι ὁδον πατερων μου. *Test. Reuben.* κ. τ. λ.]

18 Ὁθεν ουδ' ἡ πρωτη χωρις αἱματος εγκεκαινισται.

και εγκαινισωμεν εκει την βασιλειαν. 1 *Reg. xi.* 14. *Deut. xx.* 5. *Joan. xvii.* 19. αναβωμεν καθαρισαι τα ἁγια και εγκαινισαι. 1 *Mac. iv.* 36. 3 *Reg. viii.* 64. το γαρ αἱμα αυτου αντι ψυχης εξιλασεται. *Lev. xvii.* 11.

19 Λαληθεισης γαρ πασης εντολης κατα νομον ὑπο Μωϋσεως
παντι τῳ λαῳ, λαβων το αἱμα των μοσχων και τραγων,
μετα ὑδατος και εριου κοκκινου και ὑσσωπου, αυτο τε το βι-
βλιον και παντα τον λαον ερῤαντισε,

20 Λεγων, Τουτο το αἱμα της διαθηκης ἡς ενετειλατο προς
ὑμας ὁ Θεος.

και ληψονται—ξυλον κεδρινον, και κεκλωσμενον κοκκινον, και ὑσσωπον. κ. τ. λ. Lev. xiv. 4-6. xlix. 52. xvi. 14. 18. [Conf. Jos. Ant. iv. 4. 6.] και λαβων το βιβλιον της διαθηκης, ανεγνω εις τα ωτα του λαου, και ειπαν, Παντα ὁσα ελαλησε Κυριος ποιησομεν και ακουσομεθα. Λαβων δε Μωυσης το αἱμα κατεσκεδασε του λαου, και ειπεν, Ιδου το αἱμα της διαθηκης ἡς διεθετο Κυριος προς ὑμας. Exod. xxiv. 6-8. Conf. Exod. xii. 22. Ps. l. 7. Matt. xxvi. 28. [Conf. Jos. Ant. iv. 4. 6.] CITAT. 259.

21 Και την σκηνην δε και παντα τα σκευη της λειτουργιας
τῳ αἱματι ὁμοιως ερῤαντισε.

παντα τα σκευη τα λειτουργικα. Num. iv. 12. και εχρισε την σκηνην και παντα τα σκευη αυτης και ἡγιασεν αυτην. Lev. viii. 10, 11. και προσχεουσι το αἱμα επι το δυσιαστηριον κυκλῳ το επι των θυρων της σκηνης. i. 5. και ὁ περιῤῥαινων ὑδωρ ῥαντισμου, πλυνει τα ἱματια κ. τ. λ. Num. xix. 21. Conf. Ezech. xliii. 18-26. [κα᾽κ του αἱματος των τεθυμενων, την τε στολην του Ααρωνος και αυτον, συν τοις παισιν ερῤαινεν, αφαγνισας πηγαιοις τε ὑδασιν και μυρῳ, ἱνα του Θεου γιγνοιντο, κ. τ. λ. Jos. Ant. iii. 8. 6.]

22 Και σχεδον εν αἱματι παντα καθαριζεται κατα τον νομον,
και χωρις αἱματεκχυσιας ου γινεται αφεσις.

εδωκεν αυτοις—αφεσιν. 1 Esd. iv. 62. 1 Mac. x. 34. θυσιων αἱμα. Prov. xxi. 3. εν αἱματι διαθηκης σου. Zach. ix. 11. και εγω δεδωκα αυτο (αἱμα) ὑμιν επι του θυσιαστηριου εξιλασκεσθαι περι των ψυχων ὑμων, το γαρ αἱμα αυτου αντι ψυχης εξιλασεται. Lev. xvii. 11. Num. xxxi. 23. Lev. iv. 20. v. 10. σχεδον. 2 Mac. v. 2.

23 Αναγκη ουν τα μεν ὑποδειγματα των εν τοις ουρανοις του-
τοις καθαριζεσθαι· αυτα δε τα επουρανια κρειττοσι θυσιαις
παρα ταυτας.

διατι σου ερυθρα τα ἱματια, κ. τ. λ. Esa. lxiii. 12. παρα ταυτας. Conf. Sir. xv. 5. ὑποδειγμα. Deut. iv. 17. Aq.

24 Ου γαρ εις χειροποιητα ἁγια εισηλθεν ὁ Χριστος, αντιτυπα

των αληθινων, αλλ' εις αυτον τον ουρανον, νυν εμφανισθηναι τῳ προσωπῳ του Θεου ὑπερ ἡμων·

εμφανισον μοι σεαυτον· γνωστως ἱνα ιδω σε. *Exod.* xxxiii. 23. προφθασωμεν το προσωπον αυτου εν εξομολογησει. *Ps.* xciv. 2. πληρωσεις με ευφροσυνης μετα του προσωπου σου. xv. 11. μη οφθῃς εν προσωπῳ Κυριου κενος. *Sir.* xxxii. 4. χειροποιητα. *Conf. Dan.* ii. 45. ὑπερ ἡμων. *Conf. Rom.* viii. 34. *Heb.* vii. 25. αναβας εις ὑψος, κ. τ. λ. *Ps.* lxvii. 18. συ δε Κυριε αντιληπτωρ μου ει. iii. 3. cxviii. 114. [λειτουργος του προσωπου του Θεου (*summus sacerdos.*) *Test. XII Patr.* p. 549.] θυσιαστηριον, μιμημα σκηνης ἁγιας ην προητοιμασας απ' αρχης. *Sap.* ix. 8. [τα αδυτα της σκηνης απερ εστι συμβολικως νοητα. *Philo. de Vit. Mos.*] [τα αντιτυπα μυστηρια του σωματος και αἱματος του Χριστου. *Constitut. Apost.* v. 13.] [*Conf. Jos. Ant.* iii. 6. 4.]

25 *Ουδ' ἱνα πολλακις προσφερῃ ἑαυτον, ὡσπερ ὁ αρχιερευς εισερχεται εις τα ἁγια κατ' ενιαυτον εν αἱματι αλλοτριῳ·*

και τουτῳ απαξ κατ' ενιαυτον. 3 *Mac.* i. 11. και προσεφερε περι αυτων θυσιας. *Job.* i. 5. *Lev.* ii. 8. 14. *Conf. Exod.* xxx. 10. *Lev.* xvi. 2. 34. και εσται ἱερευς εκ δεξιων αυτου, κ. τ. λ. *Zach.* vi. 13. και εισελθετε εις το ἁγιασμα αυτου. 2 *Par.* xxx. 8.

26 *(Επει εδει αυτον πολλακις παθειν απο καταβολης κοσμου·) νυν δε ἁπαξ επι συντελειᾳ των αιωνων, εις αθετησιν ἁμαρτιας, δια της θυσιας αὑτου πεφανερωται.*

τα χειριστα παθων. 2 *Mac.* ix. 28. ταδε λεγει Κυριος, Ετι ἁπαξ, κ. τ. λ. *Agg.* ii. 7. ἑως καιρου συντελειας. *Dan.* xii. 4. εις αναπληρωσιν συντελειας—εις συντελειαν ἡμερων. 13. καταβολη. 2 *Mac.* ii. 29. κτισασα τον κοσμον. *Sap.* xi. 17. του συντελεσθηναι ἁμαρτιαν, και του σφραγισαι ἁμαρτιας, κ. τ. λ. *Dan.* ix. 24. ὡς προβατον επι σφαγην ηχθη—απο των ανομιων του λαου μου ηχθη εις θανατον—και δια τας ανομιας αυτων παρεδοθη. *Esa.* liii. 3-12. [ἑως συντελειας των αιωνων. *Test. XII Patr.* p. 747. εδει ἱνα επι ξυλον παθῃ. *Barn. Epist.* § 5.]

27 *Και καθ' ὁσον αποκειται τοις ανθρωποις ἁπαξ αποθανειν, μετα δε τουτο κρισις,*

και συ Ιουδα αποκειται θερισμος. *Ose.* vi. 11. *Sym.* μη ουχι τουτο αποκειται παρ' εμοι, και εσφραγισται εν τοις θησαυροις μου; *Deut.* xxxii. 34. *Sym.* ὑμιν το αποθανειν αποκειται. 4 *Mac.* 8. εμβλεπων τοις μετ' ευσεβειας κοιμωμενοις καλλιστον αποκειμενον

χαριστηριον. 2 Mac. xii. 45. Conf. Gen. iii. 19. Eccles. iii. 20. xi. 9. συμπαν το ποιημα ὁ Θεος αξει εν κρισει,—εαν αγαθον και εαν πονηρον. xii. 14.

28 Οὑτως ὁ Χριστος ἁπαξ προσενεχθεις εις το πολλων ανενεγκειν ἁμαρτιας, εκ δευτερου χωρις ἁμαρτιας οφθησεται, τοις αυτον απεκδεχομενοις εις σωτηριαν.

αυτος ἁμαρτιας πολλων ανηνεγκε. Esa. liii. 12. οὑτος τας ἁμαρτιας ἡμων φερει. 4. και τας ἁμαρτιας αυτων αυτος ανοισει. 11. εκ δευτερου. Jos. v. 2. Jer. i. 13. εγενετο μοι εις σωτηριαν. Exod. xv. 2. οφθησεται εν τῃ δοξῃ αυτου. Ps. ci. 16. Esa. xxxiii. 7. Sym. Theod. ὁτι σημερον Κυριος *οφθησεται εν ὑμιν. Lev. ix. 4. και ερουσι τῃ ἡμερᾳ εκεινῃ,* Ιδου *ὁ Θεος ἡμων εφ' ᾡ ηλπιζομεν, και σωσει ἡμας. κ. τ. λ. Esa. xxv. 9. και επιβλεψονται προς με, ανθ' ὡν κατωρχησαντο. Zach. xii. 10. την σωτηριαν περιμενων* Κυριου. *Gen. xlix. 18.*

ΚΕΦ. ι. 10.

ΣΚΙΑΝ γαρ εχων ὁ νομος των μελλοντων αγαθων, ουκ αυτην την εικονα των πραγματων, κατ' ενιαυτον ταις αυταις θυσιαις, ἁς προσφερουσιν εις το διηνεκες, ουδεποτε δυναται τους προσερχομενους τελειωσαι.

απαυγασμα γαρ εστι φωτος αϊδιου και εσοπτρον—και εικων της αγαθοτητος αυτου. Sap. vii. 26. κατ' ενιαυτον. Cap. ix. 25. εις το διηνεκες. Ps. xlvii. 14. Sym. Conf. Col. ii. 17. Cap. viii. 5. Exod. xxv. 40. xxvi. 30. ου προσελευσεται προσφερειν τα δωρα του Θεου αυτου. Lev. xxi. 17. 21. ει προσδεξεται Κυριος *εν χιλιασι κριων, η εν μυριασι χιμαρων πιονων; κ. τ. λ. Mich. vi. 7. [εκεινος γαρ τας σκιας πλαττει, καθαπερ οἱ ζωγραφουντες. Philo, de Plant. Noe. p. 218. Edit. 1640.] θυσια τελειωσεως. Exod. xxix. 34. 2 Mac. ii. 9. [τελειωσεις· ἁγιασεις. Hesych.]*

2 Επει ουκ αν επαυσαντο προσφερομεναι, δια το μηδεμιαν εχειν ετι συνειδησιν ἁμαρτιων τους λατρευοντας, ἁπαξ κεκαθαρμενους;

επαυσαντο οικοδομουντες. Gen. xi. 8. = δια το προσκεισθαι αυτον. Deut. i. 36. και τας ἁμαρτιας σου περικαθαριει. Esa. vi. 7. Deut. xxx. 6. και προσοισει την θυσιαν, κ. τ. λ. Lev. ii. 8. πονηρια—συνεχομενη τῃ συνειδησει. Sap. xvii. 11. Job. xxvii. 6. [ου

λυσιν ἁμαρτηματων, αλλ᾽ ὑπομνησιν εργαζονται. Philo, Vit. Mos. p. 518. *Edit. Col.*]

3 Αλλ᾽ εν αυταις αναμνησις ἁμαρτιων κατ᾽ ενιαυτον·

θυσια μνημοσυνου, αναμιμνησκουσα ἁμαρτιαν. Num. v. 15. [*Laudat Philo, de Plant. p.* 345. *Mangey.*]

4 Αδυνατον γαρ αἱμα ταυρων και τραγων αφαιρειν ἁμαρτιας.

αἱμα ταυρων και τραγων. Esa. i. 11. *περιειλε* Κυριος *τα αδικηματα σου. Soph. iii.* 16. *ουδε εν πληθει θυσιων εξιλασκεται ἁμαρτιας. Sir. xxxi.* 19. Κυριος *αφειλε τας ἁμαρτιας αυτου. xlvii.* 11. Κυριος ὁ Θεος—*αφαιρων ανομιας και αδικιας και ἁμαρτιας. Exod. xxxiv.* 7. *Esa. xxvii.* 9. *ουκ επι ταις θυσιαις σου ελεγξω σε, κ. τ. λ. Ps. xlix.* 8-12. *τι μοι πληθος των θυσιων ὑμων; κ. τ. λ. Esa. i.* 11-15.

5 Διο εισερχομενος εις τον κοσμον λεγει, Θυσιαν και προσφοραν ουκ ηθελησας, σωμα δε κατηρτισω μοι·

6 Ὁλοκαυτωματα και περι ἁμαρτιας ουκ ευδοκησας·

7 Τοτε ειπον, Ιδου, ἡκω, (εν κεφαλιδι βιβλιου γεγραπται περι εμου), του ποιησαι, ὁ Θεος, το θελημα σου.

[*κεφαλις βιβλιου· ὁπερ τινες εἱλημα φασι. Suid.* מגלת ספר *Conf. Esd. vi.* 2.] *εισηλθεν εις κοσμον. Sap. xiv.* 14. *θυσιαν και προσφοραν κ. τ. λ. Ps. xxxix.* 6. *σωμα δε κατηρτισω μοι. Conf. Phil. ii.* 7. *μορφην δουλου λαβων, κ. τ. λ. τα σωματα (mancipia). Tob. x.* 11. 2 *Mac. viii.* 11. *Apoc. xviii.* 13. *Conf. Exod. xxi.* 6. *Deut. xv.* 17. *CITAT.* 260.

8 Ανωτερον λεγων, ὁτι, Θυσιαν και προσφοραν και ὁλοκαυτωματα και περι ἁμαρτιας ουκ ηθελησας ουδε ευδοκησας, (αἱτινες κατα τον νομον προσφερονται,)

ανωτερον. Lev. xi. 21. *κατα τον νομον* Μωυσῃ. *Tob. vi.* 12. —*ὁτι (nimirum, viz.) Gen. xxix.* 33. *Jos. ii.* 24. 1 *Reg. i.* 20. *Jer. viii.* 8. *xliv.* 19. *Sir. xv.* 12. *xvi.* 17. [*Hoogev. p.* 582. *Buttm.* § 149. *Matth.* § 624.]

9 Τοτε ειρηκεν, Ιδου, ἡκω του ποιησαι, ὁ Θεος, το θελημα σου. Αναιρει το πρωτον, ἱνα το δευτερον στησῃ·

διαθηκη αιρεται. Esa. xxxiii. 8. *στησω τον ὁρκον μου. Gen. xxvi.* 3. *εστησε* Κυριος *τον λογον αυτου. Bar. ii.* 1. [*ἡ ταπεινωσις αναιρει το μισος—ἡ κατα θεον αληθης μετανοια αναιρει την απειθειαν. Test. XII Patr. p.* 681.]

10 Εν ῳ θεληματι ἡγιασμενοι εσμεν, οἱ δια της προσφορας του σωματος του Ιησου Χριστου εφαπαξ.

εγω Κυριος ὁ ἁγιαζων αυτους. *Ezech. xx.* 12. εν τουτοις το θελημα μου, λεγει Κυριος. *Jer. ix.* 24. κατα το θελημα αυτου ποιει. *Dan. iv.* 32. *Conf. cap. ix.* 12. εγω ειμι εγω ειμι ὁ εξαλειφαν τας ανομιας σου ἑνεκεν εμου, κ. τ. λ. *Esa. xliii.* 25. *xliv.* 22. οἱ ἡγιασμενοι. *Deut. xxxiii.* 3. 2 *Par. xxvi.* 18. *Conf. Joan. i.* 13. *xvii.* 17. *Rom. xv.* 16. εν προσφορᾳ αρνος γαλαθηνου. *Sir. xlvi.* 16.

11 Και πας μεν ἱερευς ἑστηκε καθ' ἡμεραν λειτουργων, και τας αυτας πολλακις προσφερων θυσιας, αἱτινες ουδεποτε δυνανται περιελειν ἁμαρτιας·

παρεσταναι εναντι Κυριου, λειτουργειν. *Deut. x.* 8. οἱ λειτουργουντες θυσιαστηριῳ. *Joel. i.* 9. λειτουργειν αυτῳ ἁμα και ἱερατευειν. *Sir. xlv.* 15. περιειλε Κυριος τα αδικηματα σου κ. τ. λ. *Sophon. iii.* 15. *Ps. cxviii.* 39. ὁ προσφερων θυσιαν. *Lev. vii.* 19. και ουκ ηδυναντο οἱ ἱερεις στηκειν λειτουργειν. 3 *Reg. viii.* 11. *Conf. Num. xxviii.* 3. και ταυτα εστιν, ἁ ποιησεις εστι του θυσιαστηριου· αμνους ενιαυσιους αμωμους δυο την ἡμεραν επι το θυσιαστηριον ενδελεχως, κ. τ. λ. *Exod. xxix.* 38.

12 Αυτος δε μιαν ὑπερ ἁμαρτιων προσενεγκας θυσιαν εις το διηνεκες, εκαθισεν εν δεξιᾳ του Θεου,

και προσηνεγκαν—χιμαρους ὑπερ ἁμαρτιας παντος του Ισραηλ. 1 *Esd. vii.* 7, 8. καθου εκ δεξιων μου. *Ps. cix.* 1. διηνεκες. *sup. vii.* 3. *Conf. Act. ii.* 34. 1 *Cor. xv.* 25. *Rom. viii.* 34.

13 Το λοιπον εκδεχομενος ἑως τεθωσιν οἱ εχθροι αυτου ὑποποδιον των ποδων αυτου.

εις το λοιπον. 2 *Mac. xi.* 19. ιδου εξεδεξαμην τους λογους ὑμων. *Job. xxxii.* 11. *Theod.* ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *Ps. cix.* 1. *Dan. ii.* 44. *Cap. i.* 13. [*Citat.* 245.]

12, 13.] *Conf. Col. iii.* 1. και εδειξε μοι Κυριος τον Ιησουν τον ἱερεα τον μεγαν ἑστωτα προ προσωπου αγγελου Κυριου, κ. τ. λ. *Zach. iii.* 1. αυτος δε. *Conf. cap. xiii.* 5. *Matt. i.* 21.

14 Μιᾳ γαρ προσφορᾳ τετελειωκεν εις το διηνεκες τους ἁγιαζομενους.

εν τῃ ἡμερᾳ εκεινῃ εσται πηγη διανοιγομενη—και τοις καθημενοις εν Ἱερουσαλημ εις περι ἁμαρτισμον, και εις περι ῥαντισμον. *Zach. xiii.* 1. *Sym. Theod. Aq.* και του εξιλασασθαι αδικιας, και του αγαγειν δικαιοσυνην αιωνιον, κ. τ. λ. *Dan. ix.* 24.

15 Μαρτυρει δε ἡμιν και το Πνευμα το ἁγιον· μετα γαρ το προειρηκεναι,

και το πνευμα σου το αγαθον εδωκας συνετισαι αυτους. Neh. ix. 20. ὁ προειρημενος Σιμων. 2 Mac. iv. 1.

16 Αὑτη ἡ διαθηκη, ἡν διαθησομαι προς αυτους μετα τας ἡμερας εκεινας, λεγει Κυριος, διδους νομους μου επι καρδιας αυτων, και επι των διανοιων αυτων επιγραψω αυτους·

17 Και των ἁμαρτιων αυτων και των ανομιων αυτων ου μη μνησθω ετι.

[Conf. cap. viii. 8-12. CITAT. 258.]

18 Ὁπου δε αφεσις τουτων, ουκ ετι προσφορα περι ἁμαρτιας.

ὁπου. Prov. xxvi. 20. αδελφῳ σου αφεσιν ποιησεις του χρεους σου. Deut. xv. 3. θυσιαν και προσφοραν ουκ ηθελησας. Ps. xxxix. 6. και προσεφερε περι αυτων θυσιας, κατα τον αριθμον αυτων, και μοσχον ἑνα περι ἁμαρτιας περι των ψυχων αυτων. Job. i. 5.

19 Εχοντες ουν, αδελφοι, παῤῥησιαν εις την εισοδον των ἁγιων εν τῳ αἱματι Ιησου,

εισοδος εις τον βιον. Sap. vii. 6. οὑτοι εισελευσονται εις τα ἁγια μου, κ. τ. λ. Ezech. xliv. 16, 17. εν αἱματι διαθηκης. Zach. ix. 11. στησεται εν παῤῥησιᾳ πολλῃ ὁ δικαιος. Sap. v. 1.

20 Ἡν ενεκαινισεν ἡμιν ὁδον προσφατον και ζωσαν, δια του καταπετασματος, τουτεστι της σαρκος αὑτου,

τις ὁ ανθρωπος ὁ οικοδομησας οικιαν καινην, και ουκ ενεκαινισεν αυτην; Deut. xx. 5. το λογιον σου εζησε με. Ps. cxviii. 50. καταπετασμα. Conf. Exod. xxvi. 31. xxxvi. 35. Edit. Francof. προσφατον. Eccles. i. 9. [οργης προσφατου. Jos. Ant. i. 18. 3.] Conf. Joan. x. 7. xiv. 6.

21 Και ἱερεα μεγαν επι τον οικον του Θεου,

ἱερευς ὁ μεγας. Num. xxxv. 25. 28. εν τῳ οικῳ Θεου. Ps. lxxxiii. 10. Conf. iv. 14. 16. 1 Tim. iii. 15. Ιδου ανηρ, Ανατολη—και οικοδομησει τον οικον Κυριου—και εσται ἱερευς κ. τ. λ. Zach. vi. 12, 13. ἡγουμενος οικου του Θεου. 1 Par. ix. 11.

22 Προσερχωμεθα μετα αληθινης καρδιας εν πληροφοριᾳ πιστεως, ἐῤῥαντισμενοι τας καρδιας απο συνειδησεως πονηρας,

και μη ευχου, και μη προσελθῃς μοι περι αυτων. Jer. vii. 16. προσελθε προς το θυσιαστηριον. Lev. ix. 7. δια τουτο επληροφορηθη καρδια υἱων του ανθρωπου. Eccles. viii. 11. εμπιστευσατε—

και εμπιστευθησεσθε. 2 Par. xx. 20. ῥαντιεις με ὑσσωπῳ, και καθαρισθησομαι. Ps. l. 7. επορευθην ενωπιον σου μετα αληθειας εν καρδιᾳ αληθινῃ. Esa. xxxviii. 3. ειπον τῃ ψυχῃ μου, Σωτηρια σου εγω ειμι. Ps. xxxiv. 3. Conf. Ephes. iii. 12. Jac. i. 6. 1 Joan. iii. 21. και ῥανω εφ' ὑμας καθαρον ὑδωρ, και καθαρισθησεσθε απο πασων των ακαθαρσιων ὑμων, κ. τ. λ. Ezech. xxxvi. 25. συνειδησις. Eccles. x. 20. Sap. xvii. 11. και ῥανει τῳ δακτυλῳ επι το ἱλαστηριον κ. τ. λ. Lev. xvi. 14, 15. 17. Conf. Sap. iii. 9.

23 Και λελουμενοι το σωμα ὑδατι καθαρῳ. Κατεχωμεν την ὁμολογιαν της ελπιδος ακλινη, (πιστος γαρ ὁ επαγγειλαμενος·)

και ῥανω εφ' ὑμας καθαρον ὑδωρ, και καθαρισθησεσθε κ. τ. λ. Exod. xxxvi. 25. και λουσεται το σωμα αυτου ὑδατι. Lev. xvi. 24. 26. 28. [ὁρκος εστω βεβαιος, ακλινης. Philo, p. 270.] κατεχετω λογους μου ἡ καρδια σου. Prov. iv. 4. Sym. ακλινης. Job. xli. 14. Sym. Conf. 1 Cor. i. 8. 1 Thess. v. 24. Tit. i. 2. ποιησομεν τας ὁμολογιας ἡμων ἁς ὡμολογηκαμεν. Jer. li. 25. πολλη ἡ πιστις σου—μερις μου Κυριος—δια τουτο ὑπομενω αυτῳ. Thren. iii. 23, 24.

24 Και κατανοωμεν αλληλους εις παροξυσμον αγαπης και καλων εργων,

αυτοι δε κατενοησαν, και επειδον με. Ps. xxi. 17. ισθι μη εκλυομενος, παροξυνε δε και τον φιλον σου. Prov. vi. 3. xxvii. 17. εμνησθην ελεους νεοτητος σου, και αγαπης τελειωσεως σου, κ. τ. λ. Jer. ii. 2.

25 Μη εγκαταλειποντες την επισυναγωγην ἑαυτων, καθως εθος τισιν, αλλα παρακαλουντες· και τοσουτῳ μαλλον, ὁσῳ βλεπετε εγγιζουσαν την ἡμεραν.

ἑως αν συναγαγῃ επισυναγωγην του λαου. 2 Mac. ii. 7. οἱ μη τιμωντες συνεδρια. Prov. xv. 22. Ps. xxv. 8. lxxxiii. 1, 2. εν πληθει πρεσβυτερων στηθι, και τις σοφος; αυτῳ προσκολληθητι. Sir. vi. 34. Conf. Ps. xxxiii. 3. εν εκκλησιαις ευλογησω σε Κυριε. xxv. 12. xxxiv. 18. ευφρανθην επι τοις ειρηκοσι μοι, Εις οικον Κυριου πορευσομεθα. cxxi. 1. ἱνατι εγκατελιπες με; xxi. 1. Esa. i. 8. ὡς εθος εστι. 2 Mac. xiii. 14. ηγγικεν ὁ καιρος ἡμων. Thren. iv. 18. ασεβες εθος. Sap. xiv. 16. Ιδου ἡ ἡμερα. Ezech. vii. 12.

26 Ἑκουσιως γαρ ἁμαρτανοντων ἡμων μετα το λαβειν την επιγνωσιν της αληθειας, ουκ ετι περι ἁμαρτιων απολειπεται θυσια·

ἑκουσιως, (*deliberato consilio*). *Conf. Ps. liii.* 6. 2 *Mac. xiv.* 3. ει δε και ἁμαρτων ακουσιως εκρυψα την ἁμαρτιαν μου. *Job. xxxi.* 33. ουκ αφεθησεται ὑμιν αὑτη ἡ ἁμαρτια, ἑως αν αποθανητε. *Esa. xxii.* 14. ἑως ουκ ην ιαμα. 2 *Par. xxxvi.* 16. ου γαρ λαος εστιν εχων συνεσιν, διατουτο ου μη οικτειρησῃ ὁ ποιησας αυτους, ουδε ὁ πλασας αυτους ου μη ελεησῃ. *Esa. xxvii.* 11.

27 Φοβερα δε τις εκδοχη κρισεως, και πυρος ζηλος εσθιειν μελλοντος τους ὑπεναντιους.

σκληρος ὡς ᾁδης ζηλος. *Cant. viii.* 6. εν πυρι ζηλου. *Sophon. i.* 18. φοβερος και επιφανης εστιν εξ αυτου το κριμα. *Hab. i.* 7. ἡ οργη του θυμου ὡς πυρ εδεται. *Esa. xxx.* 27. *Conf. Sap. xvii.* 5. 21. *Jer. v.* 14. εκδικων Κυριος μετα θυμου, εκδικων Κυριος τους ὑπεναντιους αυτου. *Nah. i.* 2. [συγγνωναι δεομενος ὁτι αγνοιας, αλλ' ου καθ' ἑκουσιον γνωμην ἁμαρτανει. *Philo, Vit. Mos. p.* 123.] *Conf. Num. xvi.* 35. *Lev. x.* 2. και κατακαυσει πυρ τους ὑπεναντιους. *Esa. lxiv.* 2. *Conf. Ezech. xxxvi.* 5. *Sophon. iii.* 8. *Sap. xii.* 27. φοβερον το ονομα αυτου. *Ps. cx.* 9. 2 *Pet. ii.* 3.

28 Αθετησας τις νομον Μωσεως, χωρις οικτιρμων επι δυσιν η τρισι μαρτυσιν αποθνησκει·

αθετουντες τον νομον. *Esa. xxiv.* 16. *Ezech. xxii.* 26. 1 *Mac. xiv.* 45. επι δυσι μαρτυσιν η επι τρισι μαρτυσιν αποθανειται. *Deut. xvii.* 6. *Joan. viii.* 17. 2 *Cor. xiii.* 1. *CITAT.* 261.

29 Ποσῳ (δοκειτε) χειρονος αξιωθησεται τιμωριας ὁ τον υἱον του Θεου καταπατησας, και το αἱμα της διαθηκης κοινον ἡγησαμενος εν ᾡ ἡγιασθη, και το Πνευμα της χαριτος ενυβρισας;

αξιοι μεν γαρ εκεινοι στερηθηναι φωτος. *Sap. xviii.* 4. των αλλων εστι χειρονα. *xv.* 18. τα ῥηματα μου κατεπατηθησαν. *Job. vi.* 3. *Aq.* του διαστελλειν του ἁγιου και του κοινου. *Ezech. xlii.* 20. *alii.* [*Schleus. voce* κοινος.] [ὁρατε, αδελφοι, ὁσῳ πλειονος κατηξιωθημεν γνωσεως, τοσουτῳ μαλλον ὑποκειμεθα κινδυνῳ. *Clem. Rom. i.* 41.] [νυν δ' εις ταυτην μου γνωμην ενυβρισας, παρακουσας των εμων εντολων. *Jos. Ant. i.* 1. 4.] οἱ δε παιγνιοις επιτιμησεως μη νουθετηθεντες, αξιαν Θεου κρισιν πειρασουσι. *Sap. xii.* 26. και λογον εβδελυξαντο. *Amos. v.* 10. και αἱ τιμωριαι τοις ἁμαρτωλοις επηλθον. *Sap. xix.* 13. αἱμα διαθηκης. *Zach. ix.* 11. πνευμα χαριτος. *xii.* 10. εν ᾡ ἡγιασθη. *Conf. Num. xvi.* 37, 38. ἡ ἁμαρτια —μεγαλη σφοδρα, ὁτι ηθετουν την θυσιαν Κυριου. 1 *Reg. ii.* 17.

30 Οιδαμεν γαρ τον ειποντα, Εμοι εκδικησις, εγω ανταποδωσω, λεγει Κυριος· και παλιν, Κυριος κρινει τον λαον αὑτου.

εν ἡμερᾳ εκδικησεως ανταποδωσω. Deut. xxxii. 35. *Sir. xvii.* 23. *ὁτι κρινει* Κυριος *τον λαον αυτου. Deut. xxxii.* 36. *Ps. cxxxv.* 14. *Conf. Rom. xii.* 19. *αυτοι δε ηπειθησαν, και παρωξυναν το πνευμα το ἁγιον αυτου, κ. τ. λ. Esa. lxiii.* 10. *CITAT.* 262, 263.

31 *Φοβερον το εμπεσειν εις χειρας Θεου ζωντος.*

συ φοβερος ει, και τις αντιστησεται σοι; Ps. lxxv. 7. *φοβερος εν βουλαις ὑπερ τους υἱους των ανθρωπων. lxv.* 5. 2 *Reg. xxiv.* 14. *επεσουμεθα εις χειρας* Κυριου. *Sir. ii.* 18. *viii.* 1. *τις σαρξ ἡτις ηκουσε φωνην* Θεου *ζωντος—και ζησεται; Deut. v.* 26. *Esa. xxxvii.* 17. *Ose. i.* 10. *Conf. Luc. xii.* 5. *ου μη διαφυγης τας χειρας του* Θεου. 2 *Mac. vii.* 31. *vi.* 26. *απεστησαν οἱ εν* Σιων *ανομοι, ληψεται τρομος τους ασεβεις· τις αναγγελει ὑμιν, ὁτι πυρ καιεται; τις αναγγελει ὑμιν τον τοπον τον αιωνιον; Esa. xxxiii.* 14.

32 *Αναμιμνησκεσθε δε τας προτερον ἡμερας, εν αἱς φωτισθεντες πολλην αθλησιν ὑπεμεινατε παθηματων·*

του αναμνησαι ἡμεραν νεοτητος σου. Ezech. xxiii. 19. *Num. xv.* 39. *Ald. συ φωτιεις το σκοτος μου. Ps. xvii.* 28. *επερωτησατε ἡμερας προτερας κ. τ. λ. Deut. iv.* 32. *Num. vi.* 12. *φωτισον τους οφθαλμους μου. Ps. xii.* 3. *ἡ εντολη* Κυριου *τηλαυγης φωτιζουσα οφθαλμους. xviii.* 8. Κυριος *φωτιζει τυφλους. cxlv.* 8. *alii. Conf. Gal. iii.* 4. *Col. ii.* 1. *Phil. i.* 29. [*γυμναζομενος αθλητου τροπον, εν πονοις και δυσκαρτερητοις κακοπαθειαις κ. τ. λ. Philo de Jos. p.* 558. *Conf. Loesner. p.* 416.] [*ὡς* Θεου *αθλητης. Ignat. p.* 12.]

33 *Τουτο μεν, ονειδισμοις τε και θλιψεσι θεατριζομενοι· τουτο δε, κοινωνοι των οὑτως αναστρεφομενων γενηθεντες·*

θεατρον γενομενοι. 1 *Cor. iv.* 9. *ανεστρεφοντο εν αδικιαις. Ezech. xxii.* 7. *Prov. xx.* 7. [*και οἱ μεν ταυτα δρωντες, ὡσπερ εν τοις θεατρικοις μιμοις καθυπερκρινοντο τους πασχοντας κ. τ. λ. Philo in Flac. p.* 755. *Edit. Col.*] *ὡσει τερας εγενηθην τοις πολλοις, κ. τ. λ. Ps. lxx.* 7. *και θησομαι σε εις παραδειγμα. Neh. iii.* 6. *και οἱ ονειδισμοι των ονειδιζοντων σε επεπεσον επ' εμε. Ps. lxviii.* 9. *lxxxviii.* 50, 51. [*Krebs. Decret. Athen. p.* 421-424.]

34 *Και γαρ τοις δεσμοις μου συνεπαθησατε, και την ἁρπαγην των ὑπαρχοντων ὑμων μετα χαρας προσδεξασθε, γινωσκοντες εχειν εν ἑαυτοις κρειττονα ὑπαρξιν εν ουρανοις και μενουσαν.*

αποδῳ το ἁρπαγμα ὁ ἡρπασε. Lev. vi. 4. *και επρονομευσαν—και παντα τα ὑπαρχοντα αυτων. Gen. xiv.* 11. *Ald. Est. viii.* 7. *προσδεξασθε ουν μου την ἁμαρτιαν ετι νυν. Exod. x.* 17. *Lev. xxvi.* 43. *ὑπαρξις πλουσιου ανδρος πολις οχυρα. Prov. xviii.* 11. *Esd. x.* 8.

Conf. Ephes. iv. 1. θαρρει ουν τοιγαρουν την ελπιδα της ὑπομενη εχουσα βεβαιαν προς Θεον. 4 *Mac.* 18. [κατα παντα σου αντιψυχον εγω, και τα δεσμα μου ἁ ηγαπησας. *Ignat. p.* 12.] ὑπαρχει σοι πολλα, εαν φοβηθῃς τον Θεον. *Tob.* iv. 21. vii. 18. *Matt.* v. 12. *Luc.* xii. 33. Κυριος μερις της κληρονομιας μου κ. τ. λ. *Ps.* xv. 5. και μενων εις τους αιωνας. *Dan.* vi. 26.

35 Μη αποβαλητε ουν την παρρησιαν ὑμων, ἡτις εχει μισθαποδοσιαν μεγαλην.

ὁς αποβαλλεται πατερα η μητερα. *Prov.* xxviii. 24. εν τῳ φυλασσειν αυτα ανταποδοσις πολλη. *Ps.* xviii. 11. ασεβης αισχυνεται, και ουκ ἑξει παρρησιαν. *Prov.* xiii. 5. *Sap.* v. 1.

36 Ὑπομονης γαρ εχετε χρειαν, ἱνα το θελημα του Θεου ποιησαντες, κομισησθε την επαγγελιαν.

και χρειαν εχει βοηθειας. *Sap.* xiii. 6. ὑπομενων ὑπεμεινα τον Κυριον, κ. τ. λ. *Ps.* xxxix. 1. του ποιησαι το θελημα σου. 8. cxlii. 10. οἱτινες αξιον της δυσσεβιας εκομισαντο μισθον. 2 *Mac.* viii. 23. *Conf. Luc.* xxi. 19. *Matt.* x. 22.

37 Ετι γαρ μικρον ὁσον ὁσον, Ὁ Ερχομενος ἡξει και ου χρονιει.

38 Ὁ δε δικαιος εκ πιστεως ζησεται· και εαν ὑποστειληται, ουκ ευδοκει ἡ ψυχη μου εν αυτῳ.

37, 38.] αποκρυβηθι μικρον ὁσον ὁσον. *Esa.* xxvi. 20. lx. 22. ὑπομεινον αυτον, ὁτι Ερχομενος ἡξει και ου μη χρονισῃ. Εαν ὑποστειληται, ουκ ευδοκει ἡ ψυχη μου εν αυτῳ. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab.* ii. 3, 4. *Conf. Rom.* i. 17. *Gal.* iii. 11. *Luc.* xviii. 8. 1 *Pet.* i. 5. 2 *Pet.* iii. 8. *Ezech.* iii. 20. xviii. 24. *Sophon.* i. 6. [μικρον ὁσον επισχων. *Philo, ad Cai. p.* 1029.] [ὑποστειληται. *Conf. Pearson. Praef.*] *CITAT.* 264.

39 Ἡμεις δε ουκ εσμεν ὑποστολης εις απωλειαν, αλλα πιστεως εις περιποιησιν ψυχης.

εις απωλειαν. *Est.* vii. 4. *Esa.* xiv. 23. ὡστε μη ειναι εν αυτοις περιποιησιν. 2 *Par.* xiv. 13. και εσονται μοι, λεγει Κυριος—εις περιποιησιν. *Mal.* iii. 17. *Conf.* 1 *Thess.* v. 9. 2 *Thess.* ii. 14. και ουκ απεστη εις τα οπισω ἡ καρδια ἡμων, κ. τ. λ. *Ps.* xliii. 18. [λαθρα τα πολλα και μεθ' ὑποστολης εκακουργησε. *Jos. Bell. Jud.* ii. 14. 2.] υἱε μη παραρρυῃς, τηρησον δε εμην βουλην κ. τ. λ. *Prov.* iii. 21-26. [ἱνα γενηται περιποιησις τῳ Ιωσηφ. *Test. XII Patr. p.* 633.] δωσω—ειρηνην ψυχης εις περιποιησιν κ. τ. λ. *Agg.* ii. 10.

ΚΕΦ. ια. 11.

ΕΣΤΙ δε πιστις, ελπιζομενων ὑποστασις, πραγματων ελεγχος ου βλεπομενων.

και ἡ ὑποστασις μου παρα σοι εστι. *Ps. xxxviii.* 7. ὁτι εστι μοι ὑποστασις του γενηθηναι με ανδρι. *Ruth. i.* 12. [το αμεταλλακτον αυτων ὑπο τοιουτοις ὑποστασεως. *Jos. Ant. xviii.* 1. 6.] εν πιστει ελπιδος. *Sir. xlix.* 10. αληθεια και ελεγχος. *Job. xxiii.* 7. ὁ αποκαλυπτων μυστηρια απωλεσε πιστιν. *Sir. xxvii.* 16. φθορα, απιστια, ταραχη. *Sap. xiv.* 25. δοθησεται αυτῳ της πιστεως χαρις εκλεκτη. *iii.* 14. πιστευω του ιδειν τα αγαθα Κυριου. *Ps. xxvi.* 13. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. και ποιησω και ειρηνην και πιστιν. *Jer. xl.* 6. 2 *Par. xx.* 20. [πιστις των μελλοντων, ἡ των προγεγονοτων τελειωσις. *Philo de Vit. Mos. p.* 178. βλεπων δε οὑτως ὁ Ιησους την τε στρατιαν καταπεπληγυιαν, και περι των ὁλων πονηραν ηδη την ελπιδα λαμβανουσαν, παρρησιαν λαμβανει προς τον Θεον, κ. τ. λ. *Jos. Ant. v.* 1. 13. ην δε ουτε ελεγχος τις των κατηγορουμενων, ουτε τεκμηριον. *Bell. Jud. iv.* 5. 4.] καλα τα βλεπομενα. *Sap. xiii.* 7.

2 Εν ταυτῃ γαρ εμαρτυρηθησαν οἱ πρεσβυτεροι.

εμαρτυρηθησαν. *Conf. Act. vi.* 3. *x.* 22. *xvi.* 2. *xxii.* 12. μεμαρτυρηται ὑπο παντων. 3 *Joan.* 12. *Conf. Sir. xlvi.* 15. παντες οἱ πρεσβυτεροι. *Exod. xxxiv.* 30. και μνησθειη της διαθηκης αυτου της προς Ἀβρααμ, και Ισαακ, και Ιακωβ, των δουλων αυτου των πιστων. 2 *Mac. i.* 2. = εν τουτῳ φανεισθε. *Gen. xlii.* 15.

3 Πιστει, νοουμεν κατηρτισθαι τους αιωνας ῥηματι Θεου, εις το μη εκ φαινομενων τα βλεπομενα γεγονεναι.

συμπαντα τον αιωνα. *Eccles. iii.* 11. *Hab. iii.* 6. συ κατηρτισω ἡλιον και σεληνην. *Ps. lxxiii.* 16. εκτισε γαρ εις το ειναι τα παντα. *Sap. i.* 14. και κτισασα τον κοσμον εξ αμορφου ὑλης. *xi.* 17. ἡ δε γη ην αορατος, κ. τ. λ. *Gen. i.* 29. αμορφωτον με ειδον οἱ οφθαλμοι σου. *Ps. cxxxviii.* 16. *Sym. xxxii.* 6. *cxlviii.* 5. 2 *Pet. iii.* 5. *Rom. iv.* 17. αξιω σε, τεκνον, αναβλεψαντα εις τον ουρανον και την γην, και τα εν αυτοις παντα ιδοντα, γνωναι ὁτι εξ ουκ οντων εποιησεν αυτα ὁ Θεος, και το των ανθρωπων γενος κ. τ. λ. 2 *Mac. vii.* 28-42. [εν αρχῃ εκτισεν ὁ Θεος τον ουρανον και την γην·

ταυτης δ' ὑπ' οψιν ουκ ερχομενης κ. τ. λ. Jos. Ant. i. 1. *τα γαρ μη οντα εκαλεσεν εις το ειναι. Philo, de Creat. p.* 728.]

4 Πιστει, πλειονα θυσιαν Αβελ παρα Καϊν προσηνεγκε τῷ Θεῷ, δι' ἧς εμαρτυρηθη ειναι δικαιος, μαρτυρουντος επι τοις δωροις αυτου του Θεου· και δι' αυτης αποθανων ετι λαλειται.

ηνεγκε Καϊν απο των καρπων της γης θυσιαν τῷ Κυριῳ,—και επειδεν ὁ Θεος επι Αβελ και επι τοις δωροις αυτου. κ. τ. λ. *Gen. iv.* 3·5. *τα εσχατα πλειονα των πρωτων. Apoc. ii.* 19. *δικαιος. Conf. Matt. xxiii.* 35. 1 *Joan. iii.* 12. [*ανηρηται μεν εκ της του αφρονος διανοιας, ζῃ δε την εν Θεῷ ζωην ευδαιμονα. μαρτυρησει δε το χρησθεν λογιον, εν ᾧ φωνῃ χρωμενος και βοων πως γαρ ὁ μηκετ' ων διαλεγεσθαι δυνατος. Philo. p.* 127. *Edit. Col. Jos. Ant. i.* 2. 1.] *Conf.* 4 *Mac.* § 20.

5 Πιστει, Ενωχ μετετεθη του μη ιδειν θανατον· και ουχ εὑρισκετο, διοτι μετεθηκεν αυτον ὁ Θεος. προ γαρ της μεταθεσεως αυτου μεμαρτυρηται ευηρεστηκεναι τῷ Θεῷ·

και ζων μεταξυ ἁμαρτωλων μετετεθη. *Sap. iv.* 10. Ενωχ ευηρεστησε Κυριῳ, και μετετεθη ὑποδειγμα μετανοιας ταις γενεαις. *Sir. xliv.* 16. *xlix.* 14. και ευηρεστησεν Ενωχ τῷ Θεῷ, και ουχ εὑρισκετο, ὁτι μετεθηκεν αυτον ὁ Θεος. *Gen. v.* 24. [*Laudat Philo de Abrah. p.* 276. *de Mutat. Nom. p.* 812. *Edit. Col.*] και ουκ οψεται θανατον. *Ps. lxxxviii.* 48. [*εγω μεν μαρτυρω σοι. Jos. Ant. vi.* 14. 6. *Ανωχος—ανεχωρησε προς το θειον. ὁθεν ουδε τελευτην αυτου αναγεγραφασι. i.* 3, 4.] *CITAT.* 265.

6 Χωρις δε πιστεως αδυνατον ευαρεστησαι· πιστευσαι γαρ δει τον προσερχομενον τῷ Θεῷ, ὁτι εστι, και τοις εκζητουσιν αυτον μισθαποδοτης γινεται.

προσελθωμεν ενταυθα προς τον Θεον. 1 *Reg. xiv.* 36. εξεζητησα τον Κυριον, και εισηκουσε μου. *Ps. xxxiii.* 4. *Conf. Deut. iv.* 29. *Ps. x.* 4. *xxxix.* 16. ἑως τινος παροξυνει με ὁ λαος οὑτος; και ἑως τινος ου πιστευουσι μοι κ. τ. λ. *Num. xiv.* 11. ουκ επιστευσαν εν τῷ Θεῷ, ουδε ηλπισαν επι το σωτηριον αυτου. *Ps. lxxvii.* 22. εγω ὑπερασπιζω σου· ὁ μισθος σου πολυς εσται σφοδρα. *Gen. xv.* 1. *xviii.* 23. *Ps. lvii.* 11. *Prov. xi.* 18. ὁτι ουκ επιστευσατε ἁγιασαι με εναντιον των υἱων Ισραηλ, δια τουτο ουκ εισαξετε ὑμεις την συναγωγην ταυτην εις την γην κ. τ. λ. *Num. xx.* 12. *Sir. xxxv.* 23, 24.

7 Πιστει, χρηματισθεις Νωε, περι των μηδεπω βλεπομενων,

ευλαβηθεις κατεσκευασε κιβωτον εις σωτηριαν του οικου αὐτου. δι' ἧς κατεκρινε τον κοσμον, και της κατα πιστιν δικαιοσυνης εγενετο κληρονομος.

και φοβηθησονται ὑμας και ευλαβηθησονται ὑμας σφοδρα. *Deut. ii.* 4. [χρηματισθεις, *suppl.* παρα του Θεου, *ut plenius legitur Jos. Ant. iii.* 8. 8. *Bretschn.*] κατακρινει δε δικαιος καμων τους ζωντας ασεβεις. *Sap. iv.* 16. και εγενετο μοι εις σωτηριαν. *Ps. cxvii.* 14. Νωε εὑρεθη τελειος δικαιος, εν καιρῳ οργης εγενετο ανταλλαγμα, κ.τ.λ. *Sir. xliv.* 17-19. *Rom. iii.* 22. *Phil. iii.* 9. 1 *Pet. iii.* 20. Νωε δε εὑρε χαριν εναντιον Κυριου του Θεου—Νωε ανθρωπος δικαιος, τελειος κ. τ. λ. *Gen. vi.* 8, 9. 22. *vii.* 1-5. [Νωεος δε σωζεται μονος—προς σωτηριαν του Θεου τοιαυτην κ. τ. λ. *Jos. Ant. i.* 3. 2. Νωη ανθρωπος—δικαιος, τελειος κ. τ. λ. *Philo, pp.* 238. 242. 277. *Edit. Col. De Plant. Noe. passim.*]

8 *Πιστει, καλουμενος Αβρααμ ὑπηκουσεν εξελθειν εις τον τοπον ὃν ημελλε λαμβανειν εις κληρονομιαν, και εξηλθε μη επισταμενος που ερχεται.*

Ἀβρααμ μεγας πατηρ πληθους εθνων. *Sir. xliv.* 19. εξελθε εκ της γης σου. *Gen. xii.* 1. [*Philo, de Migrat. Abrah. passim.*] και εξηλθοσαν πορευθηναι εις γην Χανααν. 5. εσται αυτοις εις κληρονομιαν. *Ezech. xliv.* 28. *Conf. Act. vii.* 2. και επιστευσεν Ἀβραμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. *Gen. xv.* 6.

9 *Πιστει, παρῳκησεν εις την γην της επαγγελιας ὡς αλλοτριαν, εν σκηναις κατοικησας, μετα Ισαακ και Ιακωβ των συγκληρονομων της επαγγελιας της αυτης·*

και παρῳκησεν εν Γεραροις. *Gen. xx.* 1. εις *pro* εν. *Marc. i.* 39. κατοικησωσιν οἱ υἱοι Ισραηλ εν σκηναις. *Neh. viii.* 14. *Conf. Gen. xxii.* 17. *xxvi.* 24. *xxviii.* 13. [μετ' ολιγων δε οὑτος, η και μονος, ἁμα τῳ κελευθηναι, μετανιστατο, κ. τ. λ. *Philo, de Abrah. p.* 281. *Jos. Ant. i.* 7-10.]

10 *Εξεδεχετο γαρ την τους θεμελιους εχουσαν πολιν, ἧς τεχνιτης και δημιουργος ὁ Θεος.*

ουδεις εκδεχεται τῃ καρδιᾳ. *Esa. lvii.* 1. την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18. *Esa. xxxiii.* 20. οἱ θεμελιοι αυτου εν τοις ορεσι τοις ἁγιοις. *Ps. lxxxvi.* 1. και εσται τα θεμελια σου αιωνια. *Esa. lviii.* 12. ὁτι Κυριος εθεμελιωσε Σιων, κ. τ. λ. *xiv.* 32. ουτε τοις εργοις προσχοντες επεγνωσαν τον τεχνιτην. (*Deum*). *Sap. xiii.* 1. *Conf. cap. iii.* 4. *Apoc. xxi.* 2. *Phil. iii.* 20. και κατοικησει ὁ λαος αυτου εν πολει ειρηνης. *Esa. xxxii.* 18. [ὁ Θεος δημιουργος ανθρω-

πονων και θειων. Jos. Ant. vii. 14. 11. *Δεσποτα παντος αιωνος, και δημιουργε της ὁλης ουσιας. i.* 18. 6. *Neque aliter Philo, sexcentis ferè locis. Krebs.*]

11 Πιστει, και αυτη Σαῤῥα δυναμιν εις καταβολην σπερματος ελαβε, και παρα καιρον ἡλικιας ετεκεν, επει πιστον ἡγησατο τον επαγγειλαμενον.

εξελιπε δε τῃ Σαῤῥᾳ γινεσθαι τα γυναικεια. *Gen. xviii.* 11-14. και Κυριος επεσκεψατο την Σαῤῥαν κ. τ. λ. *xxi.* 1, 2. προβεβηκως την ἡλικιαν. 2 *Mac. iv.* 40. [σπερμα εις την μητραν καταβληθεν. *Philo de Opific. p.* 13.] [παρα δυναμιν. *Jos. Ant. xiv.* 14. 3.] [*Philo, de Abrah. p.* 286. *Edit. Col. Jos. Ant. i.* 13, 14.]

12 Διο και αφ᾽ ἑνος εγεννηθησαν, και ταυτα νενεκρωμενου, καθως τα αστρα του ουρανου τῳ πληθει, και ὡσει αμμος ἡ παρα το χειλος της θαλασσης ἡ αναριθμητος.

ὡς τους αστερας του ουρανου, και ὡς την αμμον την παρα το χειλος της θαλασσης. *Gen. xxii.* 17. *xxxii.* 12. αναβλεψον δη εις τον ουρανον, και αριθμησον τους αστερας, κ. τ. λ. *xv.* 5. [*laudat Philo. p.* 385. *Edit. Col.*] και ταυτα (*scil.* τεκνα) νεκρωμενου. *Ita* και τῳ Σημ εγεννηθη και αυτῳ (τεκνα). *Gen. x.* 21. *Bos. p.* 290. Ἀβρααμ μεγας πατηρ πληθους εθνων—και ὡς αστρα ανυψωσαι το σπερμα αυτου, κ. τ. λ. *Sir. xliv.* 19-21. *Rom. iv.* 18. λαος πολυς οὑ ουκ ην αριθμος. 1 *Mac. v.* 30. *CITAT.* 266.

13 Κατα πιστιν απεθανον οὑτοι παντες, μη λαβοντες τας επαγγελιας, αλλα ποῤῥωθεν αυτας ιδοντες, και πεισθεντες και ασπασαμενοι, και ὁμολογησαντες ὁτι ξενοι και παρεπιδημοι εισιν επι της γης.

ιδοντες δε αυτον ποῤῥωθεν. *Job. ii.* 12. *Jer. xxxviii.* 3. παροικος και παρεπιδημος εγω ειμι μεθ᾽ ὑμων. *Gen. xxiii.* 4. *xlvii.* 9. παροικος εγω ειμι εν τῃ γῃ και παρεπιδημος. *Ps. xxxviii.* 12. εγω αποθνησκω· επισκοπῃ δε επισκεψεται ὁ Θεος ὑμας, κ. τ. λ. *Gen. l.* 24. κατα πιστιν. *Conf. Ps. vii.* 8. ὁτι παροικοι εσμεν εναντιον σου, και παροικουντες ὡς παντες οἱ πατερες ἡμων· ὡς σκια αἱ ἡμεραι ἡμων επι γης, και ουκ εστιν ὑπομονη. 1 *Par. xxix.* 15. [παροικειν ου κατοικειν ηλθομεν· τῳ γαρ οντι πασα μεν ψυχη σοφου πατριδα μεν ουρανον, γην δε ξενην ελαχε, κ. τ. λ. *Philo, de Agric. p.* 153. *Edit. Col.* πατριδα μεν τον ουρανιον χωρον εν ᾡ πολιτεουνται, ξενον δε τον περιγειον εν ᾡ παρῳκησαν νομιζουσαι κ. τ. λ. *De Confus. Ling. p.* 259.] *Conf. Phil. iii.* 20. *CITAT.* 267.

14 Οἱ γαρ τοιαυτα λεγοντες εμφανιζουσιν ὁτι πατριδα επιζητουσι.

και αυτη ενεφανισε τῳ βασιλει τα της επιβουλης. *Est. ii.* 22. 1 *Mac. iv.* 20. *Conf. Gen. xi.* 31. *xii.* 10. *xxiv.* 6-8. εδιψησεν ἡ ψυχη μου προς τον Θεον τον ζωντα· ποτε ἡξω και οφθησομαι τῳ προσωπῳ του Θεου; *Ps. xli.* 2. *cvi.* 4. *cxviii.* 54. [ειδοτες ὁτι οἱ δια τον Θεον αποθνησκοντες, ζωσι τῳ Θεῳ, ὡσπερ Αβρααμ, Ισαακ, και Ιακωβ, και παντες οἱ πατριαρχαι. 4 *Mac.* § 16.]

15 Και ει μεν εκεινης εμνημονευον αφ᾽ ἡς εξηλθον, ειχον αν καιρον ανακαμψαι·

και ανεκαμψε προς τον πατερα αυτης. *Jud. xi.* 39. *Alex. Ald. Comp.* καιρον εχοντες. 1 *Mac. xv.* 34. *Conf. Act. vii.* 39.

16 Νυνι δε κρειττονος ορεγονται, τουτεστιν επουρανιου. διο ουκ επαισχυνεται αυτους ὁ Θεος, Θεος επικαλεισθαι αυτων· ἡτοιμασε γαρ αυτοις πολιν.

ὁ την κατοικιαν επουρανιον εχων. 2 *Mac. iii.* 39. ω ἡ επιφανης και απολελυτρωμενη πολις. *Sophon. iii.* 1. *Edit. Basil.* Θεος Ἁβρααμ, και Θεος Ισαακ, και Θεος Ιακωβ. *Exod. iii.* 15. εγω γαρ ειμι ὁ Θεος σου, κ. τ. λ. *Esa. xli.* 8-13. μη φοβου ὁτι σοι αὑτη ἡτοιμασμενη ην απο του αιωνος. *Tob. vi.* 17. και ἑτομασατω μοι αφ᾽ οὑ εποιησα ανθρωπον εις τον αιωνα, κ. τ. λ. *Esa. xliv.* 7. *Sap. ix.* 8. *Jer. xxxviii.* 1. την πολιν του Θεου. *Ps. xlv.* 4. ἑτοιμαζου εις καταντησιν Θεου σου. *Amos. iv.* 22. *Theod.* και ἡξουσιν εις Σιων μετ᾽ ευφροσυνης και αγαλλιαματος αιωνιου· κ. τ. λ. *Esa. li.* 11. [ὁ δε (Αβρααμ) μακρος αιων αυτῳ και βιος εν τῃ νοητῃ πολει ταμιευεται. *Philo de Somn.* αλλα μετοικιαν ζητει, βελτιουμενος αμεινω κ. τ. λ. *de Alleg. p.* 58.]

17 Πιστει, προσενηνοχεν Αβρααμ τον Ισαακ πειραζομενος, και τον μονογενη προσεφερεν ὁ τας επαγγελιας αναδεξαμενος,

εν πειρασμῳ εὑρεθη πιστος. *Sir. xliv.* 20. ὁ Θεος επειρασε τον Ἁβρααμ,—και ανενεγκε αυτον εκει εις ὁλοκαρπωσιν. κ. τ. λ. *Gen. xxii.* 1, 2. *Conf. Jac. ii.* 21. [Αβρααμ, ὁ φιλος προσαγορευθεις, πιστος εὑρεθη, κ. τ. λ. *Clem. Rom. i.* 10.] και δια τουτο οφειλετε παντα πονον ὑπομειναι δια τον Θεον· δι᾽ ὁν και ὁ πατηρ ἡμων Αβρααμ εσπευδε τον εθνοπατορα υἱον σφαγιασαι Ισαακ, κ. τ. λ. 4 *Mac.* § 16. αναδεξαμενος. *Ps. cxviii.* 122. *Sym.* 2 *Mac. vi.* 19. [Ω τεκνον, εφη, ὁ Θεος οψεται ἱερειον ἑαυτῳ κ. τ. λ. *Philo, de Abrah. p.* 293. *Edit. Col. De Profug. p.* 366. *De Somn. p.* 461. *Edit.*

Col. εκελευε τε τουτον εις το Μωριον ορος αναγαγοντα ὁλοκαυσαι, κ. τ. λ. *Jos. Ant. i.* 13.]

18 Προς ὁν ελαληθη, ὁτι, Εν Ισαακ κληθησεται σοι σπερμα·

Εν Ισαακ κληθησεται σοι σπερμα. *Gen. xxi.* 12. *Conf. Rom. ix.* 7. *Gal. iii.* 29. ὁτι. *Conf. cap. x.* 8. *CITAT.* 268.

19 Λογισαμενος ὁτι και εκ νεκρων εγειρειν δυνατος ὁ Θεος, ὁθεν αυτον και εν παραβολῃ εκομισατο.

ὁ εγειρας νεκρον εκ θανατου. *Sir. xlviii.* 5. δυνατος εξελεισθαι ἡμας εκ καμινου κ. τ. λ. *Dan. iii.* 17. κομισασθαι παρα της γυναικος τον αῤῥαβωνα. *Gen. xxxviii.* 20. κομιουμαι τον σιτον μου καθ' ὡραν αυτου. *Ose. ii.* 9. *Conf. Rom. iv.* 19. *Gen. xxii.* 13. [οἱ δε παρ' ελπιδας ἑαυτους κεκομισμενοι, και τοιουτων αγαθων επαγγελιας τετυχηκοτες, ησπαζοντο αλληλους. *de Abrah. Isaac. immolaturo. Jos. Ant. i.* 13. 4. την πατρῳαν αρχην κομισαμενος. *xiii.* 4. 1.] εν παραβολῃ = παραβολως, παραδοξως, παρ' ελπιδας. *Krebs. ad loc.* [παραβολη· πραγματων ὁμοιωσις. *Hesych.*] ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43.

20 Πιστει, περι μελλοντων ευλογησεν Ισαακ τον Ιακωβ και τον Ησαυ·

και ευλογησεν αυτον. *Gen. xxvii.* 27. 39. τα μελλοντα και τα εσχατα. *Deut. xxviii.* 5. *alii. Cat. Niceph.* και κατεπαυσεν επι κεφαλην Ιακωβ, κ. τ. λ. *Sir. xliv.* 23. [*Conf. Jos. Ant. i.* 22.]

21 Πιστει, Ιακωβ αποθνησκων ἑκαστον των υἱων Ιωσηφ ευλογησε· και προσεκυνησεν επι το ακρον της ῥαβδου αυτου.

και προσεκυνησεν Ισραηλ επι το ακρον της ῥαβδου αυτου. *Gen. xlvii.* 31. και προσεκυνησεν ὁ βασιλευς επι την κοιτην αυτου. 3 *Reg. i.* 47. *Alex. Ald. Conf. Gen. xviii.* 2. *xxiii.* 7. 12. *xix.* 1. προσεκυνησε τῳ προσωπῳ επι την γην, (*sc.* κυψας.) *Conf. Est. iii.* 2. 5. *Schleus.* και ευλογησεν αυτους· ἑκαστον κατα την ευλογιαν αυτου ευλογησεν αυτους. *Gen. xlix.* 28. *CITAT.* 269.

22 Πιστει, Ιωσηφ τελευτων περι της εξοδου των υἱων Ισραηλ εμνημονευσε, και περι των οστεων αὐτου ενετειλατο.

και ειπεν Ιωσηφ—εγω αποθνησκω· επισκοπῃ δε επισκεψεται ὁ Θεος ὑμας, και συναξει ὑμας κ. τ. λ. *Gen. l.* 24. και συνανοισετε τα οστα μου εντευθεν μεθ' ὑμων. 25. *Conf. Exod. xiii.* 19. *Act. vii.* 16. ουδε ὡς Ιωσηφ εγεννηθη ανηρ, ἡγουμενος αδελφων, στηριγμα λαου, και τα οστα αυτου επεσκεπη ὑπο Κυριου. *Sir. xlix.* 20. *Comp.*

Comp. [τα δε Ιωσηπου οστα ὑστερον, ὁτι μετανεστησαν εκ της Αιγυπτου οἱ Ἑβραιοι, εις την Χαναναιαν εκομισαν. *Jos. Ant. ii.* 8. 2. *Philo, de Mig. Abrah. p.* 306. *Edit. Col.*] και των δωδεκα προφητων τα οστα αναθαλοι εκ τοπου αυτων· παρεκαλεσε δ' τον Ιακωβ, και ελυτρωσατο αυτους εν πιστει ελπιδος. *Sir. xlix.* 10.

23 Πιστει, Μωσης γεννηθεις εκρυβη τριμηνον ὑπο των πατερων αὑτου, διοτι ειδον αστειον το παιδιον· και ουκ εφοβηθησαν το διαταγμα του βασιλεως.

ιδοντες δε αυτο αστειον, εσκεπασαν αυτο μηνας τρεις· επει δε ουκ εδυναντο αυτο ετι κρυπτειν, κ. τ. λ. *Exod. ii.* 2, 3. τριμηνον. *Gen. xxxviii.* 24. αντι των πατερων σου εγενηθησαν σοι υἱοι. *Ps. xliv.* 16. *Judith. xi.* 23. αὑτη ἡ διασαφησις του διαταγματος. *Esd. vii.* 11. *Sap. xi.* 7. *Conf. Act. vii.* 20. *Exod. i.* 16. ηγαπημενον ὑπο Θεου και ανθρωπων Μωυσην, οὑ το μνημοσυνον εν ευλογιαις, κ. τ. λ. *Sir xlv.* 1. εν πιστει και πρᾳϋτητι αυτου ἡγιασε, κ. τ. λ. 4. [γεννηθεις ουν ὁ παις ευθυς οψιν ενεφηνεν αστειοτεραν η κατ' ιδιωτην—τρεις γουν φασι μηνας εφεξης οικοι γαλακτοτροφηθηναι, κ. τ. λ. *Philo de Vit. Mos. p.* 469. *Edit. Col.* εμαυτης μεν ἡγησαμην παιδα ποιησασθαι, της δε σης βασιλειας διαδοχον. *Jos. Ant. ii.* 9. 7.]

24 Πιστει, Μωσης μεγας γενομενος ηρνησατο λεγεσθαι υἱος θυγατρος Φαραω,

μεγας γενομενος Μωυσης. *Exod. ii.* 11. ιδοντες ὁν παλαι ηρνουντο ειδεναι. *Sap. xii.* 27. *xvi.* 16. *Conf. Exod. x.* 11. *Act. vii.* 23. [Μωυσης—εις την σκηνην εισιων εχρηματιζετο περι ὡν εδειτο παρα του Θεου. *Jos. Ant. iii.* 8. 8.] *CITAT.* 270.

25 Μαλλον ἑλομενος συγκακουχεισθαι τῳ λαῳ του Θεου, η προσκαιρον εχειν ἁμαρτιας απολαυσιν·

εἱλοντο τον θανατον η την ζωην. *Jer. viii.* 3. ιδων ειδον την κακωσιν του λαου μου. *Exod. iii.* 7. δια τον προς τον Θεον φοβον ὑπερειδε την των τεκνων προσκαιρον σωτηριαν. 4 *Mac.* 15. *Conf. Ps. lxxxiii.* 10. [*Philo, p.* 472. *Ibid.*]

26 Μειζονα πλουτον ἡγησαμενος των εν Αιγυπτῳ θησαυρων τον ονειδισμον του Χριστου· απεβλεπε γαρ εις την μισθαποδοσιαν.

αυτοι αποβλεπουσιν επι θεους αλλοτριους. *Ose. iii.* 1. *Alex. Ald. Comp. Cyr.* μη φοβου Ἀβραμ—ὁ μισθος σου πολυς εσται σφοδρα. *Gen. xv.* 1. *Conf. cap. x.* 35. *xiii.* 13. εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες. *Prov. xiii.* 7. κρεισσον ολιγον τῳ δι-

καιῳ ὑπερ πλουτον ἁμαρτωλων πολυν. *Ps. xxxvi.* 16. μνησθητι Κυριε του ονειδισμου οὑ ωνειδισαν το ανταλλαγμα του χριστου σου. *lxxxviii.* 50, 51. *Biel. voce* ανταλλαγμα. [ουκ εις το παρον αυτου της τυχης αποβλεπων, αλλ' εις το προτερον αξιωμα. *Jos. Ant. xx.* 3. 2. αποβλεπων εις το παραδειγμα. *Philo de Opific. p.* 4.] *Conf. Ps. lxviii.* 9. *Luc. vi.* 22.

27 Πιστει, κατελιπεν Αιγυπτον, μη φοβηθεις τον θυμον του βασιλεως· τον γαρ αορατον ὡς ὁρων εκαρτερησε.

Conf. Exod. x. 28. εκαρτερησε. *Esa. xlii.* 14. *Sir. ii.* 2. 2 *Mac. vii.* 17. αορατος. *Conf.* 1 *Tim. i.* 17. *Rom. i.* 20. *Col. i.* 15. *Cap. xi.* 1. προωρωμην τον Κυριον ενωπιον μου διαπαντος, ὁτι εκ δεξιων μου εστι κ. τ. λ. *Ps. xv.* 8. ου δυνησῃ ιδειν το προσωπον μου· ου γαρ μη ιδῃ ανθρωπος το προσωπον μου, και ζησεται. *Exod. xxxiii.* 20. *Conf.* 4 *Mac.* § 9. [*Jos. Ant. ii.* 15.]

28 Πιστει, πεποιηκε το πασχα και την προσχυσιν του αἱματος, ἱνα μη ὁ ολοθρευων τα πρωτοτοκα, θιγῃ αυτων.

ποιησαι το πασχα. *Exod. xii.* 48. 1 *Esd. i.* 6. [πασχα σημαινει ὑπερβασιαν. *Jos. Ant. ii.* 14. 6.] το δε ἡμισυ του αἱματος προσεχεε προς το θυσιαστηριον. *Exod. xxiv.* 6. ολοθρευων ολοθρευσει. *Jos. iii.* 10. τῳ παταξαντι Αιγυπτον συν τοις πρωτοτοκοις. *Ps. cxxxv.* 10. θιγῃ—Μη ἁψησθη των χριστων μου. *Ps. civ.* 15. [ὡν αἱ βλαβαι αυται ου θιγγανουσι. *Act. Thom. p.* 12.] [τῳ αἱματι τας οικιας ἡγνιζον. *Jos. Ant. ii.* 14. 6.] *Conf. Exod. xi. xii.* και ουκ αφησει τον ολοθρευοντα εισελθειν κ. τ. λ. *xii.* 23.

29 Πιστει, διεβησαν την ερυθραν θαλασσαν ὡς δια ξηρας· ἡς πειραν λαβοντες οἱ Αιγυπτιοι κατεποθησαν.

αναβαινοντες εν τῃ ερυθρᾳ θαλασσῃ. *Ps. cv.* 7-9. πειραν λαμβανειν. *Deut. xxviii.* 50. εποιησε την θαλασσαν ξηραν. *Exod. xiv.* 21. ὡς δια ξηρας. 1 *Reg. ix.* 26. κατεπιε με, ὡς δρακων. *Jer. xxviii.* 34. *Conf.* 1 *Cor. x.* 1. *Exod. xiv.* 21, 22. *xv.* 1-21. *Jos. ii.* 10. [*Conf. Jos. Ant. ii.* 16. 1-5. εφθασαν εις την αντιπεραν γην απαθεις κ. τ. λ.] [το πελαγος ανεχωρησε. *Philo de Vit. Contemp. p.* 1215. το γαρ πελαγος προσταξει δε Θεου τοις μεν σωτηριας αιτιον, τοις δε πανολεθριας, κ. τ. λ. *p.* 618. *Ottii Spicileg.*]

30 Πιστει, τα τειχη Ἱεριχω επεσε, κυκλωθεντα επι ἑπτα ἡμερας.

και—περιεκυκλωσε την πολιν—και επεσεν ἁπαν ὁ τειχος κυκλῳ. *Jos. vi.* 14-20. *Conf.* 2 *Mac. xii.* 15. [*Jos. Ant. v.* 5-7.]

31 Πιστει, Ῥααβ ἡ πορνη ου συναπωλετο τοις απειθησασι, δεξαμενη τους κατασκοπους μετ᾽ ειρηνης.

Ῥααβ ἡ πορνη. *Jos. vi.* 17. 22-25. *ii.* 1. οἱ δυο νεανισκοι οἱ κατασκοπευσαντες την πολιν. 23. διοτι εκρυψε τους κατασκοπευσαντας. 25. μη συναπολεσης δικαιον μετα ασεβους. *Gen. xviii.* 23. πορευου εις ειρηνην. 1 *Reg. xx.* 42. μετ᾽ ειρηνης. 1 *Mac. xii.* 4. και τῃ αφροσυνῃ αυτου συναπολῃ. *Sir. viii.* 15. *Conf. Jac. ii.* 25. [δια πιστιν και φιλοξενιαν εσωθη Ῥααβ κ. τ. λ. *Clem. Rom. i.* § 12. *Conf. Jos. Ant. v.* 1. 7.]

32 Και τι ετι λεγω; επιλειψει γαρ με διηγουμενον ὁ χρονος περι Γεδεων, Βαρακ τε και Σαμψων και Ιεφθαε, Δαβιδ τε και Σαμουηλ και των προφητων·

περι Γεδεων. *Jud. vi.* 11. [*Jos. Ant. v.* 6. *Philo, p.* 265.] Βαρακ. *iv.* 6. [*Ant. v.* 3.] Σαμψων. *xiii.* 24. [*Ant. v.* 8.] Δαβιδ. [*Ant. vii.*] Ιεφθαε. *Jud. xi.* 1. [*Ant. v.* 7. 9. 10.] Σαμουηλ. 1 *Reg. i.* 20. *Sir. xlvi.* 13. [*Ant. v.* 10.] [*Philo, p.* 467.] [επιλιποι αν ὁ βιος του βουλομενου διηγεισθαι τα καθεκαστα. *Philo.* 1 *Vit. Mos. p.* 635.]

33 Οἱ δια πιστεως κατηγωνισαντο βασιλειας, ειργασαντο δικαιοσυνην, επετυχον επαγγελιων, εφραξαν στοματα λεοντων,

και εργαζομενος δικαιοσυνην. *Ps. xiv.* 2. εαν ευκαιριας τυχω. 1 *Mac. xi.* 42. απεστειλεν τον αγγελον αυτου, και ανεφραξε τα στοματα των λεοντων. *Dan. vi.* 22. *Conf. Jud. xiv.* 6. 1 *Reg. xvii.* 34. 2 *Reg. viii.* 1. [αυτῳ (*Samueli*) σωσαι καταγωνισαμενῳ Παλαιστινους δεδωκεν ὁ Θεος κ. τ. λ. *Jos. Ant. vii.* 2. 2.] *Conf. Jos. vi.—xiii.*

34 Εσβεσαν δυναμιν πυρος· εφυγον στοματα μαχαιρας, ενεδυναμωθησαν απο ασθενειας, εγενηθησαν ισχυροι εν πολεμῳ, παρεμβολας εκλιναν αλλοτριων·

Conf. Dan. iii. 19-28. 2 *Reg. xxi.* 16, 17. *Esa. xxxviii.* 9. αλλοτριοι. *Ps. liii.* 3. παρεμβολη των Αιγυπτιων. *Exod. xiv.* 24. [κλινεται το κερας της φαλαγγος. *Jos. Ant. xiv.* 15. 4.]

35 Ελαβον γυναικες εξ αναστασεως τους νεκρους αὐτων· αλλοι δε ετυμπανισθησαν, ου προσδεξαμενοι την απολυτρωσιν, ἱνα κρειττονος αναστασεως τυχωσιν·

Conf. 3 *Reg. xvii.* 17-24. 4 *Reg. iv.* 27-36. 2 *Mac. vii.* 1. 20-23. προσεδεχομενος την ελπιδα της σωτηριας. *Job. ii.* 9. δυναμενος απολυθηναι του θανατου—κατα ψυχην δε ἡδεως δια τον αυτου φοβον ταυτα πασχω. 2 *Mac. vi.* 30. [πολλαι γυναικες ενδυναμω-

θεισαι δια της χαριτος του Θεου, επιτελεσαντο πολλα ανδρεια. Ιουδιθ ἡ μακαρια, κ. τ. λ. *Clem. Rom. i.* 55.] ω ανδρες, πως ουχι ισχυραι αἱ γυναικες, ὁτι οὑτως πρασσουσι; κ. τ. λ. 1 *Esd. iv.* 32. μη φοβηθῃς—αλλα των αδελφων αξιος γενομενος, επιδεξαι τον θανατον, ἱνα εν τῳ ελεει συν τοις αδελφοις σου κομισωμαι σε. κ.τ.λ. 2 *Mac. vii.* 29. μεχρι θανατου βασανων περιεωρα δι' ευσεβειαν κ. τ. λ. 4 *Mac.* 7. ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43. αισχιστοις βασανοις αποτυμπανισθησεται. 3 *Mac. iii.* 27. 2 *Mac. vi.* 19. παντες ὡσπερ επ' αθανασιας ὁδον τρεχοντες επι τον δια των βασανων θανατον εσπευδον. 4 *Mac.* § 14. εδιδασκε δε ἡμας τους εν πυρι Ανανιαν και Αζαριαν και Μισαηλ. εδοξαζε δε και τον εν τῳ λακκῳ λεοντων Δανιηλ, κ. τ. λ. ὑπεμιμνησκε δε ἡμας την Ησαϊου γραφην, την λεγουσαν, καν δια πυρος διελθῃς, φλοξ ου κατακαυσει σε. 4 *Mac.* § 20.

36 Ἑτεροι δε εμπαιγμων και μαστιγων πειραν ελαβον, ετι δε δεσμων και φυλακης,

εμπαιγμος και ονειδισμος ὑπερηφανων. *Sir. xxvii.* 28. ἡς ουχι πειραν ελαβεν ὁ πους αυτης. *Deut. xxviii.* 56. και εν πολεμικαις χρειαις πειραν εχοντα. 2 *Mac. viii.* 9. *Conf. Jer. xx.* 2. *Jud. xvi.* 25. 2 *Par. xxx.* 10. *Gen. xxxix.* 20. τι αἱ πληγαι αὑται αναμεσον των χειρων σου; και ερει, Ἁς επληγην εν τῳ οικῳ τῳ αγαπητῳ μου. *Zach. xiii.* 6. μνησθητι Κυριε του ονειδισμου των δουλων σου, κ. τ. λ. *Ps. lxxxviii.* 50, 51.

37 Ελιθασθησαν, επρισθησαν, επειρασθησαν, εν φονῳ μαχαιρας απεθανον· περιηλθον εν μηλωταις, εν αιγειοις δερμασιν, ὑστερουμενοι, θλιβομενοι, κακουχουμενοι,

λιθαζων εν λιθοις τον Δαυιδ. 2 *Reg. xvi.* 6. επριζον πριοσι σιδηροις. *Amos. i.* 3. *Susan.* 59. και εθηκεν εν τῳ πριονι. 2 *Reg. xii.* 3. ἡψατο δε και δικαιων πειρα θανατου. *Sap. xviii.* 20. ὁτι ὁ Θεος επειρασεν αυτους. *iii.* 5. επειρασθησαν. *xi.* 9. και ταις των ξιφων ακμαις αναπειρεσθαι. 2 *Mac. xii.* 22. εν φονῳ μαχαιρας. *Deut. xiii.* 15. *Exod. xvii.* 13. και ελαβεν—την μηλωτην αυτου. 4 *Reg. ii.* 8. ὑστερουμενοι. *Sir. xi.* 11. κακουχουμενοι. 3 *Reg. ii.* 26. θλιβομενοι. *Ps. xxii.* 5. [μιμηται γενωμεθα κακεινων, οἱτινες εν δερμασιν αιγειοις και μηλωταις περιεπατησαν, κ. τ. λ. *Clem. Rom. i.* 17.] *Conf. Matt. iii.* 4. *Marc. xii.* 4. *Luc. xiii.* 34. *Act. vii.* 52.

38 Ὡν ουκ ην αξιος ὁ κοσμος, εν ερημιαις πλανωμενοι και ορεσι και σπηλαιοις και ταις οπαις της γης.

και εν τοις σπηλαιοις θηριων τροπον ησαν νεμομενοι. 2 *Mac. x.* 6. εν ταις οπαις των πετρων. *Obd.* 3. *Conf.* 1 *Reg. xxii.* 1 *Mac. i.*

53. ἑτεροι δε πλησιον συνδραμοντες εις τα σπηλαια, λεληθοτως αγειν την ἑβδομαδα, κ. τ. λ. 2 *Mac. vi.* 11. [και εν τοις σπηλαιοις διηγον, κ. τ. λ. *Jos. Ant. xii.* 6. 2.] ιδετε ὡς ὁ δικαιος απωλετο, και ουδεις ενδεχεται τῃ καρδιᾳ, κ. τ. λ. *Esa. lvii.* 1. *Conf.* 1 *Reg. xiii.* 6. 3 *Reg. xviii.* 4. *xix.* 9.

39 Και οὑτοι παντες μαρτυρηθεντες δια της πιστεως, ουκ εκομισαντο την επαγγελιαν,

εκομισαντο μισθον. 2 *Mac. viii.* 33. *Luc. x.* 23. 1 *Pet. i.* 12. μαρτυρηθεντες. *Conf. cap. v.* 4. εμπιστευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε· εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε. 2 *Par. xx.* 20. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. *Gen. xlix.* 18. *l.* 24.

40 Του Θεου περι ἡμων κρειττον τι προβλεψαμενου, ἱνα μη χωρις ἡμων τελειωθωσι.

τελειωθεις εν ολιγῳ επληρωσε χρονους μακρους. *Sap. iv.* 13. προβλεπειν. *Ps. xxxvi.* 13. *Eccles. vi.* 9. *Sym. Conf.* 1 *Mac. ii.* 51-61. *Rom. xvi.* 26. *Cap. vii.* 22. *Sir. xliv.—xlix.* εμνησθην ελεους νεοτητος σου, και αγαπης τελειωσεως σου. *Jer. ii.* 2. του μη φαγειν απο του ἁγιου των ἁγιων, ἑως αναστῃ ἱερευς τοις φωτιζουσι και τοις τελειοις. *Esd. ii.* 63. συ μεν αλαστωρ εκ του παροντος ἡμας ζῃν απολευεις, ὁ δε του κοσμου βασιλευς αποθανοντας ἡμας ὑπερ των αυτου νομων εις αιωνιον αναβιωσιν ζωης ἡμας αναστησει, κ. τ. λ. 2 *Mac. vii.* 9, 10. [ψυχη τελειωθεισα εν αρετων αθλοις. *Philo, Loesner. p.* 435.]

ΚΕΦ. ιβ. 12.

ΤΟΙΓΑΡΟΥΝ και ἡμεις τοσουτον εχοντες περικειμενον ἡμιν νεφος μαρτυρων, ογκον αποθεμενοι παντα και την ευπεριστατον ἁμαρτιαν, δι' ὑπομονης τρεχωμεν τον προκειμενον ἡμιν αγωνα·

τοιγαρουν. *Job. xxii.* 10. τις εν νεφελαις ισωθησεται τῳ Κυριῳ. *Ps. lxxxviii.* 6. ιδετε ὁτι πονηρια προσκειται ὑμιν. *Exod. x.* 10. *Ald. Comp.* [τοιουτοις ουν ὑποδειγμασι κολληθηναι και ἡμας δει, αδελφοι, γεγραπται γαρ, Κολλασθε τοις ἁγιοις, κ. τ. λ. *Clem. Rom. i.* 46. *et* § 31.] [*Conf. Ottii Spicileg. p.* 479, 480.] επ' αθανασιας ὁδον τρεχοντες. 4 *Mac.* § 14. ὁδον εντολων σου εδραμον, κ. τ. λ. *Ps. cxviii.* 32. [τον αγωνα του βιου διηθλησαν. *Philo de Ling. p.* 448.] καθοπλισωμεθα τοιγαρουν την του θειου λογισμου παθοκρατειαν. 4 *Mac.* 13. [ευπεριστατον την ευκολως περιϊσταμενην ἡμας.

Chrysost. ευπεριστατον· ευκολον, ευχερη. *Hesych.*] τινες οἵδε, ὡς νεφελαι πετανται; κ. τ. λ. *Esa. lx.* 8. *Conf. Ezech. xxxviii.* 9-16. και φυλαξομαι απο της ανομιας μου. *Ps. xvii.* 23. προωρωμην τον Κυριον ενωπιον μου διαπαντος—ἱνα μη σαλευθω. *xv.* 8. [οἱ δ' αθληται και τα λοιπα, των αγωνισματων απο πασης γης εκαλουντο κατ' ελπιδα των προκειμενων και της νικης ευδοξιαν, κ. τ. λ. *Jos. Ant. xv.* 8. 1.]

2 Αφορωντες εις τον της πιστεως αρχηγον και τελειωτην Ιησουν, ὁς αντι της προκειμενης αὑτῳ χαρας ὑπεμεινε σταυρον, αισχυνης καταφρονησας, εν δεξιᾳ τε του θρονου του Θεου εκαθισεν.

και επιβλεψονται προς με, κ. τ. λ. *Zach. xii.* 10. Κυριε ανταποδωσεις ὑπερ εμου. *Ps. cxxxviii.* 8. *xxi.* 6. *lxix.* 19. εις τον Θεον αφορωντες, και μεχρι θανατου τας βασανους ὑπομειναντες. 4 *Mac.* 17. 10. αρχηγον. *Conf. Jer. iii.* 4. *Mich. i.* 13. = αρχη και τελος της πιστεως. *Bretschn.* [Ααρων θνησκει, του πληθους εις αυτον αφορωντος. *Jos. Ant. iv.* 4. 7.] κεκατηραμενος—πας κρεμαμενος επι ξυλου. *Deut. xxi.* 23. δικαιος και σωτηρ, ουκ εστι παρεξ εμου· επιστραφητε επ' εμε, και σωθησεσθε, κ. τ. λ. *Esa. xlv.* 21, 22. εστιν αισχυνη δοξα και χαρις. *Sir. iv.* 21. δια τουτο αυτος κληρονομησει πολλους, και των ισχυρων μεριει σκυλα. κ. τ. λ. *Esa. liii.* 12. [αλλα των νυν ὑμων ολιγων ἡ Χαναναια χωρησει γη, την δ' οικουμενην οικητηριον δι' αιωνος ιστε προκειμενην ὑμιν. *Jos. Ant. iv.* 6. 4.] ανθρωπος εν πληγῃ ων, και ειδως φερειν μαλακιαν. *Esa. liii.* 3. αφελειν απο του πονου της ψυχης αυτου. 11. το δε προσωπον μου ουκ απεστρεψα απο αισχυνης εμπτυσματων. *l.* 6. ὁ Θεος καθηται επι θρονου ἁγιου αυτου. *Ps. xlvi.* 8. καθου εκ δεξιων μου. *cix.* 1. αναβας εις ὑψος, κ. τ. λ. *lxvii.* 18. και επι τοις δουλοις αυτου παρακληθησεται. *Deut. xxxii.* 36. 2 *Mac. vii.* 6.

3 Αναλογισασθε γαρ τον τοιαυτην ὑπομεμενηκοτα ὑπο των ἁμαρτωλων εις αὑτον αντιλογιαν, ἱνα μη καμητε ταις ψυχαις ὑμων εκλυομενοι.

αναλογισασθε. 3 *Mac. vii.* 7. *Ps. lxxvi.* 6. *Sym.* ῥυσαι με εξ αντιλογιας λαου. *xvii.* 43. *Ald. Comp.* ἁμαρτανοντες εις τον ἑαυτων Θεον. 2 *Mac. vii.* 18. καμνων τῃ ψυχῃ μου. *Job. x.* 1. μη εκλυεσθω ἡ καρδια ὑμων. *Deut. xx.* 3. εκλελυμενῳ, και πεινωντι, ουκ ισχυοντι. *Esa. xlvi.* 1, 2. *xl.* 30. *Sophon. iii.* 11. 1 *Mac. ix.* 7. οἱ αρχοντες συνηχθησαν επιτοαυτο κατα του Κυριου, και κατα του Χριστου αυτου. *Ps. ii.* 2.

4 Ουπω μεχρις αἱματος αντικατεστητε προς την ἁμαρτιαν ανταγωνιζομενοι,

αγωνισασθαι μεχρι θανατου περι νομων. 2 *Mac. xiii.* 14. ανταγωνιστης. 4 *Mac.* 3. αντικατεστητε. 1 *Reg. xxi.* 5. *Schleus.*

5 Και εκλελησθε της παρακλησεως, ἡτις ὑμιν ὡς υἱοις διαλεγεται· Υἱε μου, μη ολιγωρει παιδειας Κυριου, μηδε εκλυου ὑπ' αυτου ελεγχομενος.

6 Ὁν γαρ αγαπᾳ Κυριος παιδευει, μαστιγοι δε παντα υἱον ὁν παραδεχεται.

ὁτι εν πυρι δοκιμαζεται χρυσος, και ανθρωποι δεκτοι εν καμινῳ ταπεινωσεως. *Sir. ii.* 5. παρακλησιν εχοντες τα βιβλια τα ἁγια τα εν ταις χερσιν ἡμων. 1 *Mac. xii.* 9. προσεχε σεαυτῳ—μη επιλαθῃ παντας τας λογους, κ.τ.λ. *Deut. iv.* 9. *Conf. Ps. xciii.* 12. υἱε μη ολιγωρει κ. τ. λ. *Prov. iii.* 11, 12. εν ελεγμοις ὑπερ ανομιας επαιδευσας ανθρωπον. *Ps. xxxviii.* 11. μακαριος δε' ανθρωπος ὁν ηλεγξεν ὁ Κυριος, νουθετημα δε παντοκρατορος μη απαναίνου. *Job. v.* 17. [ενθενδε μοι δοκει τις των φοιτητων Μωσεως ονομα Ειρηνικος, ὁς πατριῳ γλωσσῃ Σαλομων καλειται, φαναι, Παιδειας Θεου υἱε μη ολιγωρει, κ. τ. λ. *Philo, p.* 351. *Edit. Col.*] *CITAT.* 271.

7 Ει παιδειαν ὑπομενετε, ὡς υἱοις ὑμιν προσφερεται ὁ Θεος· τις γαρ εστιν υἱος, ὁν ου παιδευει πατηρ;

παιδευε υἱον σου, οὑτως γαρ εσται ευελπις. *Prov. xix.* 18. υἱος πανουργος ὑπηκοος πατρι, υἱος δε ανηκοος εν απωλειᾳ. *xiii.* 1. παιδευε υἱον σου, και αναπαυσει σε. *xxix.* 17. 2 *Mac. vi.* 12. *Conf. Deut. viii.* 5. *Act. xiv.* 22. 1 *Thess. iii.* 3. [παιδευειν αντι του κολαζειν ουδεις των ῥητορων ειπεν, αλλα παρα μονῃ τῃ θειᾳ γραφῃ τουτο εὑρισκεται. *Phav.*]

8 Ει δε χωρις εστε παιδειας, ἡς μετοχοι γεγονασι παντες, αρα νοθοι εστε και ουχ υἱοι.

Conf. 1 *Pet. v.* 9. και εγενομην μεμαστιγωμενος ὁλην την ἡμεραν, και ὁ ελεγχος μου εις ταις πρωΐας, κ. τ. λ. *Ps. lxxii.* 14, 15. [των εκ πορνης αποκυηθεντων, ουδεν, ὡς οιμαι, διαφεροντες. *Philo, de Confus. Ling.*] πολυγονον δε ασεβων πληθος ου χρησιμευσει, και εκ νοθων μοσχευματων ου δωσει ῥιζαν εις βαθος, κ. τ. λ. *Sap. iv.* 3.

9 Ειτα τους μεν της σαρκος ἡμων πατερας ειχομεν παιδευτας και ενετρεπομεθα, ου πολλῳ μαλλον ὑποταγησομεθα τῳ πατρι των πνευματων και ζησομεν;

ὡς ειτις ανθρωπος παιδευσῃ τον υἱον αυτου, οὑτως Κυριος ὁ Θεος

σου παιδευσει σε. *Deut. viii.* 5. εγω δε παιδευτης ὑμων. *Ose. v.* 2. ειτα—και. *Conf. Lev. xxvi.* 3, 4. *Deut. xi.* 13, 14. *Judith. v.* 20. τουτους μεν γαρ ὡς πατηρ νουθετων εδοκιμασας. *Sap. xi.* 10. εν κοιλια μητρος εληφθη σαρξ. *vii.* 2. *Ald.* πρεσβυτου εντραπωμεν πολιας πολυχρονιους. *ii.* 10. *Conf. Num. xii.* 14. ουχι τῳ Θεῳ ὑποταγησεται ἡ ψυχη μου; *Ps. lxi.* 1. 5. *xxxvi.* 7. Κυριος ὁ Θεος των πνευματων. *Num. xxvii.* 16. πατηρ ὑετου. *Job. xxxviii.* 28. πατηρ του μελλοντος αιωνος. *Esa. ix.* 6. *Alex. Ald. Comp. lvii.* 16. *Zach. xii.* 1. *Sap. xii.* 2, 3. υἱος δοξαζει πατερα, και δουλος τον κυριον ἑαυτου· κ. τ. λ. *Mal. i.* 6. συνετισον με, και ζησομαι. *Ps. cxviii.* 144.

10 Οἱ μεν γαρ προς ολιγας ἡμερας, κατα το δοκουν αὐτοις, επαιδευον· ὁ δε επι το συμφερον, εις το μεταλαβειν της ἁγιοτητος αυτου.

καθαπερ δεδοκται εμοι. 1 *Esd. viii.* 11. μεθ' ἁγιοτητος. 2 *Mac. xv.* 2. ἁγιοι εσεσθε, ὁτι ἁγιος εγω Κυριος. *Lev. xix.* 2. αγαθων και κινδυνων μεταληψεσθαι τους ἁγιους. *Sap. xviii.* 7-9.

11 Πασα δε παιδεια προς μεν το παρον ου δοκει χαρας ειναι, αλλα λυπης· ὑστερον δε καρπον ειρηνικον τοις δι' αυτης γεγυμνασμενοις αποδιδωσι δικαιοσυνης.

ὑστερον δε. *Conf. Prov. v.* 4. *Amos. ii.* 12. *Aq.* [προς το παρον. *Jos. Ant. vi.* 5. 1.] [καρπον σωτηριον. *Philo, de Creat. p.* 727.] θυσια ειρηνικη μοι εστι. *Prov. vii.* 14. γεγυμνασμενος. 2 *Mac. x.* 15. *Conf. Jac. iii.* 18. ειρηνη πολλη τοις αγαπωσι τον νομον σου. *Ps. cxviii.* 165. και εσται τα εργα της δικαιοσυνης, ειρηνη. *Esa. xxxii.* 17.

12 Διο τας παρειμενας χειρας και τα παραλελυμενα γονατα ανορθωσατε·

ισχυσατε χειρες ανειμεναι και γονατα παραλελυμενα. *Esa. xxxv.* 3. [*M.* ὑψωσατε.] *Conf. Sir. xxv.* 23. *ii.* 11-18. και ανωρθωσεν αυτον εκ ταπεινωσεως αυτου. *xi.* 12. μη παρεισθωσαν αἱ χειρες σου. *Sophon. iii.* 16. και χειρας ασθενους παρεκαλεσας, ασθενουντας τε εξανεστησας ῥημασι, γονασι τε αδυνατουσι θαρσος περιεθηκας. *Job. iv.* 3, 4. καταρτισαι τα διαβηματα μου, κ. τ. λ. *Ps. xvi.* 5. *CITAT.* 272.

13 Και τροχιας ορθας ποιησατε τοις ποσιν ὑμων, ἱνα μη το χωλον εκτραπη, ιαθη δε μαλλον.

ορθας τροχιας ποιει σοις ποσι. *Prov. iv.* 26. τοτε ἁλειται ὡς ελαφος ὁ χωλος. κ. τ. λ. *Esa. xxxv.* 6-8. τας ὁδους αυτου ἑωρακα,

και ιασαμην αυτον. Esa. lvii. 18. *ου κακως ερεις κωφον, και απεναντι τυφλου ου προσθησεις σκανδαλον. Lev. xix.* 14. [*ἡ προς το βελτιον αυτων τροπη. Jos. Ant. viii.* 10. 2.] *CITAT.* 273.

14 Ειρηνην διωκετε μετα παντων, και τον ἁγιασμον, οὑ χωρις ουδεις οψεται τον Κυριον·

εκκλινον απο κακου, και ποιησον αγαθον· ζητησον ειρηνην, και διωξον αυτην. Ps. xxxiii. 14, *εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου, χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. xvi.* 25. 1 *Joan. iii.* 3. *Matt. v.* 8. *Gen. xxxii.* 30. *xliii.* 3. *Job. xix.* 27. 1 *Thess. iv.* 17. 2 *Cor. v.* 8. *Phil. i.* 23. *στητε επι ταις ὁδοις, και ιδετε, και ερωτησατε τριβους Κυριου αιωνιους—και εὑρησετε ἁγνισμον* (*ἁγιασμον Alex.*) *ταις ψυχαις ὑμων. Jer. vi.* 16. *ἁγιοι εσεσθε, ὁτι ἁγιος Εγω. Lev. xix.* 2. *xxi.* 23. *Ps. cxxxvii.* 6.

15 Επισκοπουντες μητις ὑστερων απο της χαριτος του Θεου· μη τις ῥιζα πικριας ανω φυουσα ενοχλῃ, και δια ταυτης μιανθωσι πολλοι·

επισκοπων τι Εσθηρ συμβησεται. Est. ii. 11. *Conf. Deut. xi.* 12. *μη τις εστιν εν ὑμιν ῥιζα ανω φυουσα εν χολῃ και πικριᾳ. Deut. xxix.* 18. *xxxii.* 32. *ενοχλῃ.* 1 *Esd. ii.* 22. 29. *και ου μιανειτε την γην. Deut. xxiv.* 4. *ῥιζα ἁμαρτωλος.* 1 *Mac. i.* 10. *ὑστερων απο. Sir. vii.* 34. *Conf. Esa. vi.* 4-7. *πως εστραφης εις πικριαν ἡ αμπελος; Jer. ii.* 21. *CITAT.* 274.

16 Μη τις πορνος, η βεβηλος ὡς Ησαυ, ὁς αντι βρωσεως μιας απεδοτο τα πρωτοτοκια αὑτου.

ὁ θρασυς και βεβηλος οὑτος. 3 *Mac. ii.* 14. *απεδοτο δε Ἡσαυ τα πρωτοτοκια τῳ Ιακωβ. Gen. xxv.* 33. *ἡ θηρα αυτου βρωσις αυτῳ.* 28. *και εφαυλισεν Ἡσαυ τα πρωτοτοκια.* 34. [*Ἡσαυ. Conf. Philo, p.* 215. *Edit. Col. Jos. Ant. i.* 18.] *και τα κορασια επωλουν αντι του οινου, και επινον. Joel. iii.* 3. *Conf. Gen. xxvi.* 34. *xxxvi.* 2. 25. 29-34. *Conf. Ephes. v.* 3. *Col. iii.* 5. 1 *Thess. iv.* 3. *ανθρωπος πορνος κ. τ. λ. Sir. xxiii.* 16, 17. *CITAT.* 275.

17 Ιστε γαρ, ὁτι και μετεπειτα θελων κληρονομησαι την ευλογιαν, απεδοκιμασθη· μετανοιας γαρ τοπον ουχ εὑρε, καιπερ μετα δακρυων εκζητησας αυτην.

αργυριον αποδεδοκιμασμενον καλεσατε αυτους, ὁτι απεδοκιμασεν αυτους Κυριος. Jer. vi. 30. *ανεβοησε φωνην μεγαλην και πικραν σφοδρα· και ειπεν, Ευλογησον δη καμε πατερ. Gen. xxvii.* 34-39. [*Laudat Philo, p.* 836. *Edit. Col.*] *ζητησουσι με κακοι, και*

ουχ εὑρησουσι. *Prov. i.* 28. παντες μετα δακρυων επεκαλεσαντο δεομενοι. 3 *Mac. v.* 7. [τῳ δε μη δεχομενῳ μετανοιαν Καϊν δι᾽ ὑπερβολην αγους αδελφοκτονιας κ. τ. λ. *Philo p.* 172. πολλαις γαρ ψυχαις μετανοιᾳ χρησθαι βουληθεισαις ουκ επετρεψεν ὁ Θεος, αλλ᾽ ὡσπερ ὑπο παλιρροιας εις τουμπαλιν ανεχωρησαν. *Alleg.*] ηυχετο δε ὁ μιαρος προς τον ουκετι αυτον ελεησοντα δεσποτην. 2 *Mac. ix.* 13. εδιδους τοπον μετανοιας. *Sap. xii.* 10. ὑποδειγμα μετανοιας. *Sir. xliv.* 16. ἑως ανεβη ὁ θυμος Κυριου εν τῳ λαῳ αυτου, ἑως ουκ ην ιαμα. 2 *Par. xxxvi.* 16. [*Jos. Ant. i.* 18. 8.]

18 Ου γαρ προσεληλυθατε ψηλαφωμενῳ ορει, και κεκαυμενῳ πυρι, και γνοφῳ, και σκοτῳ, και θυελλῃ,

προσηλθε τῳ Αχααβ. 1 *Reg. xx.* 13. ψηλαφητον σκοτος. *Exod. x.* 21. και εγενετο σκοτος, γνοφος, θυελλα. 22. βατος καιεται πυρι. *iii.* 2. *xix.* 10-18. και προσηλθετε και εστητε ὑπο το ορος. και το ορος εκαιετο πυρι ἑως του ουρανου· σκοτος, γνοφος, θυελλα. *Deut. iv.* 11. *v.* 22-26. *Conf. Ps. civ.* 32. *Rom. vi.* 14. 2 *Tim. i.* 7.

19 Και σαλπιγγος ηχῳ, και φωνῃ ῥηματων, ἡς οἱ ακουσαντες παρῃτησαντο μη προστεθηναι αυτοις λογον·

εν ηχῳ σαλπιγγος. *Ps. cl.* 3. φωνη της σαλπιγγος ηχει μεγα. *Exod. xix.* 16. ενωτιζου φωνην ῥηματων. *Job. xxxiv.* 16. εαν προσθωμεθα ἡμεις ακουσαι την φωνην Κυριου του Θεου ἡμων ετι, και αποθανουμεθα. *Deut. v.* 24-27. λαλησον συ ἡμιν, και μη λαλειτω προς ἡμας ὁ Θεος, μη αποθανωμεν. *Exod. xx.* 19. *Sir. l.* 16.

20 (Ουκ εφερον γαρ το διαστελλομενον, Καν θηριον θιγῃ του ορους, λιθοβοληθησεται η βολιδι κατατοξευθησεται.

ὁσα διεστειλατο αυτοις ὁ Θεος. *Judith. xi.* 12. αυτη ἡ διαστολη του νομου. *Num. xix.* 2. [ουκ διεστειλατο αυτοις ὁ Θεος. *Philo, de Somn. p.* 1127.] *Conf. Act. xv.* 24. πας ὁ ἁψαμενος του ορους, θανατῳ τελευτησει· ουχ ἁψεται αυτου χειρ· εν γαρ λιθοις λιθοβοληθησεται, η βολιδι κατατοξευθησεται· εαν τε κτηνος εαν τε ανθρωπος, ου ζησεται. *Exod. xix.* 12, 13. πως δυνησομαι μονος φερειν τον κοπον; *Deut. i.* 12. *Conf. Deut. xxxiii.* 2. *CITAT.* 276.

21 Και, οὑτω φοβερον ην το φανταζομενον, Μωσης ειπεν, Εκφοβος ειμι και εντρομος.)

Κυριος εποιησε φαντασιας. *Zach. x.* 1. και εγενοντο φωναι και αστραπαι και νεφελη γνοφωδης επ᾽ ορους Σινα· κ. τ. λ. *Exod. xix.* 16. και εκφοβος ειμι δια τον θυμον. *Deut. ix.* 19. εντρομος και

εμφοβος. 1 *Mac. xiii.* 2. φρικη μοι συνηντησε και τρομος. *Job. iv.* 14. ωφθη γαρ τις ἱππος αυτοις φοβερον εχων τον επιβατην. 2 *Mac. iii.* 25. *CITAT.* 277.

22 Αλλα προσεληλυθατε Σιων ορει, και πολει Θεου ζωντος, Ἱερουσαλημ επουρανιῳ· και μυριασιν αγγελων,

κατεσπευσεν—συν μυριασι. *Deut. xxxii.* 2. *vii.* 10. ὁτι εν τῳ ορει Σιων και εν Ἱερουσαλημ εσται ανασωζομενος, κ. τ. λ. *Joel. ii.* 32. το ἁρμα του Θεου μυριοπλασιον—Σινα εν τῳ ἁγιῳ. *Ps. lxvii.* 17. αλλα ζω εγω, και ζων το ονομα μου. *Num. xiv.* 21. δεδοξασμενα ελαληθη περι σου ἡ πολις του Θεου. *Ps. lxxxvi.* 3. και κληθησῃ Πολις Σιων ἁγιου Ισραηλ. *Esa. lx.* 14. και κατοικησει ὁ λαος αυτου εν πολει ειρηνης. *xxxii.* 18. [*Conf. Jos. Bell. Jud. v.* 4. 1. *v.* 5. 8.]

23 Πανηγυρει και εκκλησιᾳ πρωτοτοκων εν ουρανοις απογεγραμμενων· και κριτῃ Θεῳ παντων· και πνευμασι δικαιων τετελειωμενων,

και πανηγυρισατε εν αυτῃ παντες οἱ αγαπωντες. *Esa. lxvi.* 10. τι ποιησετε εν ἡμερᾳ πανηγυρεως; *Ose. ix.* 5. [θρονοι και εξουσιαι αει ὑμνους τῳ Θεῳ προσφερουσι. *Test. XII Patr. p.* 548.] εν εκκλησιᾳ ὑψιστου. *Sir. xxiv.* 2. *Conf. Dan. iv.* 14. απογραφηναι δε παν το φυλον εξ ονοματος. 3 *Mac. iv.* 14. υἱος πρωτοτοκος μου Ισραηλ. *Exod. iv.* 22. *Jer. xxxviii.* 9. ὁτι Θεος κριτης εστι. *Ps. xlix.* 6. *lxxiv.* 7. πνευματα και ψυχαι δικαιων. *Cant. III Puer.* 63. [ἡ παιδεια σου εφ' ἡμας, ὡς υἱον πρωτοτοκον μονογενη. *Psalt. Sal. p.* 970.] εις πατερων χορον συναγελαζονται, ψυχας ἁγνας και αθανατους απειληφοτες παρα του Θεου. 4 *Mac. sub. fin. Conf. Ps. lxxxviii.* 7. *cxlviii.* 2. *Dan. vii.* 10. *Ezech. xlvi.* 11. *Job. xiv.* 14. *Luc. x.* 20. *Rom. viii.* 23. *Phil. iv.* 3. *Apoc. v.* 11-14. *xiii.* 8.

24 Και διαθηκης νεας μεσιτῃ Ιησου, και αἱματι ῥαντισμου, κρειττονα λαλουντι παρα τον Αβελ.

και στησω την διαθηκην μου μεθ' ὑμων. *Lev. xxvi.* 9. και διαθησομαι διαθηκην καινην. *Jer. xxxviii.* 31. μεσιτης. *Job. ix.* 33. εις την μετακινησιν και εις τον ῥαντισμον. *Zach. xiii.* 1. *Ald.* ὑδωρ ῥαντισμου. *Num. xix.* 9. ῥαντιεις με ὑσσωπῳ, και καθαρισθησομαι. *Ps. l.* 7. φωνη αἱματος του αδελφου σου βοᾳ προς με εκ της γης. *Gen. iv.* 10. 2 *Mac. viii.* 3. [μαρτυρησει δε το χρησθεν λογιον, (*Gen. iv.* 10.) εν ᾧ φωνῃ χρωμενος και βοων κ. τ. λ. *Philo, p.* 200. *Edit. Mangey. Conf. pp.* 120, 131. *Edit. Col.*] *Conf. Matt. xxvi.* 28. 1 *Tim. ii.* 5. 1 *Pet. i.* 2. λαβων δε Μωυσης το αἱμα,

κατεσκεδασε του λαου, και ειπεν, Ιδου το αἱμα της διαθηκης, κ. τ. λ. *Exod. xxiv.* 8. [*Jos. Ant. i.* 2. 1.]

25 Βλεπετε μη παραιτησησθε τον λαλουντα. ει γαρ εκεινοι ουκ εφυγον, τον επι της γης παραιτησαμενοι χρηματιζοντα, πολλῳ μαλλον ἡμεις οἱ τον απ᾽ ουρανων αποστρεφομενοι·

Conf. Exod. xvi. 29. *Num. xiv.* 23. χρηματιζειν. *Jer. xxxiii.* 2. *xxxvi.* 4. και λογον εχρηματισαν. *xxxvi.* 23. [χρηματισαντος αυτῳ του Θεου. *Jos. Ant. x.* 1. 3.] *Conf. cap. i.* 2. *ii.* 1. αποστρεφομενοι. *Conf.* 3 *Mac. iii.* 23. *Sap. xvi.* 23. *Jer. xi.* 10. *Zach. vii.* 11. [πασαν τιμην παραιτησαμενος. *Jos. Ant. iii.* 8. 8.]

26 Οὑ ἡ φωνη την γην εσαλευσε τοτε, νυν δε επηγγελται λεγων, Ετι ἁπαξ, εγω σειω ου μονον την γην, αλλα και τον ουρανον.

και εσαλευθη και εντρομος εγενηθη ἡ γη. *Ps. xvii.* 7. *xcv.* 9. *lxxxi.* 5. ετι ἁπαξ εγω σεισω τον ουρανον και την γην. *Agg. ii.* 7. επηγγελται. *Est. iv.* 7. *CITAT.* 278.

27 Το δε, Ετι ἁπαξ, δηλοι των σαλευομενων την μεταθεσιν, ὡς πεποιημενων, ἱνα μεινῃ τα μη σαλευομενα.

απο παντων των εργων αυτου, ὡν εποιησε. *Gen. ii.* 2. αυτοι απολουνται, συ δε διαμενεις. *Ps. ci.* 26. ὁ Κυριος εις τον αιωνα μενει. *ix.* 7. ὁ Κυριος εβασιλευσεν—σαλευθητω ἡ γη. *xcviii.* 1. μεταθεσις. 2 *Mac. xi.* 24. *Conf. Matt. xxiv.* 35. 2 *Pet. iii.* 10. *Apoc. xxi.* 1. αδικιαν, αδικιαν, αδικιαν θησομαι αυτην, ουαι αυτῃ, τοιαυτη εσται ἑως οὑ ελθῃ ᾡ καθηκει, κ. τ. λ. *Ezech. xxi.* 27.

28 Διο βασιλειαν ασαλευτον παραλαμβανοντες, εχωμεν χαριν, δι᾽ ἡς λατρευωμεν ευαρεστως τῳ Θεῳ, μετα αιδους και ευλαβειας.

και παραληψονται την βασιλειαν ἁγιοι Ὑψιστου, και καθεξουσιν αυτην ἑως αιωνος των αιωνων. *Dan. vii.* 18. 2 *Mac. x.* 11. πολλας χαριτας εχε. 2 *Mac. iii.* 33. και λατρευσατε αυτῳ—εν δικαιοσυνῃ. *Jos. xxiv.* 14. ευαρεστος τῳ Θεῳ. *Sap. iv.* 10. ευαρεστησω ενωπιον Κυριου. *Ps. cxiv.* 9. εν φοβῳ και τρομῳ. *ii.* 11. *Conf.* 1 *Pet. ii.* 5. *Luc. i.* 33. *ix.* 10. φοβεισθαι το ονομα το εντιμον το θαυμαστον τουτο, Κυριον τον Θεον σου. *Deut. xxviii.* 58. ουκ αιδεσθεις το δικαιον. 2 *Mac. iv.* 34. [αιδεσθητι τον Κυριον. *Test. XII Patr. p.* 706. ευλαβεια Θεου. *Philo, de Cherub. p.* 113. επι γερουσιν αιδω. *Jos. Ant. vi.* 12. 7.]

29 Και γαρ ὁ Θεος ἡμων πυρ καταναλισκον.

ὁτι Κυριος ὁ Θεος σου πυρ καταναλισκον εστι. *Deut. iv.* 24. *ix.* 3. *xxxii.* 22. και γαρ. *Sir. xxxv.* 23. *xlviii.* 11. *CITAT.* 279.

ΚΕΦ. ιγ. 13.

Η ΦΙΛΑΔΕΛΦΙΑ μενετω·

φιλαδελφια συμπαθουσα—αδελφικως αποθανωμεν. 4 *Mac.* 13. παντα ταυτα ζῃ και μενει εις τον αιωνα. *Sir. xlii.* 23. *Matt. xxiii.* 8. *Ephes. iv.* 3. *Amos. i.* 9. εις παντα καιρον φιλος ὑπαρχετω σοι, αδελφοι δε εν αναγκαις χρησιμοι εστωσαν, τουτου γαρ χαριν γεννωνται. *Prov. xvii.* 17. ιδου δη τι καλον, η τι τερπνον, αλλ' η το κατοικειν αδελφους επιτοαυτο; *Ps. cxxxii.* 1.

2 Της φιλοξενιας μη επιλανθανεσθε, δια ταυτης γαρ ελαθον τινες ξενισαντες αγγελους.

εξω δε ουκ ηυλιζετο ξενος, ἡ δε θυρα μου παντι ελθοντι ανεῳκτο. *Job. xxxi.* 32. [ἡνικα μεν γαρ ὁ σοφος ἱκετευει τους εοικοτας ὁδοιποροις τρισι, ξενισθηναι παρ' αυτῳ. *Philo, de Abrah. p.* 368. *Jos. Ant. i.* 10. 5. *Bell. Jud. iii.* 7. 3.] *Conf. Gen. xviii.* 1-3. *xix.* 1. μη οκνει επισκεπτεσθαι αῤῥωστον, εκ γαρ των τοιουτων αγαπηθησῃ. *Sir. vii.* 35. μη επιλαθῃ των πενητων. *Ps. ix.* 12. [ελαθον. *sc.* ἑαυτους. *inscii hospitio exceperunt. Wetstein.*]

3 Μιμνησκεσθε των δεσμιων, ὡς συνδεδεμενοι· των κακουχουμενων, ὡς και αυτοι οντες εν σωματι.

Conf. Gen. xl. 14, 15. 23. *Neh. i.* 3, 4. ἡ ψυχη Ιωναθαν συνεδεθη τῃ ψυχῃ Δαυιδ. 1 *Reg. xviii.* 1. *Alex. Ald. Comp.* αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους. *Zach. ix.* 11. [συνδεδεμενοι· = συνδετους. *Jos. Ant. xviii.* 6. 7.] μη ὑστερει απο κλαιοντων, και μετα πενθουντων πενθησον. *Sir. vii.* 34. *viii.* 5-7. και αγαπησετε τον προσηλυτον, προσηλυτοι γαρ ητε εν γῃ Αιγυπτῳ. *Deut. x.* 19.

4 Τιμιος ὁ γαμος εν πασι, και ἡ κοιτη αμιαντος· πορνους δε και μοιχους κρινει ὁ Θεος.

εμιανας την στρωμνην. *Gen. xlix.* 4. διατηρησον—αμιαντον οικον. 2 *Mac. xiv.* 36. *Sap. iii.* 13. *Tob. viii.* 6, 7. και κρινω αυτον θανατῳ. *Ezech. xxxviii.* 22. κοιτῃ. *Lev. xviii.* 22. *xx.* 13. [*Conf. Jos. Ant. iv.* 8. 40.] *Conf.* 1 *Cor. vi.* 9. *Gen. i.* 27. *ii.* 21. *Mal. iii.* 5. *Sir. xlvii.* 19, 20. τιμιος. *Ps. cxv.* 15. ὁ μοιχος δι' ενδειαν φρενων απωλειαν τῃ ψυχῃ αυτου περιποιειται. *Prov. vi.* 32.

5 Αφιλαργυρος ὁ τροπος· αρκουμενοι τοις παρουσιν. αυτος γαρ ειρηκεν, Ου μη σε ανω, ουδ᾽ ου μη σε εγκαταλιπω·

τον δε τροπον βαρβαρωτερον εχοντα. 2 Mac. v. 22. θηριων τροπον. 27. και ουκ αρκεσθεις δε τουτοις. 15. και δῳ μοι αρτον φαγειν, και ἱματιον περιβαλεσθαι. Gen. xxviii. 20. οὐκ ανησει σε ουδε μη σε εγκαταλιπῃ. Deut. xxxi. 6. 8. [τα ηθη και τους τροπους. Jos. Ant. vi. 12. 7.] Jos. i. 5. 1 Par. xxviii. 20. Conf. Prov. xv. 16. Matt. vi. 25. Phil. iv. 11. CITAT. 280.

6 Ὡστε θαῤῥουντας ἡμας λεγειν, Κυριος εμοι βοηθος, και ου φοβηθησομαι τι ποιησει μοι ανθρωπος·

θαῤῥουσα λεγει. Prov. i. 21. Κυριος εμοι βοηθος, κ. τ. λ. Ps. cxvii. 6. lv. 4. CITAT. 281.

7 Μνημονευετε των ἡγουμενων ὑμων, οἱτινες ελαλησαν ὑμιν τον λογον του Θεου, ὡν αναθεωρουντες την εκβασιν της αναστροφης, μιμεισθε την πιστιν.

οἱ ἡγουμενοι εκκλησιας. Sir. xxx. 18. ταυτα τα μαρτυρια—ὁσα ελαλησε Μωυσης τοις υἱοις Ισραηλ. Deut. iv. 45. και πειρασωμεν τα εν εκβασει αυτου. Sap. ii. 17. ισθι πεπαιδευμενος εν πασῃ αναστροφῃ. Tob. iv. 14. Conf. 1 Thess. v. 12. Cap. vi. 12. οἱτινες. Conf. Exod. xxxii. 10. [ὑποτασσομενοι τοις ἡγουμενοις ὑμων, και τιμην την καθηκουσαν απονεμοντες τοις παρ᾽ ὑμιν πρεσβυτεροις. κ. τ. λ. Clem. Rom. i. 1.]

8 Ιησους Χριστος χθες και σημερον ὁ αυτος, και εις τους αιωνας.

και χθες και τριτην ἡμεραν, και το της σημερον. Exod. v. 14. Conf. Gen. xxxi. 2. εμοι χθες, και σοι σημερον. Sir. xxxviii. 22. συ δε Κυριε εις τον αιωνα μενεις. Ps. ci. 12. συ δε ὁ αυτος ει. Conf. Joan. iii. 13. vi. 46. Rom. ix. 5. Apoc. i. 8. Cap. i. 3. εγω Θεος πρωτος, και εις τα επερχομενα Εγω Ειμι. Esa. xli. 4. xliv. 6. Εγω Κυριος—και ουκ ηλλοιωμαι. Mal. iii. 6. ουχι συ ει αυτος; Jer. xiv. 22.

9 Διδαχαις ποικιλαις και ξεναις μη περιφερεσθε· καλον γαρ χαριτι βεβαιουσθαι την καρδιαν, ου βρωμασιν, εν οἱς ουκ ωφεληθησαν οἱ περιπατησαντες.

ἡ συκοφαντια περιφερει σοφον, κ. τ. λ. Eccles. vii. 7. ξεναις. Sap. xvi. 2, 3. ενταλματα ανθρωπων και διδασκαλιας. Esa. xxix. 13. βεβαιωσον με εν τοις λογοις σου. Ps. cxviii. 28. xl. 13. εστηρικται ἡ καρδια αυτου. cxi. 8. cxvii. 8, 9. εξ ἡς ουκ ωφεληθησονται. Jer. ii. 11. Conf. Jer. xxvi. 8. Matt. xxiv. 4. Rom. xiv. 17. Ephes.

iv. 4. εμπιστευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε. κ. τ. λ. 2 *Par. xx.* 20. *Prov. x.* 25. στητε επι ταις ὁδοις, και ιδετε, και ερωτησατε τριβους Κυριου αιωνιους. κ. τ. λ. *Jer. vi.* 16. *Conf. Ps. lxxxviii.* 21.

10 Εχομεν θυσιαστηριον, εξ οὑ φαγειν ουκ εχουσιν εξουσιαν οἱ τῃ σκηνῃ λατρευοντες.

και αἱ θυσιαι αυτων εσονται δεκται επι το θυσιαστηριον μου κ. τ. λ. *Esa. lvi.* 7. *Ps. l.* 19. εργαζεσθαι τα εργα της σκηνης. *Num. iii.* 7, 8. *vii.* 5. *Conf.* 1 *Cor. v.* 7.

11 Ὡν γαρ εισφερεται ζωων το αἱμα περι ἁμαρτιας εις τα ἁγια δια του αρχιερεως, τουτων τα σωματα κατακαιεται εξω της παρεμβολης·

τα δε κρεατα του μοσχου, και το δερμα, και την κοπρον κατακαυσεις πυρι εξω της παρεμβολης· ἁμαρτιας γαρ εστι. *Exod. xxix.* 14. *Lev. viii.* 17. *xvi.* 27. *Num. xix.* 3. εισφερειν εδεσματα. *Dan. vi.* 18. [πρωτον μεν, φησι, τοπος ιστω σοι εξω της παρεμβολης, κ. τ. λ. *Philo,* 2 *lib. Alleg. p.* 68.] ὁτι περι ἁμαρτιας εστι. *Lev. v.* 11. και παντα τα περι της ἁμαρτιας. *vi.* 30.

12 Διο και Ιησους, ἱνα ἁγιασῃ δια του ιδιου αἱματος τον λαον, εξω της πυλης επαθε.

ἡ πυλη της παρεμβολης. *Exod. xxxii.* 26, 27. *Conf. Joan. xix.* 18. καθαρσιον αυτων ποιησαι το εμον αἱμα, και αντι ψυχων αυτων λαβε την εμην ψυχην. 4 *Mac.* § 6. ἁγιασῃ. *Conf. Exod. xxix.* 33, 36. εν αἱματι διαθηκης σου, κ. τ. λ. *Zach. ix.* 11, 12.

13 Τοινυν εξερχωμεθα προς αυτον εξω της παρεμβολης, τον ονειδισμον αυτου φεροντες·

τοινυν. *Esa. iii.* 10. εξηγαγε Μωυσης τον λαον—εκ της παρεμβολης. *Exod. xix.* 17. και ονειδισμον εθνων ου μη ενεγκωσιν ετι. *Ezech. xxxiv.* 29. *Ps. lxxxviii.* 50, 51. *Esa. liii.* 4. *Conf. Col. i.* 24. *Rom. viii.* 17. 1 *Pet. iv.* 13. ὁτι ἑνεκα σου ὑπηνεγκα ονειδισμον— και οἱ ονειδισμοι των ονειδιζοντων σε επεπεσον επ' εμε. *Ps. lxviii.* 7-9. *Act. v.* 41.

14 Ου γαρ εχομεν ὡδε μενουσαν πολιν, αλλα την μελλουσαν επιζητουμεν.

Conf. cap. xi. 13. και το ονομα της πολεως—γενηται Εσται, [יהוה] το ονομα αυτης. *Ezech. xlviii.* 35.

15 Δι' αυτου ουν αναφερωμεν θυσιαν αινεσεως διαπαντος τῳ Θεῳ, τουτεστι καρπον χειλεων ὁμολογουντων τῳ ονοματι αυτου.

θυσια αινεσεως. *Ps. xlix.* 14. καρπον χειλεων. *Ose. xiv.* 3. *Prov. xviii.* 20. εθυσαν θυσιαν σωτηριου και αινεσεως. 1 *Mac. iv.* 56. δοτε ὁμολογιαν και δοξαν τῳ Κυριῳ. 1 *Esd. ix.* 8. ὁ ἱερευς ὁ αναφερων. *Lev. vi.* 26. καρπωσαι εναντιον σου. *Cant. Tri. Lib.* 14. ὁμολογησω. *Job. xl.* 9. *Ps. xlii.* 4. *xliii.* 8. ακροβυστος χειλεσι. *Exod. vi.* 12. *Aq.* απεριτμητος χειλεσι. *Theod.*

16 Της δε ευποιϊας και κοινωνιας μη επιλανθανεσθε· τοιαυταις γαρ θυσιαις ευαρεστειται ὁ Θεος.

ευηρεστησε δε Ενωχ τῳ Θεῳ. *Gen. v.* 22. 24. ευαρεστησω ενωπιον Κυριου εν χωρᾳ ζωντων. *Ps. cxiv.* 9. εμων νομιμων μη επιλανθανου. *Prov. iii.* 1. *Ps. xlix.* 23. ὁτι μικρον πασα θυσια εις οσμην ευωδιας, και ελαχιστον παν στεαρ εις ὁλοκαυτωμα σοι· ὁ δε φοβουμενος τον Κυριον, μεγας διαπαντος. *Judith. xvi.* 16. ελπισον επι Κυριον, και ποιει χρηστοτητα. *Ps. xxxvi.* 3. τοτε ευδοκησεις θυσιαν δικαιοσυνης αναφοραν. *l.* 19. ευποιησον ευσεβει, και εὑρησεις ανταποδομα, και ει μη παρ᾽ αυτου, αλλα παρα ὑψιστου. *Sir. xii.* 2. *xlii.* 3. *Prov. iv.* 4.

17 Πειθεσθε τοις ἡγουμενοις ὑμων και ὑπεικετε· αυτοι γαρ αγρυπνουσιν ὑπερ των ψυχων ὑμων, ὡς λογον αποδωσοντες· ἱνα μετα χαρας τουτο ποιωσι, και μη στεναζοντες· αλυσιτελες γαρ ὑμιν τουτο.

των ἡδονων κρατειν, μηδε αυταις ὑπεικειν. 4 *Mac.* 6. αγρυπνειν. *Esd. viii.* 29. 1 *Esd. viii.* 59. *Sap. vi.* 15. και του αποδιδοναι αυτοις—λογον. *Dan. vi.* 2. καθεστακα εφ᾽ ὑμας σκοπους κ. τ. λ. *Jer. vi.* 17. που εστι το ποιμνιον ὁ εδοθη σοι; *xiii.* 20. ἑξει καρπον εν επισκοπῃ ψυχων. *Sap. iii.* 13. δοσις αφρονος ου λυσιτελησει σοι. *Sir. xx.* 14. *Conf. Ezech. xxxiii.* 2. 8. *Phil. ii.* 29. 1 *Tim. v.* 17. εαν δε μη ακουσητε, κεκρυμμενως κλαυσεται ἡ ψυχη ὑμων—ὁτι συνετριβη το ποιμνιον Κυριου. *Jer. xiii.* 17.

18 Προσευχεσθε περι ἡμων· πεποιθαμεν γαρ, ὁτι καλην συνειδησιν εχομεν, εν πασι καλως θελοντες αναστρεφεσθαι·

και προσευξεται περι σου. *Gen. xx.* 7. και νυν ὡδε εσμεν προσευχομενοι περι ὑμων. 2 *Mac. i.* 6. ὁς αναστρεφεται αμωμος εν δικαιοσυνῃ. *Prov. xx.* 7. *Act. xxiii.* 1. *Rom. xv.* 30. 2 *Cor. i.* 12. ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. *Job. xxvii.* 6. *Sir. xiv.* 2.

19 Περισσοτερως δε παρακαλω τουτο ποιησαι, ἱνα ταχιον αποκατασταθω ὑμιν.

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. ταχιον. 1 *Mac. ii.*

40. *Sap. xiii.* 9. *Joan. xx.* 4. συ ει ὁ αποκαθιστων την κληρονομιαν μου εμοι. *Ps. xv.* 5. *Esa. i.* 26. *Sym. Theod. Conf. Philem.* 22. 1 *Esd. i.* 31. *Ezech. xvi.* 55. *Tob. x.* 13.

20 Ὁ δε Θεος της ειρηνης, ὁ αναγαγων εκ νεκρων τον ποιμενα των προβατων τον μεγαν εν αἱματι διαθηκης αιωνιου, τον Κυριον ἡμων Ιησουν,

μεγαλη ἡ αρχη αυτου, και της ειρηνης αυτου ουκ εστιν ὁριον. *Esa. ix.* 7. αρχων ειρηνης. 6. *Theod.* ὁ ποιμαινων τον Ισραηλ. *Ps. lxxix.* 1. καταγεις εις πυλας ᾁδου και αναγεις. *Sap. xvi.* 13. και αναστησω επ' αυτους ποιμενα ἑνα. *Ezech. xxxiv.* 23. εκ των αβυσσων της γης παλιν ανηγαγες με. *Ps. lxx.* 20. ποιμην προβατων. *Gen. iv.* 2. *Conf. Ps. lxxviii.* 13. ὡς ποιμην ποιμανει το ποιμνιον αυτου. *Esa. xl.* 11. εις διαθηκην αιωνιον. *Gen. xvii.* 7. ὁ ανθρωπος της ειρηνης μου. *Ps. xl.* 9. *Conf. Act. ii.* 24. 2 *Pet. ii.* 25. και συ εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους σου εκ λακκου ουκ εχοντος ὑδωρ. *Zach. ix.* 11. ουκ εγκαταλειψεις την ψυχην μου εις ᾁδην, κ. τ. λ. *Ps. xv.* 10.

21 Καταρτισαι ὑμας εν παντι εργῳ αγαθῳ, εις το ποιησαι το θελημα αυτου, ποιων εν ὑμιν το ευαρεστον ενωπιον αὑτου, δια Ιησου Χριστου· ᾧ ἡ δοξα εις τους αιωνας των αιωνων· αμην.

καταρτιζομενος τους ποδας μου. *Ps. xvii.* 33. διδαξον με του ποιειν το θελημα σου. *cxlii.* 10. ἱνα συμπαρουσα μοι κοπιασῃ, και γνω τι ευαρεστον εστι παρα σοι. *Sap. ix.* 10. ευαρεστει ενωπιον εμου, και γινου αμεμπτος. *Gen. xvii.* 1. ευαρεστος τῳ Θεῳ. *Sap. iv.* 10. ητω ἡ δοξα Κυριου εις τους αιωνας. *Ps. ciii.* 31. *Alex. Ald. Comp.* [*Vat.* τον αιωνα.] *Conf. Ps. lxvii.* 9. *Num. vi.* 25. 2 *Cor. iii.* 5. *Phil. ii.* 13. 1 *Thess. v.* 23. Κυριε το ελεος σου εις τον αιωνα, τα εργα των χειρων σου μη παριδῃς. *Ps. cxxxvii.* 8. ᾧ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. sub. fin.*

22 Παρακαλω δε ὑμας, αδελφοι, ανεχεσθε του λογου της παρακλησεως· και γαρ δια βραχεων επεστειλα ὑμιν.

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. λογος παρακλησεως. *Conf. Act. xiii.* 15. [δια βραχεων. *Jos. Bell. Jud. iv.* 5. 4.] δυναμενος ανεχεσθαι. 2 *Mac. ix.* 12. *Esa. i.* 13. δι' ολιγων. 2 *Mac. vi.* 17. [πατρος μεν η μητρος επιταγματων παιδες ανεχονται. *Philo, p.* 870.] και γαρ. *Sir. xlviii.* 12.

23 Γινωσκετε τον αδελφον Τιμοθεον απολελυμενον, μεθ' οὑ, (εαν ταχιον ερχηται,) οψομαι ὑμας,

νυν ταχιον ἡμας εξολοθρευσουσιν απο της γης. 1 *Mac. ii.* 40. *Conf.*

2 Cor. i. i. Col. i. 1. απολελυμενον. *Conf.* 1 *Mac. x.* 43. 2 *Mac. iv.* 47. απολυθῃ του θανατου. *vi.* 22.

24 Ασπασασθε παντας τους ἡγουμενους ὑμων και παντας τους ἁγιους· ασπαζονται ὑμας οἱ απο της Ιταλιας.

Conf. 1 *Mac. xii.* 17. οἱ εν Ἱεροσολυμοις Ιουδαιοι. 2 *Mac. i.* 1. ἁγιοι κληθησονται κ. τ. λ. *Esa. iv.* 3. 3 *Mac. i.* 8. ἡγουμενους. *Sir. xxxv.* 1.

25 Ἡ χαρις μετα παντων ὑμων. αμην.

Κυριος μεθ' ὑμων. *Ruth. ii.* 4. πορευου εις ειρηνην. 1 *Reg. xxix.* 7. ειρηνη επι τον Ισραηλ. *Ps. cxxiv.* 5. Αμην. *Neh. v.* 13.

[Προς Ἑβραιους εγραφη απο της Ιταλιας δια Τιμοθεου.]



ΙΑΚΩΒΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

ΚΕΦ. α. 1.

ΙΑΚΩΒΟΣ Θεου και Κυριου Ιησου Χριστου δουλος, ταις δωδεκα φυλαις ταις εν τῃ διασπορᾳ, χαιρειν.

ετελευτησεν Ιησους—δουλος Κυριου. *Jud. ii.* 8. επισυναγαγε την διασποραν ἡμων. 2 *Mac. i.* 27. *Ps. cxlvi.* 2. *Ezech. xxii.* 15. *Deut. xxx.* 4. εις τας δωδεκα φυλας του Ισραηλ. *Exod. xxiv.* 4. *Jer. xxxvii.* 11. *Comp. Theod.* ὁ συναγων τους διεσπαρμενους Ισραηλ. *Esa. lvi.* 8. βασιλευς Αρταξερξης Εσδρα τῳ ἱερει και αναγνωστῃ του νομου Κυριου χαιρειν. 1 *Esd. xiii.* 9, 10. 2 *Mac. ix.* 19. *Conf. Act. viii.* 1. 4. *xv.* 23. *xxiii.* 26. *Joan. vii.* 35. 1 *Pet. i.* 1. 2 *Joan.* 10. [το γαρ Ιουδαιων γενος πολυ μεν κατα πασαν την οικουμενην παρεσπαρται τοις επιχωριοις· πλειστον δε τῃ Συριᾳ ανεμεμιγμενον. *Jos. Bell. Jud. vii.* 3. 3. *apud Bretschn. De Judæis* εν τῃ διασπορᾳ, *conf. Jos. c. Ap. i.* 7. Ιακωβος· Τον αδελφον Ιησου του λεγομενου Χριστου, Ιακωβος ονομα αυτῳ, κ.τ.λ. *Ant. xx.* 8. 1.] [συναγαγε την διασποραν Ισραηλ μετ' ελεου και χρηστοτητος. *Psalt. Sal. p.* 943.]

2 Πασαν χαραν ἡγησασθε, αδελφοι μου, ὁταν πειρασμοις περι-
πεσητε ποικιλοις,

παρα ταυτα παντα ευχαριστησωμεν Κυριῳ τῳ Θεῳ ἡμων, ὁς πειραζει ἡμας καθα και τους πατερας ἡμων. Judith. viii. 25-27. ηξιωσαν τον Κυριον, πεσοντες επι κοιλιαν, μηκετι περιπεσειν τοιουτοις κακοις, αλλ' εαν ποτε και ἁμαρτωσιν, ὑπ' αυτου μετ' επεικειας παιδευεσθαι κ. τ. λ. 2 Mac. x. 4. νουθετημα δε παντοκρατορος μη απαναινου. Job. v. 17. ασεβεια δε περιπιπτει αδικια. Prov. xi. 5. Conf. Matt. v. 11. 1 Pet. i. 6. Tob. vii. 18. τεκνον, ει προσερχῃ δουλευειν Κυριῳ, ἑτοιμασον την ψυχην σου εις πειρασμον, κ. τ. λ. Sir. ii. 1-6. αγαθον πορευθηναι εις οικον πενθους, κ. τ. λ. Eccles. vii. 3.

3 Γινωσκοντες ὁτι το δοκιμιον ὑμων της πιστεως κατεργαζε-
ται ὑπομονην·

δοκιμιον αργυριῳ και χρυσῳ πυρωσις, κ. τ. λ. Prov. xxvii. 21. Ps. xi. 6. lxv. 10. δυναμωσον ὁ Θεος τουτο, ὁ κατειργασω εν ἡμιν. lxvii. 28. Ald. Comp. Conf. Rom. v. 3. 1 Pet. iv. 12. Heb. xii. 11. και ολιγα παιδευθεντες μεγαλα ευεργετηθησονται, ὁτι ὁ Θεος επειρασεν αυτους, και εὑρεν αυτους αξιους ἑαυτου. Sap. iii. 5. μακαριος ὁ ὑπομενων, κ. τ. λ. Dan. xii. 12. Deut. xxxiii. 25-27.

4 Ἡ δε ὑπομενη εργον τελειον εχετω, ἱνα ητε τελειοι και ὁλο-
κληροι, εν μηδενι λειπομενοι.

ὁλοκληρος δικαιοσυνη. Sap. xv. 3. Νωε ανθρωπος δικαιος, τελειος κ. τ. λ. Gen. vi. 9. [νομος θυσιαν κελευει ὁλοκληρον και παντελη ὁλοκληρῳ και παντελει Θεῳ. Philo, de Victim. p. 838. ασινη τε και αμωμα τελεια τε αυ και ὁλοκληρα διαφυλαττοντας. p. 496.] [χρηστος ὁ Κυριος τοις επικαλουμενοις αυτον εν ὑπομονῃ. Psalt. Sal. ii. 40.] ὑπομενων ὑπομεινον τον Κυριον, και προσεσχε μοι, και εισηκουσῃ της δεησεως μου. Ps. xxxix. 1. xxxiii. 10.

5 Ει δε τις ὑμων λειπεται σοφιας, αιτειτω παρα του διδοντος
Θεου πασιν ἁπλως, και μη ονειδιζοντος, και δοθησεται αυτῳ.

αιτεισθε παρα Κυριου. Zach. x. 1. κατατρυφησον του Κυριου, και δωσει σοι τα αιτηματα της καρδιας σου. Ps. xxxvi. 4. Prov. xvii. 27. ολιγα δωσει, και πολλα ονειδισει. Sir. xx. 15. ὁτι Κυριος διδωσι σοφιαν. Prov. ii. 6. ανοητῳ επερωτησαντι σοφιαν σοφια λογισθησεται. xvii. 28. ii. 3. Jer. xxxvi. 12. Matt. xxi. 22. Luc. xi. 9. Esa. xlii. 3. μετα το δουναι, μη ονειδιζε. Sir. xli. 22. ἁπλως. Sap. xvi. 27. 2 Mac. vi. 7. [ουδε μιας αρετης απελειπετο. Jos. Ant. ix. 11. 2.] ἡ δε σοφια ποθεν εὑρεθη; ποιος δε τοπος εστι της επιστημης; Job. xxviii. 12. αυτος (Κυριος) εκτισεν αυτην

(σοφιαν), και εξηριθμησεν αυτην—και εχορηγησεν αυτην τοις αγαπωσιν αυτον. *Sir. i.* 8-14. *Conf. Sap. vi.* 12. *viii.* 21. *ix.* 10. εν τῃ νυκτι εκεινῃ ωφθη Θεος τῳ Σαλωμων, και ειπεν αυτῳ, Αιτησαι τι σοι δω. κ. τ. λ. 2 *Par. i.* 7-12. επεθυμησας σοφιαν, διατηρησον εντολας, και Κυριος χορηγησει σοι. *Sir. i.* 25. *xxxii.* 7. *Conf. Esa. xlii.* 3. *xlv.* 11. *Ps. lxxii.* 28.

6 Αιτειτω δε εν πιστει, μηδεν διακρινομενος· ὁ γαρ διακρινο-
μενος εοικε κλυδωνι θαλασσης ανεμιζομενῳ και ῥιπιζομενῳ.

εν πιστει. *Jer. xxxix.* 41. μη ολιγοψυχησης εν τῃ προσευχῃ σου. *Sir. vii.* 10. οἱ δε αδικοι κλυδωνισθησονται, και αναπαυσασθαι ου δυνησονται. *Esa. lvii.* 20. μη προσελθῃς αυτῳ (Κυριῳ) εν καρδιᾳ δισσῃ. *Sir. i.* 28. *xxxvi.* 2. 1 *Joan. iii.* 22. *Conf. Sap. xii.* 16-17. και εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. εμπιστευσατε εν Κυριῳ—και εμπιστευθησεσθε. κ. τ. λ. 2 *Par. xx.* 20.

7 Μη γαρ οιεσθω ὁ ανθρωπος εκεινος, ὁτι ληψεται τι παρα
του Κυριου.

εγω μεν οιμαι. 4 *Mac.* 1. μη γαρ οιεσθω. = 1 *Reg. xvii.* 32. *xxv.* 25. οὑτος ληψεται ευλογιαν παρα Κυριου. *Ps. xxiii.* 5. [ενομισας εσεσθαι με ὡς σε, κ. τ. λ. *xlix.* 21. *Sym.* θυσιαι ασεβων βδελυγμα Κυριῳ, κ. τ. λ. *Prov. xv.* 8. *Esa. i.* 15. υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20.

8 Ανηρ διψυχος, ακαταστατος εν πασαις ταις ὁδοις αὑτου.

δικαιος Κυριος εν πασαις ταις ὁδοις αυτου. *Ps. cxliv.* 17. και αἱ ὁδοι αυτου ηκαταστατηθησαν. *Tob. i.* 15. ακαταστατος. *Esa. liv.* 11. [διψυχος. *Clem. Rom. i.* 23.] μη λικμα εν παντι ανεμῳ, και μη πορευου εν πασῃ ατραπῳ· οὑτως ὁ ἁμαρτωλος ὁ διγλωσσος. *Sir. v.* 9. ουαι—ἁμαρτωλῳ επιβαινοντι επι δυο τριβους. *ii.* 12. *Conf. Esa. xxix.* 13. *Ps. xi.* 2. *Sym.*

9 Καυχασθω δε ὁ αδελφος ὁ ταπεινος εν τῳ ὑψει αὑτου·

μη καυχασθω ὁ σοφος εν τῃ σοφιᾳ αυτου, και μη καυχασθω ὁ πλουσιος εν τῳ πλουτῳ αυτου. *Jer. ix.* 23. εν τῳ ὑψει σου. *Ezech. xxxi.* 2. τον ποιουντα ταπεινους εις ὑψος. *Job. v.* 11. καγω ανηρ ταπεινος, και ουχι ενδοξος. 1 *Reg. xviii.* 23. πλουσιοι εν ταπεινῳ καθησονται. *Eccles. x.* 6. ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον. *Sir. iii.* 18. *Ps. xxix.* 6, 7.

10 Ὁ δε πλουσιος εν τῃ ταπεινωσει αὑτου, ὁτι ὡς ανθος χορ-
του παρελευσεται.

ὁτι ὡσει χορτος ταχυ αποξηρανθησονται. *Ps. xxxvi.* 2. ὡσει ανθος του αγρου. *cii.* 15. *Job. xiv.* 2. το πρωϊ ὡσει χλοη παρελθοι. *Ps. lxxxix.* 5. αγαθον μοι ὁτι εταπεινωσας με, ὁπως αν μαθω τα

δικαιωματα σου. Ps. cxviii. 71. αὐτη με παρεκαλεσεν εν τῃ ταπεινωσει μου. Esa. xl. 2. και παρελευσεται ὁ βιος ἡμων ὡς ιχνη νεφελης. Sap. ii. 4. Conf. 1 Reg. ii. 8. 1 Cor. vii. 31. 1 Joan. ii. 17. πασα σαρξ χορτος, και πασα δοξα ανθρωπου ὡς ανθος χορτου, κ. τ. λ. Esa. xl. 6, 7. Conf. Sir. xiv. 18. μακαριος πλουσιος ὁς εὑρεθη αμωμος, κ. τ. λ. xxxiv. 8.

11 Ανετειλε γαρ ὁ ἡλιος συν τῳ καυσωνι, και εξηρανε τον χορτον, και το ανθος αυτου εξεπεσε, και ἡ ευπρεπεια του προσωπου αυτου απωλετο· οὑτω και ὁ πλουσιος εν ταις πορειαις αὑτου μαρανθησεται.

και εγενετο ἁμα τῳ ανατειλαι τον ἡλιον, και προσεταξεν ὁ Θεος πνευματι καυσωνι συγκαιοντι. Jon. iv. 8. ουχι ἁμα τῳ ἁψεσθαι αυτης ανεμον τον καυσωνα ξηρανθησεται. Ezech. xvii. 10. οἱ ὡσει χορτος εξηρανθησαν. Esa. li. 12. εξηρθη εκ θυγατρος Σιων πασα ἡ ευπρεπεια. Thren. i. 6. Ps. xlix. 2. και ασθενησουσιν εν τῃ πορειᾳ αυτων. Neh. ii. 5. Jer. x. 22. εμαρανθη δε ὡσπερ μολοχη εν καυματι. Job. xxiv. 24. στεψωμεθα ῥοδων καλυξι πριν η μαρανθηναι. Sap. ii. 8. Conf. cap. iv. 14. 1 Pet. i. 24. Luc. i. 52, 53. θησαυριζει τοις κατορθουσι σωτηριαν, ὑπερασπιει την πορειαν αυτων, κ. τ. λ. Prov. ii. 7, 8. Jer. xviii. 17. Obd. iii. 4.

12 Μακαριος ανηρ, ὁς ὑπομενει πειρασμον· ὁτι δοκιμος γενομενος ληψεται τον στεφανον της ζωης, ὁν επηγγειλατο ὁ Κυριος τοις αγαπωσιν αὑτον.

μακαριος ὁ ανθρωπος ὁν αν συ παιδευσῃς Κυριε. Ps. xciii. 12. Sir. xiv. 1. μακαριος ὁς ὑπομενων, κ. τ. λ. Dan. xii. 12. Conf. 1 Pet. i. 7. μακαριος δε ανθρωπος ὁν ηλεγξεν ὁ Κυριος. Job. v. 17. ὁ δε στεφανος εσται τοις ὑπομενουσι. Zach. vi. 14. και στεφανον αγιαλλιαματος περιθησεις σε αυτῳ. Sir. vi. 31. xv. 6. αργυριον πεπυρωμενον, δοκιμιον τῃ γῃ, κ. τ. λ. Ps. xi. 6. Esa. xlviii. 10. ληψεται πανοπλιαν. Sap. v. 17. iv. 2. και το ελεος τοις αγαπωσιν αυτον. Deut. vii. 9. ὡσπερ δοκιμαζεται εν καμινῳ αργυρος κ. τ. λ. Prov. xvii. 3. xxvii. 21. [Conf. Jos. Ant. iii. 1. 1.] στεφανος σοφιας φοβος Κυριου, αναθαλλων ειρηνην και ὑγιειαν ιασεως· πλατυνει δε καυχησις τοις αγαπωσιν αυτον. Sir. i. 18. Comp.

13 Μηδεις πειραζομενος λεγετω, ὁτι, Απο του Θεου πειραζομαι· ὁ γαρ Θεος απειραστος εστι κακων, πειραζει δε αυτος ουδενα.

ὁ Θεος θανατον ουκ εποιησεν, ουδε τερπεται επ᾽ απωλειᾳ ζωντων. κ. τ. λ. Sap. i. 13-16. ουκ ενετειλατο ουδενι ασεβειν, και ουκ εδωκεν ουδενι ανεσιν ἁμαρτανειν. Sir. xv. 20. με ειπῃς, ὁτι, Αυτος με

επλανησεν· ου γαρ χρειαν εχει ανδρος ἁμαρτωλου. xv. 12. μη λεγε ὁτι, κ. τ. λ. Jer. i. 7. [ὁτι (videlicet). Hoogev. p. 582.] εις κολπους επερχεται παντα τοις αδικοις, παρα δε Κυριου παντα τα δικαια. Prov. xvi. 33. [πως πειραζεις τον απειραστον; Ignat. ad Philip. p. 109. Edit. Voss.]

14 Ἑκαστος δε πειραζεται, ὑπο της ιδιας επιθυμιας εξελκομενος και δελεαζομενος·

παση φυλακῃ τηρει σην καρδιαν, εκ γαρ τουτων εξοδοι ζωης. Prov. iv. 23. [εις πορνειαν με εφελκυσατο. Test. XII Patr. p. 702.] [δελεαζει· εξαπατᾳ. Hesych.] [ει προς επιθυμαις ελαυνεται, η ὑφ' ἡδονης δελεαζεται. Philo, p. 888. ἑν ουδεν εστιν ὁ μη προς ἡδονης δελεασθεν εἱλκυσται και εμφερεται τοις πολυπλοκωτατοις δικτυοις αυτης, ἁ πολυς διεκδυναι πονος. p. 202.] Prov. vii. 22.

15 Ειτα ἡ επιθυμια συλλαβουσα τικτει ἁμαρτιαν· ἡ δε ἁμαρτια αποτελεσθεισα αποκυει θανατον.

ιδου ωδινησεν αδικιαν, συνελαβε πονον, και ετεκεν ανομιαν. Ps. vii. 14. εν γαστρι δε ληψεται ὀδυνας, αποβησεται δε αυτῳ κενα, ἡ δε κοιλια αυτου ὑποισει δολον. Job. xv. 35. [Ευα τον λογον απο του οφεως συλλαβουσα παρακοην και θανατον ετεκε. Just. Mart. de Resurr. p. 327.] οἱ ἁμαρτανοντες—και οἱ μισουντες με αγαπωσι θανατον. Prov. viii. 36.

16 Μη πλανασθε, αδελφοι μου αγαπητοι·

ταυτα ελογισαντο, και επλανηθησαν, κ. τ. λ. Sap. ii. 21. v. 6. μη πιστευετω ὁτι ὑπομενει, κ. τ. λ. Job. xv. 31.

17 Πασα δοσις αγαθη και παν δωρημα τελειον ανωθεν εστι καταβαινον απο του πατρος των φωτων, παρ' ᾡ ουκ ενι παραλλαγη, η τροπης αποσκιασμα.

(ἡ σοφια) απαυγασμα φωτος αϊδιου. Sap. vii. 26. ὑετου πατηρ. Job. xxxviii. 28. πατηρ του μελλοντος αιωνος. Esa. ix. 6. Alex. Ald. Comp. ὁ Κυριος ανωθεν. Job. iii. 4. ὁ ποιησας φωτα μεγαλα. Ps. cxxxv. 7. Jer. iv. 23. παρ' αυτῳ επιστημη και συνεσις. Job. xii. 15. Alex. επιστασαι δε τροπας ουρανου. Job. xxxviii. 33. ἡλιου τροποι. Deut. xxxiii. 14. εγω Κυριος—ουκ ηλλοιωμαι. Mal. iii. 6. Num. xxiii. 19. Conf. Prov. ii. 6. Esa. xiv. 27. xlvi. 10. ενι ἑως θανατου. Sir. xxxvii. 2. ατμις γαρ εσται (σοφια) της του Θεου δυναμεως, και απορροια κ. τ. λ. Sap. vii. 25. ix. 4-6. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. Ps. xxxv. 9. [ενι· εστιν, ὑπαρχει. Phav. ὁπου γαρ ενι φοβος αγαθων εργων. Test.

XII Patr. p. 733.] [*ποιητης των ὁλων και πατηρ. Philo, de Charit. p.* 799. *παντων πατηρ και δεσποτης. Jos. Proem.* § 4.] [*τροπης αποσκιασμα· αντι του αλλοιωσεως και μεταβολης ιχνος και ὁμοιωμα φαντασιας. Suid. παραλλαγη· αλλοιωσις. Hesych.*] *παραλλαγη.* 4 *Reg. ix.* 20. *Job. iv.* 13. *Aq.*

18 Βουληθεις απεκυησεν ἡμας λογῳ αληθειας, εις το ειναι
ἡμας απαρχην τινα των αὑτου κτισματων.

Θεον τον γεννησαντα σε εγκατελιπες. Deut. xxxii. 18. *βουληθεις.* 2 *Reg. xxiv.* 3. 1 *Reg. xviii.* 4. *την ευσεβειαν ὁλοκληρον αποκυησασα.* 4 *Mac.* 8. *τας απαρχας—εξοισεις εις τον οικον Κυριου κ. τ. λ. Exod. xxiii.* 19. *Ezech. xlviii.* 21. *τιμα τον Κυριον απο σων δικαιων πονων, και απαρχου αυτῳ απο σων καρπων δικαιοσυνης. Prov. iii.* 9. [*ειναι ταυτα συνοδους—ανδρων επιτηδευοντων αρετην, απαρχας δε ετησιους εισφεροντων, εξ ὡν αναγουσι θυσιας. Philo, Leg. ad Cai. p.* 1035. *αυτος γαρ πατηρ εστι της τελειας φυσεως, σπειρων εν ταις ψυχαις και γεννων το ευδαιμονειν.* 2 *Alleg. p.* 101.] *αρχη των λογων σου αληθεια. Ps. cxviii.* 160. *Conf. Esa. liv.* 1. *lxvi.* 7-9. *εις το ειναι. Sap. i.* 14.

19 Ὡστε, αδελφοι μου αγαπητοι, εστω πας ανθρωπος ταχυς
εις το ακουσαι, βραδυς εις το λαλησαι, βραδυς εις οργην.

ὡστε. Conf. Sap. vi. 25. *ανηρ γλωσσωδης ουκ κατευθυνθησεται επι της γης. Ps. cxxxix.* 11. [*βραδυς ωφελησαι, ταχυς βλαψαι. Philo, p.* 327.] *μη γινου ταχυς εν τῃ γλωσσῃ σου. Sir. iv.* 29. *Alex. Cypr. εκ πολυλογιας ουκ εκφευξῃ ἁμαρτιαν, κ. τ. λ. Prov. x.* 19. *γινου ταχυς εν ακροασει σου, και εν μακροθυμιᾳ φθεγγου αποκρισιν. v.* 11. *οἱ λογοι σου ολιγοι. Eccles. v.* 2, 3. *ὁς φυλασσει το ἑαυτου στομα τηρει την ἑαυτην ψυχην, ὁ δε προπετης χειλεσι πτοησει ἑαυτον. Prov. xiii.* 3. *εαν ιδῃς ανδρα ταχυν εν λογοις, κ. τ. λ. xxix.* 20.

20 Οργη γαρ ανδρος δικαιοσυνην Θεου ου κατεργαζεται.

Conf. Eccles. vii. 10. *Sir. i.* 21. *Num. xx.* 11, 12. *Luc. ix.* 54-56.

21 Διο αποθεμενοι πασαν ῥυπαριαν και περισσειαν κακιας, εν
πρᾳϋτητι δεξασθε τον εμφυτον λογον, τον δυναμενον σωσαι τας
ψυχας ὑμων.

Conf. Zach. iii. 4-6. *Esa. iv.* 4. *τις γαρ καθαρος εσται απο ῥυπου; Job. xiv.* 4. *σοφος καρδιᾳ δεξεται εντολας. Prov. x.* 8. *ὁδηγησει πρᾳεις εν κρισει, κ. τ. λ. Ps. xxiv.* 9. *εν πιστει και πραϋτητι. Sir. xlv.* 4. *και δεξαι εμους λογους. Prov. iv.* 10. *και ψυχας πενητων σωσει. Ps. lxxi.* 13. *δυναμενος απολυθηναι του θανατου.* 2 *Mac.*

vi. 30. εμφυτος. *Conf. Sir. xxiv.* 16. *Matt. xiii.* 24. *Rom. xiii.* 12. [περιτεμνεσθε τας σκληροκαρδιας, το δε εστι τας περιττας φυσεις κ. τ. λ. *Philo, p.* 854. *Conf. Loesner. p.* 458.] [ἡ εμφυτη δωρεα της διδαχης του Θεου. *Barnab. Epist. c.* 9.] [ῥυπαρα κοινωνια. *Act. Thom.* 12, 13.] ει ανομον τι εστιν εν χερσιν σου, πορρω ποιησον αυτο απο σου, κ. τ. λ. *Job. xi.* 14.

22 Γινεσθε δε ποιηται λογου, και μη μονον ακροαται, παραλογιζομενοι ἑαυτους,

προσαξατε προς ὑμας παντας τους ποιητας του νομου. 1 *Mac. ii.* 67. *Conf. Jer. li.* 16. *Matt. vii.* 26, 27. *Jos. ix.* 22. γνωθι ὁτι σποδος ἡ καρδια αυτων, και πλανωνται, κ. τ. λ. *Esa. xliv.* 20. *Obad.* 3. παραλογιζομενοι. *Conf.* 1 *Reg. xix.* 17. *Dan. iv.* 6. [*Draco* 7.] μηδεις σε παραλογιζεσθω. *LXX.* μη πλανω. *Theod.*

23 Ὁτι, ει τις ακροατης λογου εστι και ου ποιητης, οὑτος εοικεν ανδρι κατανοουντι το προσωπον της γενεσεως αὑτου εν εσοπτρῳ·

την γην της γενεως σου. *Gen. xxxii.* 9. κατανοειν. *Esa. v.* 12. εν εικονι διαπορευεται ανθρωπος, κ. τ. λ. *Ps. xxxviii.* 6. *Conf. Jer. li.* 16. παρηλθεν εκεινα παντα ὡς σκια, και ὡς αγγελια παρατρεχουσα κ. τ. λ. *Sap. v.* 9-13. *Conf. Jud. viii.* 18.

24 Κατενοησε γαρ ἑαυτον και απεληλυθε, και ευθεως επελαθετο ὁποιος ην.

και γινῃ αυτοις ὡς φωνη ψαλτηριου ἡδυφωνου ευαρμοστου, και ακουσονται σου τα ῥηματα, και ου μη ποιησουσιν αυτα. *Ezech. xxxiii.* 32. ὁποιος. *Jud. ix.* 2. *alii. Conf. Sir. xii.* 11. τουτο κατα τουτου ὁρασις ενυπνιων κατεναντι προσωπου ὁμοιωμα προσωπου. *Sir. xxxi.* 3.

25 Ὁ δε παρακυψας εις νομον τελειον τον της ελευθεριας, και παραμεινας, οὑτος ουκ ακροατης επιλησμονης γενομενος, αλλα ποιητης εργου, οὑτος μακαριος εν τῃ ποιησει αὑτου εσται.

ὁ παρακυπτων δια των θυριδων αυτης, και επι των θυρωματων αυτης ακροασεται. *Sir. xiv.* 23. παραμεινας. *i.* 15. *Comp.* κακωσις ὡρας επιλησμονην ποιει τροφης. *xi.* 27. και εν πασῃ σοφιᾳ ποιησις νομου. *xix.* 20. και εν ποιησει μου διηκριβωσαμην. *li.* 19. *Exod. xxxii.* 35. *Sir. xix.* 24. *Comp. Conf. Matt. v.* 19. *Joan. xiii.* 17. *Cap. ii.* 12. 2 *Cor. iii.* 6. και γαρ ὁ δουλος σου φυλασσει αυτα, εν τῳ φυλασσειν αυτα ανταποδοσις πολλη. *Ps. xviii.* 11. ὁδον εντολων σου εδραμον, ὁταν επλατυνας την καρδιαν μου. *cxviii.* 32. 45.

26 Ει τις δοκει θρησκος ειναι εν ὑμιν, μη χαλιναγωγων γλωσσαν αὑτου, αλλ' απατων καρδιαν αὑτου, τουτου ματαιος ἡ θρησκεια.

εθρησκευσον αλογα ἑρπετα. *Sap. xi.* 16. και κυριευουσα—αυτων γλωσσα εστι. *Sir. xxxvii.* 18. ηπατηθη λαθρα ἡ καρδια μου. *Job. xxxi.* 27. εις κενα και ματαια εκοπιασε. *xx.* 18. δολος απατησῃ ψυχην αυτου. *Sap. iv.* 11. [πεπλανηται γαρ και οὑτος της προς ευσεβειαν ὁδου, θρησκειαν αντι ὁσιοτητος ἡγουμενος, κ. τ. λ. *Philo, p.* 123. *Edit. Col.* γλωσσαλγια και αχαλινον στομα, ὁταν εκνομοις αφροσυναις ὑπηρετωσι, παντως τι καινουργειται των αθεσμων. 3 *Vit. Mos. p.* 603. *Loesner.*] φυλαξω το στομα μου φιμῳ. *Ps. xxxviii.* 1. *Sym.* ποιειν δικαια και αληθευειν, αρεστα παρα Θεῳ μαλλον η θυσιων αἱμα. *Prov. xxi.* 3. εν χαλινῳ. *Ps. xxxi.* 9. *Conf. Prov. xiv.* 12. *xxxiii.* 13. *Cap. iii.* 10. 1 *Pet. iii.* 10. [θρησκος· ευσεβης. *Hesych.*]

27 Θρησκεια καθαρα και αμιαντος παρα τῳ Θεῳ και πατρι αὑτη εστιν, επισκεπτεσθαι ορφανους και χηρας εν τῃ θλιψει αυτων, ασπιλον ἑαυτον τηρειν απο του κοσμου.

θρησκεια. *Sap. xiv.* 18. 27. των αμιαντων αθλων αγωνα νικησασα. *iv.* 2. διατηρησον—αμιαντον τον δε κεκαθαρισμενον οικον. 2 *Mac. xiv.* 36. γινου ορφανοις ὡς πατηρ. *Sir. iv.* 10. *Conf. Job. xxix.* 12-16. τῳ Θεῳ και Πατρι. (*sæpe Chaldais et Heb. copula vim habet relativi. Grot. in Dan. vii.* 4.) = 2 *Cor. i.* 3. *Ephes. i.* 3. *iv.* 6. 10. [ὁ Κυριος και Θεος ευεργετης εστι. *Philo, p.* 309. *Edit.* 1640. πεφυκεν—διατηρειν αὑτην αηττητον. *de Abrah. p.* 365. περι την του Θεου θρησκειαν εσπουδακως. *Jos. Ant. i.* 13. 1.] μη οκνει επισκεπτεσθαι αῤῥωστον. *Sir. vii.* 35. ὁ πατηρ των ορφανων, και κριτης των χηρων. *Ps. lxvii.* 5. ἱνα σε τηρησῃ απο γυναικος αλλοτριας. *Prov. vii.* 5. ὁς φυλασσει εντολας τηρει την ἑαυτου ψυχην. *xix.* 16. *Esa. i.* 16. ασπιλος. *Job. xv.* 15. *Sym.* προσεχε απο κακουργου—μηποτε μωμον εις τον αιωνα δῳ σοι. *Sir. xi.* 33, 34. Διαθρυπτε πεινωντι τον αρτον σου, και πτωχους αστεγους εισαγε εις τον οικον σου—τοτε ῥαγησεται πρωϊμον το φως σου—και ἡ δοξα του Θεου περιστελει σε. *Esa. lviii.* 7, 8. *Jer. xxix.* 11.

ΚΕΦ. β. 2.

ΑΔΕΛΦΟΙ μου, μη εν προσωποληψιαις εχετε την πιστιν του Κυριου ἡμων Ιησου Χριστου της δοξης.

και προσωπα ἁμαρτωλων λαμβανετε. Ps. lxxxi. 2. ου ληψεται προσωπον επι πτωχου. Sir. xxxii. 13. xlii. 1. Sap. vi. 7. ου ληψῃ προσωπον πτωχου, ουδε μη θαυμασῃς προσωπον δυναστου. Lev. xix. 15. Κυριον της δοξης. 1 Cor. ii. 8. βασιλευς της δοξης. Ps. xxiii. 10. Conf. Deut. i. 17. Matt. xx. 25-27. xxiii. 8. Joan. xvii. 21.

2 Εαν γαρ εισελθῃ εις την συναγωγην ὑμων ανηρ χρυσοδακτυλιος εν εσθητι λαμπρᾳ, εισελθῃ δε και πτωχος εν ῥυπαρᾳ εσθητι,

ἱματια ῥυπαρα. Zach. iii. 3, 4. [ῥυπαραν τε την εσθητα. Jos. Ant. vii. 11. 3. λαμπραν εσθητα αντιδουντες. Philo de Jos. p. 541.] ὁς ουκ επαισχυνθῃ προσωπον εντιμου, ουδε οιδε τιμην θεσθαι ἁδροις, κ. τ. λ. Job. xxxiv. 19. ὡστε ερειτε, Που εστιν οικος αρχοντος, κ. τ. λ. xxi. 28. ου δικαιον ατιμασαι πτωχον συνετον, και ου καθηκει δοξασαι ανδρα ἁμαρτωλον. Sir. x. 23. πλουσιος ελαλησε και παντες εσιγησαν, πτωχος ελαλησε, και ειπαν, Τις οὑτος; κ. τ. λ. xiii. 23. χρυσοδακτυλιος. Conf. Est. iii. 10. viii. 15.

3 Και επιβλεψητε επι τον φορουντα την εσθητα την λαμπραν, και ειπητε αυτῳ, Συ καθου ὡδε καλως, και τῳ πτωχῳ ειπητε, Συ στηθι εκει, η καθου ὡδε ὑπο το ὑποποδιον μου,

και επιβλεψον επ' εμε. Ps. xxiv. 16. 1 Reg. i. 11. εφορεσε διαδημα. Sir. xi. 5. xl. 5. Conf. Luc. xvi. 19. καθισατε ὡδε. Ruth. iv. 2. ὑποποδιον. Ps. cix. 1.

4 Και ου διεκριθητε εν ἑαυτοις, και εγενεσθε κριται διαλογισμων πονηρων;

ει αληθως αρα δικαιοσυνην λαλειτε, ευθεια κρινετε οἱ υἱοι των ανθρωπων; Ps. lvii. 1. ἑως ποτε κρινετε αδικιαν, και προσωπα ἁμαρτωλων λαμβανετε; lxxxi. 2.

5 Ακουσατε, αδελφοι μου αγαπητοι, ουχ ὁ Θεος εξελεξατο τους πτωχους του κοσμου τουτου, πλουσιους εν πιστει, και κληρονομους της βασιλειας ἡς επηγγειλατο τοις αγαπωσιν αυτον,

εξελεξατο ἡμιν την κληρονομιαν αυτου. Ps. xlvi. 4. ακουε ταυτα, ενωτιζου φωνην ῥηματων. Job. xxxiv. 16. φυλασσων ελεος τοις

αγαπωσιν αυτον. *Deut. vii.* 9. ακουσατε μου ανδρες Σικιμων. *Jud. ix.* 7. ὁτι Κυριος εθεμελιωσε Σιων, και δι' αυτου σωθησονται οἱ ταπεινοι του λαου. *Esa. xiv.* 32. *Zach. xi.* 5. ὁ εγειρων απο γης πτωχον, και απο κοπριας ανυψων πενητα, του καθισαι αυτον μετα αρχοντων κ. τ. λ. *Ps. cxii.* 7, 8. και αγαλλιασονται πτωχοι δια Κυριον εν ευφροσυνῃ, κ. τ. λ. *Esa. xxix.* 19. *Sophon. iii.* 19. πτωχοι του ποιμνιου μου. *Zach. xi.* 11. *Aq.*

6 Ὑμεις δε ητιμασατε τον πτωχον· ουχ οἱ πλουσιοι καταδυναστευουσιν ὑμων, και αυτοι ἑλκουσιν ὑμας εις κριτηρια;

και μη ατιμασῃς ασθενη εν πυλαις. *Prov. xxii.* 22. μη ατιμασῃς ανθρωπον εν γηρει αυτου. *Sir. viii.* 6. καταδυναστευσωμεν πενητα δικαιον κ. τ. λ. *Sap. ii.* 10. και προσηλυτον και ορφανον—μη καταδυναστευσητε. *Jer. vii.* 6. καθημενοι επι κριτηριου. *Jud. v.* 10. *Conf. Ps. x.* 8. τι ὑμεις αδικειτε τον λαον μου, και το προσωπον των πτωχων καταισχυνετε; *Esa. iii.* 15. *Conf. Prov. xvii.* 5. 1 *Cor. xi.* 22. ὁ ατιμαζων πενητας ἁμαρτανει, κ. τ. λ. *Prov. xiv.* 21, 31. *xxii.* 16. *xxix.* 7.

7 Ουκ αυτοι βλασφημουσι το καλον ονομα το επικληθεν εφ' ὑμας;

και επικληθησεται εν αυτοις το ονομα μου. *Gen. xlviii.* 16. το ονομα το σον κεκλησθω εφ' ἡμας. *Esa. iv.* 1. 2 *Reg. vi.* 2. το ονομα μου βλασφημειται εν τοις εθνεσι. *lii.* 5. ἑνεκεν της επ' αυτους επικλησεως του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 *Mac. viii.* 15. *Deut. xxviii.* 10.

8 Ει μεντοι νομον τελειτε βασιλικον, κατα την γραφην, Αγαπησεις τον πλησιον σου ὡς σεαυτον, καλως ποιειτε·

και αγαπησεις κ. τ. λ. *Lev. xix.* 18. βασιλικη εντολη. 2 *Mac. iii.* 13. κατα την γραφην βιβλιου Μωυση. *Esd. vi.* 19. 4 *Mac.* § 20. καθα γεγραπται εν τῳ νομῳ Μωυση. *Jos. ix.* 31. [ὁ λογος θειος και βασιλικος. *Jos. Ant. vi.* 4. 5.] [ἱνα το θελημα του βασιλεως τελεσω. *Act. Thom.* § 5.] *Conf. Matt. xxii.* 39. *Marc. xii.* 31. *Rom. xiii.* 8. *Ephes. v.* 2. *CITAT.* 282.

9 Ει δε προσωποληπτειτε, ἁμαρτιαν εργαζεσθε, ελεγχομενοι ὑπο του νομου ὡς παραβαται.

ὁδοι παραβατου. *Ps. xvi.* 4. *Sym.* ελαμβανετε προσωπα εν νομῳ. *Mal. ii.* 9. ελεγξω σε, και παραστησω κατα προσωπον σου. *Ps. xlix.* 21. τους εργαζομενους την ανομιαν. *v.* 5.

10 Ὁστις γαρ ὁλον τον νομον τηρησει, πταισει δε εν ἑνι, γεγονε παντων ενοχος.

μη καταδεσμευσης δις ἁμαρτιαν, εν γαρ τῃ μιᾳ ουκ αθωος εσῃ. *Sir. vii.* 8. *Conf.* 1 *Mac. xiv.* 45. *Gal. v.* 3. επικαταρατος πας ανθρωπος ὁς ουκ εμμενει εν πασι τοις λογοις του νομου τουτου κ. τ. λ. *Deut. xxvii.* 26. πταισει. *vii.* 25. *Sir. xxxvii.* 12.

11 Ὁ γαρ ειπων, Μη μοιχευσῃς, ειπε και, Μη φονευσῃς· ει δε ου μοιχευσεις, φονευσεις δε, γεγονας παραβατης νομου.

ου μοιχευσεις—ου φονευσεις. *Exod. xx.* 13. και εαν γεννησῃ παραβατην. *Ezech. xviii.* 10. *Sym. CITAT.* 283.

12 Οὑτω λαλειτε και οὑτω ποιειτε, ὡς δια νομου ελευθεριας μελλοντες κρινεσθαι·

επορευομην εν πλατυσμῳ, ὁτι τας εντολας κ. τ. λ. *Ps. cxviii.* 45.

13 Ἡ γαρ κρισις ανιλεως τῳ μη ποιησαντι ελεος· και κατακαυχαται ελεος κρισεως.

ὁ ποιων ελεος, κ. τ. λ. *Sir. xxix.* 1. ὁ εκδικων παρα Κυριου εὑρησει εκδικησιν. *xxviii.* 1. ὁ δε επιχαιρων απολλυμενῳ ουκ αθωωθησεται, ὁ δε επισπλαγνιζομενος ελεηθησεται. *Prov. xvii.* 5. *Gen. xlii.* 21. *Job. xxii.* 6-10. *Esa. xxvii.* 11. *Jer. ix.* 24. *Mich. vii.* 18. ηυχετο δε ὁ μιαρος προς τον ουκετι αυτον ελεησοντα δεσποτην. 2 *Mac. ix.* 13. εν οργῃ ελεους μνησθησῃ. *Hab. iii.* 2. ὁς φρασσει τα ωτα αυτου του μη επακουσαι ασθενους, και αυτος επικαλεσεται, και ουκ εστι ὁ εισακουων. *Prov. xxi.* 13. Ζω εγω—ου βουλομαι τον θανατον του ασεβους, κ. τ. λ. *Ezech. xxxiii.* 11. ὁ γαρ ελαχιστος συγγνωστος εστιν ελεους, δυνατοι δε δυνατως ετασθησονται. *Sap. vi.* 6. *Conf. Gen. xviii.* 32. *Exod. xx.* 5, 6. *Esa. xlii.* 3.

14 Τι το οφελος, αδελφοι μου, εαν πιστιν λεγῃ τις εχειν, εργα δε μη εχῃ; μη δυναται ἡ πιστις σωσαι αυτον;

τις ωφελεια εν τῳ αἱματι μου; *Ps. xxix.* 9. *Gen. xxxvii.* 26. ει ὑμεις πεποιθατε επι λογοις ψευδεσιν, ὁθεν ουκ ωφελησθησεσθε; *Jer. vii.* 8. 21-23. *Conf. Matt. vii.* 26. *Cap. i.* 23. Τῳ δε ἁμαρτωλῳ ειπεν ὁ Θεος, Ἱνατι συ διηγῃ τα δικαιωματα μου, κ. τ. λ. *Ps. xlix.* 16-21. *Ezech. xxxiii.* 31-32. *Num. xxiv.* 16, 17.

15 Εαν δε αδελφος η αδελφη γυμνοι ὑπαρχωσι και λειπομενοι ωσι της εφημερου τροφης,

[πενητες εσμεν, και μολις του'φημερον εις αυτα ταναγκαια ποριζειν δυναμεθα. *Philo, in Flacc. p.* 985.] αδελφη. *Tob. viii.* 7. ουχ ὑπαρχει μοι φιλος. *Sir. xx.* 16. αδυνατοι δε χρειαν ἡν ποτε ειχον ουκ απετυχον κ. τ. λ. *Job. xxxi.* 16-21. *Esa. lviii.* 7-10. ὁ παις μου Ἡσαΐας γυμνος (*male vestitus*) και ανυποδετος. *xx.* 3. *Conf. Prov. xix.* 4.

16 Ειπῃ δε τις αυτοις εξ ὑμων, Ὑπαγετε εν ειρηνῃ, θερμαινεσθε και χορταζεσθε, μη δωτε δε αυτοις τα επιτηδεια του σωματος, τι το οφελος;

πορευου εις ειρηνην. 1 *Reg. i.* 17. θερμαινεσθε. *Job. xxxi.* 20. και ὑπαγε ὑγιαινων. *Tob. xii.* 5. *Agg. i.* 6. 3 *Reg. i.* 1. εν ἡμεραις λιμου χορτασθησονται. *Ps. xxxvi.* 19. τα λοιπα προς ευωχιαν επιτηδεια τοις Ιουδαιοις χορηγειν. 3 *Mac. vi.* 30. 1 *Mac. xiv.* 34. 1 *Joan. iii.* 18. *Conf. Job. xxii.* 7-9. μη αποσχῃ ευ ποιειν ενδεη, ἡνικα αν εχῃ ἡ χειρ σου βοηθειν. *Prov. iii.* 27.

17 Οὑτω και ἡ πιστις, εαν μη εργα εχῃ, νεκρα εστι καθ' ἑαυτην.

καθ' ἑαυτον. *Gen. xxx.* 40. *Zach. xii.* 12. [ἡ δοξα καθ' ἑαυτην ουτε νοσον, ουτε ὑγειαν εργαζεται. *Philo, de Mig. Abrah. p.* 401.]

18 Αλλ' ερει τις, Συ πιστιν εχεις, καγω εργα εχω· δειξον μοι την πιστιν σου εκ των εργων σου, καγω δειξω σοι εκ των εργων μου την πιστιν μου.

ὑποκριται καρδιᾳ ταξουσι θυμον, κ. τ. λ. *Job. xxxvi.* 13. και εξουθενησαν αυτον αἱ γλωσσαι αυτων. *Ps. lxiii.* 8.

19 Συ πιστευεις ὁτι ὁ Θεος εἱς εστι, καλως ποιεις· και τα δαιμονια πιστευουσι, και φρισσουσι.

Κυριος ὁ Θεος σου οὑτος Θεος εστι, και ουκ εστιν ετι πλην αυτου. *Deut. iv.* 35. εφριξε το πνευμα μου. *Dan. vii.* 15. *Job. iv.* 15. *Jer. ii.* 12. *Sap. vi.* 5. *Conf. Marc. i.* 24. *Luc. iv.* 34. *Phil. ii.* 10. *Gen. iii.* 5. *Tob. i.* 6. 1 *Reg. xvi.* 14. *Zach. iii.* 2.

20 Θελεις δε γνωναι, ὠ ανθρωπε κενε, ὁτι ἡ πιστις χωρις των εργων νεκρα εστιν;

ανδρες κενοι. *Jud. xi.* 3. νεκρα. *Conf. Esa. xxii.* 2.

21 Αβρααμ ὁ πατηρ ἡμων ουκ εξ εργων εδικαιωθη, ανενεγκας Ισαακ τον υἱον αὐτου επι το θυσιαστηριον;

εμβλεψατε εις Αβρααμ τον πατερα ὑμων. *Esa. li.* 2. απο Κυριου δικαιωθησονται. *xlv.* 26. και επεθηκεν αυτον επι το θυσιαστηριον —νυν γαρ εγνων ὁτι φοβῃ συ τον Θεον, κ. τ. λ. *Gen. xxii.* 9-12. *Conf. Heb. xi.* 17.

22 Βλεπεις ὁτι ἡ πιστις συνηργει τοις εργοις αυτου, και εκ των εργων ἡ πιστις ετελειωθη;

ὁ πιστευων νομῳ προσεχει εντολαις. *Sir. xxxv.* 24. τοις ποιουσι

τα εργα, ὁτι εν πιστει αυτων ποιουσι. 4 *Reg. xii.* 15. *xxii.* 7. *ὁ καιρος αυτῳ συνεργει.* 1 *Mac. xii.* 1. *και πτωχῳ εκτεινον την χειρα σου, ἱνα τελειωθη ἡ ευλογια σου.* *Sir. vii.* 32. *εξαποστειλον αυτην (σοφιαν) εξ ἁγιων ουρανων, και απο θρονου δοξης σου πεμψον αυτην, ἱνα συμπαρουσα μοι κοπιασῃ, και γνω τι ευαρεστον εστι παρα σοι.* *Sap. ix.* 10. *Conf. Sir. xxxvi.* 15. *xlii.* 24.

23 Και επληρωθη ἡ γραφη ἡ λεγουσα, Επιστευσε δε Αβρααμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην· και φιλος Θεου εκληθη.

πληρωθηναι το ῥημα Κυριου. 3 *Reg. ii.* 27. *και επιστευσεν* Ἀβραμ, *κ. τ. λ.* *Gen. xv.* 6. [*Philo,* 3 *Alleg. p.* 132. *Mangey.*] Ἀβρααμ *ουχι εν πειρασμῳ εὑρεθη πιστος, και ελογισθη αυτῳ εις δικαιοσυνην;* 1 *Mac. ii.* 52. *συ δε* Ισραηλ, *παις μου* Ιακωβ, *και ὁν εξελεξαμην, σπερμα* Ἀβρααμ, *του φιλου μου.* *Esa. xli.* 8. *Sym.* Ἀβρααμ. *τῳ φιλῳ σου.* 2 *Par. xx.* 7. *Comp.* *προς* Θεον *εστειλαντο φιλιαν.* *Sap. vii.* 14. [*φιλος δε, ὁ προφητης ανειρηται,* Θεου. *Philo, de Vit. Mos. p.* 485. *Gen. xviii.* 7. *μη επικαλυψω εγω απο* Αβ. *του φιλου μου;* *Laudat Philo, p.* 219. *Edit. Col.*] *CITAT.* 284. 285.

24 Ὁρατε τοινυν ὁτι εξ εργων δικαιουται ανθρωπος, και ουκ εκ πιστεως μονον;

ει δικαιωθησεται εν ζυγῳ ανομος, κ. τ. λ. *Mich. vi.* 11. *Conf. Gen. xx.* 6. *φοβος* Κυριου *αρχη αγαπησεως αυτου, πιστις δε αρχη κολλησεως αυτου.* *Sir. xxv.* 12. *Comp.* *ιδοντες ἑωρακαμεν ὁτι* Κυριος *μετα σου.* *xxvi.* 28. *μη αισχυνθῃς—περι νομου ὑψιστου και διαθηκης, και περι κριματος δικαιωσαι τον ασεβη.* *Sir. xlii.* 1, 2.

25 Ὁμοιως δε και Ῥααβ ἡ πορνη ουκ εξ εργων εδικαιωθη, ὑποδεξαμενη τους αγγελους, και ἑτερᾳ ὁδῳ εκβαλουσα;

Conf. Heb. xi. 30. *γυναικος πορνης, ᾑ ονομα* Ῥααβ. *Jos. ii.* 1-24. *vi.* 23. *ὑπεδεξαντο αυτους προθυμως.* *Tob. vii.* 9. 1 *Mac. xvi.* 15. *εκβαλουσα.* 1 *Mac. xii.* 27. [*Conf. Jos. Ant. v.* 1. 7.]

26 Ὡσπερ γαρ το σωμα χωρις πνευματος νεκρον εστιν, οὑτω και ἡ πιστις χωρις των εργων νεκρα εστι.

ὡσπερ γαρ—οὑτως και. *Eccles. v.* 15. *Prov. xxvi.* 17. *Conf. Ephes. ii.* 10. *Luc. vi.* 48. *Joan. xiii.* 17. *xiv.* 15. *αποστρεψαντος δε σου το προσωπον, ταραχθησονται, κ. τ. λ.* *Ps. ciii.* 29. *και επιστρεψῃ ὁ χους επι την γην ὡς ην, και το πνευμα επιστρεψῃ προς τον* Θεον *ὁς εδωκεν αυτο.* *Eccles. xii.* 7. [*διο και εν τῃ βαρβαρῳ φιλοσοφιᾳ νεκρους καλουσι τους εκπεσοντας των δογματων, και*

καθυποταξαντας τον νουν τοις παθεσι τοις ψυχικοις. *Clem. Alex. Strom.* 5. *p.* 574.] *Conf. Ps. xvi.* 14. *Sym.* [*Schleus. V. T. Lex. voce* νεκρος.] *Luc. xv.* 24. 32. *Matt. vi.* 23.

ΚΕΦ. γ. 3.

ΜΗ πολλοι διδασκαλοι γινεσθε, αδελφοι μου, ειδοτες ὁτι
μειζον κριμα ληψομεθα.

εξολοθρευσει Κυριος τον ανθρωπον τον ποιουντα ταυτα, ἑως και ταπεινωθῃ. *Mal. ii.* 12. *Sap. vi.* 6. ποιησω εν μεσῳ σου κριμα. *Ezech. v.* 8. *Conf. Matt. vii.* 1. *Rom. ii.* 20. κριμα θανατου. *Deut. xxi.* 22. *Conf.* 1 *Tim. i.* 7. διδασκαλος. *Dan. i.* 3. *alii.* 2 *Mac. i.* 10.

2 Πολλα γαρ πταιομεν ἁπαντες. ει τις εν λογῳ ου πταιει,
οὑτος τελειος ανηρ, δυνατος χαλιναγωγησαι και ὁλον το σωμα.

ὁτι ανθρωπος ουκ εστι δικαιος εν τῃ γῃ, ὁς ποιησει αγαθον και ουχ ἁμαρτησεται. *Eccles. vii.* 21. *Job. xv.* 14. 3 *Reg. viii.* 46. μη πταισῃς δι' αυτο. *Deut. vii.* 25. πολλα ηνομησας. *Job. xxxv.* 6. *Conf. Ps. xxxiii.* 13. *Prov. xx.* 9. *Sir. xiv.* 1. [ὡς δεον, επειδη γλωτταν αυτοις ἡ φυσις εδωρησατο, λελυμενῃ χρησθαι και αχαλινῳ προς ἁ μη θεμις. *Philo, p.* 770. *Loesner. p.* 459.] και τις ουχ ἡμαρτησεν εν τῃ γλωσσῃ αυτου; *Sir. xix.* 16. ιασις γλωσσης δενδρον ζωης, ὁ δε συντηρων αυτην πλησθησεται πνευματος. *Prov. xv.* 4. Νωε ανθρωπος δικαιος, τελειος ων εν τῃ γενεᾳ αυτου. *Gen. vi.* 9. *Conf. Matt. xii.* 37. 1 *Pet. iii.* 10. 1 *Joan. i.* 8. *Rom. iii.* 23. του μη ἁμαρτανειν εν γλωσσῃ μου. *Ps. xxxix.* 1. παγις γαρ ισχυρα ανδρι τα ιδια χειλη, και ἁλισκεται χειλεσιν ιδιου στοματος. *Prov. vi.* 2. και εν τοις χειλεσι σου προσεχε. *Sir. i.* 29. στομα δικαιου αποσταζει σοφιαν, γλωσσα δε αδικου εξολειται. κ. τ. λ. *Prov. x.* 31, 32. *Job. xv.* 15.

3 Ιδου, των ἱππων τους χαλινους εις τα στοματα βαλλομεν
προς το πειθεσθαι αυτους ἡμιν, και ὁλον το σωμα αυτων μετα-
γομεν.

επι τον χαλινον του ἱππου. *Zach. xi.* 20. προς το τελευτᾳν. 2 *Mac. vii.* 14. *Jer. xli.* 9. μη γινεσθε ὡς ἱππος και ἡμιονος, κ. τ. λ. *Ps. xxxi.* 9. το σμικροτατον μου μελος. 3 *Reg. xii.* 10. *Sym.* [το γε θυμικωτατον ζωον ἱππος, ῥαδιως αγεται χαλινωθεις. *Philo, de Opific. p.* 19. χαλινους ταις αλογοις δυναμεσιν εμβαλοντες. *de Agric. p.* 201.]

4 Ιδου, και τα πλοια τηλικαυτα οντα, και ὑπο σκληρων ανε-

μων ελαυνομενα μεταγεται ὑπο ελαχιστου πηδαλιου, ὁπου αν ἡ ὁρμη του ευθυνοντος βουληται·

Βορεας σκληρος ανεμος. *Prov. xxvii.* 16. *Conf. Jon. i.* 4. *Sap. xvi.* 18. *xvii.* 15. *Ps. cvi.* 23-29. τηλικουτο δυσσεβημα. 2 *Mac. xii.* 3. [και ναυς ευθυδρομει μεν, ἡνικα των οιακων λαβομενος ὁ κυβερνητης ακολουθως πηδαλιουχει. *Philo,* 2 *Alleg. p.* 102.] ιδε. *Sir. xxviii.* 24. *Conf. Act. xxi.* 1.

5 Οὑτω και ἡ γλωσσα μικρον μελος εστι, και μεγαλαυχει. Ιδου, ολιγον πυρ ἡλικην ὑλην αναπτει·

απο σπινθηρος πυρος πληθυνεται ανθρακια, και ανθρωπος ἁμαρτωλος εις αἱμα ενεδρευει. *Sir. xi.* 32. *Conf. Ps. lxxii.* 8, 9. στομα δε ασεβους καλυπτει απωλεια. *Prov. x.* 11. *xxvi.* 20, 21. και εμεγαλαυχουν, και εποιησαν ανομηματα ενωπιον εμου. *Ezech. xvi.* 50. *Sophon. iii.* 11. 2 *Mac. xv.* 32. *Sir. xlviii.* 18. κατα την ὑλην πυρος οὑτως εκκαυθησεται. *Sir. xxviii.* 10-12. δοξα και ατιμια εν λαλιᾳ, και γλωσσα ανθρωπου πτωσις αυτου. *v.* 13. γλωσσαν μεγαλορῥημονα. *Ps. xii.* 3. λαλουν μεγαλα. *Dan. vii.* 20. *Conf. Prov. xii.* 18. *xv.* 2. [τι δει μεγαλαυχειν και επεμβαινειν συμφοραις ἑτερων; *Philo de Creat. p.* 730. η φλοξ καιει την παραβληθεισαν ὑλην. *p.* 524.] και *(tamen nihilominus). Mal. i.* 2. αναπτει. *iv.* 1.

6 Και ἡ γλωσσα πυρ, ὁ κοσμος της αδικιας. οὑτως ἡ γλωσσα καθισταται εν τοις μελεσιν ἡμων, ἡ σπιλουσα ὁλον το σωμα, και φλογιζουσα τον τροχον της γενεσεως, και φλογιζομενη ὑπο της γεεννης·

φωνη αφρονος εν πληθει λογων. *Eccles. v.* 2. ανηρ αφρων ορυσσει ἑαυτῳ κακα, επι δε των ἑαυτου χειλεων θησαυριζει πυρ. *Prov. xvi.* 27. του πιστου ὁλος ὁ κοσμος των χρηματων, του δε απιστου ουδε οβολος. *xvii.* 6. [εμπιπραται φλεγομενος ὁ νους. *Philo* 2 *Alleg. p.* 102. *Conf. Loesner.*] μη δῳς στομα σου του εξαμαρτησαι την σαρκα σου. *Eccles. v.* 5. τους ταρασσοντας τον λαον αυτου εφλογισε. 1 *Mac. iii.* 5. βληθῃ εις γεενναν. *Matt. v.* 30. πασας τας ἡμερας της γενεσεως μου. *Judith. xii.* 18. *Sap. vii.* 5. *Sir. xliv.* 1. δι' ὡν τις ἁμαρτανει, δια τουτων κολαζεται. *Sap. xi.* 16. ἡ γλωσσα ὑμων αδικιαν μελετᾳ. *Esa. lix.* 3. ταις γλωσσαις αυτων εδολιουσαν. *Ps. v.* 9. σπιλουσα. *Sap. xv.* 4. *Conf. Prov. x.* 19. *Matt. xv.* 11. 18. *Marc. vii.* 15. 20-23. *ix.* 47. πυρ εναντιον αυτου προπορευσεται, και φλογιει κυκλῳ τους εχθρους αυτου. *Ps. xcvi.* 3. [*Conf. Schoettgen. Hor. Heb.*]

7 Πασα γαρ φυσις θηριων τε και πετεινων, ἑρπετων τε και εναλιων, δαμαζεται και δεδαμασται τῃ φυσει τῃ ανθρωπινῃ·

τοις θηριοις—και τοις πετεινοις. *Jer. xvi.* 4. *Dan. ii.* 38. φυσεις ζωων και θυμους θηριων. *Sap. vii.* 20. πασα θνητη φυσις. 4 *Mac.* i. ὁ σιδηρος λεπτυνει και δαμαζει παντα. *Dan. ii.* 40. και κατεστησας αυτον επι τα εργα των χειρων σου. κ. τ. λ. *Ps. viii.* 6-8. και αρχετε των ιχθυων—και των πετεινων κ. τ. λ. *Gen. i.* 28.

8 Την δε γλωσσαν ουδεις δυναται ανθρωπων δαμασαι· ακατασχετον κακον, μεστη ιου θανατηφορου.

θυμος ακατασχετος. *Job. xxxi.* 12. ἁμαρτια θανατηφορος. *Num. xviii.* 22. *Job. xxxiii.* 23. ιος ασπιδων ὑπο τα χειλη αυτων. *Ps. xiii.* 3. θυμος ασπιδων ανιατος. *Deut. xxxii.* 33. *Conf. Ps. xi.* 4. *cxxxix.* 3. *Eccles. x.* 11. πολλοι επεσαν εν στοματι μαχαιρας, και ουχ ὡς οἱ πεπτωκοτις δια γλωσσαν. *Sir. xxviii.* 18.

9 Εν αυτῃ ευλογουμεν τον Θεον και πατερα, και εν αυτῃ καταρωμεθα τους ανθρωπους τους καθ' ὁμοιωσιν Θεου γεγονοτας·

Θεος και πατηρ. *Conf.* 1 *Cor. xv.* 24. ευλογησω τον Κυριον. *Ps. xv.* 7. ὁτι οιδα οὑς εαν ευλογησῃς συ, ευλογηνται, και οὑς αν καταρασῃ συ, κεκατηρανται. *Num. xxii.* 6. ποιησωμεν ανθρωπον κατ' εικονα ἡμετεραν και καθ' ὁμοιωσιν. *Gen. i.* 26. *ix.* 6. *Ephes. iv.* 24. *Sir. xxviii.* 3. [ου γαρ ὁσιον δι' οὑ στοματος το ἱερωτατον ονομα προφερεται τις, δια τουτου φθεγγεσθαι τι των αισχρων. *Philo, de Decal. p.* 757. τον ανθρωπον, φησι, κατ' εικονα γενεσθαι και καθ' ὁμοιωσιν κ. τ. λ. *de Mund. Opific. p.* 11, 12. *lib.* 2 *Alleg. p.* 60.]

10 Εκ του αυτου στοματος εξερχεται ευλογια και καταρα. ου χρη, αδελφοι μου, ταυτα οὑτω γινεσθαι.

ἡ ευλογια και ἡ καταρα. *Deut. xxx.* 1. *xi.* 26. τιμαν δε χρη λογους ενδοξους. *Prov. xxv.* 27. τῳ στοματι αυτων ευλογουν, και τῃ καρδιᾳ αυτων κατηρωντο. *Ps. lxi.* 4. *Conf. Sir. xxviii.* 12. *Ps. l.* 16-20. *Prov. xxvii.* 14. [ἡ αγαθη διανοια ουκ εχει δυο γλωσσας, ευλογιας και καταρας, ὑβρεως και τιμης, κ. τ. λ. *Test. XII Patr. p.* 734.]

11 Μητι ἡ πηγη εκ της αυτης οπης βρυει το γλυκυ και το πικρον;

οἱ τιθεντες το πικρον γλυκυ, και το γλυκυ πικρον. *Esa. v.* 20. οπη. *Exod. xxxiii.* 22. [πηγη βρυουσα. *Act. Thom.* § 13.]

12 Μη δυναται, αδελφοι μου, συκη ελαιας ποιησαι, η αμπελος συκα; οὑτως ουδεμια πηγη ἁλυκον και γλυκυ ποιησαι ὑδωρ.

και εμεινα του ποιησαι σταφυλην, και εποιησεν ακανθας. *Esa. v.*

2-4. *θαλασσα ἡ ἁλυκη. Num. xxxiv.* 12. *ἡπαλυνθησαν οἱ λογοι αυτου ὑπερ ελαιον, κ. τ. λ. Ps. liv.* 21.

13 Τις σοφος και επιστημων εν ὑμιν; δειξατω εκ της καλης αναστροφης τα εργα αὑτου εν πραΰτητι σοφιας.

τις σοφος και φυλαξει ταυτα; Ps. cvi. 43. *Conf. Deut. i.* 13. *Sir. xl.* 29. *κακη αναστροφη.* 2 *Mac. v.* 8. *Tob. iv.* 14. *στομα δε ταπεινων μελετα σοφιαν. Prov. xi.* 2. *τις σοφος και συνησει ταυτα, συνετος και επιγνωσεται αὑτα; Ose. xiv.* 10. [*Laudat Philo* (*γνωσεται*) *de Plant. Noe. p.* 182. *Edit. Col.*] *εν πραΰτητι τα εργα σου διεξαγε. Sir. iii.* 17. *και αποκριθητι αυτῳ ειρηνικα εν πραΰτητι. iv.* 8. *Ephes. v.* 8. *Matt. v.* 16. 2 *Tim. ii.* 24. 1 *Pet. iii.* 15.

14 Ει δε ζηλον πικρον εχετε και εριθειαν εν τῃ καρδιᾳ ὑμων, μη κατακαυχασθε και ψευδεσθε κατα της αληθειας.

αληθειαν λεγω—ου ψευδομαι. Rom. ix. 1. *και εν ταις νησοις οὐ κατεχαυχωντο. Jer. xxvii.* 38. *Zach. x.* 12. *ψευδομεθα και ου ποιουμεν την αληθειαν.* 1 *Joan. i.* 6. *ενετειναν τοξον πραγμα πικρον. Ps. lxiii.* 3. *κατα του* Κυριου, *και κατα του* Χριστου *αυτου. ii.* 2. *Conf. Rom. ii.* 17. *xiii.* 13. 2 *Cor. xiii.* 8. Εφραϊμ *ου ζηλωσει* Ιουδαν, *κ. τ. λ. Esa. xi.* 13. *Ps. liv.* 9.

15 Ουκ εστιν αὑτη ἡ σοφια ανωθεν κατερχομενη, αλλ' επιγειος, ψυχικη, δαιμονιωδης.

ὁ Κυριος *ανωθεν. Job. iii.* 4. *ὁ* Θεος *εν τῳ ουρανῳ ανω, και συ επι της γης. Eccles. v.* 1. *iii.* 21. *μη εξακολουθει τῃ ψυχῃ σου, και τῃ ισχυϊ σου, του πορευεσθαι εν επιθυμιαις καρδιας σου. Sir. v.* 2. *δαιμονιωδης. Ps. xc.* 6. *Sym. των επιθυμιων αἱ μεν ψυχικαι, αἱ δε σωματικαι· τουτων δε αμφοτερων επικρατειν ὁ λογισμος φαινεται.* 4 *Mac.* 2. *Conf. Ps. xvi.* 14. *εστι πανουργια ακριβης και αὑτη αδικος, κ. τ. λ. Sir. xix.* 25. *γεωδες σκηνος. Sap. ix.* 15.

16 Ὁπου γαρ ζηλος και εριθεια, εκει ακαταστασια και παν φαυλον πραγμα.

το πραγμα το πονηρον. Deut. xvii. 5. *Alex. Ald. ασχημον πραγμα. xxiv.* 1. 2 *Par. xxiii.* 19. *φθονος—ζηλος.* 1 *Mac. viii.* 16. *ὁπου δε ουκ εστι διθυμος, ἡσυχαζει μαχη. Prov. xxvi.* 20. *στομα αστεγον ποιει ακαταστασιας.* 28. *xxvii.* 3, 4.

17 Ἡ δε ανωθεν σοφια πρωτον μεν ἁγνη εστιν, επειτα ειρηνικη, επιεικης, ευπειθης, μεστη ελεους και καρπων αγαθων, αδιακριτος και ανυποκριτος.

ὁ φοβος Κυριου *ἁγνος. Ps. xviii.* 9. *χαριτων μεστος. Additt. Est.* 4. *ανυποκριτος. Sap. v.* 18. *vi.* 12. [*ευπειθης. Jos. Bell. Jud. ii.*

20. 7.] (ἡ σοφια) εδειξεν αυτῳ βασιλειαν Θεου, και εδωκεν αυτῳ γνωσιν ἁγιων. *Sap.* x. 10. *Conf. Matt.* v. 7. *Luc.* vi. 36. *Rom.* xii. 9. 2 *Cor.* vi. 6. πασα σοφια παρα Κυριου, και μετ' αυτου εστιν εις τον αιωνα. κ. τ. λ. *Sir.* i. 1-9. ιδου ἡ θεοσεβεια εστι σοφια, το δε απεχεσθαι απο κακων εστιν επιστημη. *Job.* xxviii. 28. ἁγιον γαρ πνευμα παιδειας φευξεται δολον, και απαναστησεται απο λογισμων ασυνετων, και ελεγχθησεται επελθουσης αδικιας. φιλανθρωπον γαρ πνευμα σοφια, κ. τ. λ. *Sap.* i. 5, 6. εστι γαρ εν αυτῃ πνευμα νοερον, ἁγιον, μονογενες, πολυμερες, λεπτον, ευκινητον, τρανον, αμολυντον, κ. τ. λ. vii. 22. 30. ix. 10. ου γαρ μετα σκληροτητος καθαιρεται το μελανθιον, κ. τ. λ. *Esa.* xxviii. 27. [αδιακριτον· μη εχοντα διακρισιν. *Hesych.*] *Conf. Rom.* xiv. 1.

18 Καρπος δε της δικαιοσυνης εν ειρηνῃ σπειρεται τοις ποιουσιν ειρηνην.

εκ καρπου δικαιοσυνης φυεται δενδρον ζωης. *Prov.* xi. 30. απο καρπων δικαιοσυνης φαγεται αγαθος. xiii. 2. τρυγησατε εις καρπον ζωης. *Ose.* x. 12. ὁ δε σπειρων δικαιοσυνην, ληψεται μισθον πιστον. xi. 21. [σπειρατε εν ταις ψυχαις ὑμων αγαθα. *Test. XII Patr.* p. 576.] ειρηνη πολλη τοις αγαπωσιν τον νομον. *Ps.* cxviii. 165. εργα δικαιων ζωην ποιει, καρποι δε ασεβων ἁμαρτιας. *Prov.* x. 16. xi. 30. *Conf. Mal.* ii. 6. *Sir.* i. 8-19. vi. 19. φυλασσε ακακιαν, και ιδε ευθυτητα, ὁτι εστιν εγκαταλειμμα ανθρωπῳ ειρηνικῳ. *Ps.* xxxvi. 37. [σπειρας εν εμοι την ζωην. *Act. Thom.* c. 15.] μακαριοι οἱ ειρηνοποιοι. *Matt.* v. 9.

ΚΕΦ. δ. 4.

ΠΟΘΕΝ πολεμοι και μαχαι εν ὑμιν; ουκ εντευθεν, εκ των ἡδονων ὑμων των στρατευομενων εν τοις μελεσιν ὑμων;

βαθεια ἡ καρδια παρα παντα, και ανθρωπος εστι, και τις γνωσεται αυτον; *Jer.* xvii. 9. προηγειται δε της ενδειας στασις και μαχη. *Prov.* xvii. 14. εις κρισεις και μαχας νηστευετε. *Esa.* l. 4. *Gen.* xiii. 7. *Prov.* xxvi. 21. [ἱνατι ερεις και θυμοι, και διχοστασιαι, και σχισματα, πολεμος τε εν ὑμιν; κ. τ. λ. *Clem. Rom.* i. 46.] εντευθεν ουν αρξωμεθα της διηγησεως. 2 *Mac.* ii. 32. *Conf. Rom.* vii. 23. 1 *Pet.* ii. 11. *Gal.* v. 17. 2 *Cor.* x. 3.

2 Επιθυμειτε, και ουκ εχετε· φονευετε και ζηλουτε, και ου
δυνασθε επιτυχειν. μαχεσθε και πολεμειτε, ουκ εχετε δε, δια το μη αιτεισθαι ὑμας·

εν επιθυμιαις εστι πας αεργος. *Prov.* xiii. 4. επιτυχειν. xii. 27.

εν οἱς ὑμεις πολεμειτε εν αυτοις. *Jer. xxi.* 4. *Esa. xix.* 2. αδικιαν ει εθεωρουν εν καρδιᾳ μου, μη εισακουσατω Κυριος. *Ps. lxvi.* 18. δια το προσκεισθαι αυτον. *Deut. i.* 36. *Conf. Gen. iv.* 5-8. *Cap. i.* 5. 1 *Joan. iii.* 15. φονευετε. *Conf. Sir. xxxi.* 22. φονευων τον πλησιον, ὁ αφαιρουμενος συμβιωσιν, και εκχεων αἱμα ὁ αποστερων μισθον μισθιου. *Conf. Esa. i.* 11-17. *vii.* 12. μη ζηλωσῃς ὁδους παρανομων. *Prov. iv.* 14.

3 Αιτειτε, και ου λαμβανετε, διοτι κακως αιτεισθε, ἱνα εν ταις ἡδοναις ὑμων δαπανησητε.

και τις γαρ εστιν ελπις ασεβει—η την δεησιν αυτου εισακουσεται ὁ Θεος; κ. τ. λ. *Job. xxvii.* 8-9. *xxxv.* 12, 13. *Jer. xi.* 11. *Zach. vii.* 13. *Mich. iii.* 4. *Matt. xx.* 22. *Rom. viii.* 26. 1 *Joan. iii.* 22.

4 Μοιχοι και μοιχαλιδες, ουκ οιδατε ὁτι ἡ φιλια του κοσμου εχθρα του Θεου εστιν; ὁς αν ουν βουληθῃ φιλος ειναι του κοσμου, εχθρος του Θεου καθισταται.

υἱοι ανομοι, σπερμα μοιχων και πορνης. *Esa. lvii.* 3. εξωλοθρευσας παντα τον πορνευοντα απο σου. *Ps. lxxii.* 27. *Conf. Joan. xv.* 18. 1 *Joan. iii.* 13. *Rom. viii.* 7. εμισησα εκκλησιαν πονηρευομενων, και μετα ασεβων ου μη καθισω. *Ps. xxv.* 5. αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. *Sap. xiv.* 12. και εχθραν θησω ανα μεσον σου, και ανα μεσον της γυναικος, κ. τ. λ. *Gen. iii.* 15. ουχι τους μισουντας σε Κυριε εμισησα; κ. τ. λ. *Ps. cxxxviii.* 21, 22. φιλια. *Conf. Sap. viii.* 18. *Sir. vi.* 17. βδελυγμα δε ἁμαρτωλῳ θεοσεβεια. *Sir. i.* 24. *Prov. xxix.* 27. εὑρεθειη ἡ χειρ σου πασι τοις εχθροις σου, ἡ δεξια σου εὑροι παντας τους μισουντας σε. *Ps. xx.* 8. [φιλια προς τον βασιλεα. *Jos. Ant. xi.* 3. 1. τον Θεον αυτους ευμενη καταστησαι. *vi.* 5. 6.]

5 Η δοκειτε ὁτι κενως ἡ γραφη λεγει; προς φθονον επιποθει το πνευμα ὁ κατῳκησεν εν ἡμιν;

πας τις διανοειται εν τῃ καρδιᾳ αυτου επιμελως επι τα πονηρα πασας τας ἡμερας. *Gen. vi.* 5. *viii.* 21. ου μη καταμεινῃ το πνευμα μου εν τοις ανθρωποις τουτοις εις τον αιωνα, δια το ειναι αυτους σαρκας. *v.* 3. κενως. *Esa. xlix.* 4. *Conf. lv.* 11. οὑτως επιποθει ἡ ψυχη μου προς σε. *Ps. xli.* 1. φθονος. 1 *Mac. viii.* 16. κατα την γραφην Δαυιδ. 2 *Par. xxxv.* 4. γεγραμμενα επι την γραφην βιβλιου των βασιλεων. *xxiv.* 27. *Conf.* 1 *Mac. xii.* 21. [ὁρατε, αδελφοι, ζηλος και φθονος αδελφοκτονιαν κατειργασατο. Δια ζηλον ὁ πατηρ ἡμων Ιακωβ απεδρα απο προσωπου Ησαυ κ. τ. λ. *Conf. Clem. Rom. i.* § 4.] *Conf. Num. xi.* 4. 29. ψυχη ανομου εποθησε πονηρον, κ. τ. λ. *Prov. xxi.* 10. *Sym.*

6 Μειζονα δε διδωσι χαριν· διο λεγει, Ὁ Θεος ὑπερηφανοις αντιτασσεται, ταπεινοις δε διδωσι χαριν.

Κυριος ὑπερηφανοις αντιτασσεται κ. τ. λ. *Prov. iii.* 34. 1 *Pet. v.* 5. *Job. xxii.* 29. *Matt. xxiii.* 12. *Luc. i.* 52. [ὁς αν εγχειρῃ τι πραττειν μεθ᾽ ὑπερηφανειας, τον Θεον παροξυνει. (*Conf. Num. xv.* 30.) *Philo de Car. p.* 552. *Edit. Col.*] *CITAT.* 286.

7 Ὑποταγητε ουν τῳ Θεῳ. αντιστητε τῳ διαβολῳ, και φευξεται αφ᾽ ὑμων·

ὑποταγηθι τῳ Κυριῳ. *Ps. xxxvi.* 7. 2 *Mac. ix.* 12. τῳ Κυριῳ αντεστης. *Jer. xxvii.* 24. φευγουσιν οὑτοι αφ᾽ ἡμων. 1 *Mac. iv.* 5. [ὁ διαβολος φευξεται αφ᾽ ὑμων. *Test. XII Patr. p.* 672.]

8 Εγγισατε τῳ Θεῳ, και εγγιει ὑμιν. καθαρισατε χειρας, ἁμαρτωλοι, και ἁγνισατε καρδιας, διψυχοι.

και εγγιει Μωυσης μονος προς τον Θεον. *Exod. xxiv.* 2. εγγυς Κυριος πασι τοις επικαλουμενοις αυτον. *Ps. cxliv.* 18. *Esa. xvi. xxix.* 13. και συ εν Θεῳ σου επιστρεψεις, ελεον και κριμα φυλασσου, και εγγιζε προς τον Θεον σου διαπαντος. *Ose. xii.* 6. αθωος χερσι και καθαρος τῃ καρδιᾳ. *Ps. xxiii.* 4. και διασωθητι εν καθαραις χερσι σου. *Job. xxii.* 30. και συναξω αυτους, και αποστρεψουσι προς με, κ. τ. λ. *Jer. xxxvii.* 21. [οὑτος ὁ ὁρος εστι του μεγαλου Θεου, το τῳ Θεῳ συνεγγιζειν, η ᾧ Θεος συνεγγιζει. *Philo, de Mig. Abrah. p.* 397.] διψυχοι. *Conf. cap. i.* 8. επιστρεψατε προς με, και επιστραφησομαι προς ὑμας, λεγει Κυριος. *Mal. iii.* 7. νιψομαι εν αθωοις τας χειρας μου. κ. τ. λ. *Ps. xxv.* 6. λουσασθε, καθαροι γενεσθε, κ. τ. λ. *Esa. i.* 16. *Ps. l.* 7. *cxlviii.* 14.

9 Ταλαιπωρησατε και πενθησατε και κλαυσατε· ὁ γελως ὑμων εις πενθος μεταστραφητω, και ἡ χαρα εις κατηφειαν.

ουαι ἡμιν, ὁτι ταλαιπωρουμεν. *Jer. iv.* 13. και μεταστρεψω τας ἑορτας ὑμων εις πενθος. *Amos. viii.* 10. *Jer. xxxviii.* 13. στεναξουσι παντες οἱ ευφραινομενοι. *Esa. xxiv.* 7. [κατηφεια δε παντας ειχε προς τους Ῥουβηλου λογους. *Jos. ii.* 6. 4.] οἱ σπειροντες εν δακρυσιν, εν αγαλλιασει θεριουσι. κ. τ. λ. *Ps. cxxv.* 5, 6. [τις γαρ ουκ οιδεν, ὁτι χαιροντων μεν οφθαλμοι γανυνται και μειδιωσι, λυπουμενων δε συννοιας γεμουσι και κατηφειας; *Philo, de Leg. p* 807.] *Conf. Matt. v.* 4. οὑτως ὁ γελως ὁ των αφρονων. *Eccles. vii.* 7. *Alex. ii.* 2. *Sir. xxi.* 20. *xxvii.* 13.

10 Ταπεινωθητε ενωπιον του Κυριου, και ὑψωσει ὑμας.

ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον, και εναντι Κυριου εὑρη-

σεις χαριν. *Sir. iii.* 18. τουτον ταπεινοι, και τουτον ὑψοι. *Ps. lxxiv.* 7. *Job. xxii.* 23. του ταπεινωθηναι ενωπιον του Θεου ἡμων. *Est. viii.* 21. ενωπιον αυτου ταπεινωσουσι τας ψυχας αυτων. *Sir. ii.* 17. *Conf. Prov. xxix.* 23. 2 *Par. xxxiv.* 27. *Luc. xiv.* 11. και ὑψων την κεφαλην μου. *Ps. iii.* 3. *Esa. xl.* 4.

11 Μη καταλαλειτε αλληλων, αδελφοι· ὁ καταλαλων αδελφου, και κρινων τον αδελφον αὑτου, καταλαλει νομου, και κρινει νομον· ει δε νομον κρινεις, ουκ ει ποιητης νομου, αλλα κριτης.

και απο καταλαλιας φεισασθε γλωσσης. *Sap. i.* 11. *Conf. Ps. xiv.* 3. *Prov. xx.* 13. τον καταλαλουντα λαθρα τον πλησιον αυτου τουτον εξεδιωκον. *Ps. c.* 5. εαν φυλασσωμεθα ποιειν πασας τας εντολας. *Deut. vi.* 25. *Conf. Job. xiii.* 8. *Matt. vii.* 1. *Luc. vi.* 37. *Rom. ii.* 1. 13. 1 *Cor. iv.* 4.

12 Εἱς εστιν, ὁ νομοθετης, ὁ δυναμενος σωσαι και απολεσαι· συ τις ει, ὁς κρινεις τον ἑτερον;

ανηρ ου δυναμενος σωζειν. *Jer. xiv.* 9. δυναμενος απολυθηναι του θανατου. 2 *Mac. vi.* 30. καταστησον Κυριε νομοθετην επ' αυτους, γνωτωσαν εθνη ὁτι ανθρωποι εισι. *Ps. ix.* 20. *Conf. Rom. xiv.* 4. *Matt. x.* 28. Κυριος κριτης ἡμων, Κυριος αρχων ἡμων κ. τ. λ. *Esa. xxxiii.* 22. ὁτι ὁ Θεος κριτης εστι. *Ps. lxxiv.* 7. τις οὑτος ὁ κρυπτων με βουλην; κ. τ. λ. *Job. xxxviii.* 2.

13 Αγε νυν, οἱ λεγοντες, Σημερον και αυριον πορευσωμεθα εις τηνδε την πολιν, και ποιησωμεν εκει ενιαυτον ἑνα, και εμπορευσωμεθα, και κερδησωμεν·

αγε δε. *Jud. xix.* 6. 4 *Reg. iv.* 24. σημερον και αυριον. 2 *Reg. xi.* 12. *Conf. Esa. lvi.* 12. *Ald. Comp.* ειπον εγω εν καρδιᾳ μου, Δευρο δη πειρασω εν ευφροσυνῃ, και ιδε εν αγαθῳ· και ιδου και γε τουτο ματαιοτης. κ. τ. λ. *Eccles. ii.* 1-26. δικαιοι ποιησουσιν εν πλουτῳ ετη πολλα. *Prov. xiii.* 23. εμπορευσωμεθα. *Ezech. xxvii.* 13. *Conf. Luc. xii.* 18-20. εσται ὁ αγοραζων ὡς ὁ πωλων, κ. τ. λ. *Esa. xxiv.* 2.

14 Οἱτινες ουκ επιστασθε το της αυριον· ποια γαρ ἡ ζωη ὑμων; ατμις γαρ εστιν, ἡ προς ολιγον φαινομενη, επειτα δε αφανιζομενη·

μη καυχω τα εις αυριον, ου γαρ γινωσκεις τι τεξεται ἡ επιουσα. *Prov. xxvii.* 1. εμοι χθες, και σοι σημερον. *Sir. xxxviii.* 22. ὁτι καπνος ἡ πνοη εν ῥισιν ἡμων. *Sap. ii.* 2. *Ps. cix.* 23. *xxxvi.* 2. *lxxxix.* 5, 6. *ci.* 3. οἱτινες. *lxxxii.* 12. χθιζοι γαρ εσμεν, και ουκ οιδαμεν· σκια γαρ εστιν ἡμων επι της γης ὁ βιος. *Job. viii.* 9.

Conf. Esa. xl. 6. 1 Cor. vii. 31. Cap. i. 10. 1 Pet. i. 24. 1 Joan. ii. 17. μνησθητι ουν ὁτι πνευμα μου ἡ ζωη. *Job. vii. 7.* βροτος γαρ γεννητος γυναικος ολιγοβιος, και πληρης οργης, ἡ ὡσπερ ανθος κ. τ. λ. *xiv. 1, 2.* μη ειπῃς, Επανελθων επανηκε, αυριον δωσω, δυνατου σου οντος ευ ποιειν· ου γαρ οιδας τι τεξεται ἡ επιουσα. *Prov. iii. 28. xx. 24. 1 Reg. xx. 3. Aq. Sym.*

15 Αντι του λεγειν ὑμας, Εαν ὁ Κυριος θελησῃ, και ζησωμεν, και ποιησωμεν τουτο η εκεινο·

εαν—και. *Deut. xi. 13. Lev. xxvi. 3, 4.* τουτο η εκεινο. *Conf. Sap. xvi. 4. Act. xviii. 21. 1 Cor. iv. 19.* εαν Κυριος ὁ μεγας θελησῃ. *Sir. xxxix. 6. 2 Reg. xv. 25. Prov. xix. 21. Phil. ii. 24.*

16 Νυν δε καυχασθε εν ταις αλαζονειαις ὑμων· πασα καυχησις τοιαυτη πονηρα εστιν.

πλουτος μετα αλαζονειας. *Sap. v. 8. xvii. 7. Esa. xxxvii. 29. Sym. Conf. Jer. ix. 22, 23.* αισχυνθητε απο καυχησεως ὑμων. *xii. 13.* τι εγκαυχᾳ εν κακιᾳ; κ. τ. λ. *Ps. li. 1.*

17 Ειδοτι ουν καλον ποιειν, και μη ποιουντι, ἁμαρτια αυτῳ εστιν.

και ψυχη ἡτις ποιησῃ ει χειρι ὑπερηφανιας—εξολοθρευθησεται ἡ ψυχη εκεινη κ. τ. λ. *Num. xv. 30.* εστιν εν σοι ἁμαρτια. *Deut. xxiii. 21, 22. Ald. Comp.*

ΚΕΦ. ε. 5.

ΑΓΕ νυν, οἱ πλουσιοι, κλαυσατε, ολολυζοντες επι ταις ταλαιπωριαις ὑμων ταις επερχομεναις.

μη καυχασθω ὁ πλουσιος εν τῳ πλουτῳ αυτου, κ. τ. λ. *Jer. ix. 23, 24.* αγαθον πορευθηναι επι οικον πενθους η ὁτι πορευθηναι εις οικον ποτου, κ. τ. λ. *Eccles. vii. 3.* συντριμμα και ταλαιπωρια εν ταις ὁδοις αυτων, κ. τ. λ. *Esa. lix. 7. Joel. i. 15. Amos. iii. 10.* αγε δη. *Jud. xix. 6.* ολολυζετε μετα κλαυθμου. *Esa. xv. 3.* ολολυζετε, εγγυς γαρ ἡμερα Κυριου, κ. τ. λ. *xiii. 6.* ταδε λεγει αδωναϊ Κυριος, Ω ω ἡμερα, ὁτι εγγυς ἡμερα του Κυριου, κ. τ. λ. *Ezech. xxx. 2, 3. Ald. Comp. Zach. xi. 2.* τα επερχομενα. *Esa. xli. 23.* [τελος επερχομενον. *Codex. Pseudep. p.* 191.]

2 Ὁ πλουτος ὑμων σεσηπε, και τα ἱματια ὑμων σητοβρωτα γεγονεν·

σηψον δε ασεβεις παραχρημα. *Job. xl. 7.* ὡσπερ ἱματιον σητοβρωτον. *xiii. 28.* ιδου παντες ὑμεις ὡς ἱματιον παλαιωθησεσθε,

και σης καταφαγεται ὑμας. Esa. l. 9. li. 8. Matt. vi. 19. παν εργον σηπομενον. Sir. xiv. 19.

3 Ὁ χρυσος ὑμων και ὁ αργυρος κατιωται, και ὁ ιος αυτων εις μαρτυριον ὑμιν εσται, και φαγεται τας σαρκας ὑμων· ὡς πυρ εθησαυρισατε εν εσχαταις ἡμεραις.

πως αμαυρωθησεται χρυσιον; Thren. iv. 1. Ezech. xxiv. 12. χαλκος ιουται. Sir. xii. 10. ὁ λιθος οὑτος εσται εν ὑμιν εις μαρτυριον. Jos. xxiv. 27. μαρτυρει ὁ βουνος οὑτος, κ. τ. λ. Gen. xxxi. 48. του φαγειν της σαρκας μου. Ps. xxvi. 2. Sir. xxxiv. 1. οἱ θησαυριζοντες αδικιαν και ταλαιπωριαν. Amos. iii. 10. και φαγεται ὡσει χορτον την ὑλην. Esa. x. 17. εν εσχαταις ἡμεραις. Prov. xxxi. 25. Conf. Rom. ii. 5. Ps. xx. 9. Prov. x. 2.

4 Ιδου, ὁ μισθος των εργατων των αμησαντων τας χωρας ὑμων, ὁ απεστερημενος αφ' ὑμων, κραζει· και αἱ βοαι των θερισαντων εις τα ωτα Κυριου σαβαωθ εισεληλυθασιν.

ὁ αποστερων μισθον μισθιου. Sir. xxxi. 22. ουκ αποστερησεις μισθον πενητος, κ. τ. λ. Deut. xxiv. 14. Alex. Ald. και ἡ κραυγη μου—εισελευσεται εις τα ωτα αυτου. Ps. xvii. 6. συ σπερεις, και ου μη αμησης. Mich. vi. 15. εκραξε δε ὁ λαος. Gen. xli. 45. [μεμνησθω ὁτι ουκ αποστερητεον ανδρος πενητος μισθον κ. τ. λ. Jos. Ant. iv. 8. 38.] Conf. Deut. xxiv. 15. και ανεβη ἡ βοη αυτων προς τον Θεον. Exod. ii. 23. ηκουσθη γαρ εις τα ωτα Κυριου Σαβαωθ ταυτα. Esa. v. 9. Deut. xxiv. 14. Job. xxiv. 10. Lev. xix. 13. προσευχη ταπεινου νεφελας διηλθε, κ. τ. λ. Sir. xxxii. 17.

5 Ετρυφησατε επι της γης, και εσπαταλησατε· εθρεψατε τας καρδιας ὑμων ὡς εν ἡμερᾳ σφαγης.

και ὁ γελως αυτων εν σπαταλῃ ἁμαρτιας. Sir. xxvii. 13. εν τοις αγαθοις αυτου τρυφησουσιν ἑτεροι. xiv. 14. Neh. ix. 25. νυν δε ακουε ταυτα τρυφερα ἡ καθημενη. Esa. xlvii. 8. iii. 15, 16. ἁγνισον αυτους εις ἡμεραν σφαγης. Jer. xii. 3. Sir. iii. 5. 15. Conf. Job. xxi. 13. Luc. vi. 25. φαγωμεν και πιωμεν, αυριον γαρ αποθνησκομεν. Esa. xxii. 13. [αγαπᾳ γαρ ὁ Θεος μαλλον τον εν λακκῳ σκοτους νηστευοντα, η τον εν ταμειοις τρυφωντα μετα ακολασιας. Test. XII Patr. p. 710.]

6 Κατεδικασατε, εφονευσατε τον δικαιον· ουκ αντιτασσεται ὑμιν.

και αἱμα αθωον καταδικαζονται. Ps. xciii. 21. Κυριος ὑπερηφανοις αντιτασσεται. Prov. iii. 34. ὡς προβατον επι σφαγην ηχθη, και ὡς αμνος—αφωνος. Esa. liii. 7. οντα αιωνιον δικαιον. Job.

xxxiv. 17. *Conf. Act. iii.* 14. *vii.* 52. *xxii.* 14. μακαριος ὁ ὑπομενων κ. τ. λ. *Dan. xii.* 12. Τον δικαιον. *Conf. Middleton ad loc.*

5, 6.] και εσομαι μαρτυς ταχυς—επι τους αποστερουντας μισθον μισθωτου, και τους καταδυναστευοντας χηραν, και τους κονδυλιζοντας ορφανους, κ. τ. λ. *Mal. iii.* 5.

7 Μακροθυμησατε ουν, αδελφοι, ἑως της παρουσιας του Κυριου. ιδου, ὁ γεωργος εκδεχεται τον τιμιον καρπον της γης, μακροθυμων επ᾽ αυτῳ, ἑως αν λαβῃ ὑετον πρωϊμον και οψιμον·

μακροθυμησατε την παρα του Θεου οργην. *Bar. iv.* 25. 2 *Mac. vi.* 14. [ἑως παρουσιας του Θεου της δικαιοσυνης. *Test. XII Patr. p.* 614.] ὡς ὁ αροτριων και ὁ σπειρων προσελθε αυτῃ, και αναμενε τους αγαθους καρπους αυτης. *Sir. vi.* 19. και δωσει τον ὑετον—πρωϊμον και οψιμον. *Deut. xi.* 14. *Conf. Jer. v.* 24. *Ose. vi.* 3. αιτεισθε παρα Κυριου ὑετον καθ᾽ ὡραν πρωϊμον και οψιμον. *Zach. x.* 1. [καιριους ὑετους. *Philo, p.* 926.] ὡς γαρ αν καταβῃ ὁ ὑετος η χιων—και δῳ σπερμα τῳ σπειροντι, και αρτον εις βρωσιν, οὑτως εσται το ῥημα μου κ. τ. λ. *Esa. lv.* 10, 11. *Conf. Joel. ii.* 23. *Amos. iv.* 7. *Eccles. xi.* 1.

8 Μακροθυμησατε και ὑμεις, στηριξατε τας καρδιας ὑμων, ὁτι ἡ παρουσια του Κυριου ηγγικε.

στηρισον την καρδιαν σου. *Jud. xix.* 5. ὁτι παρεστιν ἡμερα Κυριου, ὁτι εγγυς. *Joel. ii.* 1. *Ald. Comp.* τι το τελος μου, ὁτι μακροθυμησω; *Job. vi.* 11. *Aq. Eccles. vii.* 9. *Conf.* 1 *Joan. ii.* 18. 1 *Pet. iv.* 7. *Apoc. xii.* 12. ὑπομεινον τον Κυριον, ανδριζου, και κραταιουσθω ἡ καρδια σου, και ὑπομεινον τον Κυριον. *Ps. xxvi.* 14. *xxxvi.* 3, 4.

9 Μη στεναζετε κατ᾽ αλληλων, αδελφοι, ἱνα μη κατακριθητε· ιδου, ὁ κριτης προ των θυρων ἑστηκεν.

Conf. Matt. xxiv. 33. 2 *Cor. vi.* 12. εαν δε μη χορτασθωσι, και γογγυσουσι. *Ps. lviii.* 15. στεναζετε. *Conf. Exod. ii.* 24. *vi.* 5. *Ps. xxxvii.* 9. μη κρινετε, ἱνα μη κριθητε. *Matt. vii.* 1. ὁτι ὁ Θεος κριτης εστι. *Ps. lxxiv.* 7.

10 Ὑποδειγμα λαβετε της κακοπαθειας, αδελφοι μου, και της μακροθυμιας, τους προφητας, οἱ ελαλησαν τῳ ονοματι Κυριου.

ὑποδειγμα μετανοιας. *Sir. xliv.* 15. κακοπαθεια. *Mal. i.* 13. 2 *Mac. ii.* 27, 28. ευλογηκαμεν ὑμας εν ονοματι Κυριου. *Ps. cxxviii.* 8. και εξομολογησομαι τῳ ονοματι σου. *cxxxvii.* 2. *Conf. Matt. v.* 12. *Heb. xi.* 35. *Esa. xxxix.* 4-8. *Jer. xxiii.* 21. *xxxiii.* 16. ὁ Κυ-

ριος εδωκεν, ὁ Κυριος αφειλατο· ὡς τῳ Κυριῳ εδοξεν, οὑτως εγενετο· ειη το ονομα Κυριου ευλογημενον. *Job. i.* 21. εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε. 2 *Par. xx.* 20. 4 *Mac.* § 20.

11 Ιδου, μακαριζομεν τους ὑπομενοντας· την ὑπομονην Ιωβ ηκουσατε, και το τελος Κυριου ειδετε, ὁτι πολυσπλαγχνος εστιν ὁ Κυριος και οικτιρμων.

μακαριος ὁ ὑπομενων. *Dan. xii.* 12. *Conf. Job. i.* 22. *xlii.* 12. προ τελευτης μη μακαριζε μηδενα. *Sir. xi.* 28. τελος λογου. *Eccles. xii.* 13. ελεημων και οικτιρμων ὁ Κυριος. *Ps. cx.* 4. Κυριος μακροθυμος και πολυελεος. *Num. xiv.* 18. *Exod. xxxiv.* 6. *Ps. cii.* 8. *Matt. v.* 11. 2 *Par. xxx.* 9. *Neh. ix.* 17. *Conf. Job. xlii.* 7. ου γαρ ελαλησατε ενωπιον μου αληθες ουδεν, ὡς ὁ θεραπων μου Ιωβ.—και ετελευτησεν Ιωβ πρεσβυτερος, και πληρης ἡμερων· γεγραπται δε, αυτον παλιν αναστησεσθαι μεθ᾽ ὧν ὁ Κυριος ανιστησιν. 17. ·ταδε σπλαγχνα των ασεβων ανελεημονα. *Prov. xii.* 10. [συμπασχετε εν σπλαγχνοις ελεους. *Test. XII Patr. p.* 641.] [τις γαρ, ὡς ὁ Ιωβ φησι, καθαρος απο ῥυπου (*cap. xiv.* 4.) καν μιᾳ ἡμερᾳ εστιν ἡ ζωη. *Philo, de Mutat. Nom. xxiv.* 4. *p.* 585. *Tom.* 1. *Edit. Mangey.*] ὑπομενων ὑπεμεινα τον Κυριον, και προσεσχε μοι, και εισηκουσε της δεησεως μου. *Ps. xxxix.* 1. ουκ εις αιωνα εκδικησω ὑμας, ουδε διαπαντος οργισθησομαι ὑμιν· πνευμα γαρ παρ᾽ εμου εξελευσεται, και πνοην πασαν εγω εποιησα. *Esa. lvii.* 16. *Ps. xxxvi.* 27.

12 Προ παντων δε, αδελφοι μου, μη ομνυετε, μητε τον ουρανον, μητε την γην, μητε αλλον τινα ὁρκον· ητω δε ὑμων το ναι, ναι, και το ου, ου· ἱνα μη εις ὑποκρισιν πεσητε.

μη ομοσαι ὁλως. κ. τ. λ. ὑποκρισιν. 2 *Mac. vi.* 25. θρασυς πεσειται εις κακα. *Prov. xiii.* 17. *Ald. Comp. Conf. Sir. xxi.* 27. 2 *Cor. i.* 17, 18. [τον Θεον ὁν ομωμοκαμεν, παραιτουμεθα. *Jos. Ant. v.* 1. 1. ωμοσαν δε τον Θεον και τον βασιλεα. *xiii.* 3. 4.] εστω ὁ λογος ὑμων, ναι, ναι· ου, ου κ. τ. λ. *Matt. v.* 37. *Sir. xxiii.* 10, 11. νομον, ὁν αν αναγγειλωσιν ὑμιν οἱ ἱερεις. *Deut. xxiv.* 8. προ παντων. 3 *Mac. ii.* 21.

13 Κακοπαθει τις εν ὑμιν; προσευχεσθω· ευθυμει τις; ψαλλετω.

ευθυμει. *Prov. xv.* 15. *Sym. Conf. Ephes. v.* 19. *Col. iii.* 16. *Ps. cxlvi.* 7. [Ιωσηπον δε διετη χρονον τοις δεσμοις κακοπαθουντα. *Jos. Ant. ii.* 5. 4.] κακοπαθειν. *Ps. cxxvi.* 2. *Sym.* επικαλεσεται προς με, και εισακουσομαι αυτου, μετ᾽ αυτου ειμι εν θλιψει, κ. τ. λ. *xc.* 15. και εν ψαλμοις αλαλαξωμεν αυτῳ. *xciv.* 2. προσευχη

Εζεκιου—ἡνικα εμαλακισθη, και ανεστη εκ της μαλακιας αυτου. *Esa. xxxviii.* 9. ψαλατωσαν αυτῳ. *Ps. cxlix.* 3.

14 Ασθενει τις εν ὑμιν; προσκαλεσασθω τους πρεσβυτερους της εκκλησιας, και προσευξασθωσαν επ' αυτον, αλειψαντες αυτον ελαιῳ, εν τῳ ονοματι του Κυριου.

εν τῳ ονοματι σου αρω τας χειρας μου. *Ps. lxii.* 4. εν καθεδρᾳ πρεσβυτερων αινεσατωσαν αυτον. *cvi.* 32. *Conf. Marc. vi.* 13. *xvi.* 18. 3 *Reg. xvii.* 21. 4 *Reg. iv.* 33.

15 Και ἡ ευχη της πιστεως σωσει τον καμνοντα, και εγερει αυτον ὁ Κυριος· καν ἁμαρτιας ᾐ πεποιηκως, αφεθησεται αυτῳ.

ευχαις δε δικαιων επακουει. *Prov. xv.* 29. αφεθησεται ὑμιν αὑτη ἡ ἁμαρτια. *Esa. xxii.* 14. *xxxiii.* 24. *Conf. Deut. xxviii.* 15. 1 *Cor. xi.* 30. *Sir. xxxviii.* 9. 14. *Gen. xviii.* 29-31.

16 Εξομολογεισθε αλληλοις τα παραπτωματα, και ευχεσθε ὑπερ αλληλων, ὁπως ιαθητε. πολυ ισχυει δεησις δικαιου ενεργουμενη.

μη αισχυνθῃς ὁμολογησαι εφ' ἁμαρτιας σου. *Sir. iv.* 26. *Conf. Job. xxxi.* 33. *Dan. vi.* 10. ευξασθε περι εμου προς Κυριον. *Exod. viii.* 8. *Deut. ix.* 20. 26. ὑπερ ὑμων. *Job. xlii.* 8. ὁπως. *Jon. i.* 6. Ιωβ δε ὁ θεραπων μου ευξεται περι ὑμων—και ελυσε την ἁμαρτιαν αυτοις δια Ιωβ, κ. τ. λ. *Job. xlii.* 8, 9. ευξαι Κυριῳ, και αυτος ιασεται σε. *Sir. xxxviii.* 9. την ανομιαν μου αναγγελω, και μεριμνησω ὑπερ ἁμαρτιας μου. *Ps. xxxvii.* 18. [ὁρατε ουν, τεκνα μου, ποσα κατεργαζεται ἡ ὑπομονη, και ἡ προσευχη μετα νηστειας, κ. τ. λ. *Test. XII Patr. p.* 711.] *Conf. Gen. xx.* 7. 17. 1 *Par. iv.* 9, 10. *Joan. ix.* 31. 1 *Joan. iii.* 22. θυσια ανδρος δικαιου δεκτη, και το μνημοσυνον αυτης ουκ επιλησθησεται. *Sir. xxxii.* 7. την ἁμαρτιαν μου αναμιμνησκω σημερον. *Gen. xli.* 9. *Ps. xxxi.* 5.

17 Ηλιας ανθρωπος ην ὁμοιοπαθης ἡμιν, και προσευχῃ προσηυξατο του μη βρεξαι, και ουκ εβρεξεν επι της γης ενιαυτους τρεις και μηνας ἑξ·

ὁμοιοπαθης. *Sap. vii.* 3. προσευχομενος προς Κυριον ὁλην την προσευχην. 3 *Reg. viii.* 55. ουκ εγενετο ὑετος επι της γης. 3 *Reg. xvii.* 7. *Luc. iv.* 25. *Act. xiv.* 15. *Apoc. xi.* 6. και ανεστη Ηλιας προφητης ὡς πυρ—εν λογῳ Κυριου ανεσχεν ουρανον, κατηγαγεν οὑτως τρις πυρ, κ. τ. λ. *Sir. xlviii.* 1-13. [*Conf. Jos. Ant. viii.* 13. 2.]

18 Και παλιν προσηυξατο, και ὁ ουρανος ὑετον εδωκε, και ἡ γη εβλαστησε τον καρπον αὑτης.

και δωσω ὑετον επι προσωπον της γης. 3 Reg. xviii. 1. και εγενετο ὑετος μεγας. 45. βλαστησατω ἡ γη βοτανην χορτου. Gen. i. 11. Deut. xxviii. 12. Esa. xxx. 23. [φυτα—βλαστανοντα και τικτοντα καρπους. Philo, p. 862.]

19 Αδελφοι, εαν τις εν ὑμιν πλανηθῃ απο της αληθειας, και επιστρεψῃ τις αυτον,

επλανηθημεν απο ὁδου αληθειας. Sap. v. 6. Jer. xxiii. 17. μετανοησατε οἱ πεπλανημενοι, επιστρεψατε. Esa. xlvi. 8. Conf. Deut. xxii. 1. Matt. xviii. 15. το πλανωμενον ουκ επεστρεψατε, κ. τ. λ. Ezech. xxxiv. 4. Alex. διδαξω ανομους τας ὁδους σου, και ασεβεις επι σε επιστρεψουσι. Ps. l. 13.

20 Γινωσκετω ὁτι ὁ επιστρεψας ἁμαρτωλον εκ πλανης ὁδου αυκου σωσει ψυχην εκ θανατου, και καλυψει πληθος ἁμαρτιων.

εκαλυψας πασας τας ἁμαρτιας αυτων. Ps. lxxxiv. 2. xxxi. 1. δια το πληθος των ἁμαρτιων σου. Ezech. xxviii. 18. αποκτειναι ψυχας, ἁς ουκ εδει αποθανειν. xiii. 19. Prov. xi. 30. παντας δε τους μη φιλονεικουντας καλυπτει φιλια. x. 12. 1 Pet. iv. 8. 1 Cor. ix. 22. 1 Tim. iv. 16. ὁ ανομος εκεινος εν τῃ αδικιᾳ αυτου αποθανειται, και συ την ψυχην σου ῥυσῃ. Ezech. iii. 19. των πλανης ὁδων μακροτερον επλανηθησαν. Sap. xii. 24. οὑτος την ψυχην αυτου εφυλαξε. Ezech. xviii. 27. το αἱμα αυτου εκ της χειρος σου εκζητησω. iii. 20. και οἱ συνιεντες λαμψουσιν ὡς ἡ λαμπροτης του στερεωματος, και απο των δικαιων των πολλων ὡς οἱ αστερες εις τους αιωνας, και ετι. Dan. xii. 3. εν ειρηνῃ κατευθυνων επορευθη μετ᾽ εμου, και πολλους επεστρεψεν απο αδικιας. Mal. ii. 6.



ΠΕΤΡΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ.

ΚΕΦ. α. 1.

ΠΕΤΡΟΣ αποστολος Ιησου Χριστου, εκλεκτοις παρεπιδημοις διασπορας Ποντου, Γαλατιας, Καππαδοκιας, Ασιας και Βιθυνιας,

παροικος και παρεπιδημος εγω ειμι μεθ' ὑμων. *Gen. xxiii.* 4. *Conf. Heb. xi.* 13. διεσπειρεν ἡμας εν αυτοις. *Tob. xiii.* 3. 2 *Mac. i.* 27. *Ps. cxlvi.* 2. τοις εκ της αιχμαλωσιας της Ιουδαιας. 1 *Esd. vi.* 28. *v.* 7. και εσῃ διασπορα εν πασαις βασιλειαις της γης. *Deut. xxviii.* 25. *Jer. xli.* 17. *Conf. Rom. i.* 1. *Joan. vii.* 35. *Col. iii.* 12. ὁ συναγων τους διεσπαρμενους Ισραηλ. *Esa. lvi.* 8. [*De Judæis* εν τῃ διασπορᾳ. *Conf. Jos. c. Ap. i.* 7.] [εκλεκτοις· τοις αφωρισμενοις εκ των αλλων εθνων ειναι λαον περιουσιον. *Œcumen.*]

2 Κατα προγνωσιν Θεου πατρος εν ἁγιασμῳ Πνευματος, εις ὑπακοην και ῥαντισμον αἱματος Ιησου Χριστου· χαρις ὑμιν και ειρηνη πληθυνθειη.

και ἡ κρισις σου εν προγνωσει. *Judith. ix.* 6. τῳ ἁγιασμῳ αυτων. *Ezech. xlv.* 4. *Lev. xxiii.* 27. *Ald.* και συ, εν αἱματι διαθηκης σου, εξαπεστειλας δεσμιους σου κ. τ. λ. *Zach. ix.* 11. ὑδωρ ῥαντισμου. *Num. xix.* 9. ῥαντιεις με ὑσσωπῳ και καθαρισθησομαι. *Ps. l.* 7. Ναβουχοδονοσορ ὁ βασιλευς πασι τοις λαοις—ειρηνη ὑμιν πληθυνθειη. *Dan. iii.* 31. ὡς επληθυνας το ελεος σου ὁ Θεος. *Ps. xxxv.* 7. *Conf. Rom. i.* 7. 1 *Cor. i.* 3. *Gal. i.* 3. *Ephes. i.* 2. εν τῃ ἡμερᾳ εκεινῃ εσται πας τοπος διανοιγομενος [ανοιγομενη πηγη. *Sym.*] τῳ οικῳ Δαυιδ—εις τον χωρισμον [εις τον ῥαντισμον. *Alex. Ald.*] *Zach. xiii.* 1. και ληψῃ απο του αἱματος—και ῥανεις επι Ααρων—και ἁγιασθησεται κ. τ. λ. *Exod. xxix.* 21. ὁτι λαος ἁγιος ει Κυριῳ τῳ Θεῳ σου· και σε προειλετο κ. τ. λ. *Deut. vii.* 6. και κληρονομησουσιν οἱ εκλεκτοι μου, κ. τ. λ. *Esa. lxv.* 9. Συ γαρ εποιησας τα προτερα—και τα μετεπειτα, και τα

νυν, και τα επερχομενα διενοηθης, και εγενηθησαν ἁ ενενοηθης, κ. τ. λ. Judith. ix. 5, 6.

3 Ευλογητος ὁ Θεος και πατηρ του Κυριου ἡμων Ιησου Χρι-
στου, ὁ κατα το πολυ αὑτου ελεος αναγεννησας ἡμας εις ελ-
πιδα ζωσαν δι᾽ αναστασεως Ιησου Χριστου εκ νεκρων,

ευλογητος Κυριος ὁ Θεος. *Gen. ix.* 26. *xiv.* 20. *xxiv.* 7. το λογιον σου εζησε με. *Ps. cxviii.* 50. Θεος και πατηρ. 1 *Cor. xv.* 24. *Ephes. v.* 20. υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε. *Ps. ii.* 7. αναστησονται οἱ νεκροι, και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. Θεος και [*etiam, vel nimirum*] πατηρ. *Col. iii.* 17. = εμη γαρ εστιν ἡ οικουμενη, και το πληρωμα αυτης. *Ps. xlix.* 12. και εσται σοι Κυριος φως αιωνιον, και ὁ Θεος δοξα σου. *Esa. lx.* 19. φωνῃ μου προς Κυριον εκεκραξα, και ἡ φωνη μου [φωνῃ. *Ald. Comp.*] προς τον Θεον. *Ps. lxxvi.* 1. ὁ Θεος βοηθος αυτων εστι, και ὁ Θεος ὁ ὑψιστος λυτρωτης αυτων εστι. *lxxvii.* 35. *xviii.* 6. *et passim.* δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8. ὑγιασει ἡμας μετα δυο ἡμερας· και εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, και ζησομεθα ενωπιον αυτου. *Ose. vi.* 3. ευλογητος ὁ Θεος της αληθειας. 1 *Esd. iv.* 40. αναγεννησας. *Joan. iii.* 3. 1 *Reg. x.* 6. Θεον τον γεννησαντα σε. *Deut. xxxii.* 18. *Job. xiv.* 14. *Aq. Theod. Sym.*

4 Εις κληρονομιαν αφθαρτον και αμιαντον και αμαραντον,
τετηρημενην εν ουρανοις εις ἡμας,

εγω κληρονομια αυτοις. *Ezech. xliv.* 28. ἱνα την κληρονομιαν αυτου συγκληρονομησῃς. *Sir. xxii.* 23. αφθαρτον νομου φως. *Sap. xviii.* 4. εστι κληρονομια τοις θεραπευουσι Κυριον. *Esa. liv.* 17. αμιαντος. 2 *Mac. xiv.* 36. *Sap. iii.* 13. λαμπρα και αμαραντος εστιν ἡ σοφια. *Sap. vi.* 12. *Conf. Col. i.* 5. 2 *Tim. i.* 12. *Gal. i.* 4. *Ephes. i.* 21. 1 *Joan. v.* 19. *Matt. vi.* 20. και νυν ἁγιε παντος ἁγιασμου Κυριε, διατηρησον εις αιωνα αμιαντον τονδε προσφατως κεκαθαρισμενον οικον. 2 *Mac. xiv.* 36. ευλογητος ὁ διατηρησας τον ἑαυτου τοπον αμιαντον. *xv.* 34. *Ps. xxxvi.* 18.

5 Τους εν δυναμει Θεου φρουρουμενους δια πιστεως εις σωτη-
ριαν ἑτοιμην αποκαλυφθηναι εν καιρῳ εσχατῳ·

Ισραηλ σωζεται ὑπο Κυριου σωτηριαν αιωνιον· κ. τ. λ. *Esa. xlv.* 17. οιδα γαρ ὁτι αενναος εστιν ὁ εκλυειν με μελλων, κ. τ. λ. *Job. xix.* 25, 26. τῃ δυναμει σου δυναμωσον. *Ps. lxvii.* 28. εν ἡμεραις εσχαταις. *Prov. xxxi.* 25. ἑτοιμος. *Conf. Sir. li.* 3. *Joan x.* 28. *Ps. xi.* 7. εφρουρειτο εις την ασιδηρον εἱρκτην κατακλεισθεις. *Sap.*

xvii. 16. *εστι Θεος εν ουρανῳ αποκαλυπτων μυστηρια.* *Dan. ii.* 28. *την σωτηριαν περιμενων* Κυριου. *Gen. xlix.* 18.

6 Εν ᾧ αγαλλιασθε, ολιγον αρτι (ει δεον εστι) λυπηθεντες
εν ποικιλοις πειρασμοις,

αγαλλιασομαι επι τῳ σωτηριῳ σου. *Ps. ix.* 14. *αγαλλιασωμεθα και ευφρανθωμεν εν σοι.* *Cant. i.* 4. *Esa. xxv.* 9. *ετι ολιγον.* *Ps. xxxvi.* 10. *αρτι.* 2 *Mac. x.* 28. *δεον ἡγησαμεθα διασαφησαι ὑμιν. i.* 18. *Prol. Sir.* *και εν πειρασμῳ εὑρεθη πιστος.* *xliv.* 20. *Conf. Rom. v.* 3. 2 *Cor. iv.* 17. *Act. xvi.* 34. *Jac. i.* 2. *Cap. v.* 10. *πολλαι αἱ θλιψεις των δικαιων, κ. τ. λ.* *Ps. xxxiii.* 19.

7 Ἱνα το δοκιμιον ὑμων της πιστεως, πολυ τιμιωτερον χρυ-
σιου του απολλυμενου, δια πυρος δε δοκιμαζομενου, εὑρεθῃ εις
επαινον και τιμην και δοξαν, εν αποκαλυψει Ιησου Χριστου·

δοκιμιον αργυριῳ και χρυσῳ πυρωσις. *Prov. xxvii.* 21. *Ps. xi.* 6. *τιμιωτερα δε εστι λιθων πολυτελων.* *Prov. iii.* 15. *Ps. xix.* 10. *ὁτι εν πυρι δοκιμαζεται χρυσος, και ανθρωποι δεκτοι εν καμινῳ ταπεινωσεως.* *Sir. ii.* 5. *Ps. lxv.* 10. *Esa. xlviii.* 10. *χρυσιον δεδοκιμασμενον.* *Prov. viii.* 19. *εις τιμην της δοξης μου.* *Dan. iv.* 27. *εν συντελειᾳ ανθρωπου αποκαλυψις εργων αυτου.* *Sir. xi.* 27. *Conf.* 1 *Cor. iii.* 13. *Jac. i.* 3. *Cap. iv.* 12. *Zach. xiii.* 9. *ὡσπερ δοκιμαζεται εν καμινῳ αργυρος και χρυσος, οὑτως εκλεκται καρδιαι παρα* Κυριῳ. *Prov. xvii.* 3. [*ὁ τιμιωτερος χρυσιου λογος.* *Philo de sacrific. Cain et Abel. p.* 144. *ἡ φρονησις ἡν εικασε χρυσιῳ αδολῳ και καθαρᾳ και πεπυρωμενῃ και δεδοκιμασμενῃ και τιμιᾳ φυσει, εκει μεν εστιν εν τῃ του* Θεου *σοφιᾳ.* 1 *Alleg. p.* 54.]

8 Ὁν ουκ ειδοτες αγαπατε· εις ὁν, αρτι μη ὁρωντες, πιστευ-
οντες δε, αγαλλιασθε χαρᾳ ανεκλαλητῳ και δεδοξασμενῃ,

και υἱοι Σιων *αγαλλιασθωσαν επι τῳ βασιλει.* *Ps. cxlix.* 2. *χαρητε ἁμα αυτῃ χαρᾳ παντες κ. τ. λ.* *Esa. lxvi.* 10. *Ps. xxxvi.* 4. *xvi.* 15. *εγω δε εν τῳ* Κυριῳ *αγαλλιασομαι, χαρησομαι επι τῳ* Θεῳ *τῳ σωτηρι μου.* *Hab. iii.* 18. *Conf. Act. xvi.* 34. [*το φως αυτου ανεκλαλητον ην.* *Ignat. ad Ephes. p.* 28. *Conf. Rom. viii.* 26.] *δεδοξασμενη.* *Conf. Exod. xxxiv.* 29. 35.

9 Κομιζομενοι το τελος της πιστεως ὑμων, σωτηριαν ψυχων·

οἱτινες τον αξιον της δυσσεβειας εκομισαντο μισθον. 2 *Mac. viii.* 33. 1 *Mac. xiii.* 37. [*το τελος του πραγματος εις κακιαν αγει.* *Test. XII Patr. p.* 689.] *ειπον τῃ ψυχῃ μου,* Σωτηρια *σου εγω ειμι.* *Ps. xxxiv.* 3. *Conf. cap. v.* 4. *Rom. vi.* 22. *Matt. xvi.* 26. *οἱ φοβουμενοι* Κυριον, *πιστευσατε αυτῳ, και ου μη πταισῃ ὁ μισθος*

ὑμων. *Sir. ii.* 8. εμπιστευσατε εν Κυριῳ—και ευοδωθησεσθε. 2 *Par. xx.* 20. δωθησεται γαρ αυτῳ της πιστεως χαρις εκλεκτη, κ. τ. λ. *Sap. iii.* 14. τελος λογου. *Eccles. xii.* 13.

10 Περι ἡς σωτηριας εξεζητησαν και εξηρευνησαν προφηται οἱ περι της εις ὑμας χαριτος προφητευσαντες,

και εξεζητουν και εξηρευνων. 1 *Mac. ix.* 26. εαν ζητησῃς—και—εξερευνησῃς. *Prov. ii.* 4. και παντες οἱ προφηται επροφητευον οὑτως. 3 *Reg. xxii.* 12. *Conf. Gen. xlix.* 10. *Dan. ii.* 44. *Agg. ii.* 8. εξοισω τον λιθον της κληρονομιας, ισοτητα χαριτος κ. τ. λ. *Zach. iv.* 7. *vi.* 12. [προφητης γαρ ιδιον μεν ουδεν αποφθεγγεται, αλλοτρια δε παντα, ὑπηχουντος ἑτερου, κ. τ. λ. *Philo, p.* 404. *Edit. Col.* ου γαρ τα μελλοντα μονον προφητευων διετελει (Δανιηλ), καθαπερ και οἱ αλλοι προφηται, αλλα και καιρον ὡριζεν, εις ὁν ταυτα αποβησεται, κ. τ. λ. *Jos. Ant. x.* 11. 7.] *Conf. Matt. xiii.* 17. *Act. iii.* 18. *Rom. iii.* 21. *Apoc. xix.* 10.

11 Ερευνωντες εις τινα, η ποιον καιρον, εδηλου το εν αυτοις πνευμα Χριστου, προμαρτυρομενον τα εις Χριστον παθηματα, και τας μετα ταυτα δοξας·

Conf. Ps. lxxxviii. 46. *Job. xxiii.* 8, 9. *Hab. ii.* 3. *Ps. xxi. Esa. ix.* 6. *xlvi.* 13. *liii. Zach. xiii.* 7. *Luc. xxiv.* 26. 2 *Pet. i.* 21. *Gen. xlix.* 10. και απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos. iv.* 13. το ανταλλαγμα του Χριστου σου. *Ps. lxxxviii.* 51. και μετα τας ἑβδομαδας ἑπτα και ἑξηκονταδυο εκκοπησεται Χριστος κ. τ. λ. *Dan. ix.* 26. *Sym.*

12 Οἱς απεκαλυφθη, ὁτι ουχ ἑαυτοις, ἡμιν δε διηκονουν αυτα, ἁ νυν ανηγγελη ὑμιν δια των ευαγγελισαμενων ὑμας εν Πνευματι ἁγιῳ αποσταλεντι απ᾽ ουρανου, εις ἁ επιθυμουσιν αγγελοι παρακυψαι.

και εμοι—το μυστηριον τουτο απεκαλυφθη. *Dan. ii.* 30. *Conf. Dan. viii.* 13. *ix.* 24. *xii.* 5. 9. 13. δειξω αυτῳ, και ουχ νυν, κ. τ. λ. *Num. xxiv.* 17. παρακυψαι. *Exod. xii.* 27. *Prov. vii.* 6. *Conf. Act. ii.* 4. *Esa. lii.* 7. *Ephes. iii.* 10. *Heb. xi.* 13. εσονται αἱ χερουβιμ εκτεινοντες τας πτερυγας επανωθεν, κ. τ. λ. *Exod. xxv.* 20. *Conf. Esa. xli.* 25. *xliv.* 5. *lv.* 5. *lx.* 14. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32. [σκοπωμεν, ὁπως την ψυχην γυμνασωμεν—διακυπτειν εις ἑκαστον και ερευναν μετα πασης ακριβειας. *Philo de sacrif. Cain et Abel. p.* 144. *Conf. Loesner.*] *Conf. Prov. xxv.* 2. *Job. xxxviii.* 7.

13 Διο αναζωσαμενοι τας οσφυας της διανοιας ὑμων, νηφοντες,

τελειως ελπισατε επι την φερομενην ὑμιν χαριν εν αποκαλυψει Ιησου Χριστου.

αναζωσαμενη ισχυρως την οσφυν αυτης. Prov. xxxi. 17. ελπισον επι Κυριον, κ. τ. λ. Ps. xxxvi. 3. 5. cxxix. 7, 8. cxxx. 3. = και νυν κλινω γονυ καρδιας μου δεομενος. Orat. Manass. 11. εν συντελειᾳ ανθρωπου αποκαλυψις εργων αυτου. Sir. xi. 27. Ose. xii. 6. Conf. Ephes. vi. 14. Luc. xii. 35. 1 Thess. v. 6. [νηφε ὡς Θεου αθλητης. Ignat. p. 12.]

14 Ὡς τεκνα ὑπακοης, μη συσχηματιζομενοι ταις προτερον εν τῃ αγνοιᾳ ὑμων επιθυμιαις,

τεκνα αδικιας. Ose. x. 9. εν αγνοιᾳ ὑμων. Sap. xiv. 22. ουαι τεκνα αποσταται. Esa. xxx. 1. ασεβης επιθυμει ὁλην την ἡμεραν επιθυμιας κακας, κ. τ. λ. Prov. xxi. 26.

15 Αλλα κατα τον καλεσαντα ὑμας ἁγιον και αυτοι ἁγιοι εν πασῃ αναστροφῃ γενηθητε·

ἑνεκεν της επ' αυτους επικλησεως του σεμνου και μεγαλοπρεπους ονοματος. 2 Mac. viii. 15. ισθι πεπαιδευμενος εν πασῃ αναστροφῃ σου. Tob. iv. 14.

16 Διοτι γεγραπται, Ἁγιοι γενεσθε, ὁτι εγω ἁγιος ειμι.

και ἁγιοι εσεσθε, ὁτι ἁγιος ειμι εγω Κυριος. Lev. xi. 44. xix. 2. xx. 7. Conf. 2 Cor. iii. 18. Rom. viii. 29. 1 Joan. iii. 3. Luc. vi. 36. γεγραπται. Conf. 4 Reg. xvii. 37. Esa. iii. 4. Tob. i. 6. CITAT. 287.

17 Και ει πατερα επικαλεισθε τον απροσωποληπτως κρινοντα κατα το ἑκαστου εργον, εν φοβῳ τον της παροικιας ὑμων χρονον αναστραφητε·

ου θαυμαζει προσωπον. Deut. x. 17. δος αυτοις κατα τα εργα αυτων. Ps. xxvii. 4. Πατερα επικαλεισθε με. Jer. iii. 19. Comp. ὁς αποδιδωσιν ἑκαστῳ κατα τα εργα αυτου. Prov. xxiv. 12. κρινειν τον λαον σου εν δικαιοσυνῃ και τους πτωχους σου εν κρισει. Ps. lxxii. 2. cxix. 5. αἱ ἡμεραι των ετων της ζωης μου, ἁς παροικω. Gen. xlvii. 9. δουλευσατε τῳ Κυριῳ εν φοβῳ. Ps. ii. 11. ὁς αναστρεφεται αμωμος εν δικαιοσυνῃ. Prov. xx. 7. Conf. Job. xxxiv. 19. παροικος εγω ειμι εν τῃ γῃ και παρεπιδημος, κ. τ. λ. Ps. xxxviii. 12. Gen. xxiii. 4. σοφος φοβηθεις εξεκλινεν απο κακου, κ. τ. λ. Prov. xiv. 16. Conf. 1 Par. xxix. 15. Heb. xi. 13-16.

18 Ειδοτες ὁτι ου φθαρτοις, αργυριῳ η χρυσιῳ, ελυτρωθητε εκ της ματαιας ὑμων αναστροφης πατροπαραδοτου,

δωρεαν επραθητε, και ου μετ' αργυριου λυτρωθησεσθε. Esa. lii. 3. *εκ θανατου λυτρωσομαι αυτους. Ose. xiii.* 14. *επιστραφηθι προς με, και λυτρωσομαι σε. Esa. xliv.* 22. *xxxv.* 9. *εν τοις νομιμοις των πατερων ὑμων μη πορευθεσθε. Ezech. xx.* 18. *Jer. ix.* 14. *Conf.* 1 *Cor. vi.* 20. *vii.* 23. [*το γερας εστιν ουκ αργυρος, ουδε χρυσος, ου μεν ουδε κοτινου στεφανος—αλλ' κ. τ. λ. Jos. c. Ap. ii.* 3. *p.* 1383. *Edit. Huds. παρ' ἑαυτοις φυλαττετε θησαυρον, ουκ εν ᾧ χρυσος και αργυρος, ουσιαι φθαρται, κατακεινται, αλλα των οντων κτηματων το καλλιστευον. Philo, de Cherub. p.* 116.] *Conf. Matt. vi.* 19, 20. *Ps. lxxvii.* 8. 57.

19 Αλλα τιμιῳ αἱματι, ὡς αμνου αμωμου και ασπιλου, Χριστου·

εν αἱματι διαθηκης. Zach. ix. 11. *αυτος δε ετραυματισθη δια τας ἁμαρτιας ἡμων, κ. τ. λ. Esa. liii.* 5. *ὡς αμνος εναντιον του κειροντος, κ. τ. λ.* 7. *τιμιος εναντιον Κυριου ὁ θανατος των ὁσιων αυτου. Ps. cxv.* 15. *εγω δε ὡς αρνιον ακακον αγομενον του θυεσθαι. Jer. xi.* 19. *ληψεται δυο αμνους αμωμους. Lev. xiv.* 10. *Exod. xii.* 5. *Conf. Joan. i.* 29. *viii.* 46. *Act. xx.* 28. 1 *Cor. v.* 7. *Heb. ix.* 12. 1 *Joan. i.* 7. *Apoc. i.* 5. *ασπιλος. Job. xv.* 15. *Sym. αδελφος ου λυτρουται, λυτρωσεται ανθρωπος; κ. τ. λ. Ps. xlviii.* 7, 8. [*αμνος αμωμος. De Messiâ. Test. XII Patr. p.* 724.]

20 Προεγνωσμενου μεν προ καταβολης κοσμου, φανερωθεντος δε επ' εσχατων των χρονων δι' ὑμας

προεγνωσμενου. Conf. Sap. vi. 13. *και εξοδοι αυτου απ' αρχης κ. τ. λ. Mich. v.* 2. *επι εσχατων των ἡμερων. Dan. ii.* 28. *Conf. Esa. xlviii.* 6-8. *Jer. xl.* 3. *Rom. iii.* 25. *Ephes. i.* 9. *Gal. iv.* 4. *Col. i.* 26. *ὁ Θεος ὁ αιωνιος, ὁ των κρυπτων γνωστης, ὁ ειδως τα παντα πριν γενεσεως αυτων. Susan.* 42. *εκ γαστρος προ Ἑωσφορου εγεννησα σε. Ps. cix.* 3.

21 Τους δι' αυτου πιστευοντας εις Θεον, τον εγειραντα αυτον εκ νεκρων, και δοξαν αυτῳ δοντα, ὡστε την πιστιν ὑμων και ελπιδα ειναι εις Θεον.

ὁ εγειρας νεκρον εκ θανατου. Sir. xlviii. 5. *Conf. Ps. xv.* 10, 11. *lxvii.* 18. *Rom. iv.* 24. *και ἡ ελπις μου επι τῳ Θεῳ. Ps. lxi.* 7. *ἱνα θωνται επι των Θεον την ελπιδα αυτων. lxxvii.* 7. *Conf. Gen. xv.* 6. *Act. ii.* 33. *Phil. ii.* 9. *Matt. xxviii.* 18. *Joan. i.* 14. *πιστευειν εις Θεον. Conf. Winer.* § *xxxi.* 2. *p.* 167. *Conf. Esa. xxviii.* 16.

22 Τας ψυχας ὑμων ἡγνικοτες εν τῃ ὑπακοῃ της αληθειας δια

Πνευματος εις φιλαδελφιαν ανυποκριτον, εκ καθαρας καρδιας αλληλους αγαπησατε εκτενως·

και εὑρησετε ἁγνισμον ταις ψυχαις ὑμων. *Jer. vi.* 16. φιλαδελφια συμπαθουσα. 4 *Mac.* § *xiii.* ὁτι κραταια ὡς θανατος αγαπη, κ. τ. λ. *Cant. viii.* 6. κρισις ανυποκριτος. *Sap. v.* 18. καρδιαν καθαραν κτισον εν εμοι. *Ps. l.* 10. *Job. xxxiii.* 3. *Gen. xx.* 5, 6. και κεκραξετε προς Κυριον εκτενως. *Joel. i.* 14. *Jon. iii.* 8. 3 *Mac. v.* 9. *Conf. Act. xv.* 9. *Rom. xii.* 10. *Ephes. iv.* 3. και το Πνευμα σου το αγαθον εδωκας συνετισαι αυτους. *Neh. ix.* 20.

23 Αναγεγεννημενοι ουκ εκ σπορας φθαρτης, αλλα αφθαρτου, δια λογου ζωντος Θεου και μενοντος εις τον αιωνα.

σπερμα του Θεου. 1 *Joan. iii.* 9. ὁτι οὑτοι εισι σπερμα ηυλογημενον ὑπο Θεου. *Esa. lxi.* 9. *lv.* 10, 11. ἡ αληθεια του Κυριου μενει εις τον αιωνα. *Ps. cxvi.* 2. *xviii.* 89. αναγεγεννημενοι. *Conf. sup. v.* 3. και ωμοσεν εν τῳ ζωντι εις τον αιωνα. *Dan. xii.* 7. υἱοι Θεου ζωντος. *Ose. i.* 10. ὁτι αυτος εστι Θεος ζων, και μενων εις τους αιωνας. *Dan. vi.* 26. *Conf. Joan. i.* 13. *Jac. i.* 18. 1 *Joan. iii.* 9. *v.* 18. [ποιας σπορας και ποιου γενους ὑπαρχεις; *Act. Thom. c.* 31.

24 Διοτι πασα σαρξ ὡς χορτος, και πασα δοξα ανθρωπου ὡς ανθος χορτου. εξηρανθη ὁ χορτος, και το ανθος αυτου εξεπεσε·

25 Το δε ῥημα Κυριου μενει εις τον αιωνα. Τουτο δε εστι το ῥημα το ευαγγελισθεν εις ὑμας.

Conf. 1 *Cor. vii.* 31. *Jac. i.* 10. 1 *Joan. ii.* 17. ὡς φυλλον θαλλον επι δενδρου δασεος, τα μεν καταβαλλει, αλλα δε φυει. οὑτως γενεα σαρκος και αἱματος, ἡ μεν τελευτᾳ, ἑτερα δε γενναται. *Sir. xiv.* 18. *Conf. Ps. xxxvi.* 2. *lxxxix.* 5. η ὡσπερ ανθος ανθησαν εξεπεσεν, απεδρα δε ὡσπερ σκια, και ου μη στῃ. *Job. xiv.* 2. Κυριος σαβαωθ εβουλευσατο—ατιμασαι παν ενδοξον επι της γης. *Esa. xxiii.* 9. καγω ὡσει χορτος εξηρανθην. Συ δε Κυριε εις τον αιωνα μενεις. *Ps. ci.* 11, 12. πασα σαρξ χορτος, κ. τ. λ. *Esa. xl.* 6-9. *li.* 12. δωσει ῥημα τοις ευαγγελιζομενοις. *Ps. lxvii.* 11. *CITAT.* 288.

ΚΕΦ. β. 2.

ΑΠΟΘΕΜΕΝΟΙ ουν πασαν κακιαν και παντα δολον και ὑποκρισεις και φθονους και πασας καταλαλιας,

απο καταλαλιας φεισασθε γλωσσης. *Sap.* i. 11. *Ps.* c. 7. απορριψατε αφ᾽ ἑαυτων πασας τας ασεβειας ὑμων κ. τ. λ. *Ezech.* xviii. 31. δια την εμην ὑποκρισιν. 2 *Mac.* vi. 25. [εξαραι ὁ Θεος τους εν ὑποκρισει ζωντας μετα ὁσιων. *Psalt. Sal.* iv. 7.]

2 Ὡς αρτιγεννητα βρεφη, το λογικον αδολον γαλα επιποθησατε, ἱνα εν αυτῳ αυξηθητε,

ὡς το απογεγαλακτισμενον επι την μητερα αυτου. *Ps.* cxxx. 2. ἡ μαρτυρια Κυριου πιστη σοφιζουσα νηπια. xix. 7. εκ στοματος βρεφων. viii. 3. *Aq.* 1 *Cor.* iii. 1, 2. [προσφερουσι δε Κυριῳ οσμην ευωδιας λογικην, και αναιμακτον προσφοραν. *Test. XII Patr.* p. 547, 548.] νεογνα βρεφη. 3 *Mac.* v. 49.

3 Ειπερ εγευσασθε ὁτι χρηστος ὁ Κυριος·

γευσασθε και ιδετε ὁτι χρηστος ὁ Κυριος. *Ps.* xxxiii. 8. ειπερ, "*quandoquidem.*" *Hoogev.* p. 251. *Conf. Heb.* v. 6. *CITAT.* 289.

4 Προς ὁν προσερχομενοι, λιθον ζωντα, ὑπο ανθρωπων μεν αποδεδοκιμασμενον, παρα δε Θεῳ εκλεκτον, εντιμον,

προσελθατε προς αυτον και φωτισθητε. *Ps.* xxxiii. 5. ιδου εγω εμβαλλω εις τα θεμελια Σιων λιθον πολυτελη, εκλεκτον, ακρογωναιον, εντιμον, εις τα θεμελια αυτης—και ὁ πιστευων ου μη καταισχυνθῃ. *Esa.* xxviii. 16. λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας. *Ps.* cxvii. 22. *Conf. Matt.* xxi. 42. *Luc.* xx. 17. *Act.* iv. 11.

5 Και αυτοι ὡς λιθοι ζωντες οικοδομεισθε, οικος πνευματικος, ἱερατευμα ἁγιον, ανενεγκαι πνευματικας θυσιας ευπροσδεκτους τῳ Θεῳ δια Ιησου Χριστου.

ὑδωρ ζων. *Gen.* xxvi. 19. *Lev.* xiv. 6. *Cant.* iv. 15. ὑμεις δε ἱερεις Κυριου κληθησεσθε, λειτουργοι Θεου κ. τ. λ. *Esa.* lxi. 6. lxvi. 21. και εν δικαιοσυνῃ οικοδομηθησῃ. liv. 14. θυσια τῳ Θεῳ πνευμα συντετριμμενον. *Ps.* l. 17. προσοισει αυτο δεκτον εναντιον Κυριου. *Lev.* i. 3. xix. 5. διοτι λιθοι ἁγιοι κυλιονται επι γης αυτου. *Zach.* ix. 16. [ὡσπερ ὑπερεχει ουρανος της γης, οὑτως ὑπερεχει Θεου ἱερατεια της επι γης βασιλειας, κ. τ. λ. *Test. XII Patr.* p. 613.] και ελαβον λιθους ὁλοκληρους κατα τον νομον, και ᾠκοδομησαν το θυσιαστηριον. 1 *Mac.* iv. 47. *Conf. Mal.* i. 11. και εξοισω τον

λιθον της κληρονομιας, ισοτητα χαριτος χαριτα αυτης. *Zach. iv.* 7. θυσον τῳ Θεῳ θυσιαν αινεσεως. *Ps. xlix.* 14. 1 *Mac. iv.* 56. [*Conf. Jos. Ant. viii.* 3. 2.]

6 Διο και περιεχει εν τῃ γραφῃ, Ιδου, τιθημι εν Σιων λιθον
ακρογωνιαιον, εκλεκτον, εντιμον· και ὁ πιστευων επ᾽ αυτῳ ου
μη καταισχυνθῃ.

Ιδου εμβαλλω κ. τ. λ. *Esa. xxviii.* 16. *Rom. ix.* 33. *x.* 11. επι σοι ηλπισαν, και ου κατῃσχυνθησαν. *Ps. xxi.* 5. *xxiv.* 20. *Conf. Luc. ii.* 34. και ὁ πεποιθως Κυριῳ ουκ ελαττωθησεται. *Sir. xxxv.* 24. αλλ᾽ η αναγγελω σοι το εντεταγμενον εν γραφῃ αληθειας. *Dan. x.* 21. [αναγκη γαρ εν τουτοις περιεχεσθαι. *Philo,* 2 *Alleg. p.* 61.] *CITAT.* 290.

7 Ὑμιν ουν ἡ τιμη τοις πιστευουσιν· απειθουσι δε, λιθον ὁν
απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην
γωνιας, και λιθος προσκομματος και πετρα σκανδαλου,

και ανθρωπος εν τιμῃ ων. *Ps. xlviii.* 2. δος αυτῃ τιμην κατα την αξιαν αυτης. *Sir. x.* 28. λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας. *Ps. cxvii.* 22. λιθος προσκομματος. κ. τ. λ. *Esa. viii.* 14. και εγενηθη αυτοις εις σκανδαλον. *cv.* 36. εις λιθον προσκομματος και εις πετραν σκανδαλου. *Sym. Act. iv.* 11. *CITAT.* 291.

8 Οἱ προσκοπτουσι, τῳ λογῳ, απειθουντες, εις ὁ και ετεθη-
σαν·

προβλεπει ὁτι ἡξει ἡ ἡμερα αυτου. *Ps. xxxvi.* 13. και ἑνεκεν τουτου διετηρηθης. *Exod. ix.* 16. *Conf.* 1 *Cor. i.* 23. 1 *Thess. iii.* 3. *v.* 9. προφητην εις εθνη τεθεικα σε. *Jer. i.* 5.

9 Ὑμεις δε γενος εκλεκτον, βασιλειον ἱερατευμα, εθνος ἁγιον,
λαος εις περιποιησιν, ὁπως τας αρετας εξαγγειλητε του εκ
σκοτους ὑμας καλεσαντος εις το θαυμαστον αὑτου φως·

ὑμεις δε εσεσθε μοι βασιλειον ἱερατευμα, και εθνος ἁγιον. *Exod. xix.* 6. το γενος μου το εκλεκτον. *Esa. xliii.* 20. και εσονται μοι, λεγει Κυριος, εις περιποιησιν. *Mal. iii.* 17. και εξηγαγεν αυτους εκ σκοτους και σκιας θανατου. *Ps. cvi.* 14. ὁ λαος ὁ πορευομενος εν σκοτει ιδε φως μεγα. *Esa. ix.* 2. *Ald. xlii.* 16. *Mal. iv.* 2. θαυμαστον το ονομα σου; *Ps. viii.* 1. λαον μου ὁν περιεποιησαμην τας αρετας μου διηγεισθαι. *Esa. xliii.* 21. τας αρετας αυτου εν ταις νησοις αναγγελουσι. *xlii.* 12. [βασιλειον ἱερατευμα και εθνος ἁγιον. *Philo de Abrah. p.* 280. *Edit. Col.*] ὁτι οἱς ουκ ανηγγελη περι αυτου, οψονται, και οἱ ουκ ακηκοασι, συνησουσι. *Esa. lii.* 15.

[καλεσαντος σε του Θεου προς μετουσιαν αρετης. *Philo* 2 *Alleg. p.* 70. την μεν διανοιαν, ἱνα μηδεν αλλο, η τα περι Θεου, και των αρετων αυτου διανοησαι. *p.* 496. *Loesner.*] *Conf. Job. xviii.* 5. *xxxiii.* 28. *Esa. xxv.* 1. *Bar. iii.* 14. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32. και εστι θαυμαστη εν οφθαλμοις ἡμων. *Ps. cxvii.* 23. εν τῳ φωτι σου οψομεθα φως. *xxxv.* 9. *Conf.* 2 *Pet. i.* 3. *CITAT.* 292.

10 Οἱ ποτε ου λαος, νυν δε λαος Θεου· οἱ ουκ ηλεημενοι, νυν δε ελεηθεντες.

ειπατε τῳ αδελφῳ ὑμων, Λαος μου, και τῃ αδελφῃ ὑμων, Ηλεημενη. *Ose. ii.* 1. και ερω τῳ ου λαῳ μου, Λαος μου ει συ. 23. και ειπε, Καλεσον το ονομα αυτου Ου λαος μου. *i.* 9. και καλεσει αυτον Λαον ἁγιον λελυτρωμενον ὑπο Κυριου· συ δε κληθησῃ, Επιζητουμενη πολις, και ουκ εγκαταλελειμμενη. *Esa. lxii.* 12. εν τῳ τοπῳ, οὑ ερρηθη αυτοις, Ου λαος μου ὑμεις, κληθησονται και αυτοι Ὑιοι Θεου ζωντος. κ. τ. λ. *Ose. i.* 10. *CITAT.* 293.

11 Αγαπητοι, παρακαλω ὡς παροικους και παρεπιδημους, απεχεσθαι των σαρκικων επιθυμιων, αἱτινες στρατευονται κατα της ψυχης·

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. [τῳ φιλαρετῳ κατοικειν ου διδωσιν ὁ Θεος, ὡς εν οικειᾳ γῃ, τῳ σωματι, αλλα παροικειν, ὡς εν αλλοδαπῃ μονον επιτρεπει χωρᾳ, κ. τ. λ. *Philo, p.* 518.] παροικος και παρεπιδημος εγω ειμι μεθ' ὑμων. *Gen. xxiii.* 4. *xlvii.* 9. απεχομενος απο παντος κακου. *Job. ii.* 3. [στρατευεσθαι καθ' ἑαυτων, *qui manum sibi inferunt. Jos. Bell. Jud. iii.* 8. 5. *Bretschn.*] βραχιονες σαρκικοι. 2 *Par. xxxii.* 8. *Comp.*

12 Την αναστροφην ὑμων εν τοις εθνεσιν εχοντες καλην, ἱνα εν ᾡ καταλαλουσιν ὑμων ὡς κακοποιων, εκ των καλων εργων εποπτευσαντες δοξασωσι τον Θεον εν ἡμερᾳ επισκοπης.

κακη αναστροφη. 2 *Mac. v.* 8. το ονομα μου δεδοξασται εν τοις εθνεσι. *Mal. i.* 11. θυσια αινεσεως δοξασει με, κ. τ. λ. *Ps. xlix.* 23. εν καιρῳ επισκοπης αυτων. *Sap. iii.* 7. εν επισκοπῃ ψυχων. 13. *Esa. xxiii.* 17. τον Θεον εἱλου σημερον ειναι σου Θεον—και Κυριος εἱλατο σε σημερον γενεσθαι σε αυτῳ λαον περιουσιον, κ.τ.λ. *Deut. xxvi.* 17-19. και εποιησα ὁπως το ονομα μου το παραπαν μη βεβηλωθῃ ενωπιον των εθνων κ. τ. λ. *Ezech. xx.* 9. και εθεντο κατ' εμου κακα αντι αγαθων, κ. τ. λ. *Ps. cviii.* 5.

13 Ὑποταγητε ουν πασῃ ανθρωπινῃ κτισει δια τον Κυριον· ειτε βασιλει, ὡς ὑπερεχοντι·

[*καθαιρεσις των ὑπερεχοντων, το δ' αυξησις των ελαττανων, οἱα ἡγεμοσιν κ. τ. λ. Philo, Loesner. in loc.*] *εν τοις ὑπερεχουσι. Sap. vi.* 5. *πλην τον θρονον ὑπερεξω σου εγω. Gen. xli.* 40. *δια τον Κυριον. Conf.* 2 *Mac. iii.* 33. *κτισει i. e. ταξει. Conf. Sir. και γεωργιαν ὑπο ὑψιστου εκτισμενην. vii.* 15. *Prov. viii.* 22. *Apoc. iii.* 14.

14 Ειτε ἡγεμοσιν, ὡς δι' αυτου πεμπομενοις, εις εκδικησιν μεν κακοποιων, επαινον δε αγαθοποιων·

Conf. Deut. xvii. 10-12. *εν μεσῳ αδελφων ὁ ἡγουμενος αυτων εντιμος. Sir. x.* 20. [*οἱ μεν γαρ Ῥωμαιων βασιλεις (imperatores) ετιμησαν τε και προσεκεκοσμησαν το ἱερον αει. Jos. Bell. Jud. v.* 13. 6.] *Conf. Rom. xiii.* 3, 4. *Ps. c.* 8. *ὁ του Θεου επαινος και ἡ ευλογια αυτου. Sap. xv.* 19.

15 Ὁτι οὑτως εστι το θελημα του Θεου, αγαθοποιουντας φιμουν την των αφρονων ανθρωπων αγνωσιαν·

Conf. Prov. xxiv. 1. *Tit. ii.* 8. *αφρονες εισι και ου συνετοι. Jer. iv.* 22. *και φιμουται παντα τα του σωματος κινηματα ὑπο του λογισμου.* 4 *Mac.* § 2. *Conf. Matt. xxii.* 34.

16 Ὡς ελευθεροι, και μη ὡς επικαλυμμα εχοντες της κακιας την ελευθεριαν, αλλ' ὡς δουλοι Θεου.

οἱ δουλοι του Θεου. Esa. xlii. 19. *και επορευομην εν πλατυσμῳ, ὁτι τας εντολας σου εξεζητησα. Ps. cxviii.* 45. [*το μη ποιεισθαι προκαλυμμα πιστιν απιστιας. Philo de Decal. p.* 768. *προκαλυμμα των ἁμαρτηματων αιδω ποιησαμενη. de Leg. p.* 785. *ην τουτο προφασις εις παρακαλυμμα της ωμοτητος. Jos. Bell. Jud. vii.* 8. 1.]

17 Παντας τιμησατε, την αδελφοτητα αγαπατε, τον Θεον φοβεισθε, τον βασιλεα τιματε.

τον Θεον φοβου, και τας εντολας αυτου φυλασσε. Eccles. xii. 13. *Prov. iii.* 7. *φοβου τον Θεον, υἱε, και βασιλεα. xxiv.* 21. *σπερμα εντιμον ποιον; σπερμα ανθρωπου· σπερμα εντιμον ποιον;—οἱ φοβουμενοι τον Κυριον, κ. τ. λ. Sir. x.* 19. *Conf. Matt. xxii.* 21. *Rom. xii.* 10. *Ephes. iv.* 3. *επειραθημεν αποστειλαι την προς ὑμας αδελφοτητα και φιλιαν ανανεωσασθαι, κ. τ. λ.* 1 *Mac. xii.* 10. 17. *αγαπησετε τον προσηλυτον. Deut. x.* 19. *Eccles. x.* 20.

18 Οἱ οικεται, ὑποτασσομενοι εν παντι φοβῳ τοις δεσποταις, ου μονον τοις αγαθοις και επιεικεσιν, αλλα και τοις σκολιοις.

και οικεται ιδιοις δεσποταις δανειουσι. Prov. xxii. 7. *σκολιοις. xvi.* 28. *Conf. Gen. xvi.* 9. *Col. iii.* 22. 1 *Tim. vi.* 1. *Ps. lxi.* 5.

19 Τουτο γαρ χαρις, ει δια συνειδησιν Θεου ὑποφερει τις λυπας, πασχων αδικως.

οδυνας τε και ατιμιας ὑποφερει. *Prov. vi.* 33. *xviii.* 14. *Job. ii.* 10. συνειδησις. *Eccles. x.* 20. *Sap. xvii.* 11. δικαιως γαρ επασχον ταις ιδιαις αυτων πονηριαις. *Sap. xix.* 13. *Ps. lxxxviii.* 51. δια παιδειαν και αρετην Θεου ταυτα πασχομεν. 4 *Mac.* § 10.

20 Ποιον γαρ κλεος, ει ἁμαρτανοντες και κολαφιζομενοι ὑπομενειτε; αλλ᾽ ει αγαθοποιουντες και πασχοντες ὑπομενειτε, τουτο χαρις παρα Θεῳ.

κλεος. *Job. xxviii.* 22. ὁ εὑρων χαριν παρα Κυριου. *Prov. xii.* 2. *Conf. cap. iii.* 14. *iv.* 14. *Luc. vi.* 32-36. [κολαφισει τα τεκνα. *Test. XII Patr. p.* 708.] *Conf.* 2 *Mac. iv.* 48. *vi.* 30.

21 Εις τουτο γαρ εκληθητε, ὁτι και Χριστος επαθεν ὑπερ ἡμων, ἡμιν ὑπολιμπανων ὑπογραμμον, ἱνα επακολουθησητε τοις ιχνεσιν αυτου·

ἡμεις γαρ δι' ἑαυτους ταυτα πασχομεν. 2 *Mac. vii.* 18. ἡμεις δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 32. εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. ὑπογραμμον. 2 *Mac. ii.* 28. τας τριβους σου διδαξον μοι. *Ps. xxiv.* 4. *Esa. ii.* 3. *xlviii.* 17. και προσκυνουσι τα ιχνη των ποδων σου. *Esa. lx.* 10. *alii.* προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου. 2 *Mac. i.* 26. [καταλιμπανειν. *Act. Thom.* § 43.] [ὑπομονης μεγιστον ὑπογραμμον. *Clem. Rom. Epist.* 1.] εν ιχνει ἁμαρτωλου. *Sir. xxi.* 6. *Conf. Matt. xvi.* 24. *Joan. xiii.* 15. 1 *Thess. iii.* 3. δικαιοσυνη εναντιον αυτου προπορευσεται, και θησει εις ὁδον τα διαβηματα αυτου. *Ps. lxxxiv.* 13. [τοις αυτοις ιχνεσιν επακολουθησαι. *Philo de Human. p.* 384.]

22 Ὁς ἁμαρτιαν ουκ εποιησεν, ουδε εὑρεθη δολος εν τῳ στοματι αυτου·

ανομιαν ουκ εποιησεν, ουδε δολον εν τῳ στοματι αυτου. *Esa. liii.* 9. *Ps. xxxi.* 2. και αδικια ουχ εὑρεθη εν χειλεσιν αυτου. *Mal. ii.* 6. *Gen. ii.* 20. *Sir. xliv.* 20. *Luc. xvii.* 18. 2 *Cor. v.* 21. 1 *Joan. iii.* 5. [και πασα ἁμαρτια ουχ εὑρεθησεται εν αυτῳ. κ. τ. λ. *Test. XII Patr. p.* 617.] *CITAT.* 294.

23 Ὁς λοιδορουμενος ουκ αντελοιδορει, πασχων ουκ ηπειλει· παρεδιδου δε τῳ κρινοντι δικαιως·

ουκ ανοιγει το στομα αυτου. ὡς προβατον επι σφαγην ηχθη, και ὡς αμνος εναντιον του κειροντος αφωνος, οὑτως ουκ ανοιγει το στομα. *Esa. liii.* 7. Κυριος παρεδωκεν αυτον ταις ἁμαρτιαις ἡμων. 6. *Conf. Matt. xxvii.* 39. *Joan. viii.* 48, 49. 1 *Cor. iv.* 12. *Heb. xii.* 3. και εξεβιαζοντο οἱ ζητουντες την ψυχην μου—εγω δε ὡσει

κωφος κ. τ. λ. Ps. xxxvii. 12, 13. *εις χειρας σου παραθησομαι το πνευμα μου. xxx.* 5. *Conf. Luc. xxiii.* 46.

24 Ὁς τας ἁμαρτιας ἡμων αυτος ανηνεγκεν εν τῳ σωματι αυτου επι το ξυλον, ἱνα ταις ἁμαρτιαις απογενομενοι, τη δικαιοσυνῃ ζησωμεν· οὑ τῳ μωλωπι αυτου ιαθητε.

οὑτος τας ἁμαρτιας ἡμων φερει, κ. τ. λ. Esa. liii. 4. *τῳ μωλωπι αυτου ἡμεις ιαθημεν.* 5. *ἁμαρτιας πολλων ανηνεγκε.* 12. *εν σωματι σαρκος αυτου. Sir. xxiii.* 16. *Jer. iii.* 22. [Μωϋσεως δε τον *προειρημενον τροπον εξ ανθρωπων απογεγονοτος. Jos. Ant. v.* 1. 1.] *ανοισουσι την πορνειαν ὑμων. Num. xiv.* 33. *Matt. viii.* 17. *Rom. vi.* 2. *vii.* 6. 1 *Joan. i.* 7-10. *CITAT.* 295.

25 Ητε γαρ ὡς προβατα πλανωμενα· αλλ᾽ επεστραφητε νυν επι τον ποιμενα και επισκοπον των ψυχων ὑμων.

παντες ὡς προβατα επλανηθημεν, κ. τ. λ. Esa. liii. 6. *Ps. cxviii.* 176. *μετανοησατε οἱ πεπλανημενοι, επιστρεψατε. Esa. xlvi.* 8. *ὡς ποιμην ποιμανει το ποιμνιον, κ. τ. λ. xl.* 11. *Ezech. xxxiv.* 23. *xxxvii.* 24. *Ps. xxiii. επιστραφητε και αποστρεψατε απο των επιτηδευματων ὑμων, κ. τ. λ. Ezech. xiv.* 6. *Zach. xiii.* 7. *Conf. Luc. xv.* 4. *Joan. x.* 11. 14. *Heb. xiii.* 20. *δικαιων δε ψυχαι εν χειρι* Θεου, *και ου μη ἁψηται αυτων βασανος. Sap. iii.* 1. Ιδου *εγω εκζητησω τα προβατα μου, και επισκεψομαι αυτα. Ezech. xxxiv.* 11. *Jer. xxxviii.* 10. 21. *Ps. lxxix.* 1. *Esa. xliv.* 22.

ΚΕΦ. γ. 3.

ὉΜΟΙΩΣ, αἱ γυναικες, ὑποτασσομεναι τοις ιδιοις ανδρασιν, ἱνα και ει τινες απειθουσι τῳ λογῳ, δια της των γυναικων αναστροφης ανευ λογου κερδηθησωνται,

ὁτι ηπειθησατε τοις λογοις τουτοις. Esa. xxx. 12. *τῳ Θεῳ ὑποταγηθι ἡ ψυχη μου. Ps. lxi.* 5. *ανευ αργυριου. Exod. xxi.* 11. *Esa. lv.* 1. *πασαι αἱ γυναικες περιθησουσι τιμην τοις ανδρασιν ἑαυτων, κ. τ. λ. Est. i.* 20. *και προς τον ανδρα σου ἡ αποστροφη σου, και αυτος σου κυριευσει. Gen. iii.* 16. *παρα δε* Κυριου *ἁρμοζεται γυνη ανδρι. Prov. xix.* 14. *ισθι πεπαιδευμενος εν πασῃ αναστροφῃ σου. Tob. iv.* 14.

2 Εποπτευσαντες την εν φοβῳ ἁγνην αναστροφην ὑμων·

κακη αναστροφη. 2 *Mac. v.* 8. *εποπτευεις. Ps. ix.* 14. *Sym.*

3 Ὡν εστω ουχ ὁ εξωθεν εμπλοκης τριχων, και περιθεσεως χρυσιων, η ενδυσεως ἱματιων κοσμος·

και αφελει Κυριος—τα εμπλοκια. *Esa. iii.* 18-20. *Conf. Jud. xvi.* 13. 4 *Reg. ix.* 30. *Judith. x.* 3. και περιθησεις το ἱματισμον σου επι σε. *Ruth. iii.* 3. και κοσμησῃ κοσμῳ χρυσῳ. *Jer. iv.* 30. τα εμπλοκια. *Esa. iii.* 18. 1 *Tim. ii.* 9. *Tit. ii.* 3. εργον πλοκης. *Exod. xxviii.* 14. [ὥσπερ οἱ προσωπεια καλα αισχισταις οψεσι περιτιθεντες. *Philo de Nom. Mut. p.* 1075. *Loesner.*] *Conf. Ezech. xvi.* 10-13.

4 Αλλ᾽ ὁ κρυπτος της καρδιας ανθρωπος, εν τῳ αφθαρτῳ του πρᾳεος και ἡσυχιου πνευματος, ὁ εστιν ενωπιον του Θεου πολυτελες.

ὁ εσω ανθρωπος. *Rom. vii.* 22. 2 *Cor. iv.* 16. *Ephes. iii.* 16. *iv.* 22. τα κρυπτα, *invisibilia*. *Sap. vii.* 21. και ὑψωσει πρᾳεις εν σωτηριᾳ. *Ps. cxlix.* 4. θυσια τῳ Θεῳ πνευμα συντετριμμενον—και τεταπεινωμενην (καρδιαν) ὁ Θεος ουκ εξουδενωσει. *Ps. l.* 17. *Conf. Ps. xliv.* 14. *Rom. ii.* 29. πολλοι εισιν ὑψηλοι και επιδοξοι, αλλα πρᾳεσιν αποκαλυπτεται μυστηρια, ὁτι μεγαλη ἡ δυναστεια του Κυριου, και ὑπο των ταπεινων δοξαζεται. *Sir. xiii.* 19, 20. *Comp.* αφθαρτον νομου φως. *Sap. xviii.* 4. και επι τινα επιβλεψω, αλλ᾽ η επι τον ταπεινον και ἡσυχιον; κ. τ. λ. *Esa. lxvi.* 2. υἱε, φυλασσε εμους λογους, τας δε εμας εντολας κρυψον παρα σεαυτῳ. *Prov. vii.* 1. [ὁ προς αληθειαν ανθρωπος. *Philo, de Gigant. p.* 288.] τιμιος εναντιον Κυριου ὁ θανατος των ὁσιων αυτου. *Ps. cxv.* 15.

5 Οὑτω γαρ ποτε και αἱ ἁγιαι γυναικες, αἱ ελπιζουσαι επι τον Θεον, εκοσμουν ἑαυτας, ὑποτασσομεναι τοις ιδιοις ανδρασιν·

επι σοι ηλπισαν, και ου κατησχυνθησαν. *Ps. xxi.* 5. και σωσει αυτους, ὁτι ηλπισαν επ᾽ αυτον. *xxxvi.* 40. τῃ δε των δικαιων ευπραξιᾳ κοσμουντες την συναναστροφην. 3 *Mac. iii.* 5. *Conf.* 1 *Reg. ii.* 1-11. *Ps. lxxxv.* 16. *cxv.* 16. [δουλαι μεν ουδαμως, ὑποτεταγμεναι δε. *Jos. Ant. i.* 19. 8.] επερωτησον τον πατερα σου, και αναγγελει σοι· τους πρεσβυτερους σου, και ερουσι σοι. *Deut. xxxii.* 7. γυναικα ανδρειαν τις εὑρησει; τιμιωτερα δε εστι λιθων πολυτελων ἡ τοιαυτη. *Prov. xxxi.* 10.

6 Ὡς Σαῤῥα ὑπηκουσε τῳ Αβρααμ, κυριον αυτον καλουσα, ἡς εγενηθητε τεκνα· αγαθοποιουσαι και μη φοβουμεναι μηδεμιαν πτοησιν.

ὁ δε κυριος μου πρεσβυτερος. *Gen. xviii.* 12. και ου φοβηθησῃ πτοησιν επελθουσαν. *Prov. iii.* 25. 1 *Mac. iii.* 25. θαῤῥει, ω μητηρ ἱεροψυχε—ην γαρ παιδοποιια σου απο Αβρααμ του πατρος,

κ. τ. λ. 4 *Mac.* 18. [*Philo de Abrah. p.* 300. *Edit. Col.*] *CITAT.* 296.

7 Οἱ ανδρες ὁμοιως, συνοικουντες κατα γνωσιν, ὡς ασθενεστερῳ σκευει τῳ γυναικειῳ, απονεμοντες τιμην, ὡς και συγκληρονομοις χαριτος ζωης, εις το μη εκκοπτεσθαι τας προσευχας ὑμων.

μακαριος ὁ συνοικων γυναικι συνετῃ. *Sir. xxv.* 8. *Deut. xxii.* 13. μετα γνωσεως. *Prov. xiii.* 16. κοιτην γυναικειαν. *Lev. xviii.* 22. και παντα σκευη τα επιθυμητα. *Ose. xiii.* 15. ἡλιος—σκευος θαυμαστον εργον Ὑψιστου. *Sir. xliii.* 2. ητιμωθη Ιεχονιας ὡς σκευος οὑ ουκ εστι χρεια αυτου. *Jer. xxii.* 28. 1 *Thess. iv.* 4. 2 *Cor. iv.* 7. το διαδημα το γυναικειον. *Est. ii.* 17. απονεμοντες. 3 *Mac. iii.* 16. *Deut. iv.* 19. εις το ειναι τα παντα. *Sap. i.* 14. τα δεοντα, και τον ἱματισμον, και την ὁμιλιαν αυτης ουκ αποστερησει. *Exod. xxi.* 10. ἱνα εν τῃ κληρονομιᾳ αυτου συγκληρονομησῃς. *Sir. xxii.* 23. *Conf. cap. i.* 4. εκκοπησονται εν κατακλυσμῳ. *Dan. ix.* 26.

8 Το δε τελος, παντες ὁμοφρονες, συμπαθεις, φιλαδελφοι, ευσπλαγχνοι, φιλοφρονες·

τελος λογου. *Eccles. xii.* 13. το αυτο φρονουντες. *Rom. xii.* 16. φιλαδελφια συμπαθουσα. 4 *Mac.* 13. *Job. ii.* 11. *Sym.* ὁ φιλαδελφος οὑτος εστι. 2 *Mac. xv.* 14. ὁμοφρονες = ὁμονοια. *Ps. liv.* 14. *Sir. xxv.* 1. Κυριος ευσπλαγχνος. *Orat. Manass.* 6. ιδου δη τι καλον, η τι τερπνον, αλλ' η το κατοικειν αδελφους επιτοαυτο; *Ps. cxxxii.* 1. *Amos. iii.* 3. φιλοφρονες. *Conf.* 2 *Mac. ii.* 25.

9 Μη αποδιδοντες κακον αντι κακου, η λοιδοριαν αντι λοιδοριας· τουναντιον δε ευλογουντες, ειδοτες ὁτι εις τουτο εκληθητε, ἱνα ευλογιαν κληρονομησητε.

ὁς αποδιδωσι κακα αντι αγαθων. *Prov. xvii.* 13. *xx.* 22. καταρασονται αυτοι, και συ ευλογησεις. *Ps. cviii.* 27. και φυλαξῃ απο παντος ῥηματος πονηρου. *Deut. xxiii.* 9. *Conf. Matt. v.* 44. *Rom. xii.* 17. 1 *Cor. vi.* 7. *Jer. xxxviii.* 6. 1 *Tim. iv.* 8. δος δη μοι ευλογιαν. *Jud. i.* 15. 1 *Reg. xxv.* 27. και κληρονομησουσιν οἱ εκλεκτοι μου. *Esa. lxv.* 9. και δωῃ σοι την ευλογιαν Ἀβρααμ του πατρος. *Gen. xxviii.* 4. ουδε καταρασῃ τον λαον· εστι γαρ ευλογημενος. *Num. xxii.* 12. *Conf. Lev. xix.* 18. *Joel. ii.* 32. *Sir. xxviii.* 1. *Sap. xviii.* 2.

10 Ὁ γαρ θελων ζωην αγαπαν, και ιδειν ἡμερας αγαθας, παυσατω την γλωσσαν αὑτου απο κακου, και χειλη αὑτου του μη λαλησαι δολον.

11 Εκκλινατω απο κακου, και ποιησατω αγαθον· ζητησατω ειρηνην και διωξατω αυτην.

12 Ὁτι οἱ οφθαλμοι Κυριου επι δικαιους, και ωτα αυτου εις δεησιν αυτων· προσωπον δε Κυριου επι ποιουντας κακα.

Conf. Joan. ix. 31. *Jac. v.* 16. *Esa. i.* 15. *Prov. xv.* 8. εκκλινον απο κακου, και ποιησον αγαθον, και κατασκηνου εις αιωνα αιωνος. *Ps. xxxvi.* 27. *Conf. Esa. i.* 16. 3 *Joan.* 11. *Rom. xii.* 18. *Heb. xii.* 14. και εξεκλιναν τους οφθαλμους αυτων, του μη βλεπειν εις τον ουρανον. *Susan.* 9. τις εστιν ανθρωπος ὁ θελων ζωην, αγαπων ἡμερας ιδειν αγαθας; παυσον κ. τ. λ. εκκλινον απο κακου, και ποιησον αγαθον, ζητησον ειρηνην, και διωξον αυτην. οφθαλμοι Κυριου κ. τ. λ. *Ps. xxxiii.* 12–16. *Jac. i.* 26. αγαπων δε ζωην αυτου, φεισεται στοματος αυτου. *Prov. xvi.* 17. *CITAT.* 297.

13 Και τις ὁ κακωσων ὑμας, εαν του αγαθου μιμηται γενησθε;

μη ποιει κακα, και ου μη σε καταλαβῃ κακον. *Sir. vii.* 1. *Tob. xii.* 7. και δουλωσουσιν αυτους, και κακωσουσιν αυτους. *Gen. xv.* 13. [ὁτι μιμειται Κυριον, κ. τ. λ. *Test. XII Patr. p.* 692.] *Conf. Job. v.* 22. *Rom. viii.* 28. *Prov. xvi.* 7. απεχου απο αδικου, και ου φοβηθησῃ, και τρομος ουκ εγγιει σοι. *Esa. liv.* 14.

14 Αλλ' ει και πασχοιτε δια δικαιοσυνην, μακαριοι. Τον δε φοβον αυτων μη φοβηθητε, μηδε ταραχθητε· Κυριον δε τον Θεον ἁγιασατε εν ταις καρδιαις ὑμων.

και εσομεθα παρα Θεῳ, δι' ὁν και πασχομεν. 4 *Mac.* § 9. δια παιδειαν και αρετην Θεου ταυτα πασχομεν, συ δε, δια την ασεβειαν και μιαιφονιαν κ. τ. λ. 10. γνωθι, ὡς ελαβον περι σου ονειδισμον. *Jer. xv.* 15. τον δε φοβον αυτου ου μη φοβηθητε, ουδε μη ταραχθητε κ. τ. λ. Κυριον αυτον ἁγιασατε, κ. τ. λ. *Esa. viii.* 12, 13. 1 *Pet. ii.* 20. *Joan. xiv.* 1. ὡσπερ ενωπιον αυτων ἡγιασθης εν ἡμιν. *Sir. xxxiii.* 4. *CITAT.* 298.

15 Ἑτοιμοι δε αει προς απολογιαν παντι τῳ αιτουντι ὑμας λογον περι της εν ὑμιν ελπιδος μετα πραΰτητος και φοβου·

εὑρησουσιν απολογιαν. *Sap. vi.* 10. ἑνεκεν αληθειας, και πραΰτητος και δικαιοσυνης. *Ps. xliv.* 4. εν πραΰτητι τα εργα σου διεξαγε. *Sir. iii.* 17. αποκριθητι αυτῳ ειρηνικα εν πραΰτητι. *Sir. iv.* 8. και δευτε, διελεγχθωμεν. *Esa. i.* 18. *Conf. Job. i.* 21. *Ps. cxviii.* 46. *Act. iv.* 8. *Jer. i.* 8. *Matt. v.* 10.

16 Συνειδησιν εχοντες αγαθην, ἱνα εν ᾧ καταλαλωσιν ὑμων ὡς

κακοποιων, καταισχυνθωσιν οἱ επηρεαζοντες ὑμων την αγαθην εν Χριστῳ αναστροφην.

συνεχομενη τῃ συνειδησει. Sap. xvii. 11. *απο φωνης ονειδιζοντος και καταλαλουντος. Ps. xliii.* 16. *Alex. ἑως ου παρελθῃ ὁ επηρεαστης. lvi.* 1. *Sym. Conf. Tit. ii.* 8. *Cap. ii.* 12. 15. 19.

17 Κρειττον *γαρ αγαθοποιουντας, ει θελει το θελημα του* Θεου, *πασχειν, η κακοποιουντας·*

αγαθον πεποιθεναι επι Κυριον, *η πεποιθεναι επ' ανθρωπον, κ. τ. λ. Ps. cxvii.* 8, 9. *Conf.* 2 *Mac. vii.* 18. 32.

18 Ὁ*τι και* Χριστος *ἁπαξ περι ἁμαρτιων επαθε, δικαιος ὑπερ αδικων, ἱνα ἡμας προσαγαγῃ τῳ* Θεῳ, *θανατωθεις μεν σαρκι, ζωοποιηθεις δε τῳ πνευματι·*

περι της ἁμαρτιας ανηνεγκεν επι το θυσιαστηριον. Lev. ix. 10. *Sir. xvi.* 7. *ὑπερ.* 2 *Mac. i.* 26. *iii.* 32. *και προσηγαγομην ὑμας προς εμαυτον. Exod. xix.* 4. *προσαγαγε μοι αυτους, ἱνα ευλογησω αυτους. Gen. xlviii.* 9. *Jos. iii.* 9. *οὑτος τας ἁμαρτιας ἡμων φερει, και περι ἡμων οδυναται κ. τ. λ. Esa. liii.* 4. *Conf. Rom. i.* 4. *viii.* 11. 2 *Cor. xiii.* 4. *Heb. ix.* 15, 28. *Dan. ix.* 26. *χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. Sir. xxix.* 15. [Κρασσος—*αμφοτερους προσαγεται τον τε* Βασσον *και τον* Μαρκον. *Jos. Ant. xiv.* 11. 2.] *και εν ζωῃ αυτου εποιησε τερατα, και εν τελευτῃ θαυμασια τα εργα αυτου. Sir. xlviii.* 14.

19 Εν *ᾡ και τοις εν φυλακῃ πνευμασι πορευθεις εκηρυξεν,*

εν τῳ Θεῳ *μου ὑπερβησομαι τειχος. Ps. xvii.* 29. *Conf. Sap. xvii.* 2. *Ephes. ii.* 17. *Cap. iv.* 6. *Luc. iv.* 18. *Conf. Esa. xlii.* 7. *lxi.* 1, 2. *Juda.* 14, 15. *λεγοντα τοις εν δεσμοις,* Εξελθατε, *και τοις εν τῳ σκοτει ανακαλυφθηναι. Esa. xlix.* 9. Κυριος *λυει πεπεδημενους. Ps. cxlv.* 7. *lxix.* 33. *και συ εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους σου κ. τ. λ. Zach. ix.* 11, 12. *Apoc. xx.* 7. *Sap. xvii.* 2.

20 Απειθησασι *ποτε, ὁτε ἁπαξ εξεδεχετο ἡ του* Θεου *μακροθυμια, εν ἡμεραις* Νωε, *κατασκευαζομενης κιβωτου, εις ἡν ολιγαι, τουτεστιν οκτω, ψυχαι διεσωθησαν δι' ὑδατος·*

Νωε *εὑρεθη τελειος, δικαιος, εν καιρῳ οργης εγενετο ανταλλαγμα. Sir. xliv.* 17. *Conf. Gen, vi.* 12-22. *πασαι αἱ ψυχαι, υἱοι και θυγατερες. xlvi.* 15. *εισηλθε δε* Νωε—*εις την κιβωτον δια το ὑδωρ του κατακλυσμου. vii.* 7. [*κατα δε τον μεγαν κατακλυσμον, ολιγον δεω φαναι του συμπαντος ανθρωπων γενους φθειρομενου, τον* Νωε *οικον απαθη γενεσθαι παντος κακου λογος εχει. Philo*

2 *Vit. Mos. p.* 662. *Mangey.* 512. *Col.*] [τουτο (*diluvium*) ην αιτιον του μη διασωθηναι πλειονας. *Jos. Ant. i.* 9. 5.] *Conf. Neh. ix.* 29, 30. και ενεθυμηθη ὁ Θεος ὁτι εποιησε τον ανθρωπον—και διενοηθη —Νωε δε εὑρε χαριν εναντιον Κυριου του Θεου. *Gen. vi.* 6-8. *Conf. Matt. xxiv.* 38. *Luc. xvii.* 26. *Rom. ii.* 4. *Sir. v.* 4-6.

21 Ὡ και ἡμας αντιτυπον νυν σωζει βαπτισμα, (ου σαρκος αποθεσις ῥυπου, αλλα συνειδησεως αγαθης επερωτημα εις Θεον,) δι᾽ αναστασεως Ιησου Χριστου,

ερωτημα. *Sir. xxxvi.* 3. *Conf. Num. xxvii.* 21. *Dan. iv.* 14. *Esa. xxx.* 2. *lxv.* 1. *Ezech. xx.* 1-3. *Ephes. v.* 26. *Act. xxii.* 16. *Conf. cap. i.* 3. και επηρωτησε Δαυιδ εις ειρηνην. 2 *Reg. xi.* 7. διατουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8. *Rom. vi.* 4. και ῥανω εφ᾽ ὑμας καθαρον ὑδωρ, και καθαρισθησεσθε απο πασων των ακαθαρσιων ὑμων, κ. τ. λ. *Ezech. xxxvi.* 25. *Zach. xiii.* 1. *Sir. xiv.* 2. ὁτι εκπλυνει Κυριος τον ῥυπον των υἱων—Σιων. *Esa. iv.* 4. [*Jos. Ant. xviii.* 6. 2.]

22 Ὁς εστιν εν δεξιᾳ του Θεου, πορευθεις εις ουρανον, ὑποταγεντων αυτῳ αγγελων και εξουσιων και δυναμεων.

τερπνοτητες εν τη δεξιᾳ σου εις τελος. *Ps. xv.* 11. αινειτε αυτον παντες οἱ αγγελοι αυτου, αινειτε αυτον πασαι αἱ δυναμεις αυτου. *cxl.* 2. το ἁρμα του Θεου μυριοπλασιον, χιλιαδες ευθηνουντων, Κυριος εν αυτοις—αναβας εις ὑψος, ηχμαλωτευσας αιχμαλωσιαν· ελαβες δοματα εν ανθρωπῳ, κ. τ. λ. *Ps. lxvii.* 17, 18. καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *cix.* 1. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10.

ΚΕΦ. δ. 4.

ΧΡΙΣΤΟΥ ουν παθοντος ὑπερ ἡμων σαρκι, και ὑμεις την αυτην εννοιαν ὁπλισασθε· ὁτι ὁ παθων εν σαρκι, πεπαυται ἁμαρτιας·

προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου Ισραηλ. 2 *Mac. i.* 26. 1 *Thess. v.* 10. εν σαρκι αυτου εστησεν διαθηκην. *Sir. xliv.* 20. απο των ανομιων του λαου μου ηχθη εις θανατον. *Esa. liii.* 8. καθοπλισωμεθα την του θειου λογισμου παθοκρατειαν. 4 *Mac.* 13. τηρησον δε εμην βουλην και εννοιαν. *Prov. iii.* 21. *xxiii.* 19. και αναπαυσομαι, και ου μη μεριμνησω ουκετι. *Ezech. xvi.* 42. *Conf. Num. vi.* 8. *Heb. xii.* 1. [τον Θεον ὡπλισμαι, *Dei auxilio armatus sum. Jos. Ant. vi.* 9. 4.]

2 Εις το μηκετι ανθρωπων επιθυμιαις, αλλα θεληματι Θεου τον επιλοιπον εν σαρκι βιωσαι χρονον.

τεκνον, ἡμαρτες; μη προσθῃς μηκετι. *Sir. xxi.* 1. επιλοιπον. *Esa. xxxviii.* 10. απελιπε του μηκετι οικοδομειν. 2 *Par. xvi.* 5. 3 *Mac. iv.* 17. πολυν χρονον βιωσω. *Job. xxix.* 18. εν αφροσυνῃ ζωης βιωσαντας αδικους. *Sap. xii.* 23. *Conf. Rom. xiv.* 7. 2 *Cor. v.* 15. *Ephes. iv.* 24. *Gal. ii.* 20. ἱκανουσθω ὑμιν απο πασων των ανομιων ὑμων. *Ezech. xliv.* 6.

3 Αρκετος γαρ ἡμιν ὁ παρεληλυθως χρονος του βιου, το θελημα των εθνων κατεργασασθαι, πεπορευμενους εν ασελγειαις, επιθυμιαις, οινοφλυγιαις, κωμοις, ποτοις, και αθεμιτοις ειδωλολατρειαις·

ὁ χειμων παρηλθε. *Cant. ii.* 11. αρκετος. *Deut. xxv.* 2. *Aq. Conf. Matt. vi.* 34. πορευεσθαι εν επιθυμιαις της καρδιας. *Sir. v.* 2. 4 *Reg. xiii.* 6. 11. εις οικιαν ποτου ουκ εισελευσῃ συ. *Jer. xvi.* 8. εποιησε αυτοις ποτον μεγαν. 1 *Mac. xvi.* 15. λογοι αθεμιτοι. 2 *Mac. x.* 34. [το μεν πρωτον οψοφαγιαις και οινοφλυγιαις—ενησκηθησαν. *Philo, de Leg. p.* 783.] [ασελγειαι, γοητειαι, και ειδωλολατρειαι. *Test. XII Patr. p.* 615.] οινοφλυγει. *Deut. xxi.* 20. *Ephes. iv.* 17. λαβωμεν οινον, και οινοφλυγησωμεν μεθην. *Esa. lvi.* 12. *Ald.*

4 Εν ᾡ ξενιζονται, μη συντρεχοντων ὑμων εις την αυτην της ασωτιας αναχυσιν, βλασφημουντες·

πολλαις και ξενιζουσαις συμφοραις. 2 *Mac. ix.* 6. ει εθεωρεις κλεπτην, συνετρεχες αυτῳ. *Ps. xlix.* 18. *Conf.* 1 *Cor. iv.* 13. *Jac. ii.* 7. 1 *Pet. ii.* 12. [ω περιττης και κεχυμενης αναισχυντιας. *Philo de Confus. Ling. p.* 336. τον δε Θεον εξενισαν το πραττομενον. *Jos. Ant. i.* 1. 4. ξενιζομενον. *Coll. i.* 1. 2.] *Conf.* 2 *Par. xxxvi.* 16.

5 Οἱ αποδωσουσι λογον τῳ ἑτοιμως εχοντι κριναι ζωντας και νεκρους.

του αποδιδοναι αυτοις τους σατραπας λογον. *Dan. vi.* 2. νυν ουν ει εχετε ἑτοιμως. *iii.* 15. *Conf. Act. x.* 42. 1 *Cor. xv.* 51, 52. ὁτι Θεος κριτης εστι. *Ps. xlix.* 6. *Eccles. xii.* 14.

6 Εις τουτο γαρ και νεκροις ευηγγελισθη, ἱνα κριθωσι μεν κατα ανθρωπους σαρκι, ζωσι δε κατα Θεον πνευματι.

και ταυτα ειδοτες ὁτι οἱ δια τον Θεον αποθνησκουντες ζωσι τῳ Θεῳ, κ. τ. λ. 4 *Mac.* § 17. εις αιωνιον ζωην κατα Θεον. 15.

7 Παντων δε το τελος ηγγικε. σωφρονησατε ουν και νηψατε εις τας προσευχας·

το τελος των καιρων. *Dan. xi.* 13. τουτο τελος παντος ανθρωπου.

Eccles. vii. 3. τελος των ἡμερων. *Neh. xiii.* 6. ηγγικεν ἡ ἡμερα. *Ezech. vii.* 7. 1 *Thess. v.* 6. *Joel. ii.* 1. *Esa. xiii.* 6. σοφια—ὁδηγησει με εν ταις πραξεσι μου σωφρονως. *Sap. ix.* 11. [νηφε ὡς Θεου αθλητης. *Ignat. p.* 12.]

8 Προ παντων δε την εις ἑαυτους αγαπην εκτενη εχοντες. ὁτι ἡ αγαπη καλυψει πληθος ἁμαρτιων.

μισος εγειρει νεικος, παντας δε τους μη φιλονεικουντας καλυπτει φιλια. *Prov. x.* 12. 18. προ παντων. 3 *Mac. ii.* 21. εκτενη. *Conf. Joel. i.* 14. *Jon. iii.* 8. 3 *Mac. v.* 9. ὁς κρυπτει αδικηματα, ζητει φιλιαν. *Prov. xvii.* 9. *CITAT.* 299.

9 Φιλοξενοι εις αλληλους, ανευ γογγυσμων·

εξω δε ουκ ηυλιζετο ξενος. *Job. xxxi.* 32. ανευ τιμης. *Ps. xliv.* 12. εις αλληλους. 2 *Par. xx.* 23. ὁτι δει τον δικαιον ειναι φιλανθρωπον. *Sap. xii.* 19. ῥημα γογγυσμου. *Esa. lviii.* 9. και δῳς πεινωντι τον αρτον εκ ψυχης σου, κ. τ. λ. 10.

10 Ἑκαστος καθως ελαβε χαρισμα, εις ἑαυτους αυτο διακονουντες, ὡς καλοι οικονομοι ποικιλης χαριτος Θεου·

ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14. ἑκαστῳ καθως επεσκεπησαν, δοθησεται ἡ κληρονομια αυτων. *Num. xxvi.* 54. ποικιλος. 2 *Mac. xv.* 21.

11 Ει τις λαλει, ὡς λογια Θεου· ει τις διακονει, ὡς εξ ισχυος ἡς χορηγει ὁ Θεος· ἱνα εν πασι δοξαζηται ὁ Θεος δια Ιησου Χριστου, ᾡ εστιν ἡ δοξα και το κρατος εις τους αιωνας των αιωνων. αμην.

ακουων λογια Θεου. *Num. xxiv.* 4. *Alex. Sir. xxxvi.* 14. πασαν χρειαν εν ὡρᾳ αυτης χορηγησει. *Sir. xxxix.* 33. και εχορηγησεν αυτην (σοφιαν) τοις αγαπωσιν αυτον. *i.* 10. ενεγκατε τῳ Κυριῳ δοξαν και τιμην. *Ps. xcv.* 7. ευλογησω το ονομα σου εις τον αιωνα και εις τον αιωνα του αιωνος. *cxliv.* 1. ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. sub fin. Conf. Rom. xii.* 6-8. ιδου συνησει ὁ παις μου, και ὑψωθησεται, και δοξασθησεται σφοδρα. *Esa. lii.* 13. νομον γαρ εις βοηθειαν εδωκε, κ. τ. λ. *viii.* 20. [λογια θεοχρηστα. *Philo, ad Cai. p.* 1022.] ὁν τροπον επερωτηση τις εν λογῳ του Θεου. 2 *Reg. xvi.* 23. [αναγεγραμμενον εν τοις λογιοις εχοντες. *Jos. Ant. vii.* 6. 5.]

12 Αγαπητοι, μη ξενιζεσθε τῃ εν ὑμιν πυρωσει προς πειρασμον ὑμιν γινομενῃ, ὡς ξενου ὑμιν συμβαινοντος·

ὁτι εδοκιμασας ἡμας ὁ Θεος, επυρωσας ἡμας κ. τ. λ. *Ps. lxv.* 10.

πυρωσις. *Prov. xxvii.* 21. εν πειρασμῳ κτησαι αυτον (φιλον), και μη ταχυ εμπιστευσῃς αυτῳ. *Sir. vi.* 7. ξενοις ὑετοις. *Sap. xvi.* 16. ὡς. *Conf.* 2 *Mac. iv.* 1. *Esa. xlviii.* 10. 1 *Cor. iii.* 13. *Cap. i.* 7. και απο των συνιεντων ασθενησουσι, του πυρωσαι αυτους, κ. τ. λ. *Dan. xi.* 35. ξενιζεσθαι τινι. *Conf. Winer.* § 31. 1. *Matt. vi.* 25. ξενιζουσαις συμφοραις. 3 *Mac. ix.* 6.

13 Αλλα καθως κοινωνειτε τοις του Χριστου παθημασι, χαιρετε, ἱνα και εν τῃ αποκαλυψει της δοξης αυτου χαρητε αγαλλιωμενοι.

ὁ κοινωνων ὑπερηφανῳ. *Sir. xiii.* 1. ἱνα. *Conf. Sap. xiii.* 9. 2 *Cor. iv.* 10. *Phil. iii.* 10. *Heb. iii.* 14. *Col. i.* 24. 2 *Tim. ii.* 10. *Apoc. i.* 9. γνωθι, ὡς ελαβον περι σου ονειδισμον, κ. τ. λ. *Jer. xv.* 15. και ερουσι εν τῃ ἡμερᾳ εκεινῃ, Ιδου ὁ Θεος ἡμων, εφ' ᾡ ηλπιζομεν, και σωσει ἡμας. κ. τ. λ. *Esa. xxv.* 9. *xxxv.* 10. *lxvi.* 10, 11. μνησθητι ἡμων Κυριε εν τῃ ευδοκιᾳ του λαου σου, επισκεψαι ἡμας εν τῳ σωτηριῳ σου, κ. τ. λ. *Ps. cv.* 4, 5.

14 Ει ονειδιζεσθε εν ονοματι Χριστου, μακαριοι· ὁτι το της δοξης και το του Πνευμα εφ' ὑμας αναπαυεται· κατα μεν αυτους βλασφημειται, κατα δε ὑμας δοξαζεται.

Conf. Matt. v. 11. και αναπαυσεται επ' αυτον πνευμα του Θεου. *Esa. xi.* 2. *Deut. xxviii.* 65. *Esa. xxxiv.* 14. *Alex. Conf. cap. ii.* 20. 2 *Cor. xii.* 9. μνησθητι Κυριε του ονειδισμου των δουλων σου—οὑ ωνειδισαν το ανταλλαγμα του Χριστου σου. *Ps. lxxxviii.* 50, 51. επαναπεπαυται το πνευμα Ηλιου επι Ἑλισαιε. 4 *Reg. ii.* 15. κατα—κατα. *Conf. Job. iv.* 17.

15 Μη γαρ τις ὑμων πασχετω ὡς φονευς, η κλεπτης, η κακοποιος, η ὡς αλλοτριοεπισκοπος.

ὁ μεν ουν ανδροφονος και βλασφημος τα χειριστα παθων. 2 *Mac. ix.* 28. ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν. *vii.* 32. = μη δη συμπεσετω, κ. τ. λ. 1 *Reg. xvii.* 32. εν βουλῃ αλλοτριων, *Ps. i.* 1. *Theod. Conf. Schleusn. voce* αλλοτριοεπ.

16 Ει δε ὡς Χριστιανος, μη αισχυνεσθω, δοξαζετω δε τον Θεον εν τῳ μερει τουτῳ.

δοξασω το ονομα σου εις τον αιωνα. *Ps. lxxxv.* 12. *Conf. Phil. i.* 29. ου μη αισχυνθω, κ. τ. λ. *Esa. l.* 7, 8. μη περι τουτων αισχυνθῃς, κ. τ. λ. *Sir. xlii.* 2, 3. [εν μερει χαριτος και δωρεας. *Philo in Flac. p.* 989. Χριστιανος. *Jos. Ant. xviii.* 3. 3.]

17 Ὁτι ὁ καιρος του αρξασθαι το κριμα απο του οικου του

Θεου· ει δε πρωτον αφ' ἡμων, τι το τελος των απειθουντων τῳ του Θεου ευαγγελιῳ;

και προσαξω προς ὑμας εν κρισει, κ. τ. λ. *Mal. iii.* 5. *Conf. Esa.* *x.* 12. απο των ἁγιων μου αρξασθε. κ. τ. λ. *Ezech. ix.* 6. απειθουντες Κυριῳ, και ουκ εσται Κυριος εν ὑμιν. *Num. xiv.* 43. *Esa.* *lxiii.* 10. γενεας γαρ ἀδικου χαλεπα τα τελη. *Sap. iii.* 19. *Conf.* *Jer. xxxii.* 29. ὁτι ει εν τῳ ὑγρῳ ξυλῳ ταυτα ποιουσι, εν τῳ ξηρῳ τι γενηται; *Luc. xxiii.* 31. κριμα. 1 *Cor. xi.* 29.

18 Και ει ὁ δικαιος μολις σωζεται, ὁ ασεβης και ἁμαρτωλος που φανειται;

Ει μεν ὁ δικαιος. κ. τ. λ. *Prov. xi.* 31. μολις. *Act. xiv.* 18. *xxvii.* 7, 8. εαν γαρ ω δικαιος, το στομα μου ασεβησει· εαν τε ω αμεμπτος, σκολιος αποβησομαι. *Job. ix.* 20. μολις εξελειται εμπορος απο πλημμελειας, και ου δικαιωθησεται καπηλος απο ἁμαρτιας. *Sir. xxvi.* 29. [εξ αμηχανιας πολλης την απο των αλλων ωφελειαν απογνοντες, ακοντες και δειλαιοι καταφευγουσιν οψε· και μολις επι τον μονον Σωτηρα Θεον. *Philo de Sacrif. Abel. et Cain. p.* 141.] *CITAT.* 300.

19 Ὡστε και οἱ πασχοντες κατα το θελημα του Θεου, ὡς πιστῳ κτιστῃ παρατιθεσθωσαν τας ψυχας ἑαυτων εν αγαθοποιϊᾳ.

κατα το θελημα αυτου (Θεου). *Dan. viii.* 4. ὁ παντων κτιστης. 2 *Mac. i.* 24. εις χειρας σου παραθησομαι το πνευμα μου, ελυτρωσω με Κυριε ὁ Θεος της αληθειας. *Ps. xxx.* 5. *Conf. Luc. xxiii.* 46. ὁτι πιστος εστι ὁ ἁγιος Ισραηλ. *Esa. xlix.* 7. δικαιων δε ψυχαι εν χειρι Θεου, και ου μη ἁψεται αυτων βασανος. *Sap. iii.* 1. Κυριε ανταποδωσεις ὑπερ εμου. κ. τ. λ. *Ps. cxxxvii.* 8. δια παιδειαν και αρετην Θεου ταυτα πασχομεν. 4 *Mac.* 10. ὡστε. *Sap. vi.* 25. [παρατιθημι δε σοι, και τους Βερζελαιου του Γαλαδιτου παιδας. *Jos. Ant. vii.* 15. 1.] *Tob. iv.* 1.

ΚΕΦ. ε. 5.

ΠΡΕΣΒΥΤΕΡΟΥΣ τους εν ὑμιν παρακαλω, ὁ συμπρεσβυτερος και μαρτυς των του Χριστου παθηματων, ὁ και της μελλουσης αποκαλυπτεσθαι δοξης κοινωνος,

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. εν συντελειᾳ ανθρωπου αποκαλυψις εργων αυτου. *Sir. xi.* 27. *xxii.* 22. *Conf.* *Rom. viii.* 17, 18. *Luc. xxiv.* 48. *Philem.* 9. *Apoc. i.* 9. εν τῃ βουλῃ

σου ὡδηγησας με, και μετα δοξης προσελαβου με. Ps. lxxii. 24. κοινωνος. Sir. vi. 10.

2 Ποιμανατε το εν ὑμιν ποιμνιον του Θεου, επισκοπουντες μη αναγκαστως, αλλ' ἑκουσιως· μηδε αισχροκερδως, αλλα προθυμως·

ποιμαινετε τα προβατα της σφαγης. Zach. xi. 4. γη, ἡν Κυριος ὁ Θεος σου επισκοπειται αυτην διαπαντος. Deut. xi. 12. οἱ ποιμαινοντες τα ποιμνια αυτων. Gen. vi. 18. ποιμαινε—επι σκηνωμασι των ποιμενων. Cant. i. 8. ὑπεδειξαντο αυτους προθυμως. Tob. vii. 8. το ποιμνιον Κυριου. Zach. x. 3. Jer. xiii. 17. Conf. Act. xx. 28. 1 Tim. iii. 3. Tit. i. 7. παραρριψον με επι μιαν των ἱερατειων σου φαγειν αρτον. 1 Reg. ii. 36. Esa. lvi. 11. εξελεξαμην παραρριπτεισθαι εν τῳ οικῳ του Θεου μαλλον η οικειν με επι σκηνωμασιν ἁμαρτωλων. Ps. lxxxiii. 10. και ειπα, Ιδου εγω ειμι· αποστειλον με. Esa. vi. 8. Mich. iii. 11. Prov. xv. 27.

3 Μηδ' ὡς κατακυριευοντες των κληρων, αλλα τυποι γινομενοι του ποιμνιου·

κατακυριευσαι των πενητων. Ps. ix. 10. xviii. 13. λαος ὁν εξελεξατο εις κληρονομιαν ἑαυτῳ. Ps. xxxii. 12. τυπος της ασεβειας. 4 Mac. 6. Conf. Ezech. xxxiv. 4. 1 Par. xxviii. 9.

4 Και φανερωθεντος του αρχιποιμενος, κομιεισθε τον αμαραντινον της δοξης στεφανον.

τον στεφανον τον χρυσουν—κεκομεσμεθα. 1 Mac. xiii. 17. Sap. iv. 2. v. 17. 4 Mac. 18. Ezech. xxxiv. 23. Jer. xiii. 18. Κυριος ποιμαινει με, κ. τ. λ. Ps. xxii. 1-6. Esa. xl. 11. αμαραντος εστιν ἡ σοφια. Sap. vi. 12. και ποιμην εἱς εσται παντων. xxxvii. 24. Alex. Ald. και οἱ συνιεντες λαμψουσιν ὡς ἡ λαμπροτης του στερεωματος, κ. τ. λ. Dan. xii. 3. Conf. Prov. xi. 24. Esa. xxviii. 5.

5 Ὁμοιως, νεωτεροι, ὑποταγητε πρεσβυτεροις· παντες δε αλληλοις ὑποτασσομενοι, την ταπεινοφροσυνην εγκομβωσασθε· ὁτι ὁ Θεος ὑπερηφανοις αντιτασσεται, ταπεινοις δε διδωσι χαριν.

νεωτερος μεν ειμι—ὑμεις δε εστε πρεσβυτεροι. Job. xxxii. 6. λαλησον πρεσβυτερε, πρεπει γαρ σοι. Sir. xxxv. 3. Conf. Lev. xix. 32. εγκομβωματα. Esa. iii. 20. Theod. [εγκομβωμα· περιζωμα. Hesych.] δικαιοσυνην δε ενδεδυκειν, κ. τ. λ. Job. xxix. 14. Κυριος ὑπερηφανοις αντιτασσεται κ.τ.λ. Prov. iii. 34. [φησι γαρ (ὁ νομος) ὁς αν εγχειρῃ τι πραττειν μεθ' ὑπερηφανιας, τον Θεον παροξυνει. Philo de Carit. p. 715.] Conf. Prov. xvii. 5. CITAT. 301.

6 Ταπεινωθητε ουν ὑπο την κραταιαν χειρα του Θεου, ἱνα ὑμας ὑψωσῃ εν καιρῳ·

και ταπεινωθητι ὑπο τας χειρας αυτης. *Gen. xvi.* 9. χειρι κραταιᾳ με εμαστιγωσας. *Job. xxxi.* 21. *Ezech. iii.* 14. *Exod. vi.* 1. *Job. xxii.* 23-29. 1 *Esd. viii.* 47. εταπεινωσας το ὑψηλον, και ὑψωσας το ταπεινον. *Ezech. xxi.* 26. *Conf. Prov. xxix.* 23. *Matt. xxiii.* 12. *Luc. i.* 52. *Jac. iv.* 10. οἱ φοβουμενοι Κυριον ἑτοιμασουσι καρδιας αυτων, και ενωπιον αυτου ταπεινωσουσι τας ψυχας αυτων. *Sir. ii.* 17. *iii.* 18. *iv.* 17. και εταπεινωσαν τας ψυχας αυτων εν εκτενιᾳ μεγαλῃ. *Judith. iv.* 9. οἱ γαρ οφθαλμοι Κυριου ὑψηλοι, ὁ δε ανθρωπος ταπεινος. κ. τ. λ. *Esa. ii.* 11. 17. *Conf. Deut. xxxii.* 35.

7 Πασαν την μεριμναν ὑμων επιῤῥιψαντες επ᾽ αυτον, ὁτι αυτῳ μελει περι ὑμων.

επιῤῥιψον επι Κυριον την μεριμναν σου. *Ps. liv.* 22. *xxi.* 10. *xxxvi.* 5. ᾡ μελει περι παντων. *Sap. xii.* 13. μελοι αυτῳ περι των ἁγιων. 1 *Mac. xiv.*43. οφθαλμοι Κυριου επι δικαιους, και ωτα αυτου εις δεησιν αυτων. *Ps. xxxiii.* 15. περι ὑμων. *Conf. Gen. xxix.* 18. *Matt. vi.* 25. *Luc. xii.* 22. *Prov. xvi.* 3. δικαιοι δε εις τον αιωνα ζωσι, και εν Κυριῳ ὁ μισθος αυτων, και ἡ φροντις αυτων παρα Ὑψιστῳ. *Sap. v.* 15. *CITAT.* 302.

8 Νηψατε, γρηγορησατε, ὁτι ὁ αντιδικος ὑμων διαβολος, ὡς λεων ωρυομενος, περιπατει, ζητων τινα καταπιῃ·

αγρυπνειτε και τηρειτε. *Esd. viii.* 29. φωνη ωρυομενων λεοντων. *Zach. xi.* 3. σκυμνος λεοντος ωρυομενος. *Jud. xiv.* 5. *Ps. xxi.* 13. σωσον με εκ στοματος λεοντος. 21. περιελθων (ὁ διαβολος) την γην, και εμπεριπατησας την ὑπ᾽ ουρανον. *Job. i.* 7. αρα ζωντας αν κατεπιον ἡμας. *Ps. cxxiii.* 3. *Prov. i.* 12. [νηφε ὡς Θεου αθλητης. *Ignat. p.* 13.] [ιδιον—το ωρυεσθαι λεοντος. *Philo, de Somn. p.* 581.] *Conf. Luc. xxi.* 16. 1 *Thess. v.* 6. *Cap. i.* 13. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον· πειραζουσι δε αυτον οἱ της εκεινου μεριδος οντες. *Sap. ii.* 24. λεων θηραν ενεδρευει, οὑτως ἁμαρτιαι εργαζομενους αδικα. *Sir. xxvii.* 10. [ὁ εχθρος, *Satanas. Test. XII Patr. p.* 65.] *Conf. Luc. x.* 19. *Matt. xiii.* 25. ὡς λεοντες ωρυομενοι ἁρπαζοντες ἁρπαγματα, ψυχας κατεσθιοντες κ. τ. λ. *Ezech. xxii.* 25. *Ps. xlix.* 22.

9 Ὡ αντιστητε στερεοι τῃ πιστει, ειδοτες τα αυτα των παθηματων τῃ εν κοσμῳ ὑμων αδελφοτητι επιτελεισθαι.

εστερεωθη ἡ καρδια μου εν Κυριῳ. 1 *Reg. ii.* 1. πολλαι αἱ θλιψεις των δικαιων, κ. τ. λ. *Ps. xxxiii.* 19. αδελφοτης. 1 *Mac. xii.* 10. 17. *Conf. Sap. iii.* 5. *Jac. iv.* 7.

10 Ὁ δε Θεος πασης χαριτος, ὁ καλεσας ἡμας εις την αιωνιον αὐτου δοξαν εν Χριστῳ Ἰησου, ολιγον παθοντας, αυτος καταρτισαι ὑμας, στηριξαι, σθενωσαι, θεμελιωσαι·

καταρτισαι τα διαβηματα μου εν ταις τριβοις σου. *Ps. xvi.* 5. συ Κυριε χρηστος και επιεικης. *lxxxv.* 5. πνευματι ἡγεμονικῳ στηριξον με. *l.* 12. θεμελιωσαι. *viii.* 3. εγω Κυριος ὁ Θεος εκαλεσα σε εν δικαιοσυνῃ. *Esa. xlii.* 6. σθενος λεοντος. *Job. iv.* 10. ὁ γαρ Κυριος εσται επι πασων ὁδων σου, και ερεισει σον ποδα ἱνα μη σαλευθῃς. *Prov. iii.* 26. *Conf. Heb. x.* 37. *Cap. i.* 6. εξαποστειλον αυτην (σοφιαν) εξ ἁγιων ουρανων, και απο θρονου δοξης σου πεμψον αυτην, κ. τ. λ. *Sap. ix.* 10. ευλογησαι σε Κυριος, και φυλαξαι σε· επιφαναι Κυριος το προσωπον αυτου επι σε, κ. τ. λ. *Num. vi.* 24-26. ἡ δε εκ του ουρανου βοηθεια εστω μεθ' ὑμων. 1 *Mac. xvi.* 3. *Conf. Ps. xix.* 1-5.

11 Αυτῳ ἡ δοξα και το κρατος εις τους αιωνας των αιωνων. αμην.

ευλογητος Κυριος—απο του αιωνος και ἑως του αιωνος. *Ps. cv.* 48. εις τον αιωνα του αιωνος. *cxliv.* 1. ᾧ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. sub fin. Conf.* 1 *Tim. vi.* 16. 2 *Tim. iv.* 18. [ὁ παντεποπτης Θεος—ὁ εκλεξαμενος τον Κυριον Ιησουν Χριστον, και ἡμας δι' αυτου εις λαον περιουσιον, δῳη πασῃ ψυχῃ—πιστιν, φοβον—δια του Ιησου Χριστου—δι' οὑ αυτῳ δοξα—και νυν και εις παντας τους αιωνας. Αμην. *Clem. Rom.* 1. § 57.]

12 Δια Σιλουανου ὑμιν του πιστου αδελφου, ὡς λογιζομαι, δι' ολιγων εγραψα, παρακαλων και επιμαρτυρων ταυτην ειναι αληθη χαριν του Θεου, εις ἡν ἑστηκατε.

και επεμαρτυρω αυτοις εν πνευματι σου. *Neh. ix.* 30. και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 *Reg. xxiii.* 3. *Conf. Heb. xiii.* 22. κεφαλαιωσον λογον, εν ολιγοις πολλα. *Sir. xxxv.* 8.

13 Ασπαζεται ὑμας ἡ εν Βαβυλωνι συνεκλεκτη, και Μαρκος ὁ υἱος μου.

μνησθησομαι Ῥααβ, και Βαβυλωνος, κ. τ. λ. *Ps. lxxxvi.* 4. *Conf. Act. xii.* 12. 25. οἱ υἱοι των προφητων. 4 *Reg. ii.* 3.

14 Ασπασασθε αλληλους εν φιληματι αγαπης. ειρηνη ὑμιν πασι τοις εν Χριστῳ Ιησου. αμην.

και εφιλησεν αυτον, και ησπασαντο αλληλους. *Exod. xviii.* 7. ειρηνη εσται ὑμιν. *Jer. iv.* 10. *Alex. Ald. Comp.* ειρηνη επι τον Ισραηλ. *Ps. cxxiv.* 5. *cxxvii.* 6. *cxxviii.* 8. Αμην. *Neh. v.* 13. 1 *Esd. ix.* 47. *Conf. Rom. xvi.* 16. 1 *Cor. xvi.* 20. 2 *Cor. xiii.* 13. 1 *Thess. v.* 26.



ΠΕΤΡΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ.

ΚΕΦ. α. 1.

ΣΥΜΕΩΝ Πετρος δουλος και αποστολος Ιησου Χριστου, τοις ισοτιμον ἡμιν λαχουσι πιστιν εν δικαιοσυνῃ του Θεου ἡμων και σωτηρος Ιησου Χριστου·

[ισοτιμους απεδειξε Μακεδοσι. *Jos. Ant. xii.* 3. 1. *viii.* 8. 2.] αυτος Θεος μου και σωτηρ μου. *Ps. lxi.* 2. 6. ιδου ὁ Θεος μου σωτηρ μου, πεποιθως εσομαι. *Esa. xii.* 2. ψυχης τε ελαχον αγαθης. *Sap. viii.* 19. Ιησους—δουλος Κυριου. *Jud. ii.* 8. Σαουλ ελαχε του βασιλευειν. 1 *Reg. xiv.* 47. εν πρεσβειῳ την ἡλικιαν ηδη λελογχως. 3 *Mac. vi.* 1. *Conf. Rom. i.* 12. *Act. xi.* 17. *xv.* 9. δικαιος και σωτηρ. *Esa. xlv.* 21. Θεος μου και αντιληπτωρ της σωτηριας μου. *Ps. lxxxviii.* 26. ὁ Θεος βοηθος αυτων εστι, και ὁ Θεος ὁ Ὑψιστος λυτρωτης αυτων εστι. *lxxvii.* 35. του Θεου και σωτηρος = ανθρωπος και ανθρωπος εγενηθη εν αυτῃ. κ. τ. λ. *lxxxvi.* 5. *Conf. Ephes. v.* 5. *Tit. ii.* 13. *Middleton in loc. Winer.* § 18. *p.* 109. εγω ὁ Θεος, και ουκ εστι παρεξ εμου σωζων. *Esa. xliii.* 11. *Ose. xiii.* 4.

2 Χαρις ὑμιν και ειρηνη πληθυνθειη εν επιγνωσει του Θεου, και Ιησου του Κυριου ἡμων·

ειρηνη ὑμιν πληθυνθειη. *Dan. iii.* 31. *vi.* 25. Δαρειῳ τῳ βασιλει ειρηνη πασα. *Esd. v.* 7. επιγνωσιν Θεου εὑρησεις. *Prov. ii.* 5. *Conf. Rom. i.* 7. *Joan. xvii.* 3. 1 *Pet. i.* 2. *Juda.* 2.

3 Ὡς παντα ἡμιν της θειας δυναμεως αυτου τα προς ζωην και ευσεβειαν δεδωρημενης, δια της επιγνωσεως του καλεσαντος ἡμας δια δοξης και αρετης,

δια την θειαν ενεργειαν. 2 *Mac. iii.* 29. τα προς Θεον. *Exod. xviii.* 19. εκαλυψεν ουρανους ἡ αρετη αυτου. *Hab. iii.* 3. ου δωσω—ουδε τας αρετας μου τοις γλυπτοις. *Esa. xlii.* 8-12. [ὁ Θεος—αφθονα τῳ ὁλῳ και τοις μερεσι δεδωρηται τα αγαθα. *Philo, p.* 308. μυρια γαρ ἡμιν ἡ φυσις επιβαλλοντα ανθρωπων γενει δεδωρηται. *p.*

147. *Edit. Col.*] ὁ Θεος χαριν και δοξαν δωσει. *Ps. lxxxiii.* 18. *cix.* 3. εγω Κυριος—εκαλεσα σε εν δικαιοσυνῃ. *Esa. xlii.* 6. *li.* 2. *Conf.* 1 *Pet. i.* 4. *ii.* 9. *Joel. ii.* 32. Κυριος ουχ ὑστερησει τα αγαθα τοις πορευομενοις εν ακακιᾳ. *Ps. lxxxiii.* 11.

4 Δι᾽ ὧν τα μεγιστα ἡμιν και τιμια επαγγελματα δεδωρηται, ἱνα δια τουτων γενησθε θειας κοινωνοι φυσεως, αποφυγοντες της εν κοσμῳ εν επιθυμιᾳ φθορας.

δωρον γαρ αγαθον δωρουμαι ὑμιν. *Prov. iv.* 2. τιμιωτερα δε εστι λιθων πολυτελων. *iii.* 15. κοινωνος ανδρος ασεβους. *xxviii.* 24. διεφθαρητε φθορᾳ. *Mich. ii.* 10. θνητη φυσις. 3 *Mac.* φυσεις ζωων και θυμους θηριων. *Sap. vii.* 20. *Conf. Esa. lvi.* 5. ἑως αν ελθῃ ἡ ἁγια φυσις μου. *Job. xiv.* 14. *Sym.* και δωσω ὑμιν καρδιαν καινην —και το πνευμα μου δωσω εν ὑμιν, κ. τ. λ. *Ezech. xxxvi.* 25-27. ποιησωμεν ανθρωπον, κατ᾽ εικονα ἡμετεραν, και καθ᾽ ὁμοιωσιν. *Gen. i.* 26. *Conf. Ps. lviii.* 4.

5 Και αυτο τουτο δε, σπουδην πασαν παρεισενεγκαντες, επιχορηγησατε εν τῃ πιστει ὑμων την αρετην, εν δε τῃ αρετῃ την γνωσιν,

επιχορηγησατε. *Conf. Sir. xxv.* 22. *Phil. ii.* 18. ευαρεστει ενωπιον εμου, και γινου αμεμπτος. *Gen. xvii.* 1. οἱ δε ὑπομενοντες τον Θεον αλλαξουσιν ισχυν, κ. τ. λ. *Esa. xl.* 31. συ ενετειλω τας εντολας σου του φυλαξασθαι σφοδρα. *Ps. cxviii.* 4. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. αρετη. *Sap. iv.* 1. *viii.* 7.

6 Εν δε τῃ γνωσει την εγκρατειαν, εν δε τῃ εγκρατειᾳ την ὑπομονην, εν δε τῃ ὑπομονῃ την ευσεβειαν,

πνευμα γνωσεως και ευσεβειας. *Esa. xi.* 2. ὑπομενων ὑπεμεινα τον Κυριον, κ. τ. λ. *Ps. xxxix.* 1. εγκρατεια. *Sir. xviii.* 30.

7 Εν δε τῃ ευσεβειᾳ την φιλαδελφιαν, εν δε τῃ φιλαδελφιᾳ την αγαπην.

φιλαδελφια συμπαθουσα. 4 *Mac.* 13. 22. *Conf. Ps. cxxxiii.* 1. εμνησθην ελεους νεοτητος σου, και αγαπης τελειωσεως σου. *Jer. ii.* 2. ευσεβεια εις Θεον. *Prov. i.* 7. πορευσονται εκ δυναμεως εις δυναμιν. *Ps. lxxxiii.* 7. *cxi.* 12-14. εμπιστευσατε—και εμπιστευθησεσθε. κ. τ. λ. 2 *Par. xx.* 20.

8 Ταυτα γαρ ὑμιν ὑπαρχοντα και πλεοναζοντα ουκ αργους ουδε ακαρπους καθιστησιν εις την του Κυριου ἡμων Ιησου Χριστου επιγνωσιν·

αἱ ἁμαρτιαι ἡμων επλεονασαν ὑπερ τας κεφαλας ἡμων. 1 *Esd. viii.*

75. ὁ πιστευων νομῳ προσεχει εντολαις. *Sir. xxxii.* 24. και εσται ὡς το ξυλον—ὁ τον καρπον αυτου δωσει εν καιρῳ αυτου, κ. τ. λ. *Ps. i.* 3. ψυχη δε αεργου πεινασει. *Prov. xix.* 15.

9 Ὡ γαρ μη παρεστι ταυτα, τυφλος εστι, μυωπαζων, ληθην λαβων του καθαρισμου των παλαι αὑτου ἁμαρτιων.

οἱς παρην Θεου αγνωσια. *Sap. xiii.* 1. παλαι. 1 *Reg. ix.* 9. *Sym.* και ετυφλωθησαν οἱ δουλοι του Θεου. *Esa. xlii.* 19. *lix.* 10. κηρυξαι —τυφλοις αναβλεψιν. *lxi.* 1. *Sophon. i.* 17. [θειας δε δοκουντι μετεσχηκεναι φυσεως. *Jos. c. Ap. i.* 26.] [εμυωπασεν· ακροις τοις οφθαλμοις προσεσχε· μυωπαζω γαρ το καμμυω. *Suid.*] [ὡν τε ησαν ευ ὑπο Ιωσηπου τετυχοτες, δια χρονου μηκος ληθην λαβοντες. *Jos. Ant. ii.* 9. 1.] *Conf. Prov. xxvi.* 11.

10 Διο μαλλον, αδελφοι, σπουδασατε βεβαιαν ὑμων την κλησιν και εκλογην ποιεισθαι· ταυτα γαρ ποιουντες ου μη πταισητε ποτε.

ει δε και εσπουδασεν ὁ πους μου εις δολον. *Job. xxxi.* 5. εν πασι τοις λογοις σου μιμνησκου τα εσχατα σου, και εις τον αιωνα ουχ ἁμαρτησεις. *Sir. vii.* 36. *Conf.* 1 *Joan. v.* 19. *Jer. xxxviii.* 6. ὁ ποιων ταυτα ου σαλευθησεται εις τον αιωνα. *Ps. xiv.* 1-6. *Esa. lvi.* 2. και ου μη πταισῃ ὁ μισθος ὑμων. *Sir. ii.* 8. *Rom. xi.* 11.

11 Οὑτω γαρ πλουσιως επιχορηγηθησεται ὑμιν ἡ εισοδος εις την αιωνιον βασιλειαν του Κυριου ἡμων και σωτηρος Ιησου Χριστου.

μια δε παντων εισοδος εις τον βιον, εξοδος τε ιση. *Sap. vii.* 6. μεθυσθησονται απο πιοτητος οικου σου, κ.τ.λ. *Ps. xxxv.* 8. ἡ βασιλεια αυτου βασιλεια αιωνιος. *Dan. iii.* 34. *Conf. Sap. v.* 16. Κυριε της σωτηριας μου. *Esa. xxxviii.* 20. *Alex. Ald. Comp. xxxv.* 2. του Κυριου ἡ σωτηρια. *Ps. iii.* 8. *lxxxvii.* 1. *Conf. Sir. i.* 16-20.

12 Διο ουκ αμελησω ὑμας αει ὑπομιμνησκειν περι τουτων, καιπερ ειδοτας, και εστηριγμενους εν τῃ παρουσῃ αληθειᾳ.

εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. οἱ αμελησαντες του δικαιου, και του Κυριου αποσταντες. *Sap. iii.* 10. *Jer. xxxviii.* 32. *iv.* 17. ισθι εστηριγμενος εν συνεσει σου. *Sir. v.* 10. ὑπομνησαι δε ὑμας βουλομαι ειδοτας ὑμας ἁπαξ τουτο. *Juda.* 5. ἑως ὑπομνησεως ταυθ' ἡμιν ειρησθω. 2 *Mac. vi.* 17. *Conf. Rom. xv.* 14. *Phil. iii.* 1. 1 *Pet. v.* 9. *Esa. xxviii.* 10-13. *Job. xxxii.* 11.

13 Δικαιον δε ἡγουμαι, εφ' ὁσον ειμι εν τουτῳ τῳ σκηνωματι, διεγειρειν ὑμας εν ὑπομνησει·

δεον ἡγησαμεθα διασαφησαι ὑμιν. 2 *Mac. i.* 18. τοις θυμοις διε-

γειρας αυτους. xv. 10. *vii.* 21. *Conf. Agg. i.* 14. *πλην ἑως ὑπομνησεως ταυθ' ἡμιν ειρησθω.* 2 *Mac. vi.* 17. *Conf. cap. iii.* 1. 2 *Cor. v.* 1. 4. [*του διακινησαι χαριν την των φιλεπιστημονων μνημην. Philo de Creat.*] *εφ' ὁσον. Job. xxxii.* 11. *Sym.*

14 Ειδως ὁτι ταχινη εστιν ἡ αποθεσις του σκηνωματος μου, καθως και ὁ Κυριος ἡμων Ιησους Χριστος εδηλωσε μοι.

και τα κρυφια της σοφιας σου εδηλωσας μοι. Ps. l. 6. *Conf. Joan. xxi.* 18, 19. 2 *Tim. iv.* 6. *και ἑκαστα τῳ βασιλει δηλωσω. Dan. ii.* 24, 25. 27. *LXX. αλλ' η εστι Θεος—ὁς εδηλωσε, κ. τ. λ.* 28, 29. *Conf. Esa. xxxviii.* 12. *απο πρωϊθεν ἑως ἑσπερας μεταβαλλει καιρος, και παντα εστι ταχινα εναντι Κυριου. Sir. xviii.* 26. *και βριθει το γεωδες σκηνος νουν πολυφροντιδα. Sap. ix.* 15. *αποθεμενος—τα σκευη αυτου.* 1 *Reg. xvii.* 22. *Ald. Comp.*

15 Σπουδασω δε και ἑκαστοτε εχειν ὑμας μετα την εμην εξοδον την τουτων μνημην ποιεισθαι.

μια δε παντων εισοδος εις τον βιον, εξοδος τε ιση. Sap. vii. 6. [*ἑκαστοτε· αει παρ' ἑκαστα. Hesych.*] *Conf.* 2 *Tim. ii.* 2. *Deut. xxxi.* 19-29. *Jos. xxiii.* 14. [*ου γαρ επ' εξοδου του ζην δυσχεραινοντας καταλιπειν. Jos. Ant. iv.* 8. 2. *ἑτοιμασαμενος τα προς εξοδον. (de Mose.) Philo de Carit. p.* 701.] *Conf. Luc. ix.* 31.

16 Ου γαρ σεσοφισμενοις μυθοις εξακολουθησαντες εγνωρισαμεν ὑμιν την του Κυριου ἡμων Ιησου Χριστου δυναμιν και παρουσιαν, αλλ' εποπται γενηθεντες της εκεινου μεγαλειοτητος.

σεσοφισμενοι μυθοι. (*speciem sapientiæ præ se ferentes. Bretschn.*) Παρα βασιλει μη σοφιζου. *Sir. vii.* 5. μη σοφιζου ποιησαι το εργον σου. *x.* 26. *Conf. Luc. ix.* 43. μη εξακολουθει τῃ ψυχῃ σου. *Sir. v.* 2. *Amos. ii.* 4. οἱ απ' αρχης αυτοπται. *Luc. i.* 2. *Joan. i.* 14. 1 *Joan. i.* 1. παντες ταις ὁδοις αυτων εξηκολουθησαν. *Esa. lvi.* 11. κατα την μεγαλειοτητα Σαλωμων. *Esd. i.* 5. [τοιουτοις εσοφιζετο τον Τιτον. *Jos. Bell. Jud. iv.* 2. 3. ὁ σοφιστης εστι και δεινος λογων ανερευνᾳν τεχνας, ὑφ' οὑ κατασοφιζονται οἱ τον ὁρον της αληθειας ὑπερβαινοντες. *Philo* 2 *Alleg. p.* 104. τοις μυθοις εξακολουθησαντες. *Jos. Ant. Proem.* § 4.] εποπται. *Conf.* 2 *Mac. vii.* 35. 3 *Mac. ii.* 21.

17 Λαβων γαρ παρα Θεου πατρος τιμην και δοξαν, φωνης ενεχθεισης αυτῳ τοιασδε ὑπο της μεγαλοπρεπους δοξης, Ουτος εστιν ὁ υἱος μου ὁ αγαπητος, εις ὁν εγω ευδοκησα.

λαβων pro λαβοντος, vel pro ελαβε. Conf. Gen. xvi. 3. *Lev. iv.* 5.

2 *Par.* xxi. 5. *Alex. Ald.* xxiv. 1. *Keuchen.* τοιασδε. *Esd.* v. 3. ονομα μεγαλοπρεπες. 2 *Mac.* viii. 15. 3 *Mac.* ii. 9. οψονται την δοξαν μου. *Esa.* lxvi. 18. οὑτος εστιν ὁ υἱος μου ὁ αγαπητος, εν ᾧ ευδοκησα. *Matt.* iii. 17. xvii. 5. υἱος μου ει συ, κ. τ. λ. *Ps.* ii. 7. και εισηκουσθη προσευχη αμφοτερων ενωπιον της δοξης του μεγαλου. *Tob.* iii. 16. μεγαλειον δοξης ειδον οἱ οφθαλμοι αυτων, και δοξαν φωνης αυτων ηκουσε το ους αυτων. *Sir.* xvii. 13. *Esa.* xxx. 30. *Conf. Marc.* i. 11. *Luc.* iii. 22. *Col.* i. 13. *Ephes.* i. 6. *Joan.* xii. 28.

18 Και ταυτην την φωνην ἡμεις ηκουσαμεν εξ ουρανου ενεχθεισαν, συν αυτῳ οντες εν τῳ ορει τῳ ἁγιῳ.

και ιδου φωνη εκ των ουρανων. *Matt.* iii. 17. λαμβανει ὁ Ιησους τον Πετρον κ. τ. λ. εις ορος ὑψηλον κατ᾽ ιδιαν. xvii. 1. επι Σιων ορος το ἁγιον αυτου. *Ps.* ii. 6. *Joel.* ii. 1. δοξα και μεγαλοπρεπεια. *Ps.* xx. 5. φωνη Κυριου εν μεγαλοπρεπειᾳ. xxviii. 4. ειναι μετ᾽ αυτων. *Prov.* xxiv. 1. *Conf. Exod.* iii. 5. *Jos.* v. 16. *Matt.* xvii. 6. επιστρεψω επι Σιων, και κατασκηνωσω εν μεσῳ Ἱερουσαλημ—ορος ἁγιον. *Zach.* viii. 3.

19 Και εχομεν βεβαιοτερον τον προφητικον λογον, ᾧ καλως ποιειτε προσεχοντες, ὡς λυχνῳ φαινοντι εν αυχμηρῳ τοπῳ, ἑως οὑ ἡμερα διαυγασῃ, και φωσφορος ανατειλῃ εν ταις καρδιαις ὑμων·

προσχες τῃ φωνῃ της δεησεως μου. *Ps.* v. 2. εμπιστευσατε εν προφητῃ αυτου, κ. τ. λ. 2 *Par.* xx. 20. ἑως διαφαυσῃ (*Alex.* διαφωσῃ) ἡμερα. 1 *Reg.* xiv. 36. καταυγαζειν. *Sap.* xvii. 6. και ανατελει—ἡλιος δικαιοσυνης. *Mal.* iv. 2. ανατελει αστρον εξ Ιακωβ. *Num.* xxiv. 17. λυχνος τοις ποσι και φως ταις τριβοις. *Ps.* cxviii. 105. λυχνος εκλαμπων επι λυχνιας ἁγιας. *Sir.* xxvi. 17. [οἱ της φυσεως νομοι, των κατωθεν οντες βεβαιοτεροι. *Philo* p. 870. και Μωσης δε, ὁ προφητικος λογος, φησι. 2 *Alleg.* p. 68. *Conf. Plant. Noe.* p. 230.] προπορευονται και φωτιζουσιν, ἑως κατορθωσῃ ἡ ἡμερα. *Prov.* iv. 18. [αυχμηρον· στυγνον η σκοτεινον. *Suid.*] [οἱς (γραμμασι Αμανου) ποιησετε καλως μη προσεχοντες. *Jos. Ant.* xi. 6. 12.] *Conf. Joan.* v. 35. *Act.* ii. 25. *Esa.* lxii. 11. εξανετειλεν εν σκοτει φως τοις ευθεσι. *Ps.* cxi. 4.

20 Τουτο πρωτον γινωσκοντες, ὁτι πασα προφητεια γραφης ιδιας επιλυσεως ου γινεται.

και εν τῳ λυσαι τον νομον, παντες ορθοι εστησαν. 1 *Esd.* ix. 46. ανδρι κατα το ενυπνιον αυτου επελυσε. *Gen.* xli. 12. *alii.* και λυων συνδεσμους. *Dan.* v. 12. επιλυσις. *Sym.* επιλυομενον. *Theod. Ose.*

iii. 4. *Sym. Gen. xl.* 8. *Aq.* [λεγω γαρ (Βαλααμ) ουδεν ιδιον, αλλ' ἁττ' αν ὑπηχηση το θειον. *Philo* 1 *Vit. Mos. p.* 645. *Conf. Num. xxii.* 38. προφητης γαρ ιδιον ουδεν αποφθεγγεται, αλλοτρια δε παντα, ὑπηχουντος ἑτερου, *p.* 404.] *Conf. Rom. xii.* 6. ιδιας επιλυσεως. *Conf. Sap. xvi.* 23. γραφη. *Esd. vi.* 19. 4 *Mac.* § 20.

21 Ου γαρ θεληματι ανθρωπου ηνεχθη ποτε προφητεια, αλλ' ὑπο Πνευματος ἁγιου φερομενοι ελαλησαν οἱ ἁγιοι Θεου ανθρωποι.

Ααρων τον ἁγιον Κυριου. *Ps. cv.* 17. ανθρωπος του Θεου, ἁγιος οὑτος. 4 *Reg. iv.* 9. ανθρωπος ὁ πνευματοφορος. *Ose. ix.* 7. πνευματι φερομενος. *Job. xvii.* 1. πνευμα Θεου ἁγιον εν σοι. *Dan. iv.* 15. [φερομενοι τοις θυμοις. *Jos. Bell. Jud. vi.* 5. 2.] *Conf.* 2 *Tim. iii.* 16. 1 *Pet. i.* 11. *Mich. iii.* 8. *Neh. ix.* 30. *Luc. i.* 70. *Num. xvi.* 28. πνευμα Κυριου ελαλησεν εν εμοι, και ὁ λογος αυτου επι γλωσσης μου. 2 *Reg. xxiii.* 2. *Exod. xxxiv.* 27. *Esa. xxx.* 8. *Jer. xiv.* 1. *xv.* 1. *xviii.* 1. και ανελαβε με Κυριος εκ των προβατων, και ειπε Κυριος προς με, Βαδιζε, και προφητευσον επι τον λαον μου Ισραηλ. κ. τ. λ. *Amos. vii.* 14, 15. 2 *Par. xvii.* 9.

ΚΕΦ. β. 2.

ΕΓΕΝΟΝΤΟ δε και ψευδοπροφηται εν τῳ λαῳ, ὡς και εν ὑμιν εσονται ψευδοδιδασκαλοι, οἱτινες παρεισαξουσιν αἱρεσεις απωλειας, και τον αγορασαντα αυτους δεσποτην αρνουμενοι, επαγοντες ἑαυτοις ταχινην απωλειαν·

ψευδοπροφηται. *Jer. xxxiii.* 7. παρεισπορεομενοι λεληθοτως εις τας κωμας. 2 *Mac. viii.* 1. εν ἡμερᾳ απωλειας αυτων. *Obd.* 13. τεκνα απωλειας. *Esa. lvii.* 4. *Draco.* 42. ταδε λεγει Κυριος ὁ δεσποτης σαβαωθ. *Esa. i.* 24. *Act. iv.* 24. εν τῳ λαῳ. *Conf. Exod. i.* 20. *viii.* 1. *sæpiss.* εαν δε αναστη εν σοι προφητης—λεγων, Πορευθωμεν και λατρευσωμεν θεοις ἑτεροις, κ. τ. λ. *Deut. xiii. i*-3. ουκ αυτος οὑτος σου πατηρ εκτησατο σε, και εποιησε σε, και επλασε σε; *xxxii.* 6. και εσομαι μαρτυς ταχυς επι τους φαρμακους, κ. τ. λ. *Mal. iii.* 5. οἱτινες. *Exod. xxxii.* 9. *Ps. lxxxii.* 12. [παντων πατηρ τε και δεσποτης ὁ Θεος ων κ. τ. λ. *Jos. Ant. Proem.* § 4.] ὁς δε πεποιθεν επι τῳ δεσποτῃ [יהוה] σωθησεται. *Prov. xxix.* 25. Κυριε πατερ και δεσποτα ζωης μου. *Sir. xxiii.* 1. *xxxiii.* 1. *Conf. Juda.* 4. ηρνουντο ειδεναι, Θεον επεγνωσαν αληθη· διο και το τερμα της καταδικης επ' αυτους επηλθε. *Sap. xii.* 27. αἱρεσεις. *Conf. Act. v.* 17.

2 Και πολλοι εξακολουθησουσιν αυτων ταις απωλειαις, δι' οὑς ἡ ὁδος της αληθειας βλασφημηθησεται·

ὁδον αληθειας ἡρετισαμην. Ps. cxviii. 30. δι' ὑμας διαπαντος το ονομα μου βλασφημειται εν τοις εθνεσι. Esa. lii. 5. Conf. Deut. xiii. 13. απο ἱερεως και ἑως ψευδοπροφητου παντες εποιησαν ψευδη. Jer. vi. 13. και δολῳ διαφθερει πολλους, και επι απωλειας πολλων στησεται. Dan. viii. 25.

3 Και εν πλεονεξιᾳ πλαστοις λογοις ὑμας εμπορευσονται· οἱς το κριμα εκπαλαι ουκ αργει, και ἡ απωλεια αυτων ου νυσταζει.

εμπορευεσθαι. Prov. iii. 14. Conf. Sir. li. 25. και το κριμα αυτου κατα σπουδην ερχεται. Sir. xxi. 6. αργει. Eccles. xii. 3. Conf. 1 Tim. vi. 5. Tit. i. 11. Juda. 15. ηργει ἡ οικοδομη. 1 Esd. ii. 30. [ουκ εμπορευσομενοι την ὡρην του σωματος. Jos. Ant. iv. 6. 8.] ὁτι εγγυς ἡμερα απωλειας αυτοις, κ. τ. λ. Deut. xxxii. 35. Esa. xxx. 13. xlvi. 13. και εβεβηλουν με προς τον λαον μου, ἑνεκεν δρακος κριθων, και ἑνεκεν κλασματων αρτων, κ.τ.λ. Ezech. xiii. 19. [εκπαλαι. Sturz. p. 211.] νυσταζει. Ps. cxx. 4.

4 Ει γαρ ὁ Θεος αγγελων ἁμαρτησαντων ουκ εφεισατο, αλλα σειραις ζοφου ταρταρωσας παρεδωκεν εις κρισιν τετηρημενους·

κατα δε αγγελων αυτου σκολιον τι επενοησε. Job. iv. 18. δι' αγγελων πονηρων. Ps. lxxvii. 49. ου φεισεται μου ὁ οφθαλμος. Ezech. v. 11. και ου φεισομαι. Jer. xiii. 14. ουκ εφεισατο απο θανατου των ψυχων αυτων. Ps. lxxvii. 50. Sir. xvi. 8. σειραις δε των ἑαυτου ἁμαρτιων ἑκαστος σφιγγεται. Prov. v. 22. μιᾳ γαρ ἁλυσει σκοτους παντες εδεθησαν. Sap. xvii. 17. Conf. Ezech. vii. 4-9. Juda. 6. Luc. viii. 31. Joan. viii. 44. 1 Joan. iii. 8. [ἡ αβυσσος του Ταρταρου. Act. Thom. c. 32. εν ταρταρῳ δεδεμενους. Jos. c. Ap. ii. 23.] Ζω εγω, λεγει Κυριος—ου φεισεται μου ὁ οφθαλμος, καγω ουκ ελεησω. κ. τ. λ. Ezech. v. 11. Πως εξεπεσεν—ὁ Ἑωσφορος, κ.τ. λ. Esa. xiv. 12. Conf. 2 Mac. ix. 4.

5 Και αρχαιου κοσμου ουκ εφεισατο, αλλ' ογδοον Νωε δικαιοσυνης κηρυκα εφυλαξε, κατακλυσμον κοσμῳ ασεβων επαξας.

Ιουδας δε ὁ Μακκαβαιος δεκατος που γενηθεις. 2 Mac. v. 27. εγω δε ιδου επαγω τον κατακλυσμον. Gen. vi. 17. vii. 21. Sir. xliv. 17. ἑβδομος απο Αδαμ Ενωχ. Juda. 14. Conf. 1 Pet. iii. 19, 20. Heb. xi. 7. ουκ εξιλασατο περι των αρχαιων γιγαντων, κ. τ. λ. Sir. xvi. 7. [και ὁ Νωεος μεν οὑτως μετα των οικειων διασωζεται· ην αυτος μεν απο Αδαμου δεκατος. Jos. Ant. i. 3. 2. κατα δε τον

μεγαν κατακλυσμον, ολιγον δεω φαναι του συμπαντος ανθρωπων γενους φθειρομενου, τον Νωε οικον απαθη γενεσθαι, κ. τ. λ. Philo de Vit. Mos. p. 512. Edit. Col.]

6 Και πολεις Σοδομων και Γομοῤῥας τεφρωσας καταστροφῃ κατεκρινεν, ὑποδειγμα μελλοντων ασεβειν τεθεικως·

πυρι και θειῳ κατεφλεξας, παραδειγμα τοις επιγνομενοις καταστησας. 3 *Mac. ii.* 5. ὑποδειγμα μετανοιας. *Sir. xliv.* 16. ληψῃ τεφραν θυμιαματων. *Tob. vi.* 16. και εξαπεστειλε τον Λωτ εκ μεσου της καταστροφης. *Gen. xix.* 24-29. *Conf. Juda.* 7. *Esa. i.* 9. *xiii.* 19. *Jer. xxiii.* 14. *Ose. xi.* 8. *Deut. xxix.* 23. *Amos. iv.* 11. θησομαι αυτον εις σημειον. *Ezech. xiv.* 8. *Ald.* μονοις δε εκεινοις επετετατο βαρεια νυξ, εικων του μελλοντος αυτους διαδεχεσθαι σκοτους, ἑαυτοις δε ησαν βαρυτεροι σκοτους. *Sap. xvii.* 21. [ἡμερᾳ μιᾳ αἱ μεν ευανδρουσαι πολεις ταφος των οικητορων εγεγενηντο, αἱ δ' εκ λιθων και ξυλων κατασκευαι τεφρα και λεπτη κονις. *Philo de Abrah. p.* 369.] τεφρα. *Tob. vi.* 17. *viii.* 2. *Sap. ii.* 3. [*Conf. Jos. Ant. i.* 11. 4. Σοδομιτων δε κατεκρινε πανδημον ολεθρον κ. τ. λ.]

7 Και δικαιον Λωτ καταπονουμενον ὑπο της των αθεσμων εν ασελγειᾳ αναστροφης ερῥυσατο·

δικαιον. *Conf. Sap. x.* 6. επιδειν επι τον ὑπο παντων καταπονουμενον (*alii* καταπατουμενον) λαον. 2 *Mac. viii.* 2. *Alex. Ald. Comp.* μοιχεια και ασελγεια. *Sap. xiv.* 26. αθεσμου προθεσεως. 3 *Mac. v.* 12. *vi.* 26. ουκ εφεισατο περι της παροικιας Λωτ, οὑς εβδελυξατο δια την ὑπερηφανιαν αυτων. *Sir. xvi.* 8, 9. οιμοι, ὁτι ἡ παροικια μου εμακρυνθη, κατεσκηνωσα μετα των σκηνωματων Κηδαρ. *Ps. cxix.* 5. *Jer. ix.* 1-6. περας ουν κακης αναστροφης. 2 *Mac. v.* 8. [*Philo de Mig. Abrah. p.* 321. *Edit. Col.*]

8 (Βλεμματι γαρ ακοῃ ὁ δικαιος, εγκατοικων εν αυτοις, ἡμεραν εξ ἡμερας ψυχην δικαιαν ανομοις εργοις εβασανιζεν.)

ἡμεραν εξ ἡμερας. *Esa. lviii.* 2. *Gen. xxxix.* 10. *Est. iii.* 7. *Conf. Ps. lxxxiii.* 10. *cxviii.* 158. *Ezech. ix.* 4. επληγησαν δε και αορασιᾳ, ὡσπερ εκεινοι επι ταις του δικαιου θυραις, κ. τ. λ. *Sap. xix.* 17. εν τοποις ασεβων στενουσι δικαιοι, εν δε τῃ εκεινων απωλειᾳ πληθυνθησονται δικαιοι. *Prov. xxviii.* 28. διεξοδους ὑδατων κατεβησαν οἱ οφθαλμοι μου, επει ουκ εφυλαξα τον νομον σου. *Ps. cxviii.* 136-139. [βλεμμα. *Fabric. Pseudip. i.* 529.]

9 Οιδε Κυριος ευσεβεις εκ πειρασμου ῥυεσθαι, αδικους δε εις ἡμεραν κρισεως κολαζομενους τηρειν·

εν πειρασμῳ και παλιν εξελειται. *Sir. xxxvi.* 1. *ii.* 1. εν ἡμεραις ανομων κατισχυσε την ευσεβειαν. *xlix.* 3. και ετηρησεν αυτον αμεμπτον Θεῳ. *Sap. x.* 5. και εκ πασων των θλιψεων αυτων ερ-ῥυσατο αυτους. *Ps. xxxiii.* 17. *Deut. xxxiii.* 25. ου φεισεται εν ἡμερᾳ κρισεως. *Prov. vi.* 34. *Esa. xxxiv.* 8. ὁτι εις ἡμεραν απωλειας κουφιζεται ὁ πονηρος, εις ἡμεραν οργης αυτου απαχθησονται. *Job. xxi.* 30. *Prov. xvi.* 5. ελπις τῳ ευσεβει. *Esa. xxiv.* 16. *Conf. Juda.* 4. 7, 8, 10, 16. 1 *Cor. x.* 13. 2 *Mac. vii.* 32-35. *Prov. xxiv.* 16.

10 Μαλιστα δε τους οπισω σαρκος εν επιθυμιᾳ μιασμου πορευομενους, και κυριοτητος καταφρονουντας· Τολμηται αυθαδεις, δοξας ου τρεμουσι βλασφημουντες.

εποπευθησαν εν τοις ενθυμημασι της καρδιας. *Jer. vii.* 24. *Conf. Gen. xxxiv.* 13. *Job. xxxi.* 11. αυθαδης και αλαζων. *Prov. xxi.* 24. *Gen. xlix.* 3-7. τρεμοντα τους λογους μου. *Esa. lxvi.* 2. οἱ μη τιμωντες συνεδρεια. *Job. xv.* 22. *Juda.* 8. ειδον δουλους εφ᾽ ἱππους, και αρχοντας πορευομενους ὡς δουλους επι της γης. *Eccles. x.* 7. 20. δοξας, *magistratus. Conf. Esa. v.* 14. μετα τολμηρου μη πορευου εν ὁδῳ, κ. τ. λ. *Sir. viii.* 15. *xix.* 2.

11 Ὁπου αγγελοι ισχυϊ και δυναμει μειζονες οντες ου φερουσι κατ᾽ αυτων παρα Κυριῳ βλασφημον κρισιν.

ᾳδης και απωλεια φανερα παρα τῳ Κυριῳ. *Prov. xv.* 11. *Juda.* 9. ὁπου. *Prov. xxvi.* 20. και φυλαξῃ απο παντος ῥηματος πονηρου. *Deut. xxiii.* 9. ευλογειτε τον Κυριον παντες αγγελοι αυτου, δυνατοι ισχυϊ κ. τ. λ. *Ps. cii.* 20. και ειπε Δανιηλ τῳ βασιλει, Βασιλευ, εις τους αιωνας ζηθι. *Dan. vi.* 21. και ειπε Κυριος προς τον διαβολον, Επιτιμησαι Κυριος εν σοι κ. τ. λ. *Zach. iii.* 2, 3.

12 Οὑτοι δε, ὡς αλογα ζωα φυσικα γεγεννημενα εις ἁλωσιν και φθοραν, εν οἱς αγνοουσι βλασφημουντες, εν τῃ φθορᾳ αὑτων καταφθαρησονται,

εις καταραν γεννηθησεσθε. *Sir. xli.* 9. ἑνεκεν ακαθαρσιας διεφθαρητε φθορᾳ. *Mich. ii.* 10. αλογα ζωα. *Sap. xi.* 6. μη γινεσθε ὡς ἱππος και ἡμιονος, κ. τ. λ. *Ps. xxxi.* 9. καταφθαρησονται δια τας ἁμαρτιας αυτων. *Lev. xxvi.* 39. φθορᾳ καταφθαρησῃ—και συ, και πας ὁ λαος οὑτος. *Exod. xviii.* 18. εις τουτο γεγεννημαι. *Joan. xviii.* 37. ἁλωσις. *Jer. xxvii.* 46. *Conf. Jer. xii.* 3. *Juda.* 10. ου συνηκε, παρασυνεβληθη τοις κτηνεσι τοις ανοητοις, και ὡμοιωθη αυτοις. *Ps. xlviii.* 12. εν κακιᾳ αυτου απωσθησεται ασεβης. *Prov. xiv.* 32. *Conf. Ps. cii.* 4. *Jona. ii.* 7.

13 Κομιουμενοι μισθον αδικιας. Ἡδονην ἡγουμενοι την εν ἡμερα τρυφην, σπιλοι και μωμοι, εντρυφωντες εν ταις απαταις αὐτων, συνευωχουμενοι ὑμιν,

οἵτινες αξιον της δυσσεβειας εκομισαντο μισθον. *2 Mac. viii.* 33. [εν τρυφῃ διαγων. *Test. XII Patr. p.* 710.] *Conf.* 1 *Mac. xiii.* 37. *Lev. xx.* 17. εν αγαθοις μη δῳς μωμον. *Sir. xviii.* 15. μωμος πονηρος εν ανθρωπῳ ψευδος. *xx.* 24. μη δῳς μωμον εν τῃ δοξῃ σου. *xxx.* 22. και ετρυφησαν εν αγαθωσυνῃ σου. *Neh. ix.* 25. *Conf. Esa. lvii.* 4. *Hab. i.* 10. εν τῳ παραδεισῳ της τρυφης. *Gen. ii.* 15. εαν δε απατησῃ τις παρθενον κ. τ. λ. *Exod. xxii.* 16. *Conf. Juda.* 12, 14, 15. και ην εκει ῥαθυμων και ευωχουμενος. *Judith. i.* 16. *Rom. xvi.* 18. 1 *Cor. xi.* 20. *Phil. iii.* 19. 2 *Tim. iii.* 6. [ἡδονην προτιμησαντες του Θεου. *Jos. Ant. iv.* 6. 10.] *Conf. Ps. xl.* 9. *Jer. v.* 8.

14 Οφθαλμους εχοντες μεστους μοιχαλιδος και ακαταπαυστους ἁμαρτιας, δελεαζοντες ψυχας αστηρικτους, καρδιαν γεγυμνασμενην πλεονεξιαις εχοντες, καταρας τεκνα,

οφθαλμος μοιχου. *Job. xxiv.* 15. κλινον την καρδιαν μου—και μη εις πλεονεξιαν. *Ps. cxviii.* 36. τεκνα απωλειας. *Esa. lvii.* 4. ὅτι παντες μοιχωνται, συνοδος αθετουντων. *Jer. ix.* 2. *Conf. Jac. i.* 14. 2 *Reg. xi.* 2-4. διαθηκην εθεμην τοις οφθαλμοις μου, και ου συνησω επι παρθενον. *Job. xxxi.* 1. *Prov. vi.* 25. *Sap. xii.* 11.

15 Καταλιποντες την ευθειαν ὁδον, επλανηθησαν, εξακολουθησαντες τῃ ὁδῳ του Βαλααμ του Βοσορ, ὃς μισθον αδικιας ηγαπησεν,

ὅτι κατελιπον την διαθηκην Κυριου. *Deut. xxix.* 25. παντες ταις ὁδοις αυτων εξηκολουθησαν. *Esa. lvi.* 11. *xxxiii.* 15. προς Βαλααμ υἱον Βεωρ. *Num. xxii.* 5-7. ἡ ὁδος αυτων ουκ ευθεια. *Ezech. xxxiii.* 17-20. [ειδως γαρ (Βαλααμ) Ἑβραιοις μιαν ὁδον ἁλωσεως παρονομιαν, δια λαγνειας και ακολασιας—προς—ασεβειαν αγειν αυτους εσπουδασε. *Philo* 1 *Vit. Mos. p.* 647. ὁ γεννηθεις μιμουμενος τας του πατρος ὁδους. *de Confus. Ling. p.* 329. επι τουτον εξεπεμπε των ἑταιρων τινας, παρακαλων ἡκειν, και δωρεας τας μεν ηδη παρειχε, τας δε δωσειν ὡμολογει. *de Vit. Mos. p.* 643. *Conf. Jos. Ant. iv.* 6. 2-6.] *Prov. ii.* 13. *Judith. v.* 8. *Sir. xlvii.* 23. πλανωμενος εξ ὁδου δικαιοσυνης. *Prov. xxi.* 16. *Tob. i.* 3. *Juda.* 11. 13. και τα μαντεια εν ταις χερσιν αυτων. *Num. xxii.* 7. και ηγαπησε καταραν, κ. τ. λ. *Ps. cviii.* 17. *Jer. xiv.* 10. *Ose. ix.* 1. 10.

16 Ελεγξιν δε εσχεν ιδιας παρανομιας· ὑποζυγιον αφωνον, εν

ανθρωπου φωνῃ φθεγξαμενον, εκωλυσε την του προφητου παραφρονιαν.

ὑποζυγιον. *Jud. v.* 10. κωλυσαι λαον απο ἁμαρτιας. *Sir. xlvi.* 7. [εις ελεγχον αναισθησιας, ὑπο γαρ αλογου ζωου παρευημερειτο τας οψεις, κ. τ. λ. *Philo* 1 *Vit. Mos. p.* 644. *Mangey. p.* 249. *Edit. Col.* ἡ ονος τυπτομενη ωκλασε, κατα βουλησιν Θεου φωνην ανθρωπινην λαβουσα, κατεμεμφετο τον Βαλαμον ὡς αδικον, κ. τ. λ. *Jos. Ant. iv.* 6. 3.] και ηνοιξεν ὁ Θεος το στομα της ονου, και λεγει τῳ Βαλααμ, Τι πεποιηκα σοι, κ. τ. λ. *Num. xxii.* 28-30. *Alex. Ald. Comp.* παραφρονιαν. *Conf. Zach. vii.* 11.

17 Οὑτοι εισι πηγαι ανυδροι, νεφελαι ὑπο λαιλαπος ελαυνομεναι, οἱς ὁ ζοφος του σκοτους εις αιωνα τετηρηται.

νεφελαι ανυδροι, ὑπο ανεμων περιφερομεναι. *Juda.* 12. *Prov. xxv.* 14. *Sap. xvi.* 18. *xvii.* 15. ὡς παχνη ὑπο λαιλαπος διωχθεισα λεπτη. *v.* 14. ὡς ὁμιχλη διασκεδασθησεται. *ii.* 4. και αυτος (Αμαν) κατεβη εις το σκοτος. *Tob. xiv.* 10. και εγενετο σκοτος γνοφος. *Exod. x.* 22. αξιοι μεν γαρ εκεινοι στερηθηναι φωτος. *Sap. xviii.* 4. *xvii.* 21. ετηρησεν αυτον αμεμπτον Θεῳ. *x.* 5. σκοτους αιωνιου. *Job. x.* 22. [εις κολασιν του αιωνος τετηρηται. *Test. XII Patr. p.* 529. τηρηθειεν δ' ἑτερῳ κατακλυσμῳ. *Jos. Ant. i.* 3. 7.]

18 Ὑπερογκα γαρ ματαιοτητος φθεγγομενοι, δελεαζουσιν εν επιθυμιαις σαρκος ασελγειαις τους οντως αποφυγοντας τους εν πλανῃ αναστρεφομενους,

στομα λαλουν μεγαλα. *Dan. vii.* 8. λαλησει ὑπερογκα. *xi.* 36. *Exod. xviii.* 26. *Ps. li.* 1-3. *lxxii.* 8. και εν ταις παροιμιαις αυτων αναστρεφου. *Sir. viii.* 8. εν τοις εργοις αυτου αναστρεφομενοι. *Sap. xiii.* 7. *Conf. Eccles. vi.* 11. *Juda.* 16. θορυβος αγαθων, χαριτος αμνησια, ψυχων μιασμος—μοιχεια, και ασελγεια. *Sap. xiv.* 26. [ὁ μη προς ἡδονης δελεασθεν εἱλκυσται. *Philo de Agric. p.* 202.]

19 Ελευθεριαν αυτοις επαγγελλομενοι, αυτοι δουλοι ὑπαρχοντες της φθορας· ᾡ γαρ τις ἡττηται, τουτῳ και δεδουλωται.

ἡττηθεις ὑπο των Ιουδαιων. 2 *Mac. x.* 24. *Esa. viii.* 9. ανθ' ὡν διεστρεφετε καρδιαν δικαιου, και εγω ου διεστρεφον αυτον, κ. τ. λ. *Ezech. xiii.* 22, 23. [οἱ των φαινομενων παντα τροπον ἡττηνται. *Philo de Mig. Abrah. p.* 403.] = ᾡ γαρ ετιμωρησω τους ὑπεναντιους, τουτῳ ἡμας προσκαλεσαμενος εδοξασας. *Sap. xviii.* 8. *Joan. viii.* 34. *Rom. vi.* 16. *viii.* 21. *Gal. v.* 13. 1 *Pet. ii.* 16. *Ps. cxviii.* 45.

20 Ει γαρ αποφυγοντες τα μιασματα του κοσμου, εν επιγνωσει του Κυριου και σωτηρος Ιησου Χριστου, τουτοις δε παλιν

εμπλακεντες ἡττωνται, γεγονεν αυτοις τα εσχατα χειρονα των πρωτων.

μιασματα. *Judith. ix.* 2. 1 *Mac. xiii.* 50. *Sap. xiv.* 26. *Conf.* 1 *Joan. v.* 19. ὁ Θεος ὁ σωτηρ μου. *Ps. xxiv.* 5. ουδε επιγνωσις Θεου επι της γης. *Ose. iv.* 1. ανοια γαρ συγκρινομενα των αλλων εστι χειρονα. *Sap. xv.* 18. [οἱ των φαινομενων παντα τροπον ἡττηνται. *Philo, p.* 403. ου φυγοντες επιτηδευματα μοχθηρα, αλλ᾽ ουδε την αρχην αυτοις περιπεσοντες. *de Abrah. p.* 354.] του Κυριου και Σωτηρος—κατελιπες τον Θεον τον σωτηρα σου, και Κυριου του βοηθου σου ουκ εμνησθης. *Esa. xviii.* 10. *Conf. Col. iii.* 17. διατι απεστρεψεν ὁ λαος μου οὑτος αποστροφην αναιδην, κ. τ. λ. *Jer. viii.* 5. αρχη εθνων Αμαληκ, και το σπερμα αυτων απολειται. *Num. xxiv.* 20. *Deut. xxxii.* 29. ὁ πορευομενος δικαιως βεβοηθηται, ὁ δε σκολιαις ὁδοις πορευομενος εμπλακησεται. *Prov. xxviii.* 18. τα εσχατα. *Conf. Sir. i.* 13. *xlviii.* 24. *Job. viii.* 7. ὁ δε Κυριος ευλογησε τα εσχατα Ιωβ. *xlii.* 12.

21 Κρειττον γαρ ην αυτοις μη επεγνωκεναι την ὁδον της δικαιοσυνης, ἡ επιγνουσιν επιστρεψαι εκ της παραδοθεισης αυτοις ἁγιας εντολης.

του γνωναι εν τῃ γῃ την ὁδον σου. *Ps. lxvi.* 2. εν ὁδοις δικαιοσυνης. *Prov. viii.* 20. επιστρεψας αυτον εκ της ὁδου. 3 *Reg. xiii.* 26. επεστραφησαν επι τας αδικιας των πατερων αυτων. *Jer. xi.* 10. *Prov. xii.* 28. *Ps. cxxiv.* 5. *Conf. Ezech. xviii.* 24. = κρεισσον γαρ ἡμας δουλευειν Αιγυπτιοις, η αποθανειν εν τῃ ερημῳ ταυτῃ. *Exod. xiv.* 12. *Sir. xxx.* 22. και τους εκκλινοντας απο του Κυριου, και τους μη ζητουντας Κυριον, και τους μη αντεχομενους του Κυριου. *Sophon. i.* 6. και εν τῳ αποστρεφειν δικαιον απο των δικαιοσυνων αυτου—αυτος αποθανειται, κ. τ. λ. *Ezech. iii.* 20. *Esa. i.* 4. *Ose. iv.* 16, 17. *Matt. vi.* 23. *Luc. xii.* 47.

22 Συμβεβηκε δε αυτοις το της αληθους παροιμιας, Κυων επιστρεψας επι το ιδιον εξεραμα· και, Ὑς λουσαμενη, εις κυλισμα βορβορου.

κατα τα εργα των χειρων αυτου συμβησεται αυτῳ. *Esa. iii.* 11. ὡσπερ κυων ὁταν επελθῃ επι τον ἑαυτου εμετον—οὑτως αφρων τῃ ἑαυτου κακιᾳ αναστρεψας επι την ἑαυτου ἁμαρτιαν. *Prov. xxvi.* 11. βορβορου. *Jer. xlv.* 6. παροιμια. *Ezech. xii.* 22. *xvi.* 44. *Sym. Conf.* 1 *Reg. x.* 1. *xxiv.* 14. *Heb. x.* 38. *CITAT.* 303.

ΚΕΦ. γ. 3.

ΤΑΥΤΗΝ ηδη, αγαπητοι, δευτεραν ὑμιν γραφω επιστολην, εν αἱς διεγειρω ὑμων εν ὑπομνησει την ειλικρινη διανοιαν,

αγαπητοι. *Ps. lix.* 5. *cvii.* 6. *cxxvi.* 2. αθως χερσι και καθαρος καρδιᾳ. *Ps. xxiv.* 4. τοις ευθεσι καρδιᾳ. *lxxii.* 1. και τον θηλυν λογισμον αρσενι θυμῳ διεγειρασα. 2 *Mac. vii.* 21. *xv.* 10. δοξη ειλικρινη. *Sap. vii.* 25. *Conf. cap. i.* 13. 1 *Mac. viii.* 22.

2 Μνησθηναι των προειρημενων ῥηματων ὑπο των ἁγιων προφητων, και της των αποστολων ἡμων εντολης του Κυριου και σωτηρος·

δια των προειρημενων λογων. 2 *Mac. vi.* 29. *Alex.* ουκ εμνησθησαν της χειρος αυτου. *Ps. lxxvii.* 42. ὁτι εμνησθη του λογου του ἁγιου αυτου. *civ.* 42. εισακουειν των λογων—των προφητων. *Jer. xxxiii.* 5. *Juda.* 17. του Κυριου του σωτηρος. *Conf. cap. ii.* 20. *Esa. xliii.* 11. *Ose. xiii.* 4. *Conf.* 2 *Par. xvii.* 9. *Deut. xxxii.* 7.

3 Τουτο πρωτον γινωσκοντες, ὁτι ελευσονται επ᾽ εσχατου των ἡμερων εμπαικται, κατα τας ιδιας αὑτων επιθυμιας πορευομενοι

και επ᾽ εσχατου ετων ελευσεται. *Ezech. xxxviii.* 8. επ᾽ αυτου. (*die Paschatis.*) *Deut. xvi.* 3. του πορευεσθαι εν επιθυμιαις καρδιας σου. *Sir. v.* 2. *Conf. Juda.* 18. 1 *Tim. iv.* 1. 2 *Tim. iii.* 1. 2 *Thess. ii.* 1-3. ψευδος και ου πιστις ενισχυσεν επι της γης. *Jer. ix.* 3. και ησαν μυκτηριζοντες τους αγγελους—και εμπαιζοντες εν τοις προφηταις αυτου. 2 *Par. xxxvi.* 16. 1 *Esd. i.* 51.

4 Και λεγοντες, Που εστιν ἡ επαγγελια της παρουσιας αυτου; αφ᾽ ἡς γαρ οἱ πατερες εκοιμηθησαν, παντα οὑτω διαμενει απ᾽ αρχης κτισεως.

επαγγελια. 1 *Mac. x.* 15. *Est. iv.* 7. εκοιμηθη μετα των πατερων αυτου. 3 *Reg. xiv.* 20. *et pass.* εν αρχῃ. *Gen. i.* 1. βασιλευ πασης κτισεως σου. *Judith. ix.* 12. *Conf. Esa. v.* 19. που εστιν ὁ λογος Κυριου; ελθετω. κ. τ. λ. *Jer. xvii.* 15. *v.* 12. *Sophon. i.* 12. απ᾽ αρχης κοσμου. *Matt. xxiv.* 1. 48. απ᾽ αρχης κτισεως. *Marc. xiii.* 19. *Conf. Eccles. i.* 9. *Luc. xii.* 45. 1 *Cor. xv.* 12. 2 *Tim. ii.* 17. αφ᾽ ἡς *sc.* ἡμερας. *Conf. Luc. vii.* 45. διαμενειν. *Coll. Ps. v.* 5. εθεμελιωσε την γην, και διαμενει. *cxviii.* 90. εδοξε δε γε-

λοιαζειν εναντιον των γαμβρων αυτου. *Gen. xix.* 14. μακραι αἱ ἡμεραι, απολωλεν ὁρασις, κ. τ. λ. *Ezech. xii.* 22. *Mal. ii.* 17. [ἑως παρουσιας του Θεου της δικαιοσυνης. *Test. XII Patr. p.* 614.]

5 Λανθανει γαρ αυτους τουτο θελοντας, ὁτι ουρανοι ησαν εκπαλαι, και γη εξ ὑδατος και δι' ὑδατος συνεστωσα, τῳ του Θεου λογῳ,

και ελαθεν αυτον. *Lev. v.* 3, 4. *Conf. Job. xxxiv.* 21. τῳ λογῳ του Κυριου οἱ ουρανοι εστερεωθησαν. *Ps. xxxii.* 6. *xxiii.* 2. *cxxxv.* 6. *Gen. i.* 6–9. που εστι παντα τα θαυμασια αυτου ἁ διηγησαντο ἡμιν οἱ πατερες ἡμων; *Jud.* 6. 13. [εκπαλαι. *Sturz. p.* 211.] [εκ γης ἁπασης και παντος ὑδατος—συνεστη ὁδε ὁ κοσμος. *Philo de Plant. Noe. p.* 215.]

6 Δι' ὡν ὁ τοτε κοσμος ὑδατι κατακλυσθεις απωλετο.

και εῤῥυησαν ὑδατα, και χειμαῤῥοι κατεκλυσθησαν. *Ps. lxxvii.* 20. *Conf. Gen. vii.* 10. 21. *Job. xii.* 15. [δικην ὁριζει την προηκουσαν αφανιζειν τους τοτε οντας κατακλυσμῳ διανοηθεις. *Philo de Abrah. p.* 355.] [*Conf. Jos. Ant. i.* 3.]

7 Οἱ δε νυν ουρανοι και ἡ γη αυτου λογῳ τεθησαυρισμενοι εισι, πυρι τηρουμενοι εις ἡμεραν κρισεως και απωλειας των ασεβων ανθρωπων.

εν ἡμερᾳ απωλειας αυτων. *Obd.* 12. και εσφραγισται εν τοις θησαυροις μου κ. τ. λ. *Deut. xxxii.* 34, 35. *Job. xxi.* 30. οἱ θησαυριζοντες αδικιαν και ταλαιπωριαν. *Amos. iii.* 10. χρηματα εν γαζοφυλακιοις τεθησαυρισθαι. 4 *Mac.* 4. *Conf. Esa. li.* 6. *lxvi.* 16. *Heb. i.* 11. *Juda.* 6. αυτοι απολουνται, συ δε διαμενεις, κ. τ. λ. *Ps. ci.* 26. φυλασσεται ὁ ασεβης εις ἡμεραν κακην. *Prov. xvi.* 5. αιωνιῳ πυρι. 4 *Mac.* 12.

8 Ἑν δε τουτο μη λανθανετω ὑμας, αγαπητοι, ὁτι μια ἡμερα παρα Κυριῳ ὡς χιλια ετη, και χιλια ετη ὡς ἡμερα μια.

ὁτι χιλια ετη εν οφθαλμοις σου ὡς ἡ ἡμερα ἡ εχθες. *Ps. lxxxix.* 4. ἑν δε τουτο. *Conf. Ps. xxvi.* 4. *Matt. xxiv.* 30. *Act. i.* 7. συ δε αυτος ει, και τα ετη σου ουκ εκλειψουσι. *Ps. ci.* 27. *Conf. Judith. ix.* 6. ὡς σταγων ὑδατος απο θαλασσης, και ψηφος αμμου, οὑτως χιλια ετη εν ἡμερᾳ αιωνος. *Sir. xviii.* 10. μη λανθανετω. *Conf.* 1 *Reg. xvii.* 32. *CITAT.* 304.

9 Ου βραδυνει ὁ Κυριος της επαγγελιας, (ὡς τινες βραδυτητα ἡγουνται·) αλλα μακροθυμει εις ἡμας, μη βουλομενος τινας απολεσθαι, αλλα παντας εις μετανοιαν χωρησαι.

και ὁ Κυριος *ου μη βραδυνῃ. Sir. xxxii.* 18. *σωτηριαν την παρ' εμου ου βραδυνω. Esa. xlvi.* 13. *Deut. vii.* 10. *εμακροθυμησε* Κυριος *επ' αυτοις. Sir. xviii.* 11. 2 *Mac. vi.* 14. *Job. vi.* 11. *Aq. μη θελησει θελησω τον θανατον του ανομου, λεγει* Κυριος, *ὡς το αποστρεψαι αυτον εκ της ὁδου της πονηρας, και ζην αυτον; κ. τ. λ. Esa. xviii.* 23-32. *ὁτι ὁ* Θεος *θανατον ουκ εποιησεν, ουδε τερπεται επ' απολειᾳ ζωντων. Sap. i.* 13. *xi.* 23-26. *εδιδους τοπον μετανοιας. xii.* 10. *Esa. xxx.* 15. *Sym. ερχεται εις μετανοιαν. Prov. xiv.* 15. *Conf. Esa. xxx.* 18. *Hab. ii.* 3. *Jer. iii.* 22. *και συ δευρο, και αναπαυου. ετι γαρ ἡμεραι εις αναπληρωσιν συντελειας, και αναπαυσῃ, και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. Dan. xii.* 13. *μη ειπῃς,* Ἡμαρτον, *και τι μοι εγενετο; ὁ γαρ* Κυριος *εστι μακροθυμος. Sir. v.* 4. *τις θεος ὡσπερ συ, εξαιρων ανομιας ὁτι θελητης ελεους εστι. Mich. vii.* 18, 19. [*και μην τα μελλοντα συσκιαζεται ὑπο του αυθις χρονου, τοτε μεν βραχει· τοτε δε μακρῳ διαστηματι· δημιουργος δε και χρονου ὁ* Θεος. *κ. τ. λ. Philo de Mund. p.* 894.] *ὡς μεγαλη ἡ ελεημοσυνη του* Κυριου Θεου *ἡμων, και εξιλασμος τοις επιστρεφουσιν επ' αυτον. Sir. xvii.* 29. *xviii.* 11-13. *απορριψατε αφ' ἑαυτων πασας τας ασεβειας ὑμων —και ἱνατι αποθνησκετε οικος* Ισραηλ; *Ezech. xviii.* 31. [*χωρει· πορευου. Hesych.*]

10 Ἡ*ξει δε ἡ ἡμερα* Κυριου *ὡς κλεπτης εν νυκτι, εν ᾗ οἱ ουρανοι ῥοιζηδον παρελευσονται, στοιχεια δε καυσουμενα λυθησονται, και γη και τα εν αυτῃ εργα κατακαησεται.*

ὁτι ἡκει ἡ ἡμερα αυτων, και καιρος εκδικησεως. Jer. xxvii. 27. *και νυκτος εσται ὡς κλεπτης. Job. xxiv.* 14. *ὡς κλεπται εν νυκτι. Jer. xxix.* 9. *εν τῳ ῥοιζῳ του πνευματος αυτου. Draco* 36. 2 *Mac. ix.* 7. *και παρηλθον, και ιδου ουκ ην. Ps. xxxvi.* 36. *και ελυσαν τα τειχη* Ἱερουσαλημ. 1 *Esd. i.* 55. *και ἡ γη ὡς ἱματιον παλαιωθησεται. Esa. li.* 6. *και κατακαυθησονται οἱ ανομοι. i.* 51. [*ῥοιζηδον· σφοδρως ηχητικον. Hesych.*] [*Conf. Test. XII Patr. p.* 548-9.] [*μετα ῥοιζου. Philo,* 1 *Vit. Mos. p.* 622.] *Conf. Matt. xxiv.* 35. 1 *Thess. v.* 2. *Apoc. iii.* 3. *xxi.* 1. *ὑδατος ζωντος και ῥοιζουντος απο του* Λιβανου. *Cant. iv.* 15. *Ezech. xlvii.* 5. *Ald. Comp. Sap. v.* 11. Ιδου *ὁ ουρανος—και ἡ γη σαλευθησονται εν τῃ επισκοπῃ αυτου, κ. τ. λ. Sir. xvi.* 18, 19.

11 Τουτων *ουν παντων λυομενων, ποταπους δει ὑπαρχειν ὑμας εν ἁγιαις αναστροφαις και ευσεβειαις;*

κακη αναστροφη. 2 *Mac. v.* 8. *ετακη ἡ γη κ. τ. λ. Ps. lxxiv.* 3. *ταραχη ταραχθησεται ἡ γη, και απορια απορηθησεται ἡ γη.*

Esa. xiv. 19. Ω ω, τις ζησεται, ὁταν θῃ ταυτα ὁ Θεος; *Num. xxiv.* 23. ποταπος. *Dan. xiii.* 54. *LXX. Coll.* ποιος. 58. ισθι πεπαιδευμενος εν πασῃ αναστροφῃ σου. *Tob. iv.* 14.

12 Προσδοκωντας και σπευδοντας την παρουσιαν της του Θεου ἡμερας, δι' ἡν ουρανοι πυρουμενοι λυθησονται, και στοιχεια καυσουμενα τηκεται.

σπευδων δικαιοσυνην. *Esa. xvi.* 5. σπευσον καιρον. *Ezech. xxxvi.* 7. σπευδει πλουτειν ανηρ βασκανος. *Prov. xxviii.* 22. προσδοκωντες. *Thren. ii.* 16. [ἑως παρουσιας του Θεου της δικαιοσυνης. *Test. XII Patr. p.* 614.] ειδεναι συστασιν κοσμου και ενεργειαν στοιχειων. *Sap. vii.* 17. και αἱ κοιλαδες τακησονται ὡσει κηρος. *Mich. i.* 4. τας ὑπο του Θεου προσδοκαν ελπιδας. 2 *Mac. vii.* 14. και σπευσουσι προς αυτο λαοι. *Mich. iv.* 1. *Conf. Ps. xlix.* 3, 4. 2 *Thess. i.* 8. *Matt. xxv.* 6. *Luc. xii.* 35. και τακησονται πασαι αἱ δυναμεις των ουρανων, και ελιγησεται ὁ ουρανος ὡς βιβλιον. *Esa. xxxiv.* 4. *Conf. Joel. ii.* 11.

13 Καινους δε ουρανους και γην καινην κατα το επαγγελμα αυτου προσδοκωμεν, εν οἱς δικαιοσυνη κατοικει.

ὁ ουρανος καινος και ἡ γη καινη. *Esa. lxvi.* 22. *lxv.* 17. προσεδοκων το σωτηριον σου Κυριε. *Ps. cxviii.* 166. και δικαιοσυνη εν τῳ Καμηλῳ κατοικησει. *Esa. xxxii.* 16. *Apoc. xxi.* 1. 27. ἑτοιμαζου εις καταντησιν Θεου σου. *Amos. iv.* 12. *Theod.*

14 Διο, αγαπητοι, ταυτα προσδοκωντες, σπουδασατε ασπιλοι και αμωμητοι αυτῳ εὑρεθηναι εν ειρηνῃ,

εσπουδασεν ὁ πους μου εις δολον. *Job. xxxi.* 5. αγαθος Κυριος τοις ὑπομενουσιν αυτον. *Thren. iii.* 25. ὁς αναστρεφεται αμωμος εν δικαιοσυνῃ. *Prov. xx.* 7. *Ps. lxiii.* 3. ειρηνη πολλη τοις αγαπωσι τον λαον σου. κ. τ. λ. *Ps. cxviii.* 165. Κυριος ευλογησει τον λαον αυτου εν ειρηνῃ. *xxviii.* 11. δῳη Κυριος ὑμιν και εὑρητε αναπαυσιν. *Ruth. i.* 9. ασπιλοι. *Job. xv.* 15. *Sym.* εὑρεθηναι. *Mal. ii.* 6. *Conf. Sir. xi.* 33. *xviii.* 15.

15 Και την του Κυριου ἡμων μακροθυμιαν, σωτηριαν ἡγεισθε· καθως και ὁ αγαπητος ἡμων αδελφος Παυλος κατα την αυτῳ δοθεισαν σοφιαν εγραψεν ὑμιν,

και αθωωσον με—μη εις μακροθυμιαν. *Jer. xv.* 15. και της μακροθυμιας καταφρονεις, αγνοων ὁτι το χρηστον του Θεου εις μετανοιαν σε αγει; *Rom. ii.* 4. φειδῃ δε παντων, ὁτι σα εστι δεσποτα φιλοψυχε. *Sap. xi.* 26. *Conf. Heb. ix.* 28. *x.* 36. και ολιγοψυχοις διδους μακροθυμιαν. *Esa. lvii.* 15. *Sir. v.* 4.

16 Ὡς και εν πασαις ταις επιστολαις, λαλων εν αυταις περι
τουτων· εν οἷς εστι δυσνοητα τινα, ἃ οἱ αμαθεις και αστηρικτοι
στρεβλουσιν, ὡς και τας λοιπας γραφας, προς την ιδιαν αὑ-
των απωλειαν.

μεγαλαι γαρ σου αἱ κρισεις και δυσδιηγητοι· δια τουτο απαιδευτοι ψυχαι επλανηθησαν. *Sap. xvii.* 1. μετα εκλεκτου εκλεκτος εσῃ, και μετα στρεβλου στρεβλωθησῃ. 2 *Reg. xxviii.* 27. *Hab. i.* 4. [ὑπο ἁμαρτιας παρηκουσαν του Θεου κ. τ. λ. *Jos. Ant. i.* 4. 1.] χαλεπωτερα σου μη ζητει, και ισχυροτερα σου μη εξεταζε. *Sir. iii.* 21. στρεβλουσιν. 3 *Mac. iv.* 14. *Conf. Rom. viii.* 19. 1 *Cor. xv.* 24. [ταυτα μεν αἱ ῥηται γραφαι περιεχουσι. *Philo, p.* 229. *Edit. Col.*]

17 Ὑμεις ουν, αγαπητοι, προγινωσκοντες φυλασσεσθε, ἱνα μη
τῃ των αθεσμων πλανῃ συναπαχθεντες εκπεσητε του ιδιου
στηριγμου·

φυλαξαι σεαυτον μηποτε λαλησῃς—πονηρα. *Gen. xxxi.* 29. και ουκ αποπεσειται—των επιτηδευματων αυτου. *Judith. xi.* 6. στηριγμα. *Esa. iii.* 1. *Sym.* αθεσμοις αικιαις. 3 *Mac. vi.* 26. *v.* 12. *Conf. Marc. xiii.* 23. *Heb. iv.* 1-11. και παντα τον λαον αυτου συναπηγαγε μεθ' ἑαυτου. *Exod. xiv.* 6. σοφια πανουργων επιγνωσεται τας ὁδους αυτων, ανοια δε αφρονων εν πλανῃ. *Prov. xiv.* 8. [και μετα πολλων δακρυων, ὡς αν βασιλειας εκπεσων, ηυχετο τῳ Θεῳ. *Jos. Ant. vii.* 9. 2.]

18 Αυξανετε δε εν χαριτι και γνωσει του Κυριου ἡμων και σω-
τηρος Ιησου Χριστου. αυτῳ ἡ δοξα και νυν και εις ἡμεραν
αιωνος. αμην.

αινεσις αυτου μενει εις τον αιωνα. *Ps. cx.* 13. του Κυριου ἡμων και σωτηρος. *Conf. cap. ii.* 20. = εις ἡμεραν αιωνιον. απο του νυν και εις τον αιωνα χρονον. *Esa. xviii.* 7. *Mich. iv.* 7. *Conf. Matt. vi.* 13. 1 *Pet. ii.* 2. ᾧ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. in fin.* ηυξησε Κυριον τον Ιησουν εναντιον παντος γενους. *Jos. iv.* 14. δικαιος ὡς φοινιξ ανθησει, κ. τ. λ. *Ps. xci.* 12. *lxxxiii.* 7. οἱ δε ὑπομενοντες τον Θεον αλλαξουσιν ισχυν, κ. τ. λ. *Esa. xl.* 31. *Ose. xiv.* 6. *Mal. iv.* 2. *Jud. xiii.* 24. *Alex. Gen. i.* 22. 28. Αμην. *Neh. v.* 13. *Tit. i.* 2.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ.

ΚΕΦ. α. 1.

Ὁ ΗΝ απ᾽ αρχης, ὁ ακηκοαμεν, ὁ ἑωρακαμεν τοις οφθαλμοις ἡμων, ὁ εθεασαμεθα, και αἱ χειρες ἡμων εψηλαφησαν, περι του λογου της ζωης·

ουχι συ απ᾽ αρχης Κυριε ὁ Θεος ὁ ἁγιος μου; *Hab.* i. 12. *Conf. Esa.* xlii. 9. xliii. 9. 13. xlviii. 16. lxiii. 16. 19. *Ps.* lxxiii. 2. *Joan.* vi. 64. viii. 25. και ὑμεις δε μαρτυρειτε, ὁτι απ᾽ αρχης εμου εστε. xv. 27. 2 *Joan.* 5. ὑμων δε μακαριοι οἱ οφθαλμοι ὁτι βλεπουσι, και τα ωτα ὑμων, ὁτι ακουει. *Matt.* xiii. 16. Ιδετε τας χειρας μου—ὁτι αυτος εγω ειμι, κ. τ. λ. *Luc.* xxiv. 39. *Joan.* xx. 27. εν αρχῃ ην ὁ λογος—εν αυτῳ ζωη ην, και ἡ ζωη ην το φως των ανθρωπων. i. 1–14. *Conf. Act.* iv. 20. xvii. 27. 2 *Pet.* i. 16. περι του λογου της ζωης. = ἱνα μαρτυρησῃ περι του φωτος. *Joan.* i. 8. *Conf. cap.* ii. 7. 13. 24. οἱ απ᾽ αρχης αυτοπται. *Luc.* i. 2. αρχη του ευαγγελιου. *Marc.* i. 1. ακηκοας λογον. *Sir.* xix. 10. οἱ οφθαλμοι ὑμων ἑωρακασι παντα. *Deut.* iii. 21. iv. 3. νυν ἑωρακα εν τοις οφθαλμοις μου. *Zach.* ix. 8. ουτε γαρ ην απ᾽ αρχης, ουτε εις αιωνα εσται. *Sap.* xiv. 13. ουτε δακτυλοι χειρων εις ψηλαφησιν. xv. 15. ὁ οιδαμεν λαλουμεν, και ὁ ἑωρακαμεν μαρτυρουμεν. *Joan.* iii. 11. xvi. 4. και οὑτος μαρτυς η ἑωρακεν, η συνοιδε. *Lev.* v. 1. ἁ εγω εμαυτῳ συνεπισταμαι, ἁ ὁ οφθαλμος μου ἑωρακε, και ουκ αλλος. *Job.* xix. 27. *Conf. Gen.* i. 1. *Apoc.* i. 8. *Prov.* viii. 22. *Mich.* v. 2. *Sap.* ix. 8.

2 (Και ἡ ζωη εφανερωθη, και ἑωρακαμεν, και μαρτυρουμεν, και απαγγελλομεν ὑμιν την ζωην την αιωνιον, ἡτις ην προς τον πατερα, και εφανερωθη ἡμιν·)

Θεος εφανερωθη εν σαρκι. 1 *Tim.* iii. 16. οὑτος ην εν αρχῃ προς τον Θεον. *Joan.* i. 1, 2. *Conf. Esa.* xli. 4. και φανερωσαν αυτοις εισακουειν—ειρηνην και πιστιν. *Jer.* xl. 6. *Alex. Conf. Rom.* xvi. 26. *Col.* i. 26. *Tit.* i. 2. και εθεασαμεθα την δοξαν αυτου, κ. τ. λ. *Joan.* i. 14. και απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos.* iv. 13. και, *nam. Conf. Jer.* xvii. 5–8.

3 Ὁ ἑωρακαμεν και ακηκοαμεν, απαγγελλομεν ὑμιν, ἱνα και
ὑμεις κοινωνιαν εχητε μεθ' ἡμων· και ἡ κοινωνια δε ἡ ἡμετερα
μετα του πατρος και μετα του υἱου αυτου Ιησου Χριστου·

πιστος ὁ Θεος, δι' οὑ εκληθητε εις κοινωνιαν του υἱου αυτου Ιησου Χριστου του Κυριου ἡμων. 1 *Cor. i.* 9. 2 *Cor. xiii.* 13. ὑπο του Κυριου εκοινωνησε. 2 *Mac. v.* 20. *Conf. Matt. xxviii.* 20. *Ephes. iv.* 5. διαγγελλων το προσταγμα Κυριου. *Ps. ii.* 7. και αναγγελουσι την δοξαν μου εν τοις εθνεσι. *Esa. lxvi.* 29. *Conf. Joan. xiv.* 9. 21. ἱνα παντες ἑν ωσι, καθως συ πατερ εν εμοι, κ. τ. λ. *xvii.* 21-24. *Apoc. iii.* 20.

4 Και ταυτα γραφομεν ὑμιν, ἱνα ἡ χαρα ἡμων ῃ πεπληρω-
μενη·

ταυτα λελαληκα ὑμιν, ἱνα ἡ χαρα ἡ εμη εν ὑμιν μεινῃ και ἡ χαρα ὑμων πληρωθῃ. *Joan. xv.* 11. *Conf.* 2 *Joan.* 12. *Esa. lxvi.* 10.

5 Και αὑτη εστιν ἡ επαγγελια, ἡν ακηκοαμεν απ' αυτου, και
αναγγελλομεν ὑμιν· ὁτι ὁ Θεος φως εστι, και σκοτια εν αυτῳ
ουκ εστιν ουδεμια.

αὑτη εστιν ἡ εντολη ἡ εμη. *Joan. xv.* 12. *Conf. inf. cap. iii.* 11. αγγελια αγαθη. *Prov. xii.* 25. ἡν το φως το αληθινον, ὁ φωτιζει παντα ανθρωπον ερχομενον εις τον κοσμον. *Joan. i.* 9. *viii.* 12. *ix.* 5. *xii.* 35. εσται γαρ σοι Κυριος φως αιωνιον. *Esa. lx.* 19, 20. εν τῳ φωτι του προσωπου σου πορευσονται. *Ps. lxxx.* 15. *xcvi.* 11. *cxxxviii.* 12. μια δε ουσα (σοφια) παντα δυναται, και μενουσα εν αυτῃ τα παντα καινιζει, και κατα γενεας εις ψυχας ὁσιας μεταβαινουσα, φιλους Θεου και προφητας κατασκευασει κ. τ. λ. *Sap. vii.* 27, 28. φως αΐδιον. 25, 26. *Conf. Esa. lx.* 1. *Ps. ciii.* 2. *Job. xxii.* 11. *xxxiv.* 21.

6 Εαν ειπωμεν ὁτι κοινωνιαν εχομεν μετ' αυτου, και εν τῳ
σκοτει περιπατωμεν, ψευδομεθα, και ου ποιουμεν την αλη-
θειαν·

οἱ πορευομενοι εν σκοτει. *Esa. l.* 10. *Prov. ii.* 13. γινωσκων τα, εν τῳ σκοτει, και το φως. *Dan. ii.* 22. ποιησω αυτοις το σκοτος εις φως. *Esa. xlii.* 16. εξανετειλεν εν σκοτει φως τοις ευθεσι. *Ps. cxi.* 4. καὶ εν σκοτει πορευσεται και εν σκοτει ονομα αυτου καλυφθησεται. *Eccles. vi.* 4. αληθειαν λεγω εν Χριστῳ, ου ψευδομαι. 1 *Tim. ii.* 7. ὡσπερ νηπιοι οἱ ουκ ειδον φως. *Job. iii.* 16. ησεβησαμεν και εψευσαμεθα, και απεστημεν. *Esa. lix.* 13. *Conf. Joan. xi.* 10. εργαζομενος δικαιοσυνην· λαλων αληθειαν. *Ps. xiv.* 2. ποιειν δικαιοσυνην και κρισιν. *Gen. xviii.* 19. *Prov. iv.* 19.

7 Εαν δε εν τῳ φωτι περιπατωμεν, ὡς αυτος εστιν εν τῳ φωτι, κοινωνιαν εχομεν μετ᾽ αλληλων, και το αἱμα Ιησου Χριστου του υἱου αυτου καθαριζει ἡμας απο πασης ἁμαρτιας.

λυχνοις τοις ποσι μου ὁ νομος σου και φως ταις τριβοις μου. *Ps. cxviii.* 105. πορευθωμεν τῳ φωτι Κυριου. *Esa. ii.* 5. εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. *Gen. xvii.* 1. πλυνεις με, και ὑπερ χιονα λευκανθησομαι. *Ps. l.* 7. *Conf. Exod. xii.* 22. απο πασης ἁμαρτιας καθαρισον καρδιαν. *Sir. xxxviii.* 10. *Lev. xvi.* 30. περι του καθαριζομενου απο της ἁμαρτιας. *Lev. xiv.* 19. *Dan. ix.* 24. ὁ λαος ὁ πορευομενος εν σκοτει, ιδετε φως μεγα—φως λαμψει εφ᾽ ὑμας. *Esa. ix.* 2. καθαρισθησομαι απο ἁμαρτιας μεγαλης. *Ps. xviii.* 13. εγω ειμι, εγω ειμι ὁ εξαλειφων τας ανομιας σου ἑνεκεν εμου, και τας ἁμαρτιας σου κ. τ. λ. *Esa. xliii.* 25. και οψομαί το αἱμα, και σκεπασω ὑμας, κ. τ. λ. *Exod. xii.* 13. *xxix.* 21. *Conf. Heb. ix.* 14. 1 *Pet. i.* 19. *Apoc. i.* 5. *Esa. xxviii.* 16. *xxxv.* 4. *liii.* 5. 12. εν αἱματι διαθηκης σου. *Zach. ix.* 11.

8 Εαν ειπωμεν ὁτι ἁμαρτιαν ουκ εχομεν, ἑαυτους πλανωμεν, και ἡ αληθεια ουκ εστιν εν ἡμιν.

τις καυχησεται ἁγνην εχειν την καρδιαν, ἢ τις παρῥησιασεται καθαρος ειναι απο ἁμαρτιων; *Prov. xx.* 9. ὁτι ουκ εστιν ανθρωπος ὁς ουχ ἁμαρτησεται. 3 *Reg. viii.* 46. 2 *Par. vi.* 36. ὁτι ουκ εστιν αληθεια εν αυτῳ. *Joan. viii.* 44. ανθρωπος καθ᾽ ἑαυτον επλανηθης. *Esa. xlvii.* 15. *Conf. Job. ix.* 2. *xv.* 15. *Eccles. vii.* 21. *Jac. iii.* 2. *Rom. iii.* 23. πως γαρ εσται δικαιος βροτος εναντι Κυριου, η τις αν αποκαθαρισαι αυτον γεννητος γυναικος; *Job. xxv.* 4-6.

9 Εαν ὁμολογωμεν τας ἁμαρτιας ἡμων, πιστος εστι και δι-
καιος, ἱνα αφῃ ἡμιν τας ἁμαρτιας, και καθαρισῃ ἡμας απο
πασης αδικιας.

μη αισχυνθῃς ὁμολογησαι εφ᾽ ἁμαρτιας σου. *Sir. iv.* 26. εξαγορευσω κατ᾽ εμου την ανομιαν μου τῳ Κυριῳ, και συ αφηκας την ασεβειαν της καρδιας μου. *Ps. xxxi.* 5. εστω Κυριος εν ἡμιν εις μαρτυρα δικαιον και πιστον. *Jer. xlix.* 5. δικαιος και σωτηρ. *Esa. xlv.* 21. λεγε συ τας ανομιας σου πρωτος, ἱνα δικαιωθῃς. *xliii.* 26. και αφες πασας τας ἁμαρτιας μου. *Ps. xxiv.* 18. *Job. xxxi.* 33. ὁ επικαλυπτων ασεβειαν ἑαυτου ουκ ευοδωθησεται, ὁ δε εξηγουμενος ελεγχους, αγαπηθησεται. *Prov. xxviii.* 13. πολλη ἡ πιστις σου. *Thren. iii.* 23.

10 Εαν ειπωμεν ὁτι ουχ ἡμαρτηκαμεν, ψευστην ποιουμεν αυτον,
και ὁ λογος αυτου ουκ εστιν εν ἡμιν.

ὁ λογος ὁ εμος ου χωρει εν ὑμιν. Joan. viii. 37. *ψευστης. Sir. xxv.* 2. *παραπτωματα τις συνησει; εκ των κρυφιων μου καθαρισον με. Ps. xviii.* 12. *πας δε ανθρωπος εκ νεοτητος επι πονηρα, και ουκ ισχυσαν τας καρδιας αυτων αντι λιθινων ποιησαι σαρκινας. Sir. xvii.* 16. *τις εστιν ὁ φαμενος ψευδη με λεγειν, και θησει εις ουδεν τα ῥηματα μου; Job. xxiv.* 25. *σοι μονῳ ἡμαρτον κ. τ. λ. Ps. l.* 4, 5.

ΚΕΦ. β. 2.

ΤΕΚΝΙΑ *μου, ταυτα γραφω ὑμιν, ἱνα μη ἁμαρτητε, και εαν τις ἁμαρτῃ, παρακλητον εχομεν προς τον πατερα,* Ιησουν Χριστον *δικαιον·*

τεκνια μου. Joan. xiii. 33. *Gal. iv.* 19. *Ps. xxxiii.* 11. *μη ἁμαρτανετε. Ps. iv.* 5. *Ezech. iii.* 21. *εαν ἁμαρτῃ ανηρ.* 2 *Par. vi.* 22. *προς τον πατερα. Joan. i.* 1, 2. *παρακλητον. Conf. Job. xvi.* 2. *Aq. Theod.* [*αναγκαιον γαρ ην τον ἱερομενον τῳ του κοσμου πατρι,* Παρακλητῳ *χρησθαι τελειωτατῳ την αρετην υἱῳ προς τε αμνηστιαν ἁμαρτηματων και χορηγιαν αφθονωτατων αγαθων. Philo de Vit. Mos. p.* 673. *Conf. Loesner.*] *ὁ μεσιτης ἡμων. Job. ix.* 33. *ειη δε ελεγχος ανδρι εναντι* Κυριου, *και υἱῳ ανθρωπου τῳ πλησιον αυτου. xvi.* 21. *Sap. xv.* 2.

2 Και *αυτος ἱλασμος εστι περι των ἁμαρτιων ἡμῶν· ου περι των ἡμετερων δε μονον, αλλα και περι ὁλου του κοσμου.*

εξιλασμον εποιησατο της ἁμαρτιας απολυθηναι. 2 *Mac. xii.* 45. *Sir. xxxii.* 3. *προσοισουσιν ἱλασμον, λεγει* Κυριος *ὁ* Θεος. *Ezech. xliv.* 27. *Amos. viii.* 14. *ὁτι παρα σοι ὁ ἱλασμος εστι. Ps. cxxix.* 4. *Marc. xiv.* 24. *και ἱλασθη* Κυριος *περι της κακιας. Exod. xxxii.* 13. *Alex. Ald. ἱλασῃ τῃ ἁμαρτιᾳ μου, πολλη γαρ εστι. Ps. xxiv.* 11. *και εξιλασεται περι αυτου ὁ ἱερευς περι της ἁμαρτιας ἡς ἡμαρτε, και αφθησεται αυτῳ. Lev. iv.* 35. *v.* 10. 13. 16. 18. *Conf. cap. iv.* 10. *ὁλος ὁ κοσμος. Sap. xviii.* 24. *φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον. ii.* 24. *σοι* Κυριῳ *τῳ* Θεῳ *ἡμων οἱ οικτιρμοι, και οἱ ἱλασμοι, ὁτι απεστημεν. Dan. ix.* 9. 24. *ποιουμενου δε του αρχιερεως τον ἱλασμον.* 2 *Mac. iii.* 33. *αυτος. Conf. Esa. liii.* 5. 7. 12. *Sir. xv.* 12. *εἱλου γαρ μου την ψυχην, ἱνα μη αποληται, και απερριψας οπισω μου πασας τας ἁμαρτιας. Esa. xxxviii.* 17. *το δε σωτηριον μου εις γενεας γενεων. li.* 8. *ὁτι πασαι αἱ ψυχαι εμοι εισι. κ. τ. λ. Ezech. xviii.* 4. *ελεος ανθρωπου επι τον πλησιον αυτου, ελεος δε* Κυριου *επι πασαν σαρκα, κ. τ. λ. Sir. xviii.* 13.

3 Και εν τουτῳ γινωσκομεν, ὁτι εγνωκαμεν αυτον, εαν τας εντολας αυτου τηρωμεν.

εν τουτῳ γνωσεσθε ὁτι κ. τ. λ. *Num.* *xvi.* 28. *Ps.* *xl.* 11. ὁ πιστευων νομῳ προσεχει εντολαις. *Sir.* *xxxv.* 24. αγαπη δε τηρησις νομων αυτης. *Sap.* *vi.* 18. και γαρ τουτο εστι τηρησις εντολων. *Sir.* *xxxii.* 23. τοτε ου μη αισχυνθω εν τῳ με επιβλεπειν επι πασας τας εντολας σου. *Ps.* *cxviii.* 6. 32. εαν, *quando.* *Jud.* *vi.* 3. 1 *Reg.* *i.* 22. *Prov.* *iii.* 24. *Sir.* *i.* 25. *Conf.* 2 *Tim.* *ii.* 19.

4 Ὁ λεγων, Εγνωκα αυτον, και τας εντολας αυτου μη τηρων, ψευστης εστι, και εν τουτῳ ἡ αληθεια ουκ εστιν·

Conf. *sup.* *cap.* *i.* 8. *i.* 6. *iv.* 20. και. *sed.* 2 *Reg.* *iii.* 3. *Exod.* *vi.* 3. εμε κεκραξονται, Ὁ Θεος εγνωκαμεν σε. *Ose.* *viii.* 2.

5 Ὁς δ' αν τηρῃ αυτου τον λογον, αληθως εν τουτῳ ἡ αγαπη του Θεου τετελειωται. εν τουτῳ γινωσκομεν, ὁτι εν αυτῳ εσμεν.

και τους λογους μου ουκ ετηρησε. 1 *Reg.* *xv.* 11. τελειωθη ἡ ευλογια σου. *Sir.* *vii.* 32. οὑτοι ετελειωσαν σου το καλλος. *Ezech.* *xxvii.* 11. μεινατε εν εμοι, καγω εν ὑμιν. *Joan.* *xv.* 4. *Conf.* *cap.* *iv.* 12, 13. *Joan.* *xiii.* 35. *xiv.* 21. εκεκραξα σοι, σωσον με, και φυλαξω τα μαρτυρια σου. *Ps.* *cxviii.* 146.

6 Ὁ λεγων εν αυτῳ μενειν, οφειλει, καθως εκεινος περιεπατησε, και αυτος οὑτως περιπατειν.

ὑποδειγμα γαρ εδωκα ὑμιν, ἱνα καθως εγω εποιησα ὑμιν και ὑμεις ποιητε. *Joan.* *xiii.* 15. *xv.* 4, 5, 10. εν ὁδοις δικαιοσυνης περιπατω. *Prov.* *viii.* 20. *Conf.* 1 *Pet.* *ii.* 21. δικαιοσυνη εναντιον αυτου προπορευσεται, και θησει εις ὁδον τα διαβηματα αυτου. *Ps.* *lxxxiv.* 13.

7 Αδελφοι, ουκ εντολην καινην γραφω ὑμιν, αλλ' εντολην παλαιαν, ἡν ειχετε απ' αρχης· ἡ εντολη ἡ παλαια εστιν ὁ λογος ὁν ηκουσατε απ' αρχης.

εντολην γραφειν. *Marc.* *x.* 5. *Conf.* *cap.* *iii.* 11. 2 *Joan.* 5. στητε επι ταις ὁδοις, και ιδετε, και ερωτησατε τριβους Κυριου αιωνιους. *Jer.* *vi.* 16. αγαπησεις Κυριον τον Θεον κ. τ. λ. *Deut.* *vi.* 5. *Esa.* *xxv.* 1. *Ps.* *xxiv.* 6. *Thren.* *ii.* 17.

8 Παλιν εντολην καινην γραφω ὑμιν, ὁ εστιν αληθες εν αυτῳ και εν ὑμιν· ὁτι ἡ σκοτια παραγεται, και το φως το αληθινον ηδη φαινει.

εντολην καινην διδωμι ὑμιν. *Joan.* *xiii.* 34. ην το φως το αληθινον. *i.* 9. ὡσει σκια παραγουσι. *Ps.* *cxliii.* 5. ἡκει γαρ σου το φως, και

ἡ δοξα Κυριου επι σε ανατεταλκε. *Esa. lx.* 1. ασμα καινον. *Ps. xxxii.* 3. *Esa. xlii.* 9-16. ταξιν εθετο σκοτει, κ. τ. λ. *Job. xxviii.* 3. ὁ λαος πορευομενος εν σκοτει, ιδετε φως μεγα, κ. τ. λ. *Esa. ix.* 2-6. αἱ δε ὁδοι των δικαιων ὁμοιως φωτι λαμπουσι, πορευονται και φωτιζουσιν, ἑως κατορθωσῃ ἡ ἡμερα. *Prov. iv.* 18. *Ps. xcvi.* 11.

9 Ὁ λεγων εν τῳ φωτι ειναι, και τον αδελφον αὑτου μισων, εν τῃ σκοτιᾳ εστιν ἑως αρτι.

εν σκοτει διαπορευονται. *Ps. lxxxi.* 5. ου μισησεις τον αδελφον σου εν τῃ διανοιᾳ σου. *Lev. xix.* 17. *Conf. Sir. xi.* 16. *Comp.*

10 Ὁ αγαπων τον αδελφον αὑτου, εν τῳ φωτι μενει, και σκανδαλον εν αυτῳ ουκ εστιν.

και ουκ εστιν αυτοις σκανδαλον. *Ps. cxviii.* 165. αγαπη δε τηρησις νομων αυτης, κ. τ. λ. *Sap. vi.* 18. οἱ πορευομενοι εν σκοτει, και ουκ εστιν αυτοις φως. *Esa. l.* 10.

11 Ὁ δε μισων τον αδελφον αὑτου, εν τῃ σκοτιᾳ εστι, και εν τῃ σκοτιᾳ περιπατει, και ουκ οιδε που ὑπαγει, ὁτι ἡ σκοτια ετυφλωσε τους οφθαλμους αυτου.

αἱ δε ὁδοι των ασεβων σκοτειναι, ουκ οιδασι πως προσκοπτουσι. κ. τ. λ. *Prov. iv.* 19. πας ὁς αδελφον πτωχον μισει. *xix.* 7. *Deut. xix.* 11. και ετυφλωθησαν οἱ δουλοι του Θεου. *Esa. xlii.* 19. *Sap. ii.* 21. ὁ ακολουθων εμοι ου μη περιπατησει εν τῃ σκοτιᾳ. *Joan. viii.* 12. *xi.* 10. φως αγαπησεως. *Sir. xvi.* 17. *Comp.*

12 Γραφω ὑμιν, τεκνια, ὁτι αφεωνται ὑμιν αἱ ἁμαρτιαι δια το ονομα αυτου.

μακαριοι ὡν αφεθησαν αἱ ανομιαι, και ὡν επεκαλυφθησαν αἱ ἁμαρτιαι. *Ps. xxxi.* 1. και αφεθησεται αυτοις ἡ ἁμαρτια. *Lev. iv.* 20. *Esa. lv.* 7. δια το ονομα Κυριου το ἁγιον. *lx.* 9. ἑνεκα του ονοματος σου Κυριε, ἱλασῃ τῃ ἁμαρτιᾳ μου κ. τ. λ. *Ps. xxiv.* 11.

13 Γραφω ὑμιν, πατερες, ὁτι εγνωκατε τον απ᾽ αρχης. γραφω ὑμιν, νεανισκοι, ὁτι νενικηκατε τον πονηρον. γραφω ὑμιν, παιδια, ὁτι εγνωκατε τον πατερα.

Conf. cap. i. 1. εν τινι κατορθωσει νεωτερος την ὁδον αυτου, κ. τ. λ. *Ps. cxix.* 9. εκ στοματος νηπιων, κ. τ. λ. *viii.* 2. νεανισκοι και παρθενοι, πρεσβυται μετα νεωτερων. *cxlviii.* 12. *Prov. xx.* 29. *Joel. ii.* 28. *Zach. ix.* 17. νενικηκατε. *Ps. l.* 4. *Sap. iv.* 3.

14 Εγραψα ὑμιν, πατερες, ὁτι εγνωκατε τον απ᾽ αρχης. Εγραψα ὑμιν, νεανισκοι, ὁτι ισχυροι εστε, και ὁ λογος του Θεου εν ὑμιν μενει, και νενικηκατε τον πονηρον.

μεινητε εν τῳ λογῳ τῳ εμῳ. Joan. viii. 31. *εν τῃ καρδιᾳ μου εκρυψα τα λογια σου. Ps. cxviii.* 11. *εγω νενικηκα τον κοσμον. xvi.* 33. *ὑπερ δε παντα νικᾳ ἡ αληθεια.* 1 *Esd. iii.* 12. *Conf. Ephes. vi.* 10. 1 *Pet. v.* 9. *Cap. iv.* 2-4. *τον πονηρον. Conf. Matt. vi.* 13.

15 Μη αγαπατε τον κοσμον, μηδε τα εν τῳ κοσμῳ. εαν τις αγαπᾳ τον κοσμον, ουκ εστιν ἡ αγαπη του πατρος εν αυτῳ·

αγαπατε ματαιοτητα. Ps. iv. 2. *ὁ δε αγαπων αδικιαν μισει την ἑαυτου ψυχην. x.* 6. *ὁ κοσμος αυτον ουκ εγνω. Joan. i.* 10. *ουκ εσῃ μετα πλειονων επι κακιᾳ. Exod. xxiii.* 2. [*αμηχανον συνυπαρχειν την προς κοσμον αγαπην τῃ προς τον Θεον αγαπῃ. Philo. Frag.*] *μη πεποιθατε επ᾽ αρχοντας και εφ᾽ υἱους ανθρωπων, οἱς ουκ εστι σωτηρια. κ. τ. λ. Ps. cxlv.* 3, 4. *Mich. vii.* 5. *Conf. Matt. vi.* 24. *Rom. xii.* 2. *Gal. i.* 10. *Sir. xiii.* 15-20. *κενοδοξιᾳ γὰρ ανθρωπων εισηλθεν εις κοσμον, κ. τ. λ. Sap. xiv.* 14. *ει ἁμαρτωλῳ συ βοηθεις, η μισουμενῳ ὑπο Κυριου φιλιαζεις;* 2 *Par. xix.* 2.

16 Ὁτι παν το εν τῳ κοσμῳ, ἡ επιθυμια της σαρκος, και ἡ επιθυμια των οφθαλμων, και ἡ αλαζονεια του βιου, ουκ εστιν εκ του πατρος, αλλ᾽ εκ του κοσμου εστι.

επιθυμια σαρκος. Gal. v. 16. 24. *Ephes. ii.* 3. 2 *Pet. ii.* 18. *του βιου. Sap. x.* 8. *xiv.* 21. *xv.* 5. *Alex. Conf. Gen. vi.* 2. *πλουτος μετα αλαζονειας. Sap. v.* 8. *τα επιθυμηματα των οφθαλμων. Thren. ii.* 4. *Ezech. xxiv.* 16. 21. *Est. i.* 3-7. *ασεβης επιθυμει ὁλην την ἡμεραν επιθυμιας κακας. Prov. xxi.* 26. *ᾁδης και απωλεια ουκ εμπιμπλανται, ὡσαυτως και οἱ οφθαλμοι των ανθρωπων απληστοι. xxvii.* 20. [*ὁρασις μεθ᾽ ἡς γινεται επιθυμια. Test. XII Patr. p.* 522.] *διαθηκην εθεμην τοις οφθαλμοις μου, και ου συνησω επι παρθενον. Job. xxxi.* 1. *Eccles. iv.* 8. *Sap. ii.* 12.

17 Και ὁ κοσμος παραγεται, και ἡ επιθυμια αυτου· ὁ δε ποιων το θελημα του Θεου μενει εις τον αιωνα.

εξηρανθη ὁ χορτος, και το ανθος εξεπεσε, το δε ῥημα του Θεου ἡμων μενει εις τον αιωνα. Esa. xl. 8. *Ps. lxxxviii.* 36. *cxi.* 3. *Prov. xix.* 21. *Conf.* 1 *Pet. i.* 24. *διδαξον με του ποιειν το θελημα σου. Ps. cxlii.* 10. *Jac. i.* 10. *ανθρωπος ματαιοτητι ὡμοιωθη, αἱ ἡμεραι αυτου ὡσει σκια παραγουσι. Ps. cxliii.* 4. *τα ετη ἡμων ὡς αραχνη εμελετουν. lxxxix.* 9. *Conf.* 1 *Cor. vii.* 31.

18 Παιδια, εσχατη ὡρα εστι· και καθως ηκουσατε ὁτι ὁ αντιχριστος ερχεται, και νυν αντιχριστοι πολλοι γεγονασιν· ὁθεν γινωσκομεν ὁτι εσχατη ὡρα εστιν.

εσται εν ταις εσχαταις ἡμεραις. *Esa. ii.* 2. Κυριε, τι τα εσχατα τουτων. *Dan. xii.* 8. 2 *Thess. ii.* 3-5. ὡρα. *Lev. xvi.* 2. *Matt. xxiv.* 5. *Act. xx.* 29. 2 *Joan.* 7. παιδια. *Esa. viii.* 18.

19 Εξ ἡμων εξηλθον, αλλ᾽ ουκ ησαν εξ ἡμων· ει γαρ ησαν εξ ἡμων, μεμενηκεισαν αν μεθ᾽ ἡμων· αλλ᾽ ἱνα φανερωθωσιν ὁτι ουκ εισι παντες εξ ἡμων·

εξηλθοσαν ανδρες παρανομοι εξ ὑμων. *Deut. xiii.* 13. *Conf. Ps. xl.* 9. δει γαρ και αἱρεσεις εν ὑμιν ειναι, ἱνα οἱ δοκιμοι φανεροι γενωνται εν ὑμιν. 1 *Cor. xi.* 19. *Act. xx.* 30. και τον φοβον μου δωσω εις την καρδιαν αυτων· προς το μη αποστηναι αυτους απ᾽ εμου. *Jer. xxxix.* 40. *Dan. ii.* 43. *LXX.*

20 Και ὑμεις χρισμα εχετε απο του Ἁγιου, και οιδατε παντα.

ὁ ἁγιος του Θεου. *Marc. i.* 24. ὁτι το ἁγιον ελαιον το χριστον του Θεου. *Lev. xxi.* 12. *Deut. xxxiv.* 9. και ποιησεις αυτο το ελαιον χρισμα ἁγιον—ελαιον χρισμα ἁγιον εσται. *Exod. xxx.* 35. *Conf. Joan. xiv.* 26. *xvi.* 13. *Ps. cxxxiii.* 2. *Exod. xxix.* 7. *xxx.* 25. *Heb. i.* 9. ὁ Θεος εκ Θαιμαν ἡξει, και ὁ Ἁγιος εξ ορους κ. τ. λ. *Hab. iii.* 3. *Ose. xi.* 9. ουδε δωσεις τον Ὁσιον σου ιδειν διαφθοραν. *Ps. xv.* 10. ὁτι εγω Κυριος ὁ Θεος σου ὁ Αγιος Ισραηλ, κ. τ. λ. *Esa. xliii.* 3. *lxi.* 1. *Luc. iv.* 34. *Act. iii.* 14.

21 Ουκ εγραψα ὑμιν, ὁτι ουκ οιδατε την αληθειαν, αλλ᾽ ὁτι οιδατε αυτην, και ὁτι παν ψευδος εκ της αληθειας ουκ εστι.

και γνωσεσθε την αληθειαν, και ἡ αληθεια ελευθερωσει ὑμας. *Joan. viii.* 32. ελεγχε σοφον, και αγαπησει σε. *Prov. ix.* 9.

22 Τις εστιν ὁ ψευστης, ει μη ὁ αρνουμενος ὁτι Ιησους ουκ εστιν ὁ Χριστος; οὑτος εστιν ὁ αντιχριστος, ὁ αρνουμενος τον πατερα και τον υἱον.

Conf. cap. iv. 3. 2 *Joan.* 7. ψευδος, και ου πιστις ενισχυσεν επι της γης. *Jer. ix.* 3. ιδοντες ὁν παλαι ηρνουντο ειδεναι, Θεον επιγνωσαν αληθη. *Sap. xii.* 27. [μη θαυμασης δε, ὁτι τοις εναντιοις ὁ Θεος, και ὁ αντιθεος νους ευφραινεται Φαραω. *Philo de Somn. p.* 1133.] *Conf.* 2 *Thess. ii.* 4. υἱοι, οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. *Conf. Ose. vii.* 13.

23 Πας ὁ αρνουμενος τον υἱον, ουδε τον πατερα εχει.

την ὁδον εχειν. *Job. xvii.* 9. *Conf. Luc. xii.* 9. *Joan. xv.* 24. 2 *Tim. ii.* 12. [εχοντες τον Θεον της ειρηνης. *Test. XII Patr. p.* 652.]

24 Ὑμεις ουν, ὁ ηκουσατε απ᾽ αρχης, εν ὑμιν μενετω. εαν εν

ὑμιν μεινῃ ὁ απ᾽ αρχης ηκουσατε, και ὑμεις εν τῳ υἱῳ και εν πατρι μενειτε.

ὁ μενων εν εμοι, καγω εν αυτῳ, οὑτος φερει καρπον πολυν. *Joan.* xv. 5. *Conf. Matt.* xxviii. 20. 2 *Joan.* 6. εν τῃ καρδιᾳ μου εκρυψα τα λογια σου, ὁπως αν μη ἁμαρτω σοι. *Ps.* cxviii. 11. τους μεμνηκοτας εν τῳ Ιουδαϊσμῳ. 2 *Mac.* viii. 1.

25 Και αὑτη εστιν ἡ επαγγελια, ἡν αυτος επηγγειλατο ἡμιν, την ζωην την αιωνιον.

αὑτη δε εστιν ἡ αιωνιος ζωη, ἱνα γινωσκωσι σε τον μονον αληθινον Θεον, και ὁν απεστειλας Ιησουν Χριστον. *Joan.* xvii. 3. και αὑτη εστιν ἡ απαρχη, ἡν ληψεσθε. *Exod.* xxv. 2. οὑτοι εις ζωην αιωνιον. *Dan.* xii. 2. *Sap.* v. 15.

26 Ταυτα εγραψα ὑμιν περι των πλανωντων ὑμας.

οἱ μακαριζοντες ὑμας, πλανωσιν ὑμας. *Esa.* iii. 12. ἡ ὁδος των ασεβων πλανησει αυτους. *Prov.* xii. 26. *Conf. inf.* iii. 7. iv. 6.

27 Και ὑμεις το χρισμα ὁ ελαβετε απ᾽ αυτου, εν ὑμιν μενει, και ου χρειαν εχετε ἱνα τις διδασκῃ ὑμας· αλλ᾽ ὡς το αυτο χρισμα διδασκει ὑμας περι παντων, και αληθες εστι, και ουκ εστι ψευδος· και καθως εδιδαξεν ὑμας, μενειτε εν αυτῳ.

ὁ δε βεβαιων ἡμας συν ὑμιν εις Χριστον, και χρισας ἡμας, Θεος. 2 *Cor.* i. 21. το χρισμα. (*ad vos vero quod spectat, unguentum quod a Deo accepistis in vobis manet. Bos.*) = και εσται ὁ ανθρωπος ὁν αν εκλεξωμαι αυτον, ἡ ῥαβδος αυτου εκβλαστησει. *Num.* xvii. 5. μη ἁψησθε των χριστων μου. *Ps.* civ. 15. ου χρειαν εχεις ἱνα τις σε ερωτᾳ. *Joan.* xvi. 30. απολεις παντας τους λαλουντας το ψευδος. *Ps.* v. 6. ὁ πεμψει ὁ Πατηρ εν τῳ ονοματι μου, εκεινος ὑμας διδαξει παντα. *Joan.* xiv. 26. xvi. 13. ελιπανας εν ελαιῳ την κεφαλην μου. *Ps.* xxii. 5. *Exod.* xl. 15. *Lev.* x. 7. *Dan.* ix. 24. και εδιδασκον εν Ιουδα, και μετ᾽ αυτων βιβλος νομου Κυριου—και εδιδασκον τον λαον. 2 *Par.* xviii. 9. διδους δωσω νομον μου εις την διανοιαν αυτων κ. τ. λ. *Jer.* xxxi. 33.

28 Και νυν, τεκνια, μενετε εν αυτῳ· ἱνα ὁταν φανερωθῃ, εχωμεν παῤῥησιαν, και μη αισχυνθωμεν απ᾽ αυτου, εν τῃ παρουσιᾳ αυτου.

ασεβης δε αισχυνεται και ουχ ἑξει παῤῥησιαν. *Prov.* xiii. 5. εν τῃ παρουσιᾳ αυτου. 1 *Cor.* xv. 23. 1 *Thess.* ii. 19. [ἑως παρουσιας του Θεου της δικαιοσυνης. *Test. XII Patr. p.* 614.] και ουκ αισχυνθησονται οἱ ὑπομενοντες με. *Esa.* xlix. 23. ὁτι τοτε αισχυν-

θησῃ και ατιμωθησῃ απο παντων των φιλουντων σε. Jer. xxii. 22. και νυν συνητε. Ps. ii. 10. Esa. i. 18. [*βλεπων δε ουτος ὁ Ιησους την τε στρατιαν καταπεπληγυιαν, και περι των ὁλων πονηραν ηδη την ελπιδα λαμβανουσαν, παρῥησιαν λαμβανει προς τον Θεον. Jos. Ant. v. 1. 13.*] *Conf. Marc. viii. 38. infra iii. 2.*

29 Εαν ειδητε ὁτι δικαιος εστι, γινωσκετε ὁτι πας ὁ ποιων την δικαιοσυνην εξ αυτου γεγεννηται.

δικαιος. Conf. sup. 1. μακαριοι οἱ ποιουντες δικαιοσυνην. Ps. cv. 3. Ezech. xxxiii. 16. ιδου ερχεται σοι δικαιος και σωζων. Zach. ix. 9. υἱους εγεννησα. Esa. i. 2. εκ Θεου εγεννηθησαν. Joan. i. 13. iii. 3-8. Cap. iii. 7. 10. ἁγιοι εσεσθε, ὁτι ἁγιος εγω Κυριος ὁ Θεος ὑμων. Lev. xix. 2. ὁτι ευθειαι αἱ ὁδοι του Κυριου, και δικαιοι πορευσονται εν αυταις, οἱ δε ασεβεις ασθενησουσιν εν αυταις. Ose. xiv. 10. Θεον τον γεννησαντα σε. Deut. xxxii. 18.

ΚΕΦ. γ. 3.

ΙΔΕΤΕ, ποταπην αγαπην δεδωκεν ἡμιν ὁ πατηρ, ἱνα τεκνα Θεου κληθωμεν. δια τουτο ὁ κοσμος ου γινωσκει ἡμας, ὁτι ουκ εγνω αυτον.

Ιδετε. *Esa. xliv. 20.* [*ποταποι τινες εισι. Jos. c. Ap. i. 28. Bretschn.*] *αγαπησιν αιωνιον ηγαπησα σε. Jer. xxxviii. 3. ὁτι ταξω σε εις τεκνα—και ειπα, Πατερα καλεσετε με. iii. 19. ὡς πολυ το πληθος της χρηστοτητος σου Κυριε, ἡν εκρυψας τοις φοβουμενοις σε κ. τ. λ. Ps. xxx. 19. xxxv. 7-9. lxxxviii. 1, 2. κληθησονται και αυτοι υἱοι Θεου ζωντος. Ose. i. 10. Deut. xiv. 1. και ὁ κοσμος αυτον ουκ εγνω. Joan. i. 10. ὁτι γινωσκει Κυριος ὁδον δικαιων. Ps. i. 6. cxliii. 3. Conf. 2 Reg. vii. 19. Esa. lvi. 5. lxi. 9. Gal. iv. 6. Matt. v. 9, 45. συ γαρ ει Θεος, και ουκ ῃδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. Esa. xlv. 15. πως κατελογισθη εν υἱοις Θεου, και εν ἁγιοις ὁ κληρος αυτου εστι. Sap. iv. 5. Mal. iii. 17.*

2 Αγαπητοι, νυν τεκνα Θεου εσμεν, και ουπω εφανερωθη τι εσομεθα· οιδαμεν δε ὁτι εαν φανερωθῃ, ὁμοιοι αυτῳ εσομεθα, ὁτι οψομεθα αυτον καθως εστι.

και φανερωσω αυτοις. Jer. xl. 6. τις ὑπομενει ἡμεραν εισοδου αυτου; Mal. iii. 2. εσομαι ὁμοιος τῳ Ὑψιστῳ. Esa. xiv. 14. ὁμοιος μοι, ὁμοιος σοι. 4 Reg. iii. 7. εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου, χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. Ps. xvi. 15. xli. 2. ἑως ελθῃ ἡ ἁγια φυσις μου. Job. xiv. 14. Sym. Conf. Esa. lvi. 5. Sap. iii. 5. vi. 19. Matt. v. 8.

οψονται, ἡνικα αν ελεηση Κυριος τον Σιων. *lii.* 8. τις μεγαλυνει αυτον καθως εστι; *Sir. xliii.* 31. ἑτοιμαζου εις καταντησιν Θεου σου. *Amos. iv.* 12. *Theod.* τι εσομεθα = *Ps. viii.* 4. τι εστιν ανθρωπος. *Conf. Sap. iii.* 5.

3 Και πας ὁ εχων την ελπιδα ταυτην επ᾽ αυτῳ, ἁγνιζει ἑαυτον, καθως εκεινος ἁγνος εστι.

σου δε ὁ αυτος ει. *Ps. ci.* 27. ἡ ελπις αυτων αθανασιας πληρης. *Sap. iii.* 4. και εν αυτῳ εχει την ελπιδα. *Deut. xxiv.* 15. *Jer. xvii.* 5. *Conf. Gen. i.* 26. τις καυχησεται ἁγνην εχειν την καρδιαν; *Prov. xx.* 9. ἁγιοι εσεσθε, ὁτι ἁγιος εγω. *Lev. xix.* 2. ἁγνισον αυτους εις ἡμεραν σφαγης. *Jer. xii.* 3. *Ps. xi.* 6. οἱ ἁγνιζομενοι και καθαριζομενοι. *Esa. lxvi.* 17. ὁ φοβος Κυριου ἁγνος. *Ps. xviii.* 9. τῳ ὑδατι του ἁγνισμου ἁγνισθησεται. *Num. xxxi.* 23. νομος ἁγνειας. *Num. vi.* 2, 3. 21. οιδα γαρ ὁτι αενναος εστιν ὁ εκλυειν με μελλων—ἁ εγω εμαυτῳ συνεπισταμαι, ἁ ὁ οφθαλμος μου ἑωρακε, κ. τ. λ. *Job. xix.* 25-27. *Conf. Heb. vii.* 26. *xii.* 14. *Luc. vi.* 36.

4 Πας ὁ ποιων την ἁμαρτιαν, και την ανομιαν ποιει· και ἡ ἁμαρτια εστιν ἡ ανομια.

ὁ ποιων την ἁμαρτιαν. *Joan. viii.* 34. οἱ ποιουντες την ανομιαν. *Matt. xiii.* 41. τους εργαζομενους την αδικιαν. *Ps. c.* 8. *Conf. Num. xv.* 31. ἡμαρτομεν, ηδικησομεν, ηνομησαμεν. 3 *Reg. viii.* 47. 1 *Par. x.* 13. και (*i.e.* γαρ.) *Conf. Ps. cvii.* 12. *Mich. vii.* 10. [*Hoogev. p.* 385.] *Cap. v.* 17. *Jos. vii.* 11. *Esa. viii.* 20.

5 Και οιδατε ὁτι εκεινος εφανερωθη, ἱνα τας ἁμαρτιας ἡμων αρῃ. και ἁμαρτια εν αυτῳ ουκ εστι.

και νυν αρον δη το ἁμαρτημα μου. 1 *Reg. xv.* 25. επιστρεψουσι και καθιουνται ὑπο την σκεπην αυτου, κ. τ. λ. *Ose. xiv.* 8. *Conf. Esa. liii.* 4-9. 2 *Cor. v.* 21. 1 *Tim. i.* 15. 1 *Pet. ii.* 22.

6 Πας ὁ εν αυτῳ μενων, ουχ ἁμαρτανει. πας ὁ ἁμαρτανων, ουχ ἑωρακεν αυτον, ουδε εγνωκεν αυτον.

μεινατε εν εμοι. *Joan. xv.* 4. τις ἑωρακεν αυτον, και εκδιηγησεται; κ. τ. λ. *Sir. xliii.* 31. και ουκ εγνωκατε αυτον. *viii.* 55. *Conf. cap. ii.* 4. 3 *Joan.* 11. *Joan. xiv.* 9. ουκ εγνωσαν, ουκ εκριναν κρισιν ταπεινῳ—ου τουτο εστι το μη γνωναι σε εμε; λεγει Κυριος. *Jer. xxii.* 16. *Sap. xiii.* 1. *xv.* 2. *Mich. vi.* 8.

7 Τεκνια, μηδεις πλανατω ὑμας· ὁ ποιων την δικαιοσυνην, δικαιος εστι, καθως εκεινος δικαιος εστιν.

τεκνια μου. *Joan. xiii.* 33. μη τις ὑμας πλανηση. *Matt. xxiv.* 4. μη απατατω ὑμας. 2 *Par. xxxii.* 15. *Conf. cap. ii.* 29. *iii.* 10. 2 *Joan.* 7, 8. ηγαπησας δικαιοσυνην, και εμισησας ανομιαν, κ.τ.λ. *Ps. xliv.* 7. μακαριοι οἱ φυλασσοντες κρισιν, και ποιουντες δικαιοσυνην εν παντι καιρῳ. *cv.* 3. *Ezech. xviii.* 5. 9.

8 Ὁ ποιων την ἁμαρτιαν, εκ του διαβολου εστιν· ὁτι απ' αρχης ὁ διαβολος ἁμαρτανει. εις τουτο εφανερωθη ὁ υἱος του Θεου, ἱνα λυσῃ τα εργα του διαβολου.

και ελυσαν τα τειχη Ἱερουσαλημ. 1 *Esd. i.* 55. λυσατε τον ναον τουτον. *Joan. ii.* 19. εκεινος (διαβολος) ανθρωποκτονος ην απ' αρχης. *viii.* 44. εν τῃ ἡμερᾳ εκεινῃ επαξει ὁ Θεος την μαχαιραν την ἁγιαν—επι τον δρακοντα οφιν φευγοντα—ανελει τον δρακοντα. *Esa. xxvii.* 1. *Conf. Gen. iii.* 15. *Matt. xiii.* 48. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον, κ. τ. λ. *Sap. ii.* 24. υἱους εγεννησα και ὑψωσα, αυτοι δε με ηθετησαν. *Esa. i.* 2. [ὁτι εν ἡμερᾳ ᾑ πιστευσει Ισραηλ, συντελεσθησεται ἡ βασιλεια του εχθρου. *Test. XII Patr. p.* 657.] *Conf. Jer. xl.* 6-9. *Esa. xxvii.* 1.

9 Πας ὁ γεγεννημενος εκ του Θεου ἁμαρτιαν ου ποιει, ὁτι σπερμα αυτου εν αυτῳ μενει· και ου δυναται ἁμαρτανειν, ὁτι εκ του Θεου γεγεννηται.

πας ὁ γεγεννημενος εκ του Πνευματος. *Joan. iii.* 8. *Conf. Num. xi.* 12. υἱους εγεννησα. *Esa. i.* 2. ουκ εκ σπορας φθαρτης, αλλα αφθαρτου. 1 *Pet. i.* 23. και ῥιζαν λογου εὑρησομεν εν αυτῳ. *Job. xix.* 28. ου δυναται ἁμαρτανειν. *Conf. Matt. xii.* 34. *Luc. xi.* 7. *Joan. vi.* 60. *Jer. xiii.* 23. *Gen. xxxvii.* 4. Θεον τον γεννησαντα σε εγκαταλιπες. *Deut. xxxii.* 18. και ει πατηρ ειμι εγω, που εστιν ἡ δοξα μου; κ. τ. λ. *Mal. i.* 6. *Cap. v.* 18. *Jac. i.* 18. εἱλου γαρ μου την ψυχην, ἱνα μη αποληται, και απερριψας οπισω μου πασας τας ἁμαρτιας. *Esa. xxxviii.* 17. Του Θεου ειμι. *xliv.* 5. *Conf. Gen. xxxix.* 9.

10 Εν τουτῳ φανερα εστι τα τεκνα του Θεου και τα τεκνα του διαβολου· πας ὁ μη ποιων δικαιοσυνην, ουκ εστιν εκ του Θεου, και ὁ μη αγαπων τον αδελφον αὑτου.

ὑμεις εκ πατρος του διαβολου εστε. *Joan. viii.* 44. εν τουτῳ γνωσομαι ὁτι. *Gen. xlii.* 33. τοτε φανεροι εσονται κ. τ. λ. *Esa. viii.* 16. και ανομησωσιν ανομοι, και ου συνησουσι παντες ανομοι, και (*sed*) οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. ὁ ων εκ του Θεου τα ῥηματα του Θεου ακουει, κ. τ. λ. *Joan. viii.* 47. δευτε τεκνα—φοβον Κυριου διδαξω ὑμας. *Ps. xxxiii.* 11. τα τεκνα αδικιας. *Ose. x.* 9.

—πορνειας. *ii.* 4. και ουκ εστιν αυτοις σκανδαλον. *Ps. cxviii.* 165. *Conf. Mal. iii.* 18. *Sap. vi.* 18. *Sir. ii.* 15.

11 Ὁτι αὑτη εστιν ἡ αγγελια ἡν ηκουσατε απ' αρχης, ἱνα αγαπωμεν αλληλους·

ταυτα εντελλομαι ὑμιν, ἱνα αγαπατε αλληλους. *Joan. xv.* 17. *xiii.* 34. *Conf. cap. i.* 5. *ii.* 7. *iii.* 23. 2 *Joan.* 5. και αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Lev. xix.* 18. *Sap. iii.* 9.

12 Ου καθως Καϊν εκ του πονηρου ην, και εσφαξε τον αδελφον αὑτου· και χαριν τινος εσφαξεν αυτον; ὁτι τα εργα αυτου πονηρα ην, τα δε του αδελφου αυτου δικαια.

σφαξαι τον υἱον αυτου. *Gen. xxii.* 10. *Ps. xxxvi.* 14. ῥυσαι ἡμας απο του πονηρου. *Matt. vi.* 13. τουτων χαριν. *Sir. xxxiv.* 12. ὁτι τα εργα αυτου πονηρα εστι. *Joan. vii.* 7. [Καϊν δε τατε αλλα πονηροτατος ην, κ. τ. λ. *Jos. Ant. i.* 2. 1. *Philo de Sacrif. Abel. et Cain. pass.*] *Conf. Gen. iv.* 8-15. *Heb. xi.* 4. *Juda.* 11. *Ps. xxxvii.* 12.

13 Μη θαυμαζετε, αδελφοι μου, ει μισει ὑμας ὁ κοσμος.

ει ὁ κοσμος ὑμας μισει, γινωσκετε ὁτι εμε πρωτον ὑμων μεμισηκε. *Joan. xv.* 18. *xvii.* 14. *Conf. Sap. ii.* 12. *Cap. ii.* 22. 1 *Cor. ii.* 12. *Rom. xii.* 2. *Jac. iv.* 4. βδελυγμα δικαιος ανηρ ανδρι αδικῳ, βδελυγμα δε ανομῳ κατευθυνουσα ὁδος. *Prov. xxix.* 27. *Sir. i.* 24. εχθραν θησω ανα μεσον σου και ανα μεσον της γυναικος κ. τ. λ. *Gen. iii.* 15. *Esa. iii.* 10. *Sap. ii.* 12.

14 Ἡμεις οιδαμεν ὁτι μεταβεβηκαμεν εκ του θανατου εις την ζωην, ὁτι αγαπωμεν τους αδελφους· ὁ μη αγαπων τον αδελφον, μενει εν τῳ θανατῳ.

οιδαμεν ὁτι απο Θεου εληλυθας. *Joan. iii.* 2. ἡμεις οιδαμεν ὁτι. *ix.* 24. μεταβεβηκαμεν. *xiii.* 1. οἱ μισουντες με αγαπωσι θανατον. *Prov. viii.* 36. μεταβεβηκεναι εις αλλοφυλισμον. 2 *Mac. vi.* 24. ου θελω τον θανατον του αποθνησκοντος. *Ezech. xviii.* 32. εἱλοντο τον θανατον η την ζωην. *Jer. viii.* 3. *Lev. xix.* 17. *Cap. ii.* 9-11. μετοχος εγω ειμι παντων των φοβουμενων σε κ. τ. λ. *Ps. cxviii.* 63. μη ζηλουτε θανατον κ. τ. λ. *Sap. i.* 12.

15 Πας ὁ μισων τον αδελφον αὑτου, ανθρωποκτονος εστι· και οιδατε ὁτι πας ανθρωποκτονος ουκ εχει ζωην αιωνιον εν αὑτῳ μενουσαν.

ανθρωποκτονος. *Joan. viii.* 44. *Conf. Matt. v.* 21. *Gal. v.* 21. *Sap. ii.* 23, 24. *Sir. xxviii.* 3-6. [το γαρ μισος συνεργει τῳ φονῳ κ. τ. λ. *Test. XII Patr. p.* 679.] ανηρ πλανωμενος εξ ὁδου δικαιοσυνης εν

συναγωγῃ γιγαντων (θεομαχων. Sym.) αναπαυσεται. Prov. xxi. 16. ειπε δε Ἡσαυ εν τῃ διανοιᾳ αυτου, εγγισατωσαν αἱ ἡμεραι— ἱνα αποκτεινω Ιακωβ τον αδελφον μου. Gen. xxvii. 41. Prov. xxvi. 24. Conf. Marc. x. 17. Rom. ii. 7.

16 Εν τουτῳ εγνωκαμεν την αγαπην, ὁτι εκεινος ὑπερ ἡμων την ψυχην αὑτου εθηκε· και ἡμεις οφειλομεν ὑπερ των αδελφων τας ψυχας τιθεναι.

εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. Sir. xxix. 15. 4 Mac. 6. αυτος δε ετραυματισθη δια τας ἁμαρτιας ἡμων, κ. τ. λ. Esa. liii. 5-12. Conf. Joan. x. 11. 15. xv. 13. αδελφοι εν αναγκαις χρησιμοι εστωσαν, κ. τ. λ. Prov. xvii. 17. ἱνα αγαπατε αλληλους, καθως ηγαπησα ὑμας. Joan. xiii. 34. Conf. Rom. v. 8. Ephes. v. 2. 25. 1 Thess. v. 10. Cap. iv. 9. 2 Mac. vii. 29-36.

17 Ὁς δ' αν εχῃ τον βιον του κοσμου, και θεωρῃ τον αδελφον αὑτου χρειαν εχοντα, και κλεισῃ τα σπλαγχνα αὑτου απ' αυτου, πως ἡ αγαπη του Θεου μενει εν αυτῳ;

συναγει δε αὑτη τον βιον. Prov. xxxi. 14. Sir. xxix. 22. χρειαν εχει. Marc. ii. 25. τα δε σπλαγχνα των ασεβων ανελεημονα. Prov. xii. 10. Sir. xxx. 7. xxxvi. 5. δανειζει Θεῳ ὁ ελεων πτωχον, κ. τ. λ. Prov. xix. 17. Conf. Deut. xv. 7. Luc. iii. 11. Jac. ii. 15. Cap. iv. 20. ευφρανθητι Ἱερουσαλημ, και πανηγυρισατε εν αυτῃ παντες οἱ αγαπωντες αυτην, χαρητε ἁμα αυτῃ χαρᾳ, κ. τ. λ. Esa. lxvi. 10. Conf. Gen. xliii. 30. Ox.

18 Τεκνια μου, μη αγαπωμεν λογῳ μηδε γλωσσῃ, αλλ' εργῳ και αληθειᾳ·

εν αληθειᾳ. Sir. vii. 20. Conf. Jac. ii. 15. Rom. xii. 9. 1 Pet. i. 22. οἱ αγαπωντες τον Κυριον, μισειτε πονηρον. Ps. xcvi. 10. και ακουουσι τα ῥηματα σου, και αυτα ου μη ποιησουσιν, ὁτι ψευδος εν τῳ στοματι αυτων. Ezech. xxxiii. 31. Ose. vi. 7. Tob. iv. 16. Esa. xxix. 13.

19 Και εν τουτῳ γινωσκομεν ὁτι εκ της αληθειας εσμεν, και εμπροσθεν αυτου πεισομεν τας καρδιας ἡμων·

πας ὁ ων εκ της αληθειας. Joan. xviii. 37. εν τουτῳ δε επεισας τους εχθρους ἡμων, ὁτι συ ει ὁ ῥυομενος εκ παντος κακου. Sap. xvi. 8. ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. Job. xxvii. 6. εμπροσθεν αυτου. Esa. xlv. 1. δικαιον εναντιον μου. Gen. vii. 1. εμπροσθεν Αβεννηρ. 3 Reg. iii. 31. Ald. Comp.

20 Ὁτι εαν καταγινωσκῃ ἡμων ἡ καρδια, ὁτι μειζων εστιν ὁ Θεος της καρδιας ἡμων, και γινωσκει παντα.

ὁ ευφραινομενος καρδια καταγνωσθησεται. *Sir. xix.* 5. μακαριος οὑ ου κατεγνω ἡ ψυχη αυτου. *xiv.* 2. *Job. xi.* 14. ειπον τη ψυχη μου, Σωτηρια σου εγω ειμι. *Ps. xxxiv.* 3. πως γαρ λεγεις, Δικαιος ειμι, κ. τ. λ. *xxxiii.* 12. κατα την καρδιαν σου εποιησας (*conscientia.*) 2 *Reg. vii.* 21. *Conf. Ps. xxxi.* 3-5. *xxxvii.* 4.

21 Αγαπητοι, εαν ἡ καρδια ἡμων μη καταγινωσκη ἡμων, παρρησιαν εχομεν προς τον Θεον,

ασεβης δε αισχυνεται, και ουχ ἑξει παρρησιαν. *Prov. xiii.* 5. *Conf. Sap. ii.* 22. *v.* 1. ειτα παρρησιασθηση εναντιον Κυριου, αναβλεψας εις τον ουρανον ἱλαρως. *Job. xxii.* 26. *Conf. Act. i.* 14. *Conf. Ps. xxxvi.* 4. και επορευομην εν πλατυσμω, κ. τ. λ. *cxviii.* 45.

22 Και ὁ εαν αιτωμεν, λαμβανομεν παρ᾽ αυτου, ὁτι τας εντολας αυτου τηρουμεν, και τα αρεστα ενωπιον αυτου ποιουμεν.

και ὁ, τι αν αιτησητε εν τω ονοματι μου, τουτο ποιησω. *Joan. xiv.* 13, 14. αιτειτε, και ληψεσθε. *xvi.* 24. την επιθυμιαν των πενητων εισηκουσε Κυριος. *Ps. ix.* 17. αιτησαι παρ᾽ εμου, και δωσω. *Ps. ii.* 8. *Zach. x.* 1. και γαρ τουτο εστι τηρησις εντολων. *Sir. xxxii.* 23. εποιησε γαρ Εζεκιας το αρεστον Κυριω. *xlviii.* 22. *Esd. x.* 11. *Conf. Ps. x.* 8. *xxxiii.* 16. *Prov. xv.* 29. και προσευξασθε προς με, και εισακουσομαι ὑμων, κ. τ. λ. *Jer. xxxvi.* 12, 13. ενωπιον αυτου. *Ps. xxi.* 29.

23 Και αὑτη εστιν ἡ εντολη αυτου, ἱνα πιστευσωμεν τω ονοματι του υἱου αυτου Ιησου Χριστου, και αγαπωμεν αλληλους, καθως εδωκεν εντολην ἡμιν.

τουτο εστι το εργον του Θεου, ἱνα πιστευσητε εις ὁν απεστειλεν εκεινος. *Joan. vi.* 29. *xvii.* 3. ταυτα εντελλομαι ὑμιν, ἱνα αγαπατε αλληλους. *xv.* 17. *xiii.* 34. *Conf. Deut. xviii.* 15. *Matt. xxii.* 39. *Ephes. v.* 2. 1 *Thess. iv.* 9. 1 *Pet. iv.* 8. ου μισησεις τον αδελφον σου τη διανοια σου. κ. τ. λ. *Lev. xix.* 17. εμνησθην ελεους νεοτητος σου, και αγαπης τελειωσεως σου. *Jer. ii.* 2. επι τω ονοματι αυτου εθνη ελπιουσι. *Esa. xlii.* 4.

24 Και ὁ τηρων τας εντολας αυτου εν αυτω μενει, και αυτος εν αυτω. και εν τουτω γινωσκομεν ὁτι μενει εν ἡμιν, εκ του Πνευματος οὑ ἡμιν εδωκεν.

ὁ εχων τας εντολας μου, και τηρων αυτας. *Joan. xiv.* 21. *xv.* 10. ὁ μενων εν εμοι, καγω εν αυτω, οὑτος φερει καρπον πολυν. *xv.* 5. και ὁ πατηρ μου αγαπησει αυτον, και προς αυτον ελευσομεθα. *xiv.* 23. *xvii.* 20. *Rom. viii.* 9. λαβετε Πνευμα ἁγιον. *Joan. xx.*

22. ὁταν δῳ Κυριος το Πνευμα αυτου επ' αυτους. *Num. xi.* 29. *Cap. ii.* 20. *iv.* 13. δραξασθε παιδειας, κ. τ. λ. *Ps. ii.* 12. κατοικησουσιν εν αυτῃ, και αναθεμα ουκ εσται ετι, και κατοικησει Ἱερουσαλημ πεποιθοτως. *Zach. xiv.* 11. και το Πνευμα μου εφεστηκεν εν μεσῳ ὑμων· θαρσειτε. *Agg. ii.* 6. αυτος γαρ γινωσκει τα κρυφια της καρδιας. *Ps. xliii.* 21. *Conf. Joel. ii.* 27, 28.

22-24.] και,—και. *Conf.* 1 *Reg. xv.* 3. *etc. Esa. xi.* 15, 16.

ΚΕΦ. δ. 4.

ΑΓΑΠΗΤΟΙ, μη παντι πνευματι πιστευετε, αλλα δοκιμαζετε τα πνευματα, ει εκ του Θεου εστιν· ὁτι πολλοι ψευδοπροφηται εξεληλυθασιν εις τον κοσμον.

[φυλαξητε ἑαυτους απο του πνευματος του ψευδους. *Test. XII Patr. p.* 648.] μη παντι λογῳ πιστευε. *Sir. xix.* 15. μη αλλαξῃς σεαυτον πασῃ σαρκι. *xxx.* 20. μη ακουετε εις τα ενυπνια ὑμων. *Jer. xxxvi.* 8. και δοκιμω αυτους, ὡς δοκιμαζεται το χρυσιον. *Zach. xiii.* 9. πνευμα πλανησεως εν τῃ ερημῳ, κ. τ. λ. *Jer. iv.* 11. πολλοι γαρ ελευσονται επι τῳ ονοματι μου. *Matt. xxiv.* 5. *Conf.* 3 *Reg. xiii.* 12-14. 1 *Cor. xiv.* 29. *Ephes. v.* 6. *Col. ii.* 18. *Deut. xiii.* 1-5. *Jer. v.* 31. *Ezech. xiii.* 2, 3. οὑτως λεγει Κυριος—μη ακουετε τους λογους των προφητων, ὁτι ματαιουσι κ. τ. λ. *Jer. xxiii.* 16. ψευδοπροφηται. *vi.* 13. *xxxiii.* 7.

2 Εν τουτῳ γινωσκετε το Πνευμα του Θεου· παν πνευμα ὁ ὁμολογει Ιησουν Χριστον εν σαρκι εληλυθοτα, εκ του Θεου εστι.

Conf. 1 *Cor. xii.* 3. εν κοιλιᾳ μητρος εληφθη σαρξ. *Sap. vii.* 2. *Ald.* εν τουτῳ γνωσομαι. *Gen. xlii.* 23. *Conf. Matt. x.* 32. *Rom. x.* 9. *Cap. ii.* 22. ουτε ἁπλως Ιουδαιον ὁμολογειν ειναι. 2 *Mac. vi.* 6. *Joan. ix.* 22. *xii.* 42.

3 Και παν πνευμα ὁ μη ὁμολογει τον Ιησουν Χριστον εν σαρκι εληλυθοτα, εκ του Θεου ουκ εστι· και τουτο εστι το του αντιχριστου, ὁ ακηκοατε ὁτι ερχεται, και νυν εν τῳ κοσμῳ εστιν ηδη.

αντιχριστος. *Conf. cap. ii.* 22. ακηκοας λογον. *Sir. xix.* 10. πνευμα ψευδες. 3 *Reg. xxii.* 22. 2 *Par. xviii.* 21. [πας γαρ ὁς αν μη ὁμολογῃ Ιησουν Χριστον εν σαρκι εληλυθεναι, αντιχριστος εστι, και

ὁς μη ὁμολογησῃ το μαρτυριον του σταυρου, εκ του Διαβολου εστι. *Polycarp.*]

4 Ὑμεις εκ του Θεου εστε, τεκνια, και νενικηκατε αυτους· ὁτι μειζων εστιν ὁ εν ὑμιν, η ὁ εν τῳ κοσμῳ.

εγω νενικηκα τον κοσμον. *Joan. xvi.* 33. μειζω του Ιωαννου. *v.* 36. *xii.* 31. 1 *Cor. ii.* 12. ὁτι πλειους οἱ μεθ' ἡμων ὑπερ τους μετ' αυτων. 4 *Reg. vi.* 16. 2 *Par. xxxii.* 7.

5 Αυτοι εκ του κοσμου εισι· δια τουτο εκ του κοσμου λαλουσι, και ὁ κοσμος αυτων ακουει.

και ὁ κοσμος εμισησεν αυτους, ὁτι ουκ εισιν εκ του κοσμου. *Joan. xvii.* 14. *Conf. Joan iii.* 32. *xv.* 19. *Cap. iii.* 13. οἱ λεγοντες—μη λαλειτε ἡμιν, αλλ' ἡμιν λαλειτε και αναγγελλετε ἡμιν ἑτεραν πλανησιν, κ. τ. λ. *Esa. xxx.* 10, 11. *Sir. xiii.* 15-17.

6 Ἡμεις εκ του Θεου εσμεν· ὁ γινωσκων τον Θεον, ακουει ἡμων· ὁς ουκ εστιν εκ του Θεου, ουκ ακουει ἡμων. Εκ τουτου γινωσκομεν το πνευμα της αληθειας και το πνευμα της πλανης.

ὁ ων εκ του Θεου τα ῥηματα του Θεου ακουει· δια τουτο ὑμεις ουκ ακουετε, ὁτι εκ του Θεου ουκ εστε. *Joan. viii.* 47. το Πνευμα της αληθειας. *xiv.* 17. [Πνευμα πλανησεως. *Psalt. Sal. p.* 941.] ὁτι πεποτικεν ὑμας ὁ Κυριος πνευματι κατανυξεως, κ. τ. λ. *Esa. xxix.* 10. *Ose. iv.* 12. *Mich. ii.* 11. νομον γαρ εις βοηθειαν εδωκεν, ἱνα ειπωσιν κ. τ. λ. *Esa. viii.* 20. *Conf. Num. xvi.* 5.

7 Αγαπητοι, αγαπωμεν αλληλους· ὁτι ἡ αγαπη εκ του Θεου εστι, και πας ὁ αγαπων, εκ του Θεου γεγεννηται, και γινωσκει τον Θεον·

και περικαθαριει την καρδιαν σου—αγαπᾳν Κυριον τον Θεον σου εξ ὁλης της ψυχης σου, κ. τ. λ. *Deut. xxx.* 6. ἱνα ἡ αγαπη ἡν ηγαπησας με εν αυτοις ῃ, καγω εν αυτοις. *Joan. xvii.* 26. υἱους εγεννησα. *Esa. i.* 2. *Conf. Deut. xxxii.* 18.

8 Ὁ μη αγαπων, ουκ εγνω τον Θεον, ὁτι ὁ Θεος αγαπη εστιν.

Conf. cap. ii. 4. *iii.* 6. *iv.* 16. *Jer. ii.* 2. ὁτι συ Κυριε χρηστος και επιεικης, και πολυελεος πασι τοις επικαλουμενοις σε. *Ps. lxxxv.* 5. *Conf. Sir. xviii.* 13. *Sap. iii.* 9.

9 Εν τουτῳ εφανερωθη ἡ αγαπη του Θεου εν ἡμιν, ὁτι τον υἱον αὑτου τον μονογενη απεσταλκεν ὁ Θεος εις τον κοσμον, ἱνα ζησωμεν δι' αυτου.

και φανερωσω αυτοις, και ιατρευσω αυτην, και ποιησω ειρηνην και πιστιν. *Jer. xl.* 6. αγαπησιν αιωνιον ηγαπησα σε· διατουτο εἵλκυσα σε εις οικτειρημα. *xxxviii.* 3. *Conf. Joan. i.* 14. *iii.* 16. μονογενη. *Ps. xxi.* 20. *xxxiv.* 17. *Rom. v.* 8. *Cap. iii.* 16. υἱος μου ει συ. *Ps. ii.* 7. *Gen. xxii.* 2. ὁτι παρα σοι πηγη ζωης, κ. τ. λ. *Ps. xxxv.* 9. εν τῃ δικαιοσυνῃ ζησον με. *cxviii.* 40.

10 Εν τουτῳ εστιν ἡ αγαπη, ουχ ὁτι ἡμεις ηγαπησαμεν τον Θεον, αλλ᾽ ὁτι αυτος ηγαπησεν ἡμας, και απεστειλε τον υἱον αὑτου ἱλασμον περι των ἁμαρτιων ἡμων.

ιασομαι τας κατοικιας αυτων, αγαπησω αυτους ὁμολογως, κ.τ.λ. *Ose. xiv.* 5. ἱλασμος. *Conf. cap. ii.* 2. τις εξιλασεται τας ἁμαρτιας αυτου; *Sir. xxviii.* 5. εξετεινα αυτους εν δεσμοις αγαπησεως μου. *Ose. xi.* 4. και καινιει σε εν τῃ αγαπησει αυτου. *Sophon. iii.* 17. ὁτι παρα σοι ὁ ἱλασμος εστιν, ἑνεκεν του ονοματος σου. *Ps. cxxix.* 4. 2 *Mac. iii.* 33. και ἡ αν ἡμερᾳ—προσοισουσιν ἱλασμον, λεγει Κυριος. *Ezech. xliv.* 27. *xlv.* 17-19.

11 Αγαπητοι, ει οὑτως ὁ Θεος ηγαπησεν ἡμας, και ἡμεις οφειλομεν αλληλους αγαπᾳν. Θεον ουδεις πωποτε τεθεαται·

αὑτη εστιν ἡ εντολη ἡ εμη, ἱνα αγαπατε αλληλους, καθως ηγαπησα ὑμας. *Joan. xv.* 12, 13. ἑνεκα του οικου Κυριου του Θεου ἡμων εξεζητησα αγαθα σοι. *Ps. cxxi.* 8. *Esa. xxxi.* 9. *Joan. xv.* 12. και εγω σε ηγαπησα, και δωσω ανθρωπους ὑπερ σου, και αρχοντας ὑπερ της κεφαλης σου, κ. τ. λ. *Esa. xliii.* 4. και αγαπησεις τον πλησιον σου ὡς σεαυτον. Εγω ειμι Κυριος. *Lev. xix.* 18. ου δυνησῃ ιδειν το προσωπον μου. *Exod. xxxiii.* 20. *Deut. iv.* 12. *Joan. i.* 18. 1 *Tim. i.* 17.

12 Εαν αγαπωμεν αλληλους, ὁ Θεος εν ἡμιν μενει, και ἡ αγαπη αυτου τετελειωμενη εστιν εν ἡμιν.

αγαπησει αγαπωμεναι. *Prov. xxx.* 15. εν αγαπησει κεκοσμημενοι [κεκοιμημενοι. *Comp.*] *Sir. xlviii.* 11. *Sap. iv.* 13. *Conf. cap. ii.* 5. *iii.* 24. ἱνα ωσι τετελειωμενοι. *Joan. xvii.* 23. τις εδοκιμασθη εν αυτῳ και ετελειωθη; *Sir. xxxiv.* 10. αγαπη τελειωσεως σου. *Jer. ii.* 2. *Agg. ii.* 6.

13 Εν τουτῳ γινωσκομεν ὁτι εν αυτῳ μενομεν, και αυτος εν ἡμιν, ὁτι εκ του Πνευματος αὑτου δεδωκεν ἡμιν.

και το Πνευμα σου το αγαθον εδωκας συνετισαι αυτους. *Neh. ix.* 20. εν τουτῳ εγνων ὁτι, κ. τ. λ. *Ps. xl.* 11. *Conf. l.* 11. *Lev. xxvi.* 12. *Esa. xliv.* 3. *Sir. iv.* 14. και μενουσα εν αὑτῃ τα παντα και-

νιζει. *Sap. vii.* 27. *και πνευμα καινον δωσω αυτοις.* *Ezech. xi.* 19. *xviii.* 31. *xxxvi.* 26. *αλλα πνευμα εστιν εν βροτοις, πνοη δε παντοκρατορος εστιν ἡ διδασκουσα.* *Job. xxxii.* 8.

14 Και ἡμεις τεθεαμεθα και μαρτυρουμεν, ὁτι ὁ πατηρ απεσταλκε τον υἱον σωτηρα του κοσμου.

αυτοι γαρ ακηκοαμεν, και οιδαμεν ὁτι οὑτος εστιν αληθως ὁ Σωτηρ του κοσμου, ὁ Χριστος. *Joan. iv.* 42. *Conf. Joan. i.* 14. *Cap. i.* 1. *επιστευσα, διο ελαλησα.* *Ps. cxv.* 10. *εγω ὁ Θεος, και ουκ εστι παρεξ εμου σωζων.* *Esa. xliii.* 11. *και σωζων ουκ εστι παρεξ εμου.* *Ose. xiii.* 4.

15 Ὁς αν ὁμολογηση ὁτι Ιησους εστιν ὁ υἱος του Θεου, ὁ Θεος εν αυτῳ μενει, και αυτος εν τῳ Θεῳ.

Conf. Joan. i. 20. *Rom. x.* 9. *Ps. ii.* 8. *cix.* 1. *κ. τ. λ.*

16 Και ἡμεις εγνωκαμεν και πεπιστευκαμεν την αγαπην, ἡν εχει ὁ Θεος εν ἡμιν. ὁ Θεος αγαπη εστι, και ὁ μενων εν τῃ αγαπῃ, εν τῳ Θεῳ μενει, και ὁ Θεος εν αυτῳ.

και εστιν ασεβης μενων εν κακιᾳ αυτου. *Eccles. vii.* 16. *και ενεμεινατε τῃ φιλιᾳ ἡμων.* 1 *Mac. x.* 26. *ὑψιστος εν ἁγιοις αναπαυομενος, κ. τ. λ.* *Esa. lvii.* 15, 16. *Gen. xli.* 38.

17 Εν τουτῳ τετελειωται ἡ αγαπη μεθ' ἡμων, ἱνα παῤῥησιαν εχωμεν εν τῃ ἡμερᾳ της κρισεως, ὁτι καθως εκεινος εστι, και ἡμεις εσμεν εν τῳ κοσμῳ τουτῳ.

τοτε στησεται εν παῤῥησιᾳ πολλῃ ὁ δικαιος. *Sap. v.* 1. *εν ἡμερᾳ κρισεως.* *Prov. vi.* 34. *Conf. Jac. ii.* 13. 1 *Pet. i.* 15. *Cap. iii.* 3. 1 *Cor. xv.* 49. *Matt. x.* 25. *Joan. xv.* 20.

18 Φοβος ουκ εστιν εν τῃ αγαπῃ, αλλ' ἡ τελεια αγαπη εξω βαλλει τον φοβον, ὁτι ὁ φοβος κολασιν εχει· ὁ δε φοβουμενος ου τετελειωται εν τῃ αγαπῃ.

εσεσθε ουν ὑμεις τελειοι (*i. e. εν αγαπῃ. Conf. v.* 46.) *Matt. v.* 48. *εν τῃ οργῃ σου ταραξεις αυτους.* *Ps. lxxxii.* 15. *κολασις.* *Sap. xi.* 13. *xvi.* 1. *και αυτοι ληψονται την κολασιν αυτων.* *Ezech. xliii.* 10, 11. *ὁτι κραταια ὡς θανατος αγαπη.* *Cant. viii.* 6. *Conf.* 1 *Reg. xii.* 20. *και εθετο αγαπησιν κραταιαν ισχυος αυτου.* *Hab. iii.* 4. *μακαριος ανηρ ὁς καταπτησσει παντα δι' ευλαβειαν, κ. τ. λ.* *Prov. xxviii.* 14. [*ὁ κακος συμβουλος φοβος τας επι τα σπουδαια των εργων ὁρμας αναχαιτισῃ.* *Philo. de Opif. p.* 17. *εγγυς γαρ ὁταν ωσιν οἱ κολασται, φοβῳ σωφρονιζονται οἱ εξ αυτων μη πεφυκοτες νουθετεισθαι.* *Id. de Gigant. p.* 290.] *Ps. cxviii.* 120.

19 Ἡμεις αγαπωμεν αυτον, ὁτι αυτος πρωτος ηγαπησεν ἡμας.

αγαπησω σε Κυριε ισχυς μου. Ps. xvii. 1. cxiv. 1. σοι ειπεν ἡ καρδια μου, Εξεζητησα το προσωπον σου, το προσωπον σου Κυριε ζητησω. Ps. xxvi. 8. Cant. viii. 7. Ose. xi. 1. xiv. 5. Jer. xxxviii. 3. καθως αγαπᾳ ὁ Θεος τους υἱους Ισραηλ. Ose. iii. 1. Conf. Esa. lxiii. 9. προειλετο Κυριος ὑμας. Deut. vii. 7.

20 Εαν τις ειπῃ, ὁτι, Αγαπω τον Θεον, και τον αδελφον αὑτου μισῃ, ψευστης εστιν· ὁ γαρ μη αγαπων τον αδελφον αὑτου ὁν ἑωρακε, τον Θεον ὁν ουχ ἑωρακε πως δυναται αγαπᾳν;

ὁτι ψευστης εστι. Joan. viii. 44. 55. Conf. Ezech. xxxiii. 31. Θεον ουδεις ἑωρακε πωποτε. Joan. i. 18. ὁτι. viz. Gen. xxix. 33. Jos. ii. 24. Prov. xxvi. 19. Esa. xxx. 6. et sæpius. [Hoogev. p. 582.] Conf. cap. ii. 4. iii. 17. v. 1. Sap. iii. 10. ix. 16. [αμηχανον δ' ευσεβεισθαι τον Αορατον, ὑπο των εις τους εμφανεις και εγγυς οντας ασεβουντων. Philo de Decal. p. 761.]

21 Και ταυτην την εντολην εχομεν απ' αυτου, ἱνα ὁ αγαπων τον Θεον, αγαπᾳ και τον αδελφον αὑτου.

εντολην καινην διδωμι ὑμιν, ἱνα αγαπατε αλληλους· καθως ηγαπησα ὑμας, ἱνα και ὑμεις αγαπατε αλληλους. Joan. xiii. 34. οἱ αγαπωντες αυτον συντηρησουσι τας ὁδους αυτου. Sir. ii. 15. τι Κυριος εκζητει παρα σου, αλλ' η του ποιειν κριμα, και αγαπᾳν ελεον, και ἑτοιμον ειναι του πορευεσθαι μετα Κυριου Θεου σου; Mich. vi. 8. ερωτησατε δη τα εις ειρηνην την Ἱερουσαλημ, και ευθηνια τοις αγαπωσι σε. Ps. cxxi. 6. Esa. xxxi. 9.

ΚΕΦ. ε. 5.

ΠΑΣ ὁ πιστευων ὁτι Ιησους εστιν ὁ Χριστος, εκ του Θεου γεγεννηται· και πας ὁ αγαπων τον γεννησαντα, αγαπᾳ και τον γεγεννημενον εξ αυτου.

ὁ πιστευων ου μη καταισχυνθῃ. Esa. xxviii. 16. ὁσοι δε ελαβον αυτον, εδωκεν αυτοις εξουσιαν τεκνα Θεου γενεσθαι, τοις πιστευουσιν εις το ονομα αυτου. Joan. i. 12. Θεον γεννησαντα σε. Deut. xxxii. 18. υἱους εγεννησα. Esa. i. 2. Ps. ii. 7. Cap. ii. 22. Conf. Act. ix. 20-22. xvii. 3. Matt. xvi. 16. ηγαπησε ψυχην αγαπωντος αυτον. 1 Reg. xx. 17. του ιδειν εν τῃ χρηστοτητι των εκλεκτων σου, του ευφρανθηναι εν τῃ ευφροσυνῃ του εθνους σου, του επαινεισθαι μετα της κληρονομιας σου. Ps. cv. 5. [μαλλον αυτον η ουχ ἡττων των γονεων γεγεννηκα. Philo leg. ad Cai. p. 1000.] μνησθητι ταυ-

τα—ὁτι παις μου ει συ, επλασα σε παιδα μου, κ. τ. λ. Esa. xliv. 21. viii. 18. Ps. cxviii. 63.

2 Εν τουτῳ γινωσκομεν ὁτι αγαπωμεν τα τεκνα του Θεου, ὁταν τον Θεον αγαπωμεν, και τας εντολας αυτου τηρωμεν.

εαν αγαπατε με, τας εντολας τας εμας τηρησατε. Joan. xiv. 15. εν τουτῳ εγνων, ὁτι, κ. τ. λ. Ps. xl. 11. αγαπη δε τηρησις νομων αυτης. Sap. vi. 18. ακαθαρτος γαρ εναντι Κυριου πας παρανομος, εν δε δικαιοις ου συνεδριαζει. Prov. iii. 32. Sir. ii. 15.

3 Αὑτη γαρ εστιν ἡ αγαπη του Θεου, ἱνα τας εντολας αυτου τηρωμεν· και αἱ εντολαι αυτου βαρειαι ουκ εισιν·

ὁτι ὁ λογος ὁν ὁ βασιλευς επερωτᾳ, βαρυς. Dan. ii. 11. βαρυ σοι το ῥημα τουτο. Exod. xviii. 18. Sap. ii. 15. Ps. xxxvii. 4. Conf. Matt. vii. 21. xi. 29, 30. και αγαπησεις Κυριον—και φυλαξῃ—τας εντολας αυτου, κ. τ. λ. Deut. xi. 1. Exod. xv. 26. Mich. vi. 8. αἱ ὁδοι αυτης ὁδοι καλαι, και πασαι αἱ τριβοι αυτης εν ειρηνῃ. Prov. iii. 17. και γαρ ὁ δουλος σου φυλασσει αυτα, εν τῳ φυλασσειν αυτα ανταποδοσις πολλη. Ps. xviii. 11.

4 Ὁτι παν το γεγεννημενον εκ του Θεου νικᾳ τον κοσμον· και αὑτη εστιν ἡ νικη ἡ νικησασα τον κοσμον, ἡ πιστις ἡμων.

[ενικησα νικησιν πικραν κατα τεκνων. Jos. de Bell. Jud. i. 27. 3.] δοθησεται γαρ αυτῳ της πιστεως χαρις εκλεκτη, και κληρος εν ναῳ Κυριου θυμηρεστερος. Sap. iii. 14. Conf. cap. iii. 9. iv. 4. σοι, Κυριε—και το καυχημα, και ἡ νικη. 1 Par. xxix. 11. οἱ αγαπωντες τον Κυριον, μισειτε πονηρον. Ps. xcvi. 10. ουκ εστι δι' ὁπλων ἡ νικη. 2 Mac. xv. 21. οἱ δε ὑπομενοντες τον Θεον—αλλαξουσιν ισχυν, κ. τ. λ. Esa. xl. 31. xli. 1. Conf. Joan. xvi. 33. Rom. viii. 35. Deut. xxxii. 20. xxxiii. 35.

5 Τις εστιν ὁ νικων τον κοσμον, ει μη ὁ πιστευων ὁτι Ιησους εστιν ὁ υἱος του Θεου;

Conf. cap. iv. 15. εγω νενικηκα τον κοσμον. Joan. xvi. 33. ὁτι ὁ Ιησους εστιν ὁ Χριστος ὁ υἱος του Θεου. xx. 31. ὑπερ δε παντα νικᾳ ἡ αληθεια. 1 Esd. iii. 12. εμπιστευσατε εν Κυριῳ Θεῳ ὑμων, και εμπιστευθησεσθε κ. τ. λ. 2 Par. xx. 20. Conf. 1 Cor. xv. 57. Cap. iv. 4. 15. Ps. ii. 7. xcvii. 2. cix. 3. Matt. xxvii. 43.

6 Οὑτος εστιν ὁ ελθων δι' ὑδατος και αἱματος, Ιησους ὁ Χριστος· ουκ εν τῳ ὑδατι μονον, αλλ' εν τῳ ὑδατι και τῳ αἱματι· και το Πνευμα εστι το μαρτυρουν, ὁτι το Πνευμα εστιν ἡ αληθεια.

οτι εγω δωσω ὑδωρ εν διψει κ. τ. λ. *Esa. xliv.* 3. *Ezech. xxxvi.* 25. εν αἱματι διαθηκης σου. *Zach. ix.* 11. δι' ὑδατος. *Conf. Joan. i.* 27, 28. δι' αἱματος. *xviii.* 37. *xix.* 34, 35.

7 Ὁτι τρεις εισιν οἱ μαρτυρουντες (εν τῳ ουρανῳ, ὁ Πατηρ, ὁ Λογος, και το ἁγιον Πνευμα· και οὑτοι οἱ τρεις ἑν εισι.

8 Και τρεις εισιν οἱ μαρτυρουντες εν τῃ γῃ,) το πνευμα, και το ὑδωρ, και το αἱμα· και οἱ τρεις εις το ἑν εισιν.

εις το ἑν. = πασῃ τῃ βασιλειᾳ αυτου ειναι παντας λαον ἑνα. 1 *Mac. i.* 41. *Conf. Joan. i.* 1. *x.* 16. [και δοξα Ὑψιστου επ' αυτον (*Messiam*) ῥηθησεται, και πνευμα συνεσεως και ἁγιασμου καταπαυσει επ' αυτον εν τῳ ὑδατι. *Test. XII Patr. p.* 586. προσδεξεται ὑμας εν πιστει και ὑδατι. *p.* 582.] και εγω μαρτυς, λεγει Κυριος ὁ Θεος, και ὁ παις μου κ. τ. λ. *Esa. xliii.* 10. ἱνα ωσιν ἑν, καθως ἡμεις ἑν εσμεν. *Joan. xvii.* 22. εγω και ὁ πατηρ ἑν εσμεν. *x.* 30. *Gal. iii.* 28. 1 *Cor. iii.* 8. και εγενετο ἑν. *Exod. xxxvi.* 18. [ὁτι τρεις εισιν οἱ μαρτυρουντες εν τῳ ουρανῳ, ὁ πατηρ και ὁ λογος και το ἁγιον πνευμα· και οἱ τρεις εις το ἑν εισι· και τρεις εισιν οἱ μαρτυρουντες επι της γης, το πνευμα και το ὑδωρ και το αἱμα. *Comp.*] ἡνικα εγενετο, εκει ημην, και νυν Κυριος Κυριος απεστειλε με, και το Πνευμα αυτου. *Esa. xlviii.* 16. [εις ἑν ηλθεν· αντι του ὡμονομησε. *Harpocrat. Conf. Schoettgen. et Middleton in loc.*]

9 Ει την μαρτυριαν των ανθρωπων λαμβανομεν, ἡ μαρτυρια του Θεου μειζων εστιν· ὁτι αὑτη εστιν ἡ μαρτυρια του Θεου, ἡν μεμαρτυρηκε περι του υἱου αὑτου.

επι στοματος δυο μαρτυρων και επι στοματος τριων μαρτυρων σταθησεται παν ῥημα. *Deut. xix.* 15. *Alex. Ald. Comp.* την μαρτυριαν ἡμων ου λαμβανετε. *Joan. iii.* 11. ἡ μαρτυρια Κυριου πιστη. *Ps. xviii.* 7. *xcii.* 5. βουνος μαρτυρει. *Gen. xxxi.* 47. 50. ὁ πεμψας με Πατηρ, αυτος μεμαρτυρηκε περι εμου. *Joan. v.* 37. ειπον τῃ ψυχῃ μου, Σωτηρια σου εγω ειμι. *Ps. xxxiv.* 3. *Conf. Apoc. i.* 5.

10 Ὁ πιστευων εις τον υἱον του Θεου, εχει την μαρτυριαν εν ἑαυτῳ· ὁ μη πιστευων τῳ Θεῳ, ψευστην πεποιηκεν αυτον, ὁτι ου πεπιστευκεν εις την μαρτυριαν, ἡν μεμαρτυρηκεν ὁ Θεος περι του υἱου αὑτου.

αυτο το πνευμα συμμαρτυρει τῳ πνευματι ἡμων, ὁτι εσμεν τεκνα Θεου. *Rom. viii.* 16. ὁ λαβων αυτου την μαρτυριαν εσφραγισεν ὁτι ὁ Θεος αληθης εστι. *Joan. iii.* 16, 33. *v.* 38. *Gal. iv.* 6. ψευστης. *Sir. xxv.* 2. κρατιωμα Κυριος των φοβουμενων αυτον, και ἡ δια-

θηκη αυτου του δηλωσαι αυτοις. *Ps. xxiv.* 14. *Conf. Prov. xiv.* 14. *Job. xxiv.* 25. *Jer. xv.* 18. *Ps. lxxvii.* 22. *Deut. i.* 32.

11 Και αὑτη εστιν ἡ μαρτυρια, ὁτι ζωην αιωνιον εδωκεν ἡμιν ὁ Θεος, και αὑτη ἡ ζωη εν τῳ υἱῳ αυτου εστιν.

εν αυτῳ ζωη ην. *Joan. i.* 4. *iii.* 36. αξω γαρ—και ὑγιειαν αυτῳ. *Esa. ix.* 6. μαρτυρια. *Sir. xxxiv.* 24. ὁτι εκει ενετειλατο Κυριος την ευλογιαν, ζωην ἑως του αιωνος. *Ps. cxxxii.* 3.

12 Ὁ εχων τον υἱον, εχει την ζωην· ὁ μη εχων τον υἱον του Θεου, την ζωην ουκ εχει.

ὁ πιστευων εις τον υἱον εχει ζωην αιωνιον· ὁ δε απειθων τῳ υἱῳ ουκ οψεται ζωην. *Joan. iii.* 36. την ὁδον εχειν. *Job. xvii.* 9. εξεγερθησονται οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. *Conf. Prov. xii.* 28. *Joan. v.* 24. και αντλησατε ὑδωρ—εκ των πηγων του σωτηριου. *Esa. xii.* 3. ὁτι παρα σοι πηγη ζωης, κ. τ. λ. *Ps. xxxv.* 9. *Prov. xviii.* 4. ζωῃ ζησεται. *Ezech. iii.* 21. *Bar. iv.* 1.

13 Ταυτα εγραψα ὑμιν τοις πιστευουσιν εις το ονομα του υἱου του Θεου, ἱνα ειδητε ὁτι ζωην εχετε αιωνιον, και ἱνα πιστευητε εις το ονομα του υἱου του Θεου.

ταυτα δε γεγραπται, ἱνα πιστευσητε ὁτι Ιησους εστιν ὁ Χριστος ὁ υἱος του Θεου, και ἱνα πιστευοντες ζωην εχητε εν τῳ ονοματι αυτου. *Joan. xx.* 31. ἱνα γνωτε, και πιστευσητε, και συνητε ὁτι Εγω Ειμι· κ. τ. λ. *Esa. xliii.* 10. ταις εντολαις σου επιστευσα. *Ps. cxviii.* 66. *Joan. xiv.* 1.

14 Και αὑτη εστιν ἡ παρρησια ἡν εχομεν προς αυτον, ὁτι εαν τι αιτωμεθα κατα το θελημα αυτου, ακουει ἡμων·

αιτησαι παρ' εμου, και δωσω. *Ps. ii.* 8. ὁ πιστευων επ' αυτῳ, ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. κατα το θελημα αυτου. *Dan. iv.* 32. και προσευξασθε προς με, και εισακουσομαι ὑμων. *Jer. xxxvi.* 12. εαν τις θεοσεβης ῃ, και το θελημα αυτου ποιῃ, τουτου ακουει. *Joan. ix.* 31. αποκαλυψον προς Κυριον την ὁδον σου, και ελπισον επ' αυτον, και αυτος ποιησει. *Ps. xxxvi.* 5. *Conf. Prov. xiii.* 5. *xv.* 29. *xxviii.* 9. *Marc. xi.* 24. *Luc. xi.* 9. *Jac. i.* 5.

15 Και εαν οιδαμεν ὁτι ακουει ἡμων ὁ αν αιτωμεθα, οιδαμεν ὁτι εχομεν τα αιτηματα ἁ ῃτηκαμεν παρ' αυτου.

εδωκε μοι Κυριος το αιτημα μου. 1 *Reg. i.* 27. *Ps. xxxvi.* 4. *cv.* 15. αιτει παρα του Θεου αυτου τα αιτηματα αυτου. *Dan. vi.* 13. κεκραξον προς με, και αποκριθησομαι σοι. *Jer. xl.* 3.

16 Εαν τις ιδῃ τον αδελφον αὑτου ἁμαρτανοντα ἁμαρτιαν μη

προς θανατον, αιτησει, και δωσει αυτῳ ζωην, τοις ἁμαρτανουσι μη προς θανατον. εστιν ἁμαρτια προς θανατον· ου περι εκεινης λεγω ἱνα ερωτησῃ·

και ειπε Κυριος προς με, Μη προσευχου περι του λαου τουτου εις αγαθα. *Jer. xiv.* 11. ηρωτησαν αυτον τα εις ειρηνην. 1 *Reg. xxx.* 21. 2 *Reg. viii.* 11. 1 *Par. xviii.* 10. εαν ἁμαρτανων ἁμαρτῃ ανηρ εις ανδρα, και προσευξονται ὑπερ αυτου προς Κυριον· και εαν τῳ Κυριῳ ἁμαρτῃ, τις προσευξεται ὑπερ αυτου; 1 *Reg. ii.* 25. περι σου. *Gen. xx.* 7. και ησαν μυκτηριζοντες—ἑως ανεβη ὁ θυμος Κυριου—ἑως ουκ ην ιαμα. 2 *Par. xxxvi.* 16. ασθενεια προς θανατον. *Joan. xi.* 4. [φαρμακον προς σωτηριαν. *Jos. Bell. Jud. iv.* 9. 11.] *Conf. Esa. xxvii.* 11. *Jer. vii.* 16. *Num. xv.* 30. *Heb. xii.* 17. *Joan. xvii.* 9.

17 *Πασα αδικια ἁμαρτια εστι, και εστιν ἁμαρτια ου προς θανατον.*

Conf. 1 *Joan. iii.* 4. ἡμαρτομεν, ηνομησαμεν, ηδικησαμεν. 3 *Reg. viii.* 47. 2 *Par. vi.* 37. *Ps. cv.* 6. *Dan. ix.* 15. προσεχετε απο παντος αδικου. *Sir. xvii.* 14. εαν ωσιν αἱ ἁμαρτιαι ὑμων ὡς φοινικουν, ὡς χιονα λευκανω κ. τ. λ. *Esa. i.* 18. *Ezech. xviii.* 26-32.

18 *Οιδαμεν ὁτι πας ὁ γεγεννημενος εκ του Θεου, ουχ ἁμαρτανει· αλλ' ὁ γεννηθεις εκ του Θεου, τηρει ἑαυτον, και ὁ πονηρος ουχ ἁπτεται αυτου.*

ετηρησεν αυτον αμεμπτον Θεῳ. *Sap. x.* 5. ὁς φυλασσει εντολην, τηρει την ἑαυτου ψυχην. *Prov. xix.* 16. ῥυσαι ἡμας απο του πονηρου. *Matt. vi.* 13. μη ἁψησθε των χριστων μου. *Ps. civ.* 15. *Job. i.* 12. *ii.* 5. *Cap. iii.* 9. υἱους εγεννησα. *Esa. i.* 2. 18. επυρωσας με, και ουχ εὑρεθη εν εμοι αδικια, κ. τ. λ. *Ps. xvi.* 3. *xvii.* 23. *xxxviii.* 1. *cxviii.* 101. *Prov. iv.* 23. [ὡν ουδεμια των Ἑβραιων ἡψατο (*de Pest. Egypt*). *Philo* 1 *Vit. Mos. p.* 624.] Θεον τον γεννησαντα σε εγκατελιπες. *Deut. xxxii.* 18.

19 *Οιδαμεν ὁτι εκ του Θεου εσμεν, και ὁ κοσμος ὁλος εν τῳ πονηρῳ κειται.*

εν ὑποψιᾳ κειμενος. 2 *Mac. iv.* 34. *iii.* 11. *Conf. Ps. xiii.* 2, 3. ὁ αρχων του κοσμου τουτου. *Joan. xvi.* 11. *Conf. Ephes. ii.* 2. *Gal. i.* 4. *Jac. i.* 27. *Apoc. xii.* 9. παντας δ' επιμιξ εχει αἱμα, και φονος, κλοπη και δολος, φθορα, απιστια, ταραχη, επιορκια, κ.τ.λ. *Sap. xiv.* 25, 26. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον, κ. τ. λ. *ii.* 24. *xiii.* 1. ὁλος ὁ κοσμος. *xvii.* 20.

20 *Οιδαμεν δε ὁτι ὁ υἱος του Θεου ἡκει, και δεδωκεν ἡμιν δια-*

νοιαν, ἱνα γινωσκωμεν τον αληθινον· και εσμεν εν τῳ Αληθινῳ, εν τῳ υἱῳ αυτου Ιησου Χριστῳ. οὑτος εστιν ὁ αληθινος Θεος και ἡ ζωη αιωνιος.

τοτε διηνοιξεν αυτων τον νουν, του συνιεναι τας γραφας. *Luc. xxiv.* 45. αὑτη δε εστιν ἡ αιωνιος ζωη, ἱνα γινωσκωσι σε τον μονον αληθινον Θεον, και ὁν απεστειλας Ιησουν Χριστον. *Joan. xvii.* 3. ευλογησουσι γαρ τον Θεον τον αληθινον—ομουνται τον Θεον τον αληθινον. *Esa. lxv.* 16. *xliv.* 6. *liv.* 5. *Conf. Sap. iv.* 15. *Joan. xvii.* 20. *Rom. ix.* 5. εμπιστευσατε εν Κυριῳ τῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε, κ. τ. λ. 2 *Par. xx.* 20. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. οὑτος Θεος. 3 *Reg. xviii.* 24. αληθως Κυριος ὁ Θεος, αυτος ὁ Θεος. 39. Θεον επεγνωσαν αληθη. *Sap. xii.* 27. ζωη. *Conf. Joan. i.* 4. *v.* 26. ὁ Αληθινος. *Apoc. iii.* 7. *xix.* 11. πας σοφος τῃ διανοιᾳ. *Exod. xxxvi.* 1. *Conf. Esa. ix.* 6. *Joan. xx.* 28. 1 *Tim. iii.* 16. *Tit. ii.* 13.

21 Τεκνια, φυλαξατε ἑαυτους απο των ειδωλων. αμην.

και φυλαξομαι απο της ανομιας μου. *Ps. xvii.* 23. *Conf.* 1 *Cor. x.* 14. [φυλαξητε ἑαυτους απο του πνευματος του ψευδους, κ. τ. λ. *Test. XII Patr. p.* 648.] αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. *Sap. xiv.* 12. *Conf. Exod. xx.* 3, 4. *Lev. xix.* 4. ὁς αν θῃ τα διανοηματα (ειδωλα. *Aq. Sym. Theod.*) αυτου επι την καρδιαν αυτου. *Ezech. xiv.* 4. *Ose. xiv.* 9. Αμην. *Neh. v.* 13.



ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ.

Ὁ ΠΡΕΣΒΥΤΕΡΟΣ εκλεκτῃ Κυριᾳ και τοις τεκνοις αυτης, οὑς εγω αγαπω εν αληθειᾳ, και ουκ εγω μονος, αλλα και παντες οἱ εγνωκοτες την αληθειαν,

πρεσβυτερος. 1 *Pet. v. i.* 3 *Joan.* 1. και ητιμασθη ἡ κυρια εναντιον αυτης. *Gen. xvi.* 4. ἡ δε ειπε τῃ κυριᾳ αυτης. 3 *Reg. v.* 3. *Esa. xxiv.* 2. [*Conf. Ottii. Spicileg. ad loc.*] υἱοι Ιακωβ εκλεκτοι αυτου. 1 *Par. xvi.* 13. *Ps. lxxxviii.* 3. εν αληθειᾳ. *Sir. vii.* 20. την αληθειαν—αγαπησατε. *Zach. viii.* 19. εγνωκαμεν ὁτι συ ει ὁ Χριστος. *Joan. vi.* 69. ὁ λογος ὁ σος αληθεια εστι. *xvii.* 17. ὁ νομος σου αληθεια. *Ps. cxviii.* 142. μακαριος ὁ λαος ὁ γινωσκων αλαλαγμον. *lxxxviii.* 15. μετοχος εγω ειμι παντων των φοβουμενων σε, κ. τ. λ. *Ps. cxviii.* 63. *Esa. xxxi.* 9. *lxvi.* 10. εγω τους εμε φιλουντας αγαπω. *Prov. viii.* 17.

2 Δια την αληθειαν την μενουσαν εν ἡμιν, και μεθ' ἡμων εσται εις τον αιωνα·

τον λογον αυτου ουκ εχετε μενοντα εν ὑμιν. *Joan. v.* 38. ἑως γενεας και γενεας αληθεια αυτου. *Ps. xcix.* 5. ἱνα μενῃ μεθ' ὑμων εις τον αιωνα. *Joan. xiv.* 16. *Conf.* 1 *Joan. ii.* 14. φυλασσοντα αληθειαν εις τον αιωνα. *Ps. cxlv.* 6.

3 Εσται μεθ' ἡμων χαρις, ελεος, ειρηνη, παρα Θεου πατρος, και παρα Κυριου Ιησου Χριστου του υἱου του πατρος, εν αληθειᾳ και αγαπῃ.

Conf. 1 *Tim. i.* 2. *Rom. i.* 7. 1 *Cor. i.* 3. 1 *Thess. i.* 1. 2 *Tim. i.* 2. ευφρανθησεσθε, και την αληθειαν και την ειρηνην αγαπησατε. *Zach. viii.* 19. ειρηνη ὑμιν πληθυνθειη. *Dan. iii.* 31.

4 Εχαρην λιαν ὁτι εὑρηκα εκ των τεκνων σου περιπατουντας εν αληθειᾳ, καθως εντολην ελαβομεν παρα του πατρος.

εν ὁδοις δικαιοσυνης περιπατω. *Prov. viii.* 20. *Ose. xiv.* 10. *Mal. ii.* 6. ταυτην την εντολην ελαβον παρα του Πατρος μου. *Joan. x.* 18. 1 *Joan. iii.* 22. *Conf. Phil. iv.* 1. 1 *Thess. ii.* 19.

εν ειρηνῃ κατευθυνων επορευθη μετ᾽ εμου, και πολλους επεστρεψεν απο αδικιας. Mal. ii. 6. [ευαγεστατον κρινων το εργον ὑπερ αληθειας και Θεου τιμης. Philo 3 Vit. Mos. p. 694.] Conf. 2 Cor. xiii. 8. του ιδειν εν χρηστοτητι των εκλεκτων σου, κ. τ. λ. Ps. cv. 5. Esa. xxxi. 9. 1 Joan. iii. 22, 23.

5 Και νυν ερωτω σε, Κυρια, ουχ ὡς εντολην γραφω σοι καινην,
αλλα ἡν ειχομεν απ᾽ αρχης, ἱνα αγαπωμεν αλληλους.

ερωτω. Joan. iv. 40. 47. ουκ εντολην καινην γραφω ὑμιν, αλλ᾽ εντολην παλαιαν ἡν ειχετε απ᾽ αρχης. 1 Joan. ii. 7. ἱνα αγαπωμεν αλληλους. iii. 11. Ephes. v. 2. 1 Thess. iv. 9. ιδετε, και ερωτησατε τριβους Κυριου αιωνιους. Jer. vi. 16.

6 Και αὑτη εστιν ἡ αγαπη, ἱνα περιπατωμεν κατα τας εντο-
λας αυτου. αὑτη εστιν ἡ εντολη, καθως ηκουσατε απ᾽ αρχης,
ἱνα εν αυτῃ περιπατητε·

εαν τας εντολας μου τηρησητε, μενειτε εν τῃ αγαπῃ μου. Joan. xv. 10. 1 Joan. v. 3. ii. 24. και καινιει σε εν τῃ αγαπησει αυτου. Sophon. iii. 18. και γαρ τουτο εστι τηρησις εντολων. Sir. xxxii. 23.

7 Ὁτι πολλοι πλανοι εισηλθον εις τον κοσμον, οἱ μη ὁμολο-
γουντες Ιησουν Χριστον ερχομενον εν σαρκι· οὑτος εστιν ὁ
πλανος και ὁ αντιχριστος.

1 Joan. iv. 1. κενοδοξιᾳ γαρ ανθρωπων εισηλθεν εις κοσμον. Sap. xiv. 14. Jer. xxiii. 32. [πλανοι ανθρωποι και απατεωνες. Jos. Bell. Jud. ii. 13. 4.] Matt. xxiv. 5. 24. 2 Pet. ii. 1. 1 Joan. ii. 18. Mich. iii. 5. [αντιχριστος. Conf. Suicer. in voce.]

8 Βλεπετε ἑαυτους, ἱνα μη απολεσωμεν ἁ ειργασαμεθα, αλλα
μισθον πληρη απολαβωμεν.

βλεπετε. Luc. viii. 18. γενοιτο ὁ μισθος σου πληρης παρα Κυριου. Ruth. ii. 12. Conf. Sir. vi. 19. 2 Par. xv. 7. Gal. iii. 4. Marc. xiii. 9. Apoc. ii. 10. iii. 11. και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. Dan. xii. 13.

9 Πας ὁ παραβαινων, και μη μενων εν τῃ διδαχῃ του Χρισ-
του, Θεον ουκ εχει· ὁ μενων εν τῃ διδαχῃ του Χριστου, οὑτος
και τον πατερα και τον υἱον εχει.

τους μεμενηκοτας εν τῳ Ιουδαϊσμῳ. 2 Mac. viii. 1. πας ὁ αρνουμενος τον Υἱον ουδε τον Πατερα εχει. 1 Joan. ii. 23. Conf. Matt. xxviii. 19. Joan. vii. 16, 17. 2 Cor. xiii. 13. 1 Pet. i. 2. παρεβη την διαθηκην μου. Jos. vii. 11. τον νομον παρεβησαν. Esa. xxiv. 5.

την οδον εχειν. *Job. xvii.* 9. [εχοντες τον Θεον της ειρηνης. *Test. XII Patr. p.* 652.] *Conf. Joan. iv.* 9, 10.

10 Ει τις ερχεται προς ὑμας, και ταυτην την διδαχην ου φερει, μη λαμβανετε αυτον εις οικιαν, και χαιρειν αυτῳ μη λεγετε·

Conf. Rom. xvi. 17. 1 *Cor. v.* 13. *xvi.* 22. τουτῳ ου συνηθιον. *Ps. c.* 5. *xxv.* 5. 2 *Par. xix.* 2. και ουκ ειπαν οἱ παραγοντες, Ευλογια Κυριου εφ' ὑμας. *Ps. cxxviii.* 8. *cxvii.* 25. *Gal. i.* 8, 9. 2 *Tim. iii.* 5. *Tit. iii.* 10. ὁταν λαμβανῃ με. *Ps. xlviii.* 15. [διδαχη αντι του διδασκαλια. *Suid.*] *Conf.* 1 *Esd. viii.* 2 *Mac. ix.*

11 Ὁ γαρ λεγων αυτῳ χαιρειν, κοινωνει τοις εργοις αυτου τοις πονηροις.

ουκ εστι χαιρειν τοις ασεβεσιν, ειπεν ὁ Θεος. *Esa. lvii.* 21. ει εθεωρεις κλεπτην, συνετρεχες αυτῳ, κ. τ. λ. *Ps. xlix.* 18. *Prov. xxiv.* 1.

12 Πολλα εχων ὑμιν γραφειν, ουκ ηβουληθην δια χαρτου και μελανος· αλλα ελπιζω ελθειν προς ὑμας, και στομα προς στομα λαλησαι, ἱνα ἡ χαρα ἡμων ῃ πεπληρωμενη.

και ουκ ηβουληθην αποκτειναι σε. 1 *Reg. xxiv.* 11. λαβε σεαυτῳ χαρτιον βιβλιου, και γραψον. *Jer. xliii.* 2. 23. και λαλησει στομα αυτου προς στομα αυτου. *Jer. xxxix.* 4. *Conf. Joan. xvii.* 13. 1 *Joan. i.* 4. 3 *Joan.* 13. ἱνα ἡ χαρα ὑμων ῃ πεπληρωμενη. *Joan. xvi.* 24. επιστολη—εγγεγραμμενη ου μελανι. 2 *Cor. iii.* 3. ουκετι ελπιζουσιν οψεσθαι με. *Tob. x.* 8. *Conf. Num. xii.* 8.

13 Ασπαζεται σε τα τεκνα της αδελφης σου της εκλεκτης. αμην.

1 *Pet. v.* 13. Αμην. *Neh. v.* 13.



ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΤΡΙΤΗ.

Ὁ ΠΡΕΣΒΥΤΕΡΟΣ Γαΐῳ τῳ αγαπητῳ, ὁ εγω αγαπω εν αληθειᾳ.

ὁ Πρεσβυτερος. 2 *Joan.* 1. *Κυριος ὁ λαλων δικαιοσυνην, και αναγγελλων αληθειαν. Esa. xlv.* 19. *εγω τους εμε φιλουντας αγαπω. Prov. viii.* 17. [*τους δε αποσταλμενους αφ' ἡμων Κλαυδιον, Εφηβον,—εν ειρηνῃ μετα χαρας εν ταχει αναπεμψατε προς ἡμας, κ. τ. λ. Clem. Rom.* 1. *in fin.*]

2 Αγαπητε, περι παντων ευχομαι σε ευοδουσθαι και ὑγιαινειν, καθως ευοδουται σου ἡ ψυχη.

ειπε δε αυτοις, Ὑγιαινει; οἱ δε ειπαν, Ὑγιαινει. Gen. xxix. 6. *ει ερρωσθε, και τα τεκνα, και τα ιδια κατα γνωμην εστιν ὑμιν, ευχομαι μεν τῳ Θεῳ μεγιστην χαριν, κ. τ. λ.* 2 *Mac. ix.* 20. *ειπεν δε Ιακωβ.* 21. *ει ὑγιαινεις συ αδελφε;* 2 *Reg. xx.* 9. *χαιρειν και ὑγιαινειν.* 2 *Mac. i.* 10. *και παντα ὁσα αν ποιῃ κατευοδωθησεται. Ps. i.* 3. *Prov. xxviii.* 13. *Conf. Ps. xix.* 1-5. *cv.* 5. *Κυριος φυλαξει την εισοδον σου, και την εξοδον σου, κ. τ. λ. cxx.* 8.

3 Εχαρην γαρ λιαν, ερχομενων αδελφων και μαρτυρουντων σου τῃ αληθειᾳ, καθως συ εν αληθειᾳ περιπατεις.

Conf. 2 *Joan.* 2, 3, 4. *ευφρανθη—λιαν.* 1 *Reg. xi.* 15. [*εγω μεν μαρτυρω σοι πολλην περι εμου σπουδην και ευνοιαν. Jos. Ant. vi.* 14. 6.] *ὁδηγησον με Κυριε εν τῃ ὁδῳ σου, και πορευσομαι εν τῃ αληθειᾳ σου. Ps. lxxxv.* 11.

4 Μειζοτεραν τουτων ουκ εχω χαραν, ἱνα ακουω τα εμα τεκνα εν αληθειᾳ περιπατουντα.

Conf. 1 *Cor. iv.* 15. *Philem.* 10. *Ἰδου εγω και παιδια ἁ μοι εδωκεν ὁ Θεος. κ. τ. λ. Esa. viii.* 18. *μακαριοι οἱ φυλασσοντες κρισιν, και ποιουντες δικαιοσυνην κ. τ. λ. Ps. cv.* 3, 4. *περιεπατησα ενωπιον σου εν αληθειᾳ κ. τ. λ.* 4 *Reg. xx.* 3. *μακαριος ὁς εχει εν Σιων σπερμα, κ. τ. λ. Esa. xxxi.* 9.

5 Αγαπητε, πιστον ποιεις ὃ εαν εργασῃ εις τους αδελφους και εις τους ξενους,

ὁ δε ποιων πιστιν, δεκτος παρ' αυτῳ. *Prov. xii.* 22. *Ald.* ουκετι εστε ξενοι—αλλα συμπολιται των ἁγιων. *Ephes. ii.* 19. συντηρειν την ουσαν ευνοιαν εις εμε και τον υἱον μου. 2 *Mac. ix.* 26. εργαζομενος δικαιοσυνην. *Ps. xiv.* 2. διαθρυπτε πεινωντι τον αρτον σου, κ. τ. λ. *Esa. lviii.* 7. *Tit. i.* 8. 1 *Pet. iv.* 9. [το πιστον αει παρεχειν. *Jos. Bell. Jud. xi.* 12.]

6 Οἱ εμαρτυρησαν σου τῃ αγαπῃ ενωπιον εκκλησιας· οὓς καλως ποιησεις προπεμψας αξιως του Θεου.

ενωπιον της εκκλησιας. *Neh. viii.* 2. ὅπως προπεμπωσιν αυτους εις γην Ιουδα μετ' ειρηνης. 1 *Mac. xii.* 4. ἱνα προπεμψωσιν αυτον και τους μετ' αυτου παντας αναβαινοντας οικοδομησαι Ἱερουσαλημ. 1 *Esd. iv.* 47. *Conf. Act. xv.* 8.

7 Ὑπερ γαρ του ονοματος εξηλθον μηδεν λαμβανοντες απο των εθνων.

ὑπερ του ονοματος του Κυριου Ιησου. *Act. xxi.* 13. *xv.* 26. των ὑπερ Θεου νομον ἑως θανατου πονων ὑπεριδοντες. 4 *Mac. i.* 9. ὡς μηδεν εχοντες. 2 *Cor. vi.* 10. *Conf.* 1 *Cor. ix.* 12. 15. παρελαβον απο του Κυριου. *xi.* 23. *Heb. vi.* 7. και ειπεν Ἑλισαιε, Ζῃ Κυριος ᾧ παρεστην ενωπιον αυτου, ει ληψομαι. 4 *Reg. v.* 15, 16.

8 Ἡμεις ουν οφειλομεν απολαμβανειν τους τοιουτους, ἱνα συνεργοι γινωμεθα τῃ αληθειᾳ.

Conf. Matt. x. 14. *Luc. x.* 7. μαλιστα τας νυκτας προς τας τοιαυτας επιβουλας συνεργους ελαμβανε. 2 *Mac. viii.* 7. *Conf. Jos. vi.* 17. 3 *Reg. xviii.* 4. μετοχος εγω ειμι παντων των φοβουμενων σε, κ. τ. λ. *Ps. cxviii.* 63.

9 Εγραψα τῃ εκκλησιᾳ· αλλ' ὁ φιλοπρωτευων αυτων Διοτρεφης ουκ επιδεχεται ἡμας.

επεδεξατο αυτον ενδοξως. 1 *Mac. xii.* 8. 43. ὅσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον, και εναντι Κυριου εὑρησεις χαριν. *Sir. iii.* 18. *Conf. Ps. cxxx.* 1, 2.

10 Δια τουτο, εαν ελθω, ὑπομνησω αυτου τα εργα ἃ ποιει, λογοις πονηροις φλυαρων ἡμας· και μη αρκουμενος επι τουτοις, ουτε αυτος επιδεχεται τους αδελφους, και τους βουλομενους κωλυει, και εκ της εκκλησιας εκβαλλει.

και ουκ αρκεσθεις δε τουτοις. 2 *Mac. v.* 15. και εξεβαλεν αυτους απο φυλων Ισραηλ. 2 *Par. xi.* 16. [εφλυαρει· εληρει, εμωρολογει.

Hesych.] διο τους παραπιπτοντας κατ' ολιγον ελεγχεις, και εν οἱς ἁμαρτανουσιν ὑπομιμνησκων νουθετεις, κ. τ. λ. *Sap. xii.* 2.

11 Αγαπητε, μη μιμου το κακον, αλλα το αγαθον· ὁ αγαθοποιων, εκ του Θεου εστιν· ὁ δε κακοποιων, ουχ ἑωρακε τον Θεον.

μιμεισθε την πιστιν. *Heb. xiii.* 7. εκκλινον απο κακου, και ποιησον αγαθον. *Ps. xxxvi.* 27. 1 *Joan. iii.* 6. 9. κακοποιειν. *Gen. xxxi.* 29. εκζητησατε το καλον, και μη πονηρον. *Amos. v.* 14. μισουντες τα καλα, και ζητουντες τα πονηρα. *Mich. iii.* 2. *Conf. Esa. i.* 16. *Luc. xxvii.* 10. 1 *Pet. iii.* 11. τους δοξαζοντας με δοξασω, και ὁ εξουθενων με ατιμωθησεται. 1 *Reg. ii.* 30. ἑωρακεν. *Sir. xliii.* 31.

12 Δημητριῳ μεμαρτυρηται ὑπο παντων, και ὑπ' αυτης της αληθειας· και ἡμεις δε μαρτυρουμεν, και οιδατε ὁτι ἡ μαρτυρια ἡμων αληθης εστι.

εν πιστει εμαρτυρηθησαν. *Heb. xi.* 2. μαρτυρουμενος τε ὑπο ὁλου του εθνους των Ιουδαιων. *Act. x.* 22. και οιδα ὁτι αληθης εστιν ἡ μαρτυρια. *Joan. v.* 32. θεωρων οφθαλμος καλα ευφραινει καρδιαν, φημη δε αγαθη πιαινει οστα. *Prov. xvi.* 30. *Conf. Prov. xxii.* 1. *xxxi.* 31. 1 *Tim. iii.* 7. *Sir. xxxiv.* 24.

13 Πολλα ειχον γραφειν, αλλ' ου θελω δια μελανος και καλαμου σοι γραψαι·

14 Ελπιζω δε ευθεως ιδειν σε, και στομα προς στομα λαλησομεν.

13, 14.] γεγραφα δε προς αυτον τα ὑπογεγραμμενα. 2 *Mac. ix.* 25. *Conf.* 2 *Joan.* 12. 2 *Cor. iii.* 3.

15 Ειρηνη σοι. ασπαζονται σε οἱ φιλοι· ασπαζου τους φιλους κατ' ονομα.

ειρηνη σοι. 4 *Reg. iv.* 26. ειρηνη ὑμιν πληθυνθειη. *Dan. iii.* 31. κατ' ονομα. *Joan. x.* 3. *Conf.* 3 *Mac. i.* 8. *Jud. xviii.* 6. 2 *Reg. xv.* 9. ενετειλαμεθα ουν αυτοις και προς ὑμας πορευθηναι, και ασπασασθαι ὑμας, και αποδουναι ὑμιν τας παρ' ἡμων επιστολας περι της ανανεωσεως, και της αδελφοτητος ἡμων. 1 *Mac. xii.* 17.



ΙΟΥΔΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

ΙΟΥΔΑΣ Ιησου Χριστου δουλος, αδελφος δε Ιακωβου, τοις εν Θεῳ πατρι ἡγιασμενοις και Ιησου Χριστῳ τετηρημενοις κλητοις·

Ιησους—δουλος Κυριου. *Jud. ii.* 8. *xiv.* 7. [*τον αδελφον Ιησου, του λεγομενου Χριστου Ιακωβος ονομα αυτῳ κ. τ. λ. Jos. Ant. xx.* 8. 1.] *εν πιστει και πραΰτητι αυτου ἡγιασε. Sir. xlv.* 4. *εγω* Κυριος *ὁ αγιαζων αυτους. Ezech. xx.* 12. *και ετηρησεν αυτον αμεμπτον Θεῳ. Sap. x.* 5. *εὑροσαν με οἱ τηρουντες, οἱ κυκλουντες. Cant. iii.* 3. *οἱ ἡγιασμενοι. Deut. xxxiii.* 3. *και ευαγγελιζομενοι οὑς* Κυριος *προσκεκληται. Joel. ii.* 32.

2 Ελεος ὑμιν και ειρηνη και αγαπη πληθυνθειη.

ειρηνη ὑμιν πληθυνθειη. Dan. vi. 25. *ελεος. Exod. xx.* 6. *Job. x.* 12. *Ps. cxliv.* 2. *αγαπη.* 1 *Cor. xiii.*

3 Αγαπητοι, πασαν σπουδην ποιουμενος γραφειν ὑμιν περι της κοινης σωτηριας, αναγκην εσχον γραψαι ὑμιν παρακαλων επαγωνιζεσθαι τῃ ἁπαξ παραδοθειση τοις ἁγιοις πιστει.

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac. ix.* 26. *ἁπαξ ωμοσα εν τῳ ἁγιῳ μου, κ. τ. λ. Ps. lxxxviii.* 35. *lxi.* 11. *γενναιως αγωνισασθαι μεχρι θανατου περι νομων.* 2 *Mac. xiii.* 14. *και ἡ βασιλεια—εδοθη ἁγιοις* Ὑψιστου. *Dan. vii.* 27. [*ὑπερ της κοινης σωτηριας παρακαλειν αυτον. Jos. Ant. x.* 1. 3.] *αναγκαιον ἡγησαμην φροντισαι της κοινης παντων ασφαλειας.* 2 *Mac. ix.* 21. *viii.* 19. [*κατα την παραδιδομενην ευσεβειαν. Jos. c. Ap. i.* 12.] *εν νομῳ παραδοθησονται, εν θησαυροις ἡ σωτηρια ἡμων, εκει σοφια και επιστημη και ευσεβεια προς τον* Κυριον· *οὑτοι εισι θησαυροι δικαιοσυνης. Esa. xxxiii.* 6. *διοτι συντελειαν και σπουδην ποιησει επι παντας. Sophon. i.* 18. [*ὡν (αληθειας και* Θεου *τιμης)—ὑπερμαχειν και προαγωνιζεσθαι κουφοτατος πονος. Philo* 3 *Vit. Mos. p.* 694.] [*εμοι δε αναγκην τουτο ἱστορειν καθαπερ εν ταις ἱεραις βιβλιοις*

αναγεγραπται. Ant. iv. 5. 2. αναγκη μοι βραχεα περι εκεινου προειπειν. Ant. Proem. 4.] *μη μεταιρε ὁρια αιωνια, ἁ εθεντο οἱ πατερες σου. Prov. xxii. 28. ἑως θανατου αγωνισαι περι της αληθειας, και* Κυριος *ὁ* Θεος *πολεμησει ὑπερ σου. Sir. iv. 28.*

4 Παρεισεδυσαν γαρ τινες ανθρωποι, οἱ παλαι προγεγραμμενοι εις τουτο το κριμα, ασεβεις, την του Θεου ἡμων χαριν μετατιθεντες εις ασελγειαν, και τον μονον δεσποτην Θεον και Κυριον ἡμων Ιησουν Χριστον αρνουμενοι.

παρεισερχεσθαι. Gal. ii. 4. εστι φιλος μετατιθεμενος εις εχθραν, κ. τ. λ. Sir. vi. 9. εαν παραβωσι τι των προγεγραμμενων. 1 Esd. vi. 32. Alex. Ald. φυλασσεται ὁ ασεβης εις ἡμεραν κακην. Prov. xvi. 4. των παλαι αὑτου ἁμαρτιων. 2 Pet. i. 9. ᾁδης και απωλεια φανερα παρα τῳ Κυριῳ. *Prov. xv. 11. ελεησον ἡμας δεσποτα ὁ* Θεος *παντων. Sir. xxxiii. 1. μοιχεια και ασελγεια. Sap. xiv. 6. του ποιησαι εν αυτοις κριμα εγγραπτον. Ps. cxlix. 9. και νυν δεσποτα* Κυριε. *Jona. iv. 3. ὁ* Ων *δεσποτα* Κυριε. *Jer. i. 6. τον αγορασαντα αυτους δεσποτην. 2 Pet. ii. 1.* [*πλειους δε των φιλων παρεδυνοντο κατασκοποι. Jos. Bell. Jud. i. 24. 1. και παρασκευαζεσθωσαν παντως εις την προγεγραμμενην ἡμεραν, ἱνα τους εχθρους μετελθωσιν. Ant. xi. 6. 12. fin.*] Κυριε *πατερ, και δεσποτα ζωης μου. Sir. xxiii. 1. Conf. 2 Pet. ii. 1. Tit. ii. 13. Col. iii. 17. Ephes. v. 5. (Middleton ad loc. et pass.) κατελιπες τον* Θεον *τον σωτηρα σου, και* Κυριου *του βοηθου σου ουκ εμνησθης. Esa. xvii. 10. ιδοντες ὁν παλαι ηρνουντο ειδεναι, κ. τ. λ. Sap. xii. 27.* [*παντων πατηρ τε και δεσποτης ὁ* Θεος *ων. Jos. Ant. Proem. § 4.* Θεον *μονον ἡγεισθαι δεσποτην. Bell. Jud. vii. 10. 1. πασης γαρ επ᾽ αυτους βασανου και λυμης των σωματων επινοηθεισης, εφ᾽ ἑν τουτο μονον, ὁπως αυτων* Καισαρα *δεσποτην ὁμολογησωσιν κ. τ. λ. Ibid.*] [*ὁ* Κυριος *και* Θεος *ευεργετης εστι. Philo p. 309. Edit. 1640.*]

5 Ὑπομνησαι δε ὑμας βουλομαι, ειδοτας ὑμας, ἁπαξ τουτο, ὁτι ὁ Κυριος λαον εκ γης Αιγυπτου σωσας, το δευτερον τους μη πιστευσαντας απωλεσεν.

διο ουκ αμελησω ὑμας αει ὑπομιμνησκειν περι τουτων, καιπερ ειδοτας. 2 Pet. i. 12. Conf. Esa. lxii. 6. ὑπεμιμνησκε δε ἡμας την Ησαιου *γραφην, κ. τ. λ. 4 Mac. 20. το δευτερον. Gen. xli. 5. Lev. xiii. 5. ὁτι ουκ επιστευσαν εν τῳ* Θεῳ. *Ps. lxxvii. 22. ψευδος και ου πιστις ενισχυσεν επι της γης. Jer. ix. 3. Conf. Exod. xix. 5. Num. xiv. 22-34. xxvi. 64. Deut. xxviii. 20. 1 Pet. ii. 1-8. και ουκ επιστευσαν τῳ λογῳ αυτου. Ps. cv. 24. 1 Cor. x. 5. Heb. iii. 18.*

μνησθητε ταυτα, και στεναξατε, μετανοησατε οἱ πεπλανημενοι, κ. τ. λ. *Esa. xlvi.* 8. [*Conf. Jos. Ant. lib. iii.* 4.]

6 Αγγελους τε τους μη τηρησαντας την ἑαυτων αρχην, αλλα απολιποντας το ιδιον οικητηριον, εις κρισιν μεγαλης ἡμερας δεσμοις αϊδιοις ὑπο ζοφον τετηρηκεν·

ου φεισεται εν ἡμερᾳ κρισεως. *Prov. vi.* 34. ἡμερα γαρ κρισεως Κυριου. *Esa. xxxiv.* 8. οικητηριον. *Jer. xxv.* 30. *Ald.* 2 *Mac. xi.* 2. 3 *Mac. ii.* 15. *v.* 21. αλλα σειραις ζοφου ταρταρωσας, παρεδωκεν εις κρισιν τετηρημενους. 2 *Pet. ii.* 4. 17. υἱοι φυλασσοντες την αρχην. 1 *Par. xxvi.* 10. αξιοι μεν γαρ εκεινοι στερηθηναι φωτος, και φυλακισθηναι εν σκοτει. *Sap. xviii.* 4. λαλησω προς αυτους μετα κρισεως, κ. τ. λ. *Jer. i.* 16. *Conf. Joan. viii.* 44. *Gen. vi.* 2. *Matt. xxv.* 41. διοτι μεγαλη ἡ ἡμερα Κυριου, επιφανης σφοδρα. *Joel. ii.* 11. *Conf. Mal. iv.* 5. μονοις δε εκεινοις επετετατο βαρεια νυξ, εικων του μελλοντος αυτους διαδεχεσθαι σκοτους, ἑαυτοις δε ησαν βαρυτεροι σκοτους. *Sap. xvii.* 21. [πολλοι αγγελοι Θεου γυναιξι συμμιγεντες, κ. τ. λ. *Jos. Ant. i.* 3. 1.] *Act. i.* 25. [ἑκαστος εις τον ιδιον τοπον μελλει χωρειν. *Ignat. ad Magnes. c.* 5.] [εις κολασιν του αιωνος τετηρηται. *Test. XII Patr. p.* 529.] δεσμιοι σκοτους και μακρας πεδηται νυκτος, κ. τ. λ. *Sap. xvii.* 2. *Sir. xvi.* 7. δι' αγγελων πονηρων. *Ps. lxxvii.* 49.

7 Ὡς Σοδομα και Γομοῤῥα, και αἱ περι αυτας πολεις, τον ὁμοιον τουτοις τροπον εκπορνευσασαι, και απελθουσαι οπισω σαρκος ἑτερας, προκεινται δειγμα πυρος αιωνιου δικην ὑπεχουσαι.

Σοδομιτας—παραδειγμα τοις επιγινομενοις καταστησας. 3 *Mac. ii.* 5. *Conf.* 2 *Pet. ii.* 6. *Gen. xix.* 24, 25. ληψῃ τεφραν θυμιαματων. *Tob. vi.* 16. και εξεπορνευσαν απο του Θεου αυτων. *Ose. iv.* 12. *xi.* 8. ὁν τροπον—οὑτως. *Job. iv.* 19. 2 *Mac. xi.* 31. και ουκ ανοισεις επ' αυτου θυμιαμα ἑτερον. *Exod. xxx.* 9. και εξεπορνευσαν οπισω θεων ἑτερων. *Jud. ii.* 17. *Ps. cv.* 39. και απελθοντες λατρευσωσι θεοις ἑτεροις. *Deut. xvii.* 3. [καλον ὑποδειγμα σοι προκειται. *Jos. Bell. Jud. vi.* 2. 1.] ταχεως ουν την αδικον ζημιαν ὑπεσχον. 2 *Mac. iv.* 48. *Conf. Esa. xiii.* 19. *lxvi.* 16. *Jer. xx.* 16. *xxiii.* 14. *Ezech. xvi.* 17. και ιδου εκαλεσε την δικην εν πυρι Κυριος. *Amos. vii.* 4. *Luc. xvii.* 29. *Sap. xiv.* 31. *xviii.* 11. *Sir. xvi.* 8-12. [και μεχρι νυν καιεται [*Sodoma*], το γαρ κεραυνιον πυρ ἡκιστα σβεννυται, μονον η νεμεται η εντυφεται, πιστις δε σαφεστατη τα ὁρωμενα, κ. τ. λ. *Philo. de Abrah. p.* 370. *Conf.* 2. *de Vit. Mos. p.* 662. *apud Loesner. p.* 502.] *Sap. x.* 7. *Jos. Ant. i.*

11. *Bell. iv.* 8. 4. τα μεν δη περι την Σοδομιτιν μυθευομενα τοιαυτην εχει πιστιν απο της οψεως.] ὡς Σοδομα αν εγενηθημεν, και ὡς Γομοῤῥα αν ὡμοιωθημεν. *Esa. i.* 9. ανθ' ὡν ταμιευεται σε ἡ θεια δικη πυκνοτερῳ και αιωνιῳ πυρι και βασανοις, κ. τ. λ. 4 *Mac.* 12.

8 Ὁμοιως μεντοι και οὑτοι ενυπνιαζομενοι σαρκα μεν μιαινουσι, κυριοτητα δε αθετουσι, δοξας δε βλασφημουσιν.

ψυχων μιασμος. *Sap. xiv.* 26. ὁτι εμιαναν Δειναν. *Gen. xxxiv.* 13. *Job. xxxi.* 11. αυτοι δε με ηθετησαν. *Esa. i.* 2. δοξας. *Conf. Esa. v.* 14. *Sir. xxxii.* 12. και αρχοντα του λαου σου ου κακως ερεις. *Exod. xxii.* 28. ενυπνιαζομενοι. *Esa. lvi.* 10. *Jer. xxxiv.* 9. *Conf. Gen. xxxvii.* 19, 20. 2 *Pet. ii.* 10, 11. [κυριοτητες εισι δυναμεις ἁγιαι λειτουργικαι Κυριου. *Phav. apud Schleusn.*] αφελομενος την προγονικην δοξαν, λεγω δη την αρχιερωσυνην. 2 *Mac. xiv.* 7.

9 Ὁ δε Μιχαηλ ὁ αρχαγγελος, ὁτε τῳ διαβολῳ διακρινομενος διελεγετο περι του Μωσεως σωματος, ουκ ετολμησε κρισιν επενεγκειν βλασφημιας, αλλ' ειπεν, Επιτιμησαι σοι Κυριος.

Μιχαηλ ὁ αρχων ὁ μεγας. *Dan. xii.* 1. διακρινομενος παση τῃ γῃ. *Jer. xv.* 10. διελεγετο. *Jud. viii.* 1. ὁστις ετολμησε ποιησαι το πραγμα τουτο. *Est. vii.* 5. κατηγοριαν κατα τινος φερειν. *Joan. xviii.* 29. ενωπιον του Θεου ελευσεται ἡ κρισις αμφοτερων. *Exod. xxii.* 9. επιτιμησαι Κυριος εν σοι, διαβολε. *Zach. iii.* 2. ουθεις λαλει δικαια, ουδε εστι κρισις αληθινη. *Esa. lix.* 4. *Conf. Dan. x.* 13, 21. [παντες ηνεγκαν ψηφους κατ' αυτον. *Jos. Ant. x.* 6. 2.] και φυλαξῃ απο παντος ῥηματος πονηρου. *Deut. xxiii.* 9. και εθαψαν αυτον—και ουκ ειδεν ουδεις την ταφην αυτου ἑως της ἡμερας ταυτης. *xxxiv.* 6. *CITAT.* 305.

10 Οὑτοι δε ὁσα μεν ουκ οιδασι βλασφημουσιν· ὁσα δε φυσικως, ὡς τα αλογα ζωα, επιστανται, εν τουτοις φθειρονται.

ὡς αλογα ζωα φυσικα. 2 *Pet. ii.* 12. κτηνωδης εγενομην παρα σοι. *Ps. lxxii.* 22. εφθαρη δε ἡ γη εναντιον του Θεου. *Gen. vi.* 11. προ κρισεως εξεταζε σεαυτον. *Sir. xviii.* 20. *Conf. Sap. v.* 13. *xii.* 27. *Rom. i.* 22-24. *Ps. cv.* 39.

11 Ουαι αυτοις· ὁτι τῃ ὁδῳ του Καϊν επορευθησαν, και τῃ πλανῃ του Βαλααμ μισθου εξεχυθησαν, και τῃ αντιλογιᾳ του Κορε απωλοντο.

ουαι αυτοις, ὁτι απεπηδησαν απ' εμου. *Ose. vii.* 13. ουαι δε ἡμιν,

ὁτι ἡμαρτομεν. *Thren. v.* 16. και επορευθης εν τῃ ὁδῳ Ἱεροβοαμ. 3 *Reg. xvi.* 2. επλανηθησαν, εξακολουθησαντες τῃ ὁδῳ του Βαλααμ του Βοσορ, ὁς μισθον αδικιας ηγαπησε. 2 *Pet. ii.* 15. 1 *Joan. iii.* 12. τουτο το ὑδωρ αντιλογιας. *Num. xx.* 13. *Prov. xvii.* 11. ει εθεωρεις κλεπτην, συνετρεχες αυτῳ. *Ps. xlix.* 18. ὡσει ὑδωρ εξεχυθην. *xxi.* 14. μη εκχυθῃς επι εδεσματων. *Sir. xxxvii.* 29. *Conf. Gen. iv.* 8. *Num. xvi. xxii.* 7-21. [πορνεια εν ᾗ εξεχυθην εγω. *Test. XII Patr. p.* 520.] [Στασις Κορου. *Jos. Ant. iv.* 2. Βαλααμ. *iv.* 6. *Philo pp.* 268. 367. *Edit. Col.*]

12 Οὑτοι εισιν εν ταις αγαπαις ὑμων σπιλαδες, συνευωχουμενοι αφοβως, ἑαυτους ποιμαινοντες· νεφελαι ανυδροι, ὑπο ανεμων περιφερομεναι· δενδρα φθινοπωρινα, ακαρπα, δις αποθανοντα, εκριζωθεντα·

σπιλοι. 2 *Pet. ii.* 13. συνευωχουμενοι ὑμιν. *Ibid.* [αγαπαι. *Conf. Suic. Thesaur. pp.* 25-27.] εβοσκησαν οἱ ποιμενες ἑαυτους. *Ezech. xxxiv.* 8. και εφαγοσαν και ενεπλησθησαν σφοδρα, κ. τ. λ. *Ps. lxxviii.* 29. νεφελαι ὑπο λαιλαπος ελαυνομεναι. 2 *Pet. ii.* 17. *Prov. xxv.* 14. [συνιεντες αλληλοις και συνευωχουμενοι. *Jos. Ant. iv.* 8. 7.] σεληνη φθινουσα. *Job. xxxi.* 26. = ἁπαξ και δις, *sæpe et sæpius*. *Phil. iv.* 16. 1 *Thess. ii.* 18. *Job. xxxiii.* 14. *Ps. lxi.* 11. εκριζωθεντα. *Dan. iv.* 11. *LXX.* [σπιλαδες, μεμιασμενοι. *Hesych.* φθινοπωρον· νοσος, *sc.* φθινουσα οπωρας. *Phav.*]

13 Κυματα αγρια θαλασσης, επαφριζοντα τας ἑαυτων αισχυνας· αστερες πλανηται, οἱς ὁ ζοφος του σκοτους εις τον αιωνα τετηρηται.

οἱ δε αδικοι κλυδωνισθησονται, και αναπαυσασθαι ου δυνησονται. *Esa. lvii.* 20. αγρια μελλων διοδευειν κυματα. *Sap. xiv.* 1. *xvii.* 21. εν επιθυμιαις ψυχης αυτης επνευματοφορειτο. *Jer. ii.* 24. οἱς ὁ ζοφος του σκοτους εις αιωνα τετηρηται. 2 *Pet. ii.* 17. *Conf. Ephes. iv.* 14. *Phil. iii.* 19. *Job. x.* 22. παντα τα εργα του Κυριου μετα δικαιοσυνης, φυλασσεται δε ὁ ασεβης εις ἡμεραν κακην. *Prov. xvi.* 4. ὡς εν καταιγιδι πλοιον. *Sir. xxxvi.* 2. *Conf. Jac. i.* 6.

14 Προεφητευσε δε και τουτοις ἑβδομος απο Αδαμ Ενωχ λεγων, Ιδου, ηλθε Κυριος εν μυριασιν ἁγιαις αὑτου,

αλλ' ογδοον Νωε δικαιοσυνης κηρυκα. 2 *Pet. ii.* 5. και μυριαι μυριαδες παρειστηκεισαν αυτῳ. *Dan. vii.* 10. Κυριος εκ Σινα ἡκει—και κατεσπευσεν—συν μυριασι Καδης. *Deut. xxxiii.* 2. ηλθεν εν μυριασι δυναμεως αυτου. *Judith. xvi.* 4. και παντες οἱ ἁγιοι μετ' αυτου. *Zach. xiv.* 5. *Matt. xxv.* 31. *Conf. Apoc. i.* 7.

Dan. vii. 10. *Act. i.* 11. 16. 1 *Thess. i.* 10. *Conf. Sir. xliv.* 16. [και διασπαρησεσθε αιχματλωτοι εν τοις εθνεσι—καθως περιεχει βιβλος Ενωχ του δικαιου. *Test. XII Patr. pp.* 571. 577. 667.] ερχεται—Κυριος και οἱ ὁπλομαχοι αυτου καταφθειραι πασαν την οικουμενην. κ.τ.λ. *Esa. xiii.* 5-9. και μυριασιν αγγελων. *Heb. xi.* 22. *Ps. lxvii.* 17.

15 Ποιησαι κρισιν κατα παντων, και εξελεγξαι παντας τους ασεβεις αυτων, περι παντων των εργων ασεβειας αὑτων ὡν ησεβησαν, και περι παντων των σκληρων ὡν ελαλησαν κατ' αυτου ἁμαρτωλοι ασεβεις.

κατα παντων. *Conf. Job. iv.* 18. *Amos. iv.* 2. και εξουσιαν εδωκεν αυτῳ και κρισιν ποιειν, ὁτι υἱος ανθρωπου εστι. *Joan. v.* 27. Κυριε, μη τῳ θυμῳ σου ελεγξῃς με. *Ps. vi.* 1. *Esa. ii.* 4. κατα την ασεβειαν αυτου. *Deut. xxv.* 2. εκ παντων των επιτηδευματων σου, ὡν ησεβησας εις εμε. *Sophon. iii.* 11. τα λαλουντα κατα του δικαιου ανομιαν εν ὑπερηφανιᾳ και εξουδενωσει. *Ps. xxx.* 18. σκληρον δε εφανη το ῥημα σφοδρα. *Gen. xxi.* 11. καρδια σκληρα. *Sir. iii.* 28. λαλειν σκληρα. 2 *Reg. xii.* 13. *Gen. xlii.* 7. 30. *Conf. Matt. xii.* 36. 2 *Thess. i.* 7. *Mal. iii.* 13. ὁ Κυριος τον αιωνα μενει· ἡτοιμασεν εν κρισει τον θρονον αυτου. *Ps. ix.* 7. ὁπως αν δικαιωθῃς εν τοις λογοις σου, και νικησῃς εν τῳ κρινεσθαι σε. *l.* 4. αλαλα γενηθητω τα χειλη τα δολια. *xxx.* 18. *xciv.* 4. *Esa. xxxvii.* 22-36. [*Lib. Henoch. Conf. Laurentii Ang. versionem, ex MSS. Ethiop. Oxon.* 1833. *Versionem De Sacy Latinam hic proponimus : " Et venit cum myriadibus Sanctorum ut faciat judicium super eos, et perdat impios, et litiget cum omnibus carnalibus, pro omnibus quæ fecerunt et operati sunt contra eum, peccatores et impii—"*]

16 Οὑτοι εισι γογγυσται, μεμψιμοιροι, κατα τας επιθυμιας αὑτων πορευομενοι, και το στομα αυτων λαλει ὑπερογκα, θαυμαζοντες προσωπα, ωφελειας χαριν.

γογγυστης. *Prov. xxvi.* 21. *Theod. Conf. Sap. i.* 10, 11. του πορευεσθαι εν επιθυμιαις καρδιας σου. *Sir. v.* 2. και επι τον Θεον λαλησει ὑπερογκα. *Dan. xi.* 36. *Exod. xviii.* 22. 2 *Pet. ii.* 18. Κυριος—ου θαυμαζει προσωπον, ουδε ου μη λαβῃ δωρον. *Deut. x.* 17. *Job. xiii.* 10. χαριν χρυσιου. *Sir. xxxi.* 6. *xxxvii.* 5. *Conf. Ps. xvi.* 10. *Thren. iii.* 39. *Lev. xix.* 15. 1 *Tim. vi.* 5. [μεμψιμοιρος· ὁ μεμφομενος το αγαθον, η φιλεγκλημων, η φιλαιτιος. *Hesych.*] ου γαρ επισταμαι θαυμασαι προσωπα. *Job. xxxii.* 22.

17 Ὑμεις δε, αγαπητοι, μνησθητε των ῥηματων των προει-

ρημενων ὑπο των αποστολων του Κυριου ἡμων Ιησου Χριστου·

μνησθητε το ῥημα Κυριου. *Jos. i.* 13. *Conf.* 2 *Pet. iii.* 2. 2 *Par. xx.* 20. μνησθητευθητε νομου Μωυση του δουλου μου. *Mal. iv.* 4.

18 Ὁτι ελεγον ὑμιν, ὁτι εν εσχατῳ χρονῳ εσονται εμπαικται, κατα τας ἑαυτων επιθυμιας πορευομενοι των ασεβειων.

[οιδα δε, τεκνα μου, ὁτι εν εσχατοις καιροις καταλειψουσιν οἱ υἱοι ἡμων την ἁπλοτητα, και κολληθησονται τῃ απληστιᾳ, κ.τ.λ. *Test. XII Patr. p.* 627.] ὁτι ελευσονται επ' εσχατου των ἡμερων εμπαικται, κατα τας ιδιας αυτων επιθυμιας πορευομενοι. 2 *Pet. iii.* 3. *Act. xx.* 29. 1 *Tim. iv.* 1. 2 *Tim. iii.* 1. και ησαν μυκτηριζοντες τους αγγελους αυτου, και εξουθενουντες τους λογους αυτου, και εμπαιζοντες εν τοις προφηταις αυτου, ἑως ανεβη ὁ θυμος Κυριου εν τῳ λαῳ αυτου, ἑως ουκ ην ιαμα. 2 *Par. xxxvi.* 16.

19 Οὑτοι εισιν οἱ αποδιοριζοντες, ψυχικοι, πνευμα μη εχοντες.

πνευμα Θεου ἁγιον εν αυτῳ εχει. *Dan. iv.* 5. ἡ σοφια ψυχικη. *Jac. iii.* 15. ουκ εστι πνευμα εν αυτοις. *Jer. x.* 14. *Conf.* 1 *Cor. ii.* 14. *Prov. xviii.* 1. *Ezech. xiv.* 7. *Ose. iv.* 14. *Aq. ix.* 10. οἱ λεγοντες, Πορρω απ' εμου, μη εγγισῃς μοι, κ. τ. λ. *Esa. lxv.* 5. αισχυνθησονται παντες οἱ διοριζοντες (αφοριζοντες. *Alex.*) αυτους. *xlv.* 25. *Conf. Gal. ii.* 12. *Luc. vi.* 22.

20 Ὑμεις δε, αγαπητοι, τῃ ἁγιωτατῃ ὑμων πιστει εποικοδομουντες ἑαυτους, εν Πνευματι ἁγιῳ προσευχομενοι,

εκολληθη τῳ εδαφει ἡ ψυχη μου, κ. τ. λ. *Ps. cxviii.* 25. *cxxvi.* 1. *Esa. xxviii.* 16. εποικοδομειν. *Conf. Sir. xlix.* 7. *Conf. Ps. cxl.* 1, 2. *Dan. vi.* 10. το Πνευμα το ἁγιον σου. *Ps. l.* 11, 12.

21 Ἑαυτους εν αγαπῃ Θεου τηρησατε, προσδεχομενοι το ελεος του Κυριου ἡμων Ιησου Χριστου, εις ζωην αιωνιον.

και ετηρησεν αυτον αμεμπτον Θεῳ. *Sap. x.* 5. προσεδεχομην τον σωζοντα με. *Ps. liv.* 8. Κυριε το ελεος σου εις τον αιωνα. *cxxxvii.* 8. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. *Sap. v.* 15. *Job. xiv.* 14. την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18.

22 Και οὑς μεν ελεειτε διακρινομενοι·

ιδου εγω διακρινω αναμεσον προβατου και προβατου, κ. τ. λ. *Ezech. xxxiv.* 17. ελεειτε. *Esa. ix.* 19. *Jer. vii.* 16.

23 Οὑς δε εν φοβῳ σωζετε, εκ του πυρος ἁρπαζοντες, μισουντες και τον απο της σαρκος εσπιλωμενον χιτωνα.

ὡς δαλος εξεσπασμενος εκ πυρος. *Amos. iv.* 11. *Zach. iii.* 3. *Sir. li.* 4. εσπιλωμενον. *Sap. xv.* 4. ενδεδυμενος ἱματια ῥυπαρα—ιδου

αφηρηκα τας ανομιας σου. *Zach. iii.* 4, 5. εν παντι καιρῳ εστωσαν ἱματια σου λευκα. *Eccles. ix.* 8. *Conf. Apoc. iii.* 4. *Lev. xiii.* 46. *Rom. xi.* 14. 1 *Tim. iv.* 16. και εγενηθημεν ὡς ακαθαρτοι παντες ἡμεις, κ. τ. λ. *Esa. lxiv.* 6. [εκ μεν του πυρος διεσωθησαν. *Jos. Bell. Jud. vi.* 3. 1.]

24 Τῳ δε δυναμενῳ φυλαξαι αυτους απταιστους, και στησαι κατενωπιον της δοξης αὑτου αμωμους εν αγαλλιασει,

τῳ Κυριῳ τῳ την ἁγιαν γνωσιν εχοντι φανερον εστιν, ὁτι δυναμενος απολυθηναι του θανατου. 2 *Mac. vi.* 30. απταιστους αυτους ερρὑσατο. 3 *Mac. vi.* 39. χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. *Ps. xvi.* 15. γινωσκει Κυριος τας ὁδους των αμωμων. *xxxvi.* 18. γερας ψυχων αμωμων. *Sap. ii.* 22. *Conf. Rom. xvi.* 25-27. *Ephes. iii.* 20. *Col. i.* 22. τῳ Θεῳ των θεων κ. τ. λ. *Conf. Ps. cxxxv. pass.* εναντι Κυριου, κατενωπιον του καταπετασματος του ἁγιου. *Lev. iv.* 17. [εν χαρᾳ και αγαλλιασει. *Act. Thom.* § 7.] *Esa. lx.* 15. *Ps. cxxxi.* 16.

25 Μονῳ σοφῳ Θεῳ σωτηρι ἡμων δοξα και μεγαλωσυνη, κρατος και εξουσια, και νυν και εις παντας τους αιωνας. αμην.

αλαλαξωμεν τῳ Θεῳ τῳ σωτηρι ἡμων. *Ps. xciv.* 1. *lxiv.* 5. ουκ εστιν αλλος πλην εμου, δικαιος και σωτηρ. *Esa. xlv.* 21. σοι Κυριε ἡ μεγαλωσυνη, και ἡ δυναμις. 1 *Par. xxix.* 11. ευλογητος ει ὁ σωτηρ του Ισραηλ. 1 *Mac. iv.* 30. απο του νυν και ἑως του αιωνος. *Ps. cxii.* 2. *Conf. Rom. xvi.* 27. 1 *Tim. i.* 17. *Tit. i.* 3. εγω ὁ Θεος, και ουκ εστι παρεξ εμου σωζων. *Esa. xliii.* 11. *Ose. xiii.* 4. δοξαν διδους τῳ πανσοφῳ Θεῳ. 4 *Mac.* § 1. εἱς εστι σοφος φοβερος σφοδρα κ. τ. λ. *Sir. i.* 8. *Sap. vii.* 15. και ἡ βασιλεια και ἡ εξουσια και ἡ μεγαλωσυνη. *Dan. vii.* 27. 1 *Par. xxix.* 11. ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. fin.* και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *viii.* 8.



ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

ΚΕΦ. α. 1.

ΑΠΟΚΑΛΥΨΙΣ Ιησου Χριστου, ἡν εδωκεν αυτῳ ὁ Θεος, δειξαι τοις δουλοις αὑτου ἁ δει γενεσθαι εν ταχει, και εσημανεν αποστειλας δια του αγγελου αὑτου τῳ δουλῳ αὑτου Ιωαννῃ,

αποκαλυψῃ παιδειαν προς τους δουλους αυτου τους προφητας. Amos. iii. 7. 1 Reg. iii. 21. λογος απεκαλυφθη τῳ Δανιηλ. Dan. x. 1. ω Κυριε, εγω δουλος σος. Ps. cxv. 16. αλλ᾽ η εστι Θεος εν ουρανῳ αποκαλυπτων μυστηρια, και εγνωρισε τῳ βασιλει ἁ δει γενεσθαι. Dan. ii. 28. 45. των λογων ὡν απεστειλε προς αυτον. Jud. xi. 28. εν ταχει. Deut. ix. 3. και εσημανε. Est. ii. 22. και αποστειλας αγγελον, εξηγαγεν ἡμας. Num. xx. 16. ἁ μοι εδωκεν ὁ Θεος. Esa. viii. 18. και. (copula pro pronomine relativo) = τι ποιησω ετι τῳ αμπελωνι μου, και ουκ εποιησα αυτῳ; Esa. v. 4. Ps. cxvii. 27. et pass. λαλει, ὁτι ακουει ὁ δουλος σου. 1 Reg. iii. 9. Conf. Joan i. 1. iii. 32. viii. 26. xii. 49. Zach. iii. 9. iv. 9. κραταιωμα Κυριος των φοβουμενων αυτον, και ἡ διαθηκη αυτου του δηλωσαι αυτοις. Ps. xxiv. 14.

2 Ὁς εμαρτυρησε τον λογον του Θεου και την μαρτυριαν Ιησου Χριστου, ὁσα τε ειδε.

εμαρτυρησε. Joan. iii. 11. Thren. ii. 13. Conf. 1 Joan. i. 1. 1 Cor. i. 6. τα μαρτυρια αυτου ὁσα διεμαρτυρατο. 4 Reg. xvii. 15. [μαρτυρειν τῳ Θεῳ τας δωρεας. Jos. Ant. iv. 8. 13.]

3 Μακαριος ὁ αναγινωσκων, και οἱ ακουοντες τους λογους της προφητειας, και τηρουντες τα εν αυτῃ γεγραμμενα˙ ὁ γαρ καιρος εγγυς.

μακαριος ὁ ὑπομενων κ. τ. λ. Dan. xii. 12. τα δε ῥηματα μου τηρειτω ση καρδια. Prov. iii. 1. ὁτι εγγυς ἡμερα. Ezech. xxx. 3.

ἡκει ὁ καιρος, ιδου ἡ ἡμερα. *vii.* 12. και εγγυς ἡ ἡμερα Κυριου. *Joel. i.* 5. *Obd.* 15. *Conf. Rom. xiii.* 11. *Jac. v.* 8. 1 *Pet. iv.* 7. *Luc. xi.* 28. αναγνωθι τουτο. *Esa. xxix.* 12.

4 Ιωαννης ταις ἑπτα εκκλησιαις ταις εν τῃ Ασιᾳ· χαρις ὑμιν και ειρηνη απο του ὁ Ων και ὁ Ην και ὁ Ερχομενος· και απο των ἑπτα πνευματων ἁ εστιν ενωπιον του θρονου αυτου·

εγω ειμι ὁ Ων. *Exod. iii.* 14. εσομαι, εσομαι. *Aq. Theod.* ὁ Ων, Κυριε. *Jer. xiv.* 13. *xxxix.* 17. ὁ Ων δεσποτα Κυριε. *i.* 6. [אדני יהוה] εγω ειμι Ῥαφαηλ, εἱς εκ των ἑπτα ἁγιων αγγελων, οἱ προσαναφερουσι τας προσευχας των ἁγιων και εισπορευονται ενωπιον της δοξης του Ἁγιου. *Tob. xii.* 15. ὁ Θεος καθηται επι θρονου ἁγιου. *Ps. xlvii.* 8. ἑπτα οὑτοι οφθαλμοι εισιν οἱ επιβλεποντες επι πασαν την γην. *Zach. iv.* 10. [*simili modo in Test. XII Patr. p.* 522. *Homini tribuuntur septem spiritus. Bretschn.*] ὁ Ων. *Conf. Joan. i.* 18. *iii.* 13. *vi.* 46. *viii.* 47. *Rom. ix.* 5. 2 *Cor. xi.* 31. *Heb. xiii.* 8. 2 *Pet. iii.* 8. ειρηνη ὑμιν πληθυνθειη. *Dan. iii.* 31. τις ενηργησε, και εποιησε ταυτα; εκαλεσεν αυτην ὁ καλων αυτην απο γενεων αρχης —Εγω Θεος πρωτος, και εις τα επερχομενα Εγω Ειμι. *Esa. xli.* 4. *lvii.* 15. *Mich. v.* 2. [Χριστος—ὁ επι παντων Θεος, ὁ Ων, ὁ παντοκρατωρ. *Ignat. Philip. p.* 104. *Edit. Voss.*] [μαρτυρει δε και το θεσπισθεν λογιον τῳ πυνθανομενῳ ει εστι ονομα αυτῳ, ὁτι Εγω ειμι ὁ Ων, κ.τ.λ. *Philo de Som. p.* 465. *de Vit. Mos. p.* 476. Εγω ειμι ὁ Ων· ισον τῳ ειναι πεφυκα, ου λεγεσθαι. *de Mutat. Nom. p.* 809. *Edit. Col.* 1613. το μεγαλειον του Οντος. *de Temul. p.* 246. πως γαρ υἱον τε ην ΤΟ ΟΝ ελπισαι απατᾳσθαι; *de Confus. Ling. p.* 329. *Conf. de Leg. ad Cai. p.* 993. ὁ Θεος *et* Ὁ Ων *permutantur. Loesner.*] αινειτε το Ον. *Ps. cxlvi.* 1. *Theod.* [ὁ Ων, Θεος αει ὑπαρχων. *Hesych.*] ειδεναι τον Οντα. *Sap. xiii.* 1. [ὁ Ων (*quæ est vocis* יהוה *explicatio.) de eo vere dici potest, quod sit* ὁ ην, ὁ ων, και ὁ ερχομενος. *Capell.*] [εφη γαρ προς αυτον, Εγω ειμι ὁ Ων· τουτο δε παρ' Ἑβραιοις αφραστον ονομαζεται. *Theod.*] και ωφθην προς Αβρααμ και Ισαακ και Ιακωβ, Θεος ων αυτων· και το ονομα Κυριος ουκ εδηλωσα αυτοις. *Exod. vi.* 3. [προς τον Οντα εντευξεις και εκβοησεις—αναφθεγγομεθα. *Philo apud Loesner. p.* 393.] *Conf. Glassii. Philolog. p.* 453. *Edit. Dathii.* 355. *Winer.* § 46. *Middleton. p.* 29. απο του Ὁ Ων. *Conf. Bos. Ellips. p.* 203. *Viger. p.* 14.

5 Και απο Ιησου Χριστου, ὁ μαρτυς ὁ πιστος, ὁ πρωτοτοκος εκ των νεκρων, και ὁ αρχων των βασιλεων της γης· τῳ αγα-

πησαντι ἡμας και λουσαντι ἡμας απο των ἁμαρτιων ἡμων εν τῳ αἱματι αὑτου,

ὁ μαρτυς ὁ πιστος = ελπις ἡμων,—ειδοτες. 2 *Cor. i.* 6, 7. ὑπο των επιστατων του Φαραω, λεγοντες. *Exod. v.* 14. *xviii.* 6. *Gen. xxxviii.* 13. 24. *xlv.* 16. *xlviii.* 2. 20. *Vide Raphel. Vol. i.* 411. *et Elsner. pp.* 433-435. πρωτοτοκον θησομαι αυτον, ὑψηλον παρα τοις βασιλευσι της γης. *Ps. lxxxviii.* 27. και μαρτυς εν ουρανῳ πιστος. 37. *Job. xvi.* 20. αγαπησω αυτους ὁμολογως. *Ose. xiv.* 5. αγαπησιν αιωνιον ηγαπησα σε. *Jer. xxxviii.* 3. και ελουσα σε εν ὑδατι, και απεπλυνα το αἱμα σου απο σου. *Ezech. xvi.* 9. καθαρσιον αυτων ποιησαι το εμον αἱμα. 4 *Mac.* 6. λουσασθε, καθαροι γενεσθε. *Esa. i.* 16. ὁ αρχων—ὁ μαρτυς ὁ πιστος. *Conf. Viger. p.* 29. *Winer* § 10. *p.* 61. *Middleton. ad loc.* πλυνον με απο της ανομιας μου, κ. τ. λ. *Ps. l.* 2. *Conf. Esa. lv.* 4. *Zach. xiii.* 1. *Joan. viii.* 14. 1 *Cor. xv.* 20. *Col. i.* 18. οὑτος Θεος των θεων, και Κυριος των κυριων, κ. τ. λ. *Deut. x.* 17. αλλα παρα το αγαπᾳν Κυριον ὑμας,—και ελυτρωσατο σε Κυριος κ. τ. λ. *vii.* 8. *xxiii.* 5. εν αἱματι διαθηκης σου κ. τ. λ. *Zach. ix.* 11.

6 Και εποιησεν ἡμας βασιλεις και ἱερεις τῳ Θεῳ και πατρι αὑτου, αυτῳ ἡ δοξα και το κρατος εις τους αιωνας των αιωνων. αμην.

εποιησε με ὁ Θεος κυριον πασης της γης. *Gen. xlv.* 9. βασιλεα, και ἱερεα, και αρχοντα. *Thren. ii.* 6. βασιλειον ἱερατευμα. *Exod. xix.* 6. ητω ἡ δοξα Κυριου εις τους αιωνας. *Ps. ciii.* 31. *Alex. Ald. Comp.* εις τον αιωνα του αιωνος. *cxliv.* 1, 2. 21. *Sap. v.* 15. και. *supra i.* 1. Θεῳ και πατρι. και εσῃ—διαδημα βασιλειας εν χειρι Θεου σου. *Esa. lxii.* 3. ὑμεις δε ἱερεις Κυριου κληθησονται. κ. τ. λ. *lxi.* 6. [βασιλευειν εν αληθειᾳ εν τοις ουρανοις. *Test. XII Patr. p.* 656.] 4 *Mac. fin.*

7 Ιδου, ερχεται μετα των νεφελων, και οψεται αυτον πας οφθαλμος, και οἱτινες αυτον εξεκεντησαν, και κοψονται επ᾽ αυτον πασαι αἱ φυλαι της γης. ναι, αμην.

ἁ ὁ οφθαλμος μου ἑωρακε, και ουκ αλλος. *Job. xix.* 27. *Ps. xvi.* 15. *lxi.* 2. *Esa. xxxv.* 2. οψονται εις ὁν εξεκεντησαν. *Joan. xix.* 37. ναι δη επ᾽ αληθειας. *Job. xix.* 4. ναι γινωσκω αυτα. *Esa. xlviii.* 7. *Matt. xxiv.* 30. και ιδου μετα των νεφελων του ουρανου, ὡς υἱος ανθρωπου ερχομενος, κ. τ. λ. *Dan. vii.* 13, 14. και οφθησεται ἡ δοξα Κυριου, κ. τ. λ. *Esa. xl.* 5. και επιβλεψονται προς με, ανθ᾽ ὡν κατωρχησαντο, και κοψονται, κ. τ. λ. *Zach. xii.* 10. *Conf. Esa. iii.* 13, 14. *Act. i.* 11. 1 *Thess. i.* 10. και ευλογηθησονται—πασαι αἱ

φυλαι της γης. Ps. lxxi. 17. *και κοψεται ἡ γη κατα φυλας φυλας. Zach. xii.* 12. *οἱτινες. Exod. xxxii.* 9. *Ps. lxxxii.* 12. *CITAT.* 306. 307.

8 Εγω ειμι το Α και το Ω, αρχη και τελος, λεγει ὁ Κυριος, ὁ Ων και ὁ Ην και ὁ Ερχομενος, ὁ Παντοκρατωρ.

Εγω Ειμι (*Dei et Christi nom. prop.*) Εγω Ειμι πρωτος, και Εγω Ειμι εις τον αιωνα. *Esa. xlviii.* 12. *εαν γαρ μη πιστευσητε, οτι,* Εγω Ειμι, *αποθανεισθε εν ταις ἁμαρτιαις ὑμων. Joan. viii.* 24. *πριν* Αβρααμ *γενεσθαι,* Εγω Ειμι. 58. *Conf. Luc. xxii.* 70. *Joan. viii.* 24. *xiii.* 19. *xviii.* 5. Ιδετε, *ιδετε, οτι,* Εγω Ειμι. *κ. τ. λ. Deut. xxxii.* 39. [אני אני הוא] *συ δε ὁ αυτος ει. Ps. ci.* 27. *Heb. i.* 12. *xiii.* 8. 1 *Joan. i.* 1-3. 1 *Joan. i.* 1. Εσται [יהוה] *το ονομα αυτης. Ezech. xlviii.* 35. *ὁ παντοκρατωρ. Job. v.* 17. *Sap. vii.* 25. *Sir. xlii.* 23. *εγω* Θεος *πρωτος, και εις τα επερχομενα* Εγω Ειμι. *Esa. xli.* 4. Εγω *πρωτος, και εγω μετα ταυτα. xliv.* 6. *Supra* 4. *xxi.* 6. *τα δε λεγει* Κυριος *παντοκρατωρ. Agg. i.* 6. [Θεος *αυτος ἑαυτῳ και πασιν αυταρκης, αρχη, και μεσος, και τελος παντων. Jos. c. Ap. ii.* 22.] Εγω Ειμι. *Conf. Luc. xxi.* 8. *Joan. iv.* 26.

9 *Εγω Ιωαννης, ὁ και αδελφος ὑμων και συγκοινωνος εν τῃ θλιψει και εν τῃ βασιλειᾳ και ὑπομονῃ Ιησου Χριστου, εγενομην εν τῃ νησῳ τῃ καλουμενῃ Πατμῳ, δια τον λογον του Θεου και δια την μαρτυριαν Ιησου Χριστου.*

συγκοινωνος. Phil. i. 7. 2 *Tim. i.* 8. *iii.* 11, 12. *Rom. viii.* 17. *μνησθητι* Κυριε *του ονειδισμου των δουλων σου, κ. τ. λ. Ps. lxxxviii.* 50, 51. *Conf.* 1 *Joan. v.* 10.

10 *Εγενομην εν Πνευματι εν τῃ κυριακῃ ἡμερᾳ· και ηκουσα οπισω μου φωνην μεγαλην, ὡς σαλπιγγος,*

προφητευσον—και ειπον τῳ πνευματι. Ezech. xxxvii. 39. *ὡς σαλπιγγος φωνη. Esa. xviii.* 3. *lviii.* 1. *Cap. iv.* 2. *Act. x.* 10. *Ezech. i.* 1. [*ἡ κυριακη ἡμερα. Act. Thom. c.* 31.] *ανεβη ὁ* Θεος—Κυριος *εν φωνῃ σαλπιγγος. Ps. xlvi.* 5. *τα οπισω μου. Exod. xxxiii.* 23.

11 *Λεγουσης,* Εγω *ειμι το* Α *και το* Ω, *ὁ πρωτος και ὁ εσχατος· και,* Ὁ *βλεπεις, γραψον εις βιβλιον, και πεμψον ταις εκκλησιαις ταις εν* Ασιᾳ, *εις* Εφεσον, *και εις* Σμυρναν, *και εις* Περγαμον, *και εις* Θυατειρα, *και εις* Σαρδεις, *και εις* Φιλαδελφειαν, *και εις* Λαοδικειαν.

γραφων παντας τους λογους—εις βιβλιον. Deut. xxxi. 24. *Esa. xxx.* 8. *xli.* 4. *Jer. xxxvii.* 2. *Cap. ii.* 8. *Conf. sup. ver.* 8. [*και ψηφι-*

σμα Εφεσιων. *Jos. Ant. xiv.* 10. 25. τῃ Εφεσιων πολει πρωτευουσῃ της Ασιας κ. τ. λ. *xiv.* 10. 12, 13. Περγαμον, ου των Ἡρωδου γεμουσιν μαθηματων; *Bell. Jud. i.* 21. 11. ψηφισμα Περγαμηνων. *Ant. xiv.* 10. 22. ψηφισμα Σαρδιανων. 24. *Conf. Ottium ad loc.*]

12 Και επεστρεψα βλεπειν την φωνην ἡτις ελαλησε μετ᾽ εμου· και επιστρεψας ειδον ἑπτα λυχνιας χρυσας,

και πασα φωνη αναστησεται. Esa. liv. 17. [*λεγεται γαρ, ὁτι πας ὁ λαος ἑωρα την φωνην, ουκ ηκουεν—ὁ και ἑτερωθι· μηνυεται τον τροπον τουτον,—Ὑμεις ἑωρακατε ὁτι εκ του ουρανου λελαληκα προς ὑμας. Philo de Abrah. p.* 395. *Conf. Deut. v.* 24. *εν τῃ ἡμερᾳ ταυτῃ ειδομεν ὁτι λαλησει ὁ Θεος προς ανθρωπον.*] *και ιδου φωνη εκ του οικου λαλουντος προς με. Ezech. xliii.* 6. *Mich. vi.* 9. *Esa. xl.* 3. 1 *Reg. ix.* 9.

13 Και εν μεσῳ των ἑπτα λυχνιων ὁμοιον υἱῳ ανθρωπου, ενδεδυμενον ποδηρη, και περιεζωσμενον προς τοις μαστοις ζωνην χρυσην·

και ἡ ὁρασις του τεταρτου ὁμοια υἱῳ Θεου. Dan. iii. 25. *vii.* 13. *ὡς ὁμοιωσις υἱου ανθρωπου. x.* 16. *και εἱς ανηρ εν μεσῳ αυτων ενδεδυκως ποδηρη, και ζωνη σαφειρου επι της οσφυος αυτου. Ezech. ix.* 2. 11. *Sir. xxvii.* 8. *Dan. x.* 5. *προς τῳ Λιβανῳ, juxta Libanum. Jos. ix.* 1. *Conf. Exod. xxvii.* 20. *Lev. vi.* 10. *viii.* 7. *και ποιησεις τους λυχνους αυτης ἑπτα. Exod. xxv.* 37. *και ἑπτα λυχνιοι επανω αυτης. Zach. iv.* 2. *και εσται δικαιοσυνῃ εζωσμενος την οσφυν αυτου. Esa. xi.* 5. *CITAT.* 308.

14 Ἡ δε κεφαλη αυτου και αἱ τριχες λευκαι ὡσει εριον λευκον, ὡς χιων· και οἱ οφθαλμοι αυτου ὡς φλοξ πυρος·

ὡς εριον λευκανω. Esa. i. 18. *ἡ θριξ της κεφαλης αυτου ὡσει εριον καθαρον. Dan. vii.* 9. *και οἱ οφθαλμοι αυτου ὡσει λαμπαδες πυρος. x.* 6. *Conf. Ezech. i.* 26, 27. *και το προσωπον αυτων ὡς φλοξ. Esa. xiii.* 8. *xxix.* 6. 2 *Par. xvi.* 9. *Zach. iv.* 10.

15 Και οἱ ποδες αυτου ὁμοιοι χαλκολιβανῳ, ὡς εν καμινῳ πεπυρωμενοι· και ἡ φωνη αυτου ὡς φωνη ὑδατων πολλων·

ὡς φωνη ὑδατων πολλων. Ezech. xliii. 2. *Theod. χαλκος στιλβων. Dan. x.* 5. *Cap. xiv.* 2. *και πτερωτοι οἱ ποδες αυτων—ὡς εξαστραπτων χαλκος. Ezech. i.* 7. *πεπυρωμενος. Prov. x.* 20. *CITAT.* 309.

16 Και εχων εν τῃ δεξιᾳ αὑτου χειρι αστερας ἑπτα· και εκ του στοματος αυτου ῥομφαια διστομος οξεια εκπορευομενη· και ἡ

οψις αυτου, ὡς ὁ ἡλιος φαινει εν τῃ δυναμει αὑτου.

ὡς ῥομφαια διστομος. Sir. xxi. 3. Esa. xlix. 2. Ps. cxlix. 6. και ἡ γλωσσα αυτων, μαχαιρα οξεια. lvi. 5. Ezech. v. 1. ἡ οψις αυτου. Joan. xi. 44. ὡς ὁ ἡλιος. Ps. lxxxviii. 36. Conf. Dan. xii. 3. Ephes. vi. 17. Heb. iv. 12. ὁ Θεος οικτειρησαι ἡμας, και ευλογησαι ἡμας, επιφαναι το προσωπον αυτου εφ' ἡμας. Ps. lxvi. 1. ὁτε εγενηθησαν αστρα, ῃνεσαν με φωνῃ μεγαλῃ παντες αγγελοι μου. Job. xxxviii. 7. και εσται σοι Κυριος φως αιωνιον και ὁ Θεος δοξα σου. Esa. lx. 19. Mal. iv. 2. αστερας ἑπτα. Conf. Num. xxiv. 17. Dan. viii. 10. 24. περιζωσαι την ῥομφαιαν σου επι τον μηρον σου, δυνατε, κ. τ. λ. Ps. xliv. 3-5.

17 Και ὁτε ειδον αυτον, επεσα προς τους ποδας αυτου ὡς νεκρος. και επεθηκε την δεξιαν αὑτου χειρα επ' εμε λεγων μοι, Μη φοβου· εγω ειμι ὁ πρωτος και ὁ εσχατος,

λογοι—οἱ πρωτοι και οἱ εσχατοι. 2 Par. ix. 29. εγω πρωτος, και εγω μετα ταυτα. Esa. xliv. 6. και εν τῳ λαλειν αυτον μετ' εμου, πιπτω επι προσωπον μου επι την γην, κ. τ. λ. Dan. viii. 18. x. 8, 9. μη φοβου Δανιηλ, κ. τ. λ. x. 12. CITAT. 310.

18 Και ὁ ζων· και εγενομην νεκρος, και ιδου, ζων ειμι εις τους αιωνας των αιωνων· αμην· και εχω τας κλεις του ᾁδου και του θανατου.

ὁ ζων εις τον αιωνα εκτισε τα παντα κοινῃ. Sir. xviii. 1. xlviii. 5. οιδα γαρ ὁτι αενναος εστι κ. τ. λ. Job. xix. 25. xii. 14. Rom. vi. 9. ζω εγω, και ζων το ονομα μου. Num. xiv. 21. πλην ὁ Θεος λυτρωσεται την ψυχην μου εκ χειρος ᾁδου, ὁταν λαμβανῃ με. Ps. xlviii. 15. Esa. xxv. 8. Ose. xiii. 14. Κυριος θανατοι και ζωογονει, καταγει εις ᾁδου, και αναγει. 1 Reg. ii. 6. και του Κυριου αἱ διεξοδοι του θανατου. Ps. lxvii. 20. Ζῃ Κυριος, και ευλογητος ὁ Θεος μου, κ. τ. λ. xvii. 46. και δωσω αυτῳ την κλειδα οικου Δαυιδ κ. τ. λ. Esa. xxii. 22. εις τον αιωνα του αιωνος. Ps. cx. 8. ζων ειμι pro ζαω = εστω διαχωριζον. Gen. i. 6. εσῃ συναντων. Exod. vii. 15.

19 Γραψον ἁ ειδες, και ἁ εισι, και ἁ μελλει γινεσθαι μετα ταυτα·

γραψον ορασιν. Hab. ii. 2. ἁ μελλει γινεσθαι. Esa. xlviii. 6. τι δει γενεσθα μετα ταυτα. Dan. ii. 29. viii. 19.

20 Το μυστηριον των ἑπτα αστερων ὡν ειδες επι της δεξιας μου, και τας ἑπτα λυχνιας τας χρυσας. οἱ ἑπτα αστερες, αγ-

γελοι των ἑπτα εκκλησιων εισι· και αἱ ἑπτα λυχνιαι ἁς ειδες, ἑπτα εκκλησιαι εισι.

το μυστηριον. Conf. Bos. Ellips. p. 454. =τον ανθρωπον του Θεου ὁν απεστειλας, ελθετω δη ετι προς ἡμας. *Jud. xiii.* 8. *Tob. xii.* 15. [*De numero Septenario, conf. Philo. de Mund. Opific. passim.*] το μυστηριον (*quod attinet ad.*) ὁ ὁ βασιλευς επερωτα, κ. τ. λ. *Dan. ii.* 27. και πορευσονται βασιλεις τῳ φωτι σου, και εθνη τῃ λαμπροτητι σου. *Esa. lx.* 3. ιδου λυχνια χρυση ὁλη, και το λαμπαδιον επανω αυτης, και ἑπτα λυχνοι επανω αυτης. *Zach. iv.* 2. 11.

ΚΕΦ. β. 2.

ΤΩ αγγελῳ της Εφεσινης εκκλησιας γραψον, Ταδε λεγει ὁ κρατων τους ἑπτα αστερας εν τῃ δεξιᾳ αὑτου, ὁ περιπατων εν μεσῳ των ἑπτα λυχνιων των χρυσων·

τῳ αγγελῳ. *Mal. ii.* 7. 1 *Esd. i.* 50, 51. ὁ περιπατων επι πτερυγων ανεμων. *Ps. ciii.* 3. εγενηθης εν μεσῳ λιθων πυρινων. *Ezech. xxviii.* 14. *Conf. cap. i.* 13. 16. 20. *Ezech. xxviii.* 13. και ειπεν Αγγαιος αγγελος Κυριου, εν αγγελοις Κυριου τῳ λαῳ. *Agg. i.* 13. ειπατε δη προς Εζεκιαν, Τα δε λεγει ὁ βασιλευς ὁ μεγας, κ. τ. λ. 4 *Reg. xviii.* 19. *Conf. Esa. xlix.* 16.

2 Οιδα τα εργα σου και τον κοπον σου και την ὑπομονην σου, και ὁτι ου δυνῃ βαστασαι κακους, και επειρασω τους φασκοντας ειναι αποστολους και ουκ εισι, και εὑρες αυτους ψευδεις,

αυτος γαρ οιδεν εργα ανομων. *Job. xi.* 11. *Jer. xxxi.* 30. κοπος της αγαπης. 1 *Thess. i.* 3. 2 *Thess. iii.* 8. φασκοντες αυτων ειναι το ὑδωρ. *Gen. xxvi.* 20. βαστασαι. *Conf. Rom. xv.* 1. και (αλλα). *Viger. p.* 426. *Conf. Sir. xli.* 13. *Tobit. iii.* 10. 1 *Joan. iv.* 1.

3 Και εβαστασας και ὑπομονην εχεις, και δια το ονομα μου κεκοπιακας και ου κεκμηκας.

εβαστασας. *Ps. lxxxviii.* 49. *Sym.* και δια το ονομα Κυριου το ἁγιον. *Esa. lx.* 9. *Heb. xii.* 5. *Gal. vi.* 9. και ἑνεκεν της επ᾽ αυτους επικλησεως του σεμνου και μεγαλοπρεπους ονοματος αυτου. 2 *Mac. viii.* 15. ὁ εαν επιθῃς επ᾽ εμε, βαστασω. 4 *Reg. xviii.* 14. οἱ δε ὑπομενοντες τον Θεον, αλλαξουσιν ισχυν—δραμουνται, και ου κοπιασουσι κ. τ. λ. *Esa. xl.* 31. κοπασον δια το ονομα σου. *Jer. xiv.* 21. ὑπομενων ὑπεμεινα τον Κυριον κ. τ. λ. *Ps. xxxix.* 1. ὁτι ἑνεκα σου ὑπηνεγκα ονειδισμον. *Ps. lxviii.* 7. *xxxvii.* 7. καμνων τῃ ψυχῃ μου. *Job. x.* 1.

4 Αλλ' εχω κατα σου, ὁτι την αγαπην σου την πρωτην αφηκας.

κατα σου. Matt. v. 23. Conf. Luc. viii. 13. αφηκα την κληρονομιαν μου. Jer. xii. 7. εμνησθην ελεους νεοτητος σου, και αγαπης τελειωσεως σου, κ. τ. λ. ii. 2-5. καιρος συναλλαγης. Ezech. xvi. 8. Aq. Edit. 2. αγαπης. Sym. Conf. Ose. vi. 5.

5 Μνημονευε ουν ποθεν εκπεπτωκας, και μετανοησον, και τα πρωτα εργα ποιησον· ει δε μη, ερχομαι σοι ταχυ, και κινησω την λυχνιαν σου εκ του τοπου αὑτης, εαν μη μετανοησῃς.

εκπεπτωκας. Prov. xxiv. 16. ὡς το προτερον. Esa. i. 26. και ου κινησω ετι τον λαον μου. Bar. ii. 35. 2 Par. xxxv. 15. και ιδου ταχυ κουφως ερχονται. Esa. v. 26. λυχνος εκλαμπων επι λυχνιας ἁγιας. Sir. xxvi. 19. μακαριος οὑ ου κατεγνω ἡ ψυχη αυτου, και ὁς ουκ επεσεν απο της ελπιδος αυτου. xiv. 2. xvii. 20-26. και λικμησει αυτον εκ του τοπου αυτου. Job. xxvii. 21. και διηλθον επι σε, και ιδον σε πεφυρμενην εν τῳ αἱματι σου, και ειπα σοι, Εκ του αἱματος σου ζωη, κ. τ. λ. Ezech. xvi. 6, 7. και μνησθησῃ την ὁδον σου, και εξατιμωθησῃ κ. τ. λ. 61-63. xx. 43. xxxvi. 31. επιστραφηθι Ισραηλ προς Κυριον τον Θεον σου, διοτι ησθενησαν εν ταις αδικιαις σου. Ose. xiv. 2. ix. 10. και αρεσει τῳ Κυριῳ θυσια Ιουδα και Ἱερουσαλημ, καθως αἱ ἡμεραι του αιωνος, και καθως τα ετη τα εμπροσθεν. Mal. iii. 4. Jer. iii. 14.

6 Αλλα τουτο εχεις, ὁτι μισεις τα εργα των Νικολαϊτων, ἁ καγω μισω.

εργα της πορνης. Ezech. xvi. 30. ηγαπησας δικαιοσυνην, και εμισησας ανομιαν. Ps. xliv. 7. εμισησα εκκλησιαν πονηρευομενων, κ. τ. λ. xxv. 5. Conf. Jer. li. 4. 2 Par. xix. 2. ουχι τους μισουντας σε Κυριε εμισησα; κ. τ. λ. Ps. cxxxviii. 21.

7 Ὁ εχων ους, ακουσατω τι το Πνευμα λεγει ταις εκκλησιαις· Τῳ νικωντι δωσω αυτῳ φαγειν εκ του ξυλου της ζωης, ὁ εστιν εν μεσῳ του παραδεισου του Θεου.

ὁ εχων ὡτα ακουειν ακουετω. Matt. xi. 15. Ezech. iii. 27. και το ξυλον της ζωης εν μεσῳ του παραδεισου. Gen. ii. 9. κατα γαρ τας ἡμερας του ξυλου της ζωης, εσονται αἱ ἡμεραι του λαου μου. Esa. lxv. 22. εν τῳ παραδεισῳ του Θεου. Ezech. xxxi. 8. xlvii. 12. Eccles. ii. 5. Conf. Prov. xi. 30. [Παραδεισος μεν δε τροπικως ειρηται ἡ αρετη· τοπος δε οικειος τῳ παραδεισῳ Εδεμ, τουτο εστι τρυφη (εν τῳ παραδεισῳ της τρυφης. Gen. ii. 15.) Philo Alleg. 1. Tom. i. p. 52. Edit. Mangey. φυλασσειν την ὁδον του ξυλου της ζωης.

de Cherub. in init.] [αυτος (ὁ υἱος του Θεου) ανοιξει τας θυρας του παραδεισου σου, και—δωσει τοις ἁγιοις φαγειν εκ του ξυλου της ζωης. *Test. XII Patr. pp.* 586, 587.] [το δενδρον της ζωης. *Philo de Opific. explicatur* ἡ θεοσεβεια; *in Alleg.* ὁ της τελειας αρετης χαρακτηρ.] οἱ δε ποιουντες τα αρεστα αυτῳ αθανασιας δενδρον καρπουνται. *Sir. xix.* 17. *Comp.* [τῳ νικωντι δωσω αυτῳ. *Conf. Voss. de Hebrais. p.* 292.]

8 Και τῳ αγγελῳ της εκκλησιας Σμυρναιων γραψον, Ταδε
λεγει ὁ πρωτος και ὁ εσχατος, ὁς εγενετο νεκρος, και εζησεν·

Εγω πρωτος, και Εγω μετα ταυτα. *Esa. xliv.* 6. Εγω Ειμι πρωτος, και Εγω Ειμι εις τον αιωνα. *xlviii.* 12. *Cap. i.* 17, 18.

9 Οιδα σου τα εργα και την θλιψιν και την πτωχειαν, (πλου-
σιος δε ει·) και την βλασφημιαν των λεγοντων Ιουδαιους ειναι
ἑαυτους, και ουκ εισιν, αλλα συναγωγη του Σατανα.

εγω οιδα την ὑπερηφανιαν σου. 1 *Reg. xvii.* 28. *Alex. Ald. Comp.* εις Θεον πλουτων. *Luc. xii.* 21. γιγαντας. *Job. xxvi.* 5. θεομαχους. *Sym.* επιλανθανῃ της πτωχειας ἡμων, και της θλιψεως. *Ps. xliii.* 24. απεριτμητους καρδιᾳ. *Ezech. xliv.* 7. *Ose. xii.* 8. *Conf. Rom. ii.* 28, 29. *Matt. vi.* 20. *Gal. vi.* 11. ανηρ πλανωμενος εξ ὁδου δικαιοσυνης, εν συναγωγῃ γιγαντων (θεομαχων. *Sym.*) αναπαυσεται. *Prov. xxi.* 16.

10 Μηδεν φοβου ἁ μελλεις πασχειν. ιδου, μελλει βαλειν εξ
ὑμων ὁ διαβολος εις φυλακην, ἱνα πειρασθητε· και ἑξετε θλιψιν
ἡμερων δεκα. γινου πιστος αχρι θανατου, και δωσω σοι τον
στεφανον της ζωης.

ἁ μελλει γινεσθαι. *Esa. xlviii.* 6. εις φυλακην. *Jer. xliv.* 5. *Comp.* μη φοβου κ. τ. λ. *Gen. xv.* 1. *xxi.* 17. *Dan. x.* 12. πειρασον δη τους παιδας σου ἡμερας δεκα. *Dan. i.* 12. ὁδε στεφανος εσται τοις ὑπομενουσι. *Zach. vi.* 14. *Sap. iv.* 2. 5. 17. διαβολος. *Job. i.* 6. *Zach. iii.* 1, 2. *Sap. ii.* 24. *Conf.* 1 *Cor. ix.* 25. 2 *Tim. ii.* 5. *Jac. i.* 12. *Matt. x.* 22. τῃ ἡμερᾳ εκεινῃ εσται ὁ Κυριος σαβαωθ ὁ στεφανος της ελπιδος, ὁ πλεκεις της δοξης τῳ καταλειφθεντι του λαου. *Esa. xxviii.* 5. ἑως θανατου αγωνισαι περι της αληθειας, και Κυριος ὁ Θεος πολεμησει ὑπερ σου. *Sir. iv.* 28. και εν πειρασμῳ ευρεθη πιστος. *xliv.* 20.

11 Ὁ εχων ους, ακουσατω τι το Πνευμα λεγει ταις εκκλη-
σιαις· Ὁ νικων ου μη αδικηθῃ εκ του θανατου του δευτερου.

Matt. xiii. 9. *Cap. iii.* 6. *non obnoxius erit morti*—αδικηθηναι ου προσδεχονται. *Sap. xiv.* 29. *Conf. Esa. x.* 20. *li.* 23. ὁ νικων = και

εσται ὁ ανθρωπος, ὁν εαν εκλεξωμαι αυτον, ἡ ῥαβδος αυτου εκβλαστησει. Num. xvii. 5. [Bos. p. 451.] Act. vii. 40. Rom. ix. 10. και δικαιοσυνη ῥυσεται απο θανατου. Prov. xi. 4. Alex.

12 Και τῳ αγγελῳ της εν Περγαμῳ εκκλησιας γραψον, Ταδε λεγει ὁ εχων την ῥομφαιαν την διστομον την οξειαν·

και ῥομφαιαι διστομοι εν ταις χερσιν αυτων. Ps. cxlix. 6. περιζωσαι την ῥομφαιαν σου επι τον μηρον σου, δυνατε. xliv. 3-5. Conf. cap. i. 16. ii. 16. και παταξει την γην τῳ λογῳ του στοματος αυτου, κ. τ. λ. Esa. xi. 4. Ps. vii. 12.

13 Οιδα τα εργα σου και που κατοικεις, ὁπου ὁ θρονος του Σατανα, και κρατεις το ονομα μου, και ουκ ηρνησω την πιστιν μου και εν ταις ἡμεραις εν αἱς Αντιπας ὁ μαρτυς μου ὁ πιστος, ὁς απεκτανθη παρ' ὑμιν, ὁπου κατοικει ὁ Σατανας.

κρατεις. Heb. iv. 14. ὁ κρατων αυτης κληρονομησει δοξαν. Sir. iv. 13. 2 Reg. iii. 10. ὁ μαρτυς ὁ πιστος. Ps. lxxxviii. 31. οικος παραπικραινων εστι. 7. εν μεσῳ σκοπιων συ κατοικεις. ii. 6. καγω τα εργα αυτων και τον λογισμον αυτων, κ. τ. λ. Esa. lxvi. 18. το γαρ ονομα μου εστιν επ' αυτῳ. Exod. xxiii. 21.

14 Αλλ' εχω κατα σου ολιγα, ὁτι εχεις εκει κρατουντας την διδαχην Βαλααμ, ὁς εδιδασκεν εν τῳ Βαλακ βαλειν σκανδαλον ενωπιον των υἱων Ισραηλ, φαγειν ειδωλοθυτα και πορνευσαι.

Conf. Jud. 11. 1 Pet. ii. 11. σκανδαλον. Ps. cv. 36. Sap. xiv. 11. πορνευσαι. 1 Par. v. 25. Num. xxv. 1-3. ειδωλοθυτα. 4 Mac. 5. Ezech. xliv. 7. Conf. Num. xxii. xxiii. Act. xv. 1. 29. εδιδασκεν. 2 Par. xvii. 9. [Conf. Jos. Ant. iv. 6. 9.] 2 Pet. ii. 15. ανθ' ὡν ελειτουργουν αυτοις προ προσωπου των ειδωλων αυτων κ. τ. λ. Ezech. xliv. 12. κατα το ῥημα Βαλααμ του αποστησαι και ὑπεριδειν το ῥημα Κυριου. Num. xxxi. 16. αρατε σκωλα απο της ὁδου του λαου μου. Esa. lvii. 14. Conf. Sap. xiv. 12.

15 Οὑτως εχεις και συ κρατουντας την διδαχην των Νικολαϊτων, ὁ μισω.

κρατειν την παραδοσιν. Marc. vii. 3. 2 Thess. ii. 15. Num. xxv. 5. πως κρατιωσητε φοβον χριστου; 2 Reg. xxiii. 3. Neh. ii. 1. [το θελημα του Θεου κρατειν. Test. XII Patr. p. 665.]

16 Μετανοησον· ει δε μη, ερχομαι σοι ταχυ, και πολεμησω μετ' αυτων εν τῃ ῥομφαιᾳ του στοματος μου.

ουκ εστιν ανθρωπος ὁ μετανοων απο της κακιας. Jer. viii. 6. Ephes. vi. 17. 2 Thess. ii. 8. Heb. iv. 12. και εθηκε το στομα μου ὡς

μαχαιραν οξειαν κ. τ. λ. Esa. xlix. 2. Conf. Sap. xviii. 15. Sir. iv. 28. Luc. xiii. 3.

17 Ὁ εχων ους, ακουσατω τι το Πνευμα λεγει ταις εκκλη-
σιαις· Τῷ νικωντι δωσω αυτῷ φαγειν απο του μαννα του
κεκρυμμενου, και δωσω αυτῷ ψηφον λευκην, και επι την ψηφον
ονομα καινον γεγραμμενον, ὃ ουδεις εγνω ει μη ὁ λαμβανων.

και καλεσει σε το ονομα το καινον, ὁ ὁ Κυριος ονομασει αυτο. Esa. lxii. 2. lxv. 15. [λευκη ψηφος· παροιμια επι των ευδαιμονως —ζωντων. Hesych.] Conf. Sap. xvi. 20. Exod. xvi. 12. Num. xi. 9. Joan. vi. 33. Ezech. ix. 4. xlviii. 35. τα αδηλα και τα κρυφια της σοφιας σου εδηλωσας μοι. Ps. l. 6. μεθυσθησονται απο πιοτητος οικου σου κ. τ. λ. xxxv. 8. κεκραξον προς με, και αποκριθησομαι σοι, και απαγγελω σοι μεγαλα και ισχυρα, ἁ ποτε ουκ εγνως αυτα. Jer. xl. 3. ὁτι εμεθυσα πασαν ψυχην διψωσαν, και πασαν ψυχην πεινωσαν ενεπλησα. xxxviii. 25. Conf. Esa. xliv. 5.

18 Και τῷ αγγελῳ της εν Θυατειροις εκκλησιας γραψον, Ταδε
λεγει ὁ υἱος του Θεου, ὁ εχων τους οφθαλμους αὑτου ὡς φλογα
πυρος, και οἱ ποδες αυτου ὁμοιοι χαλκολιβανῳ·

και οἱ οφθαλμοι αυτου ὡσει λαμπαδες πυρος, και οἱ βραχιονες αυτου και τα σκελη ὡς ὁρασις χαλκου στιλβοντος. Dan. x. 6. οφθαλμους αυτου—ποδες αυτου. = υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. Deut. xxxii. 20. Conf. cap. i. 14, 15. Ezech. i. 4. 27.

19 Οιδα σου τα εργα και την αγαπην και την διακονιαν, και
την πιστιν και την ὑπομονην σου, και τα εργα σου, και τα
εσχατα πλειονα των πρωτων.

ἱνα πολυν ζησεις χρονον, προστεθῃ δε σοι ετη ζωης. Prov. ix. 18. πλειονα θυσιαν. Heb. xi. 4. 2 Cor. ix. 1. 12. Cap. i. 9. Ps. xci. 14. ὁ δε Κυριος ευλογησε τα εσχατα Ιωβ, η τα εμπροσθεν. Job. xlii. 12. xvii. 9. Esa. xl. 31. xli. 1. Jer. ii. 2.

20 Αλλ᾽ εχω κατα σου ολιγα, ὁτι εᾳς την γυναικα Ιεζαβηλ,
την λεγουσαν ἑαυτην προφητιν, διδασκειν και πλανασθαι εμους
δουλους, πορνευσαι και ειδωλοθυτα φαγειν.

Conf. 3 Reg. xvi. 31. 4 Reg. ix. 7. τους προφητας της αισχυνης, κ.τ.λ. 3 Reg. xviii. 19. 25. εχειν τι κατα τινος. Matt. v. 23. Marc. xi. 25. Act. xv. 20. 1 Cor. x. 19, 20.

21 Και εδωκα αυτῃ χρονον ἱνα μετανοησῃ εκ της πορνειας αὑ-
της, και ου μετενοησεν.

εν πασι τουτοις ου μετενοησεν ὁ λαος. Sir. xlviii. 15. πνευμα πορ-

νειας εν αυτοις εστι. *Ose. v.* 4. μη ὁ πιπτων ουκ ανισταται; η ὁ αποστρεφων ουκ αναστρεφει; *Jer. viii.* 4-6. *Conf. Sap. xii.* 10.

22 Ιδου, εγω βαλλω αυτην εις κλινην, και τους μοιχευοντας μετ᾽ αυτης εις θλιψιν μεγαλην, εαν μη μετανοησωσιν εκ των εργων αὑτων,

και μετα ταυτα επεσεν επι την κοιτην, και εγνω ὁτι αποθνησκει. 1 *Mac. i.* 5. ισως ακουσεται ὁ οικος Ιουδα παντα τα κακα ποιησαι αυτοις, κ. τ. λ. *Jer. iii.* 3. *xviii.* 8. δια τουτο ιδου εγω επισυναγω παντας τους εραστας σου εν οἱς επεμιγης εν αυτοις, κ. τ. λ. *Ezech. xvi.* 37-41. *xxiii.* 45-48. εαν μη επιστραφητε την ῥομφαιαν αυτου στιλβωσει, κ. τ. λ. *Ps. vii.* 12. *Ezech. xviii.* 30-32. *Jon. iii.* 8-10. 3 *Reg. viii.* 47, 48.

23 Και τα τεκνα αυτης αποκτενω εν θανατῳ· και γνωσονται πασαι αἱ εκκλησιαι ὁτι Εγω Ειμι ὁ ερευνων νεφρους και καρδιας· και δωσω ὑμιν ἑκαστῳ κατα τα εργα ὑμων.

θανατῳ αποκτειναι. *Ezech. xxxiii.* 27. *Exod. xxi.* 17. φως Κυριου πνοη ανθρωπων, ὁς ερευνᾳ ταμεια κοιλιας. *Prov. xx.* 27. πυρωσον τους νεφρους μου, και την καρδιαν μου. *Ps. xxv.* 2. *Sap. i.* 6. Εγω Ειμι. *Conf. cap. i.* 6. συ αποδωσεις ἑκαστῳ κατα τα εργα αυτου. *Ps. lxi.* 12. *Prov. xxiv.* 12. ανταποδῳ ανθρωπῳ κατα τας πραξεις αυτου. *Sir. xxxii.* 19. *xlii.* 18. Εγω Κυριος εταζων καρδιας κ. τ. λ. *Jer. xvii.* 10. *Conf.* 3 *Reg. viii.* 39. 1 *Par. xxviii.* 9. *Matt. xvi.* 27. *Joan. ii.* 24. *CITAT.* 311.

24 Ὑμιν δε λεγω και λοιποις τοις εν Θυατειροις, ὁσοι ουκ εχουσι την διδαχην ταυτην, και οἱτινες ουκ εγνωσαν τα βαθη του Σατανα, ὡς λεγουσιν, Ου βαλω ἐφ᾽ ὑμας αλλο βαρος·

βαθεια η καρδια παρα παντα κ. τ. λ. *Jer. xvii.* 9. τα βαθη. 1 *Cor. ii.* 10. βαρος. *Act. xv.* 28. βαρος ὑπερ σε μη αρῃς. *Sir. xiii.* 2. του βαλειν χαρακα—χωμα. *Ezech. xxi.* 22. ὁ φυλασσων εντολας ου γνωσεται ῥημα πονηρον. *Eccles. viii.* 5. βαθυ βαθος, και τις εὑρησει αυτο; *vii.* 25. *Conf. Ps. xci.* 5. και επι τοις βαθεσι του ᾳδου οἱ κλητοι αυτης. *Prov. ix.* 18. *Aq. Theod. Sym. Matt. xi.* 30.

25 Πλην ὁ εχετε κρατησατε, αχρις οὑ αν ἡξω.

κρατων. 2 *Reg. iii.* 6. αχρις οὑ αν ελθῃ. 1 *Cor. xi.* 26. *Job. xxxii.* 11. Αβεννηρ ην κρατων του οικου Σαουλ. 2 *Reg. iii.* 6. ὁ κρατων αυτης κληρονομησει δοξαν. *Sir. iv.* 13. *Conf. Heb. iv.* 14. υἱε μη παραρρυῃς, τηρησον δε εμην βουλην κ. τ. λ. *Prov. iii.* 21-26. χειρ εκλεκτων κρατησει ευχερως, κ. τ. λ. *xii.* 24.

26 Και ὁ νικων και ὁ τηρων αχρι τελους τα εργα μου, δωσω αυτῳ εξουσιαν επι των εθνων,

ὁ νικων. *Conf. Viger. p.* 41. = *Dan. i.* 17. *Tob. vi.* 7, 8. *Judith. xi.* 9. *Sir. x.* 2. *Raphel. in loc. Conf. Ps. ii.* 8. *Matt. xix.* 28. 1 *Cor. vi.* 3. και παραληψονται την βασιλειαν ἁγιοι Ὑψιστου, κ. τ. λ. *Dan. vii.* 18. 22. 27. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. ἑως τελους. *Dan. vi.* 26. *xii.* 13. μεχρι τελους. *Eccles. iii.* 11.

27 Και ποιμανει αυτους εν ῥαβδῳ σιδηρᾳ, ὡς τα σκευη τα κεραμικα συντριβεται, ὡς καγω ειληφα παρα του πατρος μου·

ποιμανεις αυτους εν ῥαβδῳ σιδηρᾳ, ὡς σκευος κεραμεως συντριψεις αυτους. *Ps. ii.* 9. ειληφα. *Lev. vii.* 24. *Conf. Matt. xi.* 27. *Luc. xxii.* 29. *Joan. x.* 18. *xvii.* 24. *CITAT.* 312.

28 Και δωσω αυτῳ τον αστερα τον πρωϊνον.

αστηρ εωθινος. *Sir. l.* 6. *Mal. iv.* 2. *Sap. iii.* 7. πρωϊνον. *Gen. xlix.* 27. *Conf.* 2 *Pet. i.* 19. *Cap. xxii.* 16. και οἱ συνιεντες λαμψουσι ὡς ἡ λαμπροτης του στερεωματος, κ. τ. λ. *Dan. xii.* 3, 4. ὁ Ἑωσφορος ὁ πρωϊ ανατελλων. *Esa. xiv.* 12. ανατελει αστρον εξ Ιακωβ, και αναστησεται ανθρωπος εξ Ισραηλ. *Num. xxiv.* 17.

29 Ὁ εχων ους ακουσατω τι το Πνευμα λεγει ταις εκκλησιαις.

ὁ εχων ους. *Matt. xi.* 15. *Conf. sup.* 7, 11, 17. εστω δη το ους σου προσεχον, και οἱ οφθαλμοι σου ανεῳγμενοι. *Neh. i.* 6. ους ακουει, και οφθαλμος ὁρᾳ, Κυριου εργα και αμφοτερα. *Prov. xx.* 12. και το Πνευμα μου δωσω εν ὑμιν κ. τ. λ. *Ezech. xxxvi.* 7. *Agg. ii.* 6.

ΚΕΦ. γ. 3.

ΚΑΙ τῳ αγγελῳ της εν Σαρδεσιν εκκλησιας γραψον, Ταδε λεγει ὁ εχων τα πνευματα του Θεου και τους ἑπτα αστερας· Οιδα σου τα εργα, ὁτι το ονομα εχεις ὁτι ζῃς, και νεκρος ει.

[Οἱ Ισραηλιται—προσκυνουν ἑνα Θεον, και μεγιστον και αληθη—τους δ᾽ αλλους ὑπο φαυλου και ανοητου δοξης ονοματα πεποιημενα. *nomine tantum Deos. Jos. Ant. viii.* 13. 6.] τῳ αγγελῳ. *Mal. iii.* 7. αναστα εκ των νεκρων. *Ephes. v.* 14. επτα. *Conf. cap. i.* 4, 16, 20. ζωσα τεθνηκε. 1 *Tim. v.* 6. ἁ ποιησας αυτα ανθρωπος,

ζησεται εν αυτοις. *Lev. xviii. 5. Esa. xxii. 2.* και, *sed. Exod. vi. 3. 2 Reg. iii. 8.*

2 Γινου γρηγορων, και στηριξον τα λοιπα ἁ μελλει αποθανειν. ου γαρ εὑρηκα σου τα εργα πεπληρωμενα ενωπιον του Θεου.

γινου. *Conf. Ps. xxxi. 9.* στηριζον τους αδελφους σου. *Luc. xxii. 32.* ισθι εστηριγμενος εν συνεσει σου. *Sap. v. 12.* μελλοντες ουν αγειν τον καθαρισμον. *2 Mac. ii. 16.* ισχυσατε χειρες ανειμεναι, και γονατα παραλελυμενα κ. τ. λ. *Esa. xxxv. 4.* ἱνα στητε τελειοι και πεπληρωμενοι εν παντι θεληματι του Θεου. *Col. iv. 12. Conf. Esa. lxii. 6. Ezech. xxxiv. 8. Zach. xi. 16. Marc. xiii. 33. Luc. xii. 39.* και εγω απαγγελω την δικαιοσυνην σου, και τα κακα σου, ἁ ουκ ωφελησει σε κ. τ. λ. *Esa. lvii. 12.* κατισχυσον αυτον, και παρακαλεσον αυτον. *Deut. iii. 28. Job. iv. 4.*

3 Μνημονευε ουν πως ειληφας και ηκουσας, και τηρει, και μετανοησον. Εαν ουν μη γρηγορησῃς, ἡξω επι σε ὡς κλεπτης, και ου μη γνῳς ποιαν ὡραν ἡξω επι σε.

γρηγορειτε ουν, ὁτι ουκ οιδατε ποιᾳ ὡρᾳ ὁ Κυριος ὑμων ερχεται. *Matt. xxiv. 42. Bar. ii. 9.* και μνησθῃς την ὁδον σου και αναστησω εγω την διαθηκην μου μετα σου—ὁπως μνησθῃς και αισχυνθῃς, κ. τ. λ. *Ezech. xvi. 61. 62.* ὡς κλεπτης εν νυκτι. *1 Thess. v. 2. 2 Pet. iii. 10. Joel. ii. 9. Esa. xlvii. 11.*

4 Εχεις ολιγα ονοματα και εν Σαρδεσιν, ἁ ουκ εμολυναν τα ἱματια αὑτων· και περιπατησουσι μετ' εμου εν λευκοις, ὁτι αξιοι εισιν.

ονοματα. *1 Par. xii. 23. Sophon. i. 4.* μεμολυμμενα παντα τα σκευη αυτων. *Esa. lxv. 4.* κληρονομειν εξαρισμου ονοματων. *Num. xxvi. 53.* και εὑρεν αυτους αξιους ἑαυτου. *Sap. iii. 5.* εν παντι καιρῳ εστωσαν ἱματια σου λευκα, κ. τ. λ. *Eccles. ix. 8.* και εμολυναν τον χιτωνα τῳ αἱματι. *Gen. xxxvii. 31.* ενδεδυμενος ἱματια ῥυπαρα. *Zach. iii. 4.* ὁτι αξιοι εισι του εκεινου μεριδος ειναι. *Sap. i. 16. Conf. Act. i. 15. Juda. 23. Cap. iv. 4.* κατεπενθησεν εν πενθικοις. *Exod. xxxiii. 4.* και εμπεριπατησω εν ὑμιν, και εσομαι ὑμων Θεος, και ὑμεις εσεσθε μοι λαος. *Lev. xxvi. 12.* ὁτι αξιος εστιν ᾡ παρεξει τουτο. *Luc. vii. 4.* [εν λευκοις. *Conf. Jos. Ant. xi. 8. 4.*] *Conf. Dan. xii. 10.* ενεδυσε γαρ με ἱματιον σωτηριου κ. τ. λ. *Esa. lxi. 10. Cant. v. 3.*

5 Ὁ νικων, οὑτως περιβαλειται εν ἱματιοις λευκοις· και ου μη εξαλειψω το ονομα αυτου εκ της βιβλου της ζωης, και εξο-

μολογησομαι το ονομα αυτου ενωπιον του πατρος μου και ενωπιον των αγγελων αυτου.

ει τις ἡμαρτηκεν ενωπιον μου, εξαλειψω αυτους εκ της βιβλου μου. *Exod. xxxii.* 33. εν τῳ καιρῳ εκεινῳ, σωθησεται ὁ λαος σου πας ὁ γεγραμμενος εν τῃ βιβλῳ. *Dan. xii.* 1. αναγραφησεται εν βιβλιῳ τῳ Κυριῳ. *Ps. xxi.* 30. *Sym.* ὡς χιονα λευκανω. *Esa. i.* 18. *Conf. Matt. x.* 32. *Luc. xii.* 9. *Ps. lxviii.* 28. *Phil. iv.* 3. *Dan. vii.* 9. ὁ νικων. *Conf. sup. ii.* 26. και εσονται μοι—εις ἡμεραν, ἡν εγω ποιω, εις περιποιησιν κ. τ. λ. *Mal. iii.* 17. *Esa. lxv.* 6. [*Conf. Ottium in loc.*]

6 *Ὁ εχων ους ακουσατω τι το Πνευμα λεγει ταις εκκλησιαις.*

Κυριος, Κυριος απεστειλε, και το Πνευμα αυτου. *Esa. xlviii.* 16. *Gen. vi.* 3. *Sap. ix.* 17.

7 *Και τῳ αγγελῳ της εν Φιλαδελφειᾳ εκκλησιας γραψον, Ταδε λεγει ὁ ἁγιος, ὁ αληθινος, ὁ εχων την κλειδα του Δαβιδ, ὁ ανοιγων και ουδεις κλειει, και κλειει και ουδεις ανοιγει·*

ὁ ἁγιος. *Sir. iv.* 4. *xxiii.* 9. *Bar. iv.* 22. *Conf. Esa. vi.* 3. ὁ αληθινος. *Exod. xxxiv.* 6. *Ps. lxxxv.* 15. δωσω αυτῳ την κλειδα οικου Δαυιδ—και κλεισει, και ουκ εσται ὁ ανοιγων. *Esa. xxii.* 22. *Matt. xvi.* 19. *xxv.* 10. και αναστησω επ' αυτους ποιμενα ἑνα, και ποιμανει αυτους, τον δουλον μου Δαυιδ, κ. τ. λ. *Ezech. xxxiv.* 23, 24. εαν καταβαλῃ, τις οικοδομησει; εαν κλεισῃ κατ' ανθρωπων, τις ανοιξει; *Job. xii.* 14. οὑ ἡ αρχη εγενηθη επι του ωμου αυτου. *Esa. ix.* 6. εαν καταστρεψῃ τα παντα, τις ερει αυτῳ, Τι εποιησας; *Job. xi.* 10. *CITAT.* 313.

8 *Οιδα σου τα εργα· ιδου, δεδωκα ενωπιον σου θυραν ανεῳγμενην, και ουδεις δυναται κλεισαι αυτην· ὁτι μικραν εχεις δυναμιν, και ετηρησας μου τον λογον, και ουκ ηρνησω το ονομα μου.*

τον λογον μου ετηρησαν; *Joan. xv.* 20. διοτι τις εξουδενωσεν εις ἡμερας μικρας; *Zach. iv.* 10. *Exod. xxiii.* 21. *Conf.* 1 *Cor. xvi.* 9. 2 *Cor. ii.* 12. *Col. iv.* 3. *Dan. xi.* 34. εις θυραν ελπιδος. *Ose. ii.* 15. *Sym.* *Conf. Luc. xiii.* 24. ανες μοι ἱνα αναψυξω προ του με απελθειν, κ. τ. λ. *Ps. xxxviii.* 13.

9 *Ιδου, διδωμι εκ της συναγωγης του Σατανα, των λεγοντων ἑαυτους Ιουδαιους ειναι, και ουκ εισιν, αλλα ψευδονται· ιδου, ποιησω αυτους ἱνα ἡξωσι και προσκυνησωσιν ενωπιον των ποδων σου, και γνωσιν ὁτι εγω ηγαπησα σε.*

ἡξει παρα σαρξ του προσκυνησαι ενωπιον εμου. *Esa. lxvi.* 33. *xlix.*

23. *lx.* 14. *lxvi.* 22. *Jer. i.* 15. *viii.* 16. ηγαπησα ὑμας, λεγει Κυριος. *Mal. i.* 2. ου γαρ ὁ εν τῳ φανερῳ Ιουδαιος εστι κ. τ. λ. *Rom. ii.* 28, 29. απεριτμητοι καρδιᾳ. *Ezech. xxxii.* 29. *Cap. ii.* 9. *Sophon. iii.* 20. ανηρ πλανωμενος εξ ὁδου δικαιοσυνης, εν συναγωγῃ γιγαντων αναπαυσεται γιγαντας. *Job. xxvi.* 5. θεομαχους. *Prov. xxi.* 16. *Sym.* και γνωσῃ, ὁτι εγω Κυριος, και ουκ αισχυνθησονται οἱ ὑπομενοντες με. *Esa. xlix.* 23. αγαπησιν αιωνιον ηγαπησα σε. *Jer. xxxviii.* 3. αγαπησω αυτους ὁμολογως. *Ose. xiv.* 5. *Joan. xiii.* 34. *xv.* 9.

10 Ὁτι ετηρησας τον λογον της ὑπομονης μου, καγω σε τηρη-
σω εκ της ὡρας του πειρασμου της μελλουσης ερχεσθαι επι
της οικουμενης ὁλης, πειρασαι τους κατοικουντας επι της γης.

ἑτοιμασον την ψυχην σου εις πειρασμον. *Sir. ii.* 1. *xxxvi.* 1. αγαθος Κυριος τοις ὑπομενουσιν αυτον. *Thren. iii.* 25. εφ᾽ ὑμας τους ενοικουντας επι της γης. *Esa. xxiv.* 17. *Conf. Joan. viii.* 51-55. τηρησῃς αυτους εκ του πονηρου. *xvii.* 15. αυτος κρινει την οικουμενην. *Ps. ix.* 8. *Conf.* 1 *Cor. x.* 13. 2 *Pet. ii.* 9. [χρηστος ὁ Κυριος τοις επικαλουμενοις αυτον εν ὑπομονῃ. *Psalt. Sal. ii.* 40.] μακαριος ὁ ὑπομενων—και αναστησῃ εις κληρον σου εις συντελειαν ἡμερων. *Dan. xii.* 13.

11 Ιδου, ερχομαι ταχυ· κρατει ὁ εχεις, ἱνα μηδεις λαβῃ τον
στεφανον σου.

λαβῃ. *Gen. xxvii.* 36. *Conf. Phil. iv.* 5. 1 *Cor. x.* 12. και επιθου τον στεφανον,—εταπεινωσας το ὑψηλον, και ὑψωσας το ταπεινον. *Ezech. xxi.* 26. επεσεν ὁ στεφανος ἡμων εκ κεφαλης. *Thren. v.* 16. ὁ δε στεφανος εσται τοις ὑπομενουσι. *Zach. vi.* 14. ιδου ερχεται, κ. τ. λ. *Mal. iii.* 1. 2.

12 Ὁ νικων, ποιησω αυτον στυλον εν τῳ ναῳ του Θεου μου,
και εξω ου μη εξελθῃ ετι, και γραψω επ᾽ αυτον το ονομα του
Θεου μου, και το ονομα της πολεως του Θεου μου, της καινης
Ἱερουσαλημ, ἡ καταβαινουσα εκ του ουρανου απο του Θεου
μου, και το ονομα μου το καινον.

και καλεσει σε το ονομα σου το καινον. *Esa. lxii.* 2. *Alex. Ald. Comp.* [επι της νεας Ἱερουσαλημ ευφρανθησονται δικαιοι. *Test. XII Patr. p.* 654.] και κληρος εν ναῳ Κυριου θυμηρεστερος. *Sap. iii.* 14. τοις δε δουλευσουσι μοι κληθησεται ονομα καινον, κ. τ. λ. *Esa. lxv.* 15. ὁ νικων. = *Ps. xvii.* 30. (*i.e. ad vincentem quod attinet.*) *Conf. Ose. xii.* 7. οἱ δοκουντες στυλοι ειναι. *Gal. ii.* 9. *Jer. i.* 18. *lii.* 17. 3 *Reg. vii.* 21. 2 *Par. iii.* 17. *Conf. Heb. xii.* 22. *Prov. viii.* 32. 2 *Tim. ii.* 19. ἡ πολις του βασιλεως του μεγαλου,—εν πολει Θεου

ἡμων, κ. τ. λ. *Ps. xlvii.* 2. 8. *lxxxvi.* 3. οὑτος ερει, Του Θεου ειμι, κ. τ. λ. *Esa. xliv.* 5. *Conf. Gal. iv.* 26.

13 Ὁ εχων ους ακουσατω τι το Πνευμα λεγει ταις εκκλησιαις. *Conf. cap. ii.* 7. κ. τ. λ. *Ezech. xii.* 2.

14 Και τῳ αγγελῳ της εκκλησιας Λαοδικεων γραψον, Ταδε λεγει ὁ Αμην, ὁ μαρτυς ὁ πιστος και αληθινος, ἡ αρχη της κτισεως του Θεου·

Κυριε του Ισραηλ αληθινος ει. 1 *Esd. viii.* 89. προτερα παντων εκτισται σοφια. *Sir. i.* 4. προ του αιωνος απ᾽ αρχης εκτισε με. *xxiv.* 9. και δη πιστος ει και αληθινος. 3 *Mac. ii.* 11. Κυριος εκτισε με αρχην ὁδων αυτου εις εργα αυτου, προ του αιωνος εθεμελιωσε με, κ. τ. λ. *Prov. viii.* 22, 23. *Conf. Col. i.* 15. 1 *Joan. v.* 20. *Cap. i.* 5. ομουνται τον Θεον τον αληθινον. [אלהי אמן] *Esa. lxv.* 15, 16. *Conf. Jer. xlix.* 5.

15 Οιδα σου τα εργα, ὁτι ουτε ψυχρος ει ουτε ζεστος· οφελον ψυχρος ειης ἡ ζεστος·

δος μοι υἱε σην καρδιαν. *Prov. xxiii.* 26. *Conf. Deut. v.* 9. 2 *Pet. ii.* 21. *Jac. i.* 8. *Jos. xxiv.* 15. 3 *Reg. xviii.* 21. *Sophon. i.* 4, 5. οφελον. *Ps. cxviii.* 5. ζεστος. *Lev. vi.* 21. *Aq. vii.* 2. *alii.*

16 Οὑτως ὁτι χλιαρος ει, και ουτε ψυχρος ουτε ζεστος, μελλω σε εμεσαι εκ του στοματος μου.

εμεσαι. *Esa. xix.* 14. *Sir. xxxi.* 24. *Edit. Drusii. Conf. Jer. xiv.* 19. *xv.* 1-4. *Zach. xi.* 8, 9. [ψυχρας προφασεις. *Jos. c. Ap. ii.* 36. ψυχραις ελπισι. *Bell. Jud. i.* 10. 4.]

17 Ὁτι λεγεις, ὁτι, Πλουσιος ειμι, και πεπλουτηκα, και ουδενος χρειαν εχω, και ουκ οιδας ὁτι συ ει ὁ ταλαιπωρος και ελεεινος, και πτωχος και τυφλος και γυμνος,

μη ειπῃς, Τις εστι μου χρεια, μη ειπῃς, Αυταρκη μοι εστι. *Sir. xi.* 23. πεπλουτηκα, κ. τ. λ. *Ose. xii.* 8. 1 *Cor. iv.* 8. *Conf. Prov. xviii.* 2. εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες, και εισιν οἱ ταπεινουντες ἑαυτους εν πολλῳ πλουτῳ. *xiii.* 7. *Conf. Zach. xii.* 5. σοφος παρ᾽ ἑαυτῳ ανηρ πλουσιος. *Prov. xxviii.* 11. απο ποδων ἑως κεφαλης ουκ εστιν εν αυτῳ ὁλοκληρια. *Esa. i.* 6. *l.* 11.

18 Συμβουλευω σοι αγορασαι παρ᾽ εμου χρυσιον πεπυρωμενον εκ πυρος, ἱνα πλουτησῃς· και ἱματια λευκα, ἱνα περιβαλῃ, και μη φανερωθῃ ἡ αισχυνη της γυμνοτητος σου· και κολλουριον εγχρισον τους οφθαλμους σου, ἱνα βλεπῃς.

και εαν συμβουλευσω σοι, ου μη ακουσῃς μου; *Jer. xlv.* 15. *Exod.*

xviii. 19. *Esa. lv.* 1. και μη ῥητινη ουκ εστιν εν Γαλααδ; κ. τ. λ. *Jer. viii.* 22. αργυρος πεπυρωμενος. *Prov. x.* 20. εν παντι καιρῳ εστωσαν ἱματια σου λευκα. *Eccles. ix.* 8. *Dan. vii.* 9. ἡ γυμνωσις του πατρος αυτου. *Gen. ix.* 22. εγχρισον την χολην εις τους οφθαλμους. *Tob. xi.* 8. *vi.* 8. εαν εγχριση στιβι τους οφθαλμους σου. *Jer. iv.* 30. ανακαλυφθησεται ἡ αισχυνη σου, κ. τ. λ. *Esa. xlvii.* 3. *Exod. xx.* 26. *xxviii.* 38. ἱνα. *Esd. vii.* 25. *Dan. v.* 15. 2 *Cor. v.* 3. *Joan. i.* 4. 9. *iii.* 19. *Zach. xiii.* 9.

19 Εγω ὁσους εαν φιλω, ελεγχω και παιδευω· ζηλωσον ουν και μετανοησον.

μακαριος δε ανθρωπος ὁν ηλεγξεν ὁ Κυριος. *Job. v.* 17. ελεγξω αυτον εν ῥαβδῳ ανδρων. 2 *Reg. vii.* 14. *Ps. cxl.* 5. *Prov. iii.* 11. εν ελεγμοις ὑπερ ανομιας επαιδευσας ανθρωπον. *Ps. xxxviii.* 11. *Heb. xii.* 5, 6. *Jac. i.* 12. εις νουθεσιαν μαστιγοι Κυριος. *Judith. viii.* 23. *Ald. Sap. xvi.* 6. εν τῳ ζηλωσαι μου τον ζηλον εν αυτοις. *Num. xxv.* 11. *Conf. Ps. lxviii.* 9. ὁ μετανοων απο της κακιας. *Jer. viii.* 6. κατα το πολυ ελεος αυτου, οὑτως και πολυς ὁ ελεγχος αυτου. *Sir. xvi.* 12. *xviii.* 13. εζηλωσα το αγαθον. *li.* 18. *Jer. iii.* 14.

20 Ιδου, ἑστηκα επι την θυραν και κρουω· εαν τις ακουσῃ της φωνης μου, και ανοιξῃ την θυραν, εισελευσομαι προς αυτον, και δειπνησω μετ᾽ αυτου, και αυτος μετ᾽ εμου.

φωνη αδελφιδου μου κρουει επι την θυραν. *Cant. v.* 2. *Jer. xxiii.* 23. κρουοντες επι την θυραν. *Jud. xix.* 22. εαν—και. *Lev. xxvi.* 3, 4. *Deut. xi.* 13, 14. *Conf. Matt. vii.* 7. *Luc. xii.* 36. *xiii.* 25. 2 *Cor. vi.* 2. *Joan. x.* 3. *xiv.* 21-23. [συνειμι τῳ Θεῳ. *Jos. Ant. iii.* 5. 1.] *Exod. xxv.* 8. *Lev. xxxv.* 34.

21 Ὁ νικων, δωσω αυτῳ καθισαι μετ᾽ εμου εν τῳ θρονῳ μου, ὡς καγω ενικησα και εκαθισα μετα του πατρος μου εν τῳ θρονῳ αυτου.

Conf. Matt. xix. 28. *xxv.* 31. *Luc. xxii.* 30. *Joan. xvii.* 22. Καθου εκ δεξιων μου. *Ps. cix.* 1. *Dan. vii.* 14. 2 *Tim. ii.* 12. ὁ Θεος καθηται επι θρονου ἁγιου αυτου. *Ps. xlvi.* 8. δι᾽ ἡν και τῳ θειῳ νυν παρεστηκασι θρονῳ, και μακαριον αιωνα βιουσι. 4 *Mac.* § 19. *Prov. xx.* 8. *Jud. xvii.* 10.

22 Ὁ εχων ους ακουσατω τι το Πνευμα λεγει ταις εκκλησιαις.
Conf. cap. ii. 7. *xi.* 17. ακουσατε, ακουσατε τα ῥηματα μου, αναγγελω γαρ ὑμων ακουοντων. *Job. xiii.* 17. και δωσω αυτοις καρδιαν και ωτα ακουοντα. *Bar. ii.* 31. *Zach. vi.* 15.

ΚΕΦ. δ. 4.

ΜΕΤΑ ταυτα ειδον, και ιδου, θυρα ηνεωγμενη εν τῳ ουρανῳ, και ἡ φωνη ἡ πρωτη, ἡν ηκουσα ὡς σαλπιγγος λαλουσης μετ᾽ εμου, λεγουσα, Αναβα ὡδε, και δειξω σοι ἁ δει γενεσθαι μετα ταυτα.

μετα ταυτα. Exod. v. 1. ἁ δει γενεσθαι. Dan. ii. 29. ελαλησε, λεγων. Gen. xlii. 22. ειπε δε αυτῳ Κυριος, Βαδιζε, καταβηθι, και αναβηθι, κ. τ. λ. Exod. xix. 24. 16. Zach. ix. 14.

2 Και ευθεως εγενομην εν πνευματι· και ιδου, θρονος εκειτο εν τῳ ουρανῳ, και επι του θρονου καθημενος·

εγενετο επ᾽ αυτον πνευμα Κυριου εν τῃ εκκλησιᾳ. 2 Par. xx. 14. εν πνευματι. Matt. xxii. 43. Marc. xii. 36. και ειπον τῳ πνευματι. Ezech. xxxvii. 9. ειδον τον Κυριον καθημενον επι θρονου ὑψηλου και επηρμενου. Esa. vi. 1. Ezech. i. 26. Jer. xvii. 12. Dan. vii. 9. Cap. i. 10.

3 Και ὁ καθημενος ην ὁμοιος ὁρασει λιθῳ ιασπιδι και σαρδινῳ· και ιρις κυκλοθεν του θρονου ὁμοιος ὁρασει σμαραγδινῳ.

και ιδον, και ιδου επανω του στερεωματος του ὑπερ κεφαλης των χερουβιμ, ὡς λιθος σαπφειρου ὁμοιωμα θρονου επ᾽ αυτων. Ezech. x. 1. ιασπις—σμαραγδος. Conf. Ezech. xxviii. 13. xi. 4. Exod. xxiv. 10. Cap. i. 6. ὁρασις ιριδος. Ezech. i. 4. Polych. Gen. ix. 13-15.

4 Και κυκλοθεν του θρονου θρονοι εικοσι και τεσσαρες· και επι τους θρονους ειδον τους εικοσι και τεσσαρας πρεσβυτερους καθημενους, περιβεβλημενους εν ἱματιοις λευκοις, και εσχον επι τας κεφαλας αὑτων στεφανους χρυσους.

κυκλοθεν. Esd. i. 6. Ezech. x. 12. Esa. vi. 2. εν ἱματισμῳ διαχρυσῳ περιβεβλημενη. Ps. xliv. 9. και στεφανον εχων χρυσουν. Est. viii. 5. εθηκας επι την κεφαλην αυτου στεφανον εκ λιθου τιμιου. Ps. xx. 3. εν ἱματιοις λευκοις. Conf. Matt. xxviii. 3. [εμοι δ᾽ ου μονον εξ Ἱερεων εστι το γενος, αλλα και εκ της πρωτης Εφημεριδος των εικοσι τεσσαρων. Jos. Vit. Conf. Ottium.] Eccles. ix. 8.

5 Και εκ του θρονου εκπορευονται αστραπαι και βρονται και φωναι· και ἑπτα λαμπαδες πυρος καιομεναι ενωπιον του θρονου, αἱ εισι τα ἑπτα πνευματα του Θεου·

Conf. Exod. xix. 16. 2 Par. iv. 20. Ezech. i. 13. και εβροντησεν εξ

ουρανου Κυριος κ. τ. λ. Ps. xvii. 13. Cap. i. 4. Joel. iii. 16. Heb. xii. 18-29. και ἑπτα λυχνους επ' αυτης χρυσους. Exod. xxxviii. 21. Zach. iv. 2. Prov. ix. 1.

6 Και ενωπιον του θρονου θαλασσα ὑαλινη ὁμοια κρυσταλλῳ.
Και εν μεσῳ του θρονου και κυκλῳ του θρονου τεσσαρα ζωα
γεμοντα οφθαλμων εμπροσθεν και οπισθεν.

και εν τῳ μεσῳ ὡς ὁμοιωμα τεσσαρων ζωων. Ezech. i. 5, 6. κυκλῳ της πολεως. Jos. vi. 3. Edit. Francof. Cap. xv. 2. ὡς ειδος κρυσταλλου. Num. xi. 7. Ezech. i. 22. ὑπερ παν ζωον εν τῃ κτισει. Sir. xlix. 16. ουκ ισωθησεται αυτῃ χρυσιον, και ὑαλος, και το ανταλλαγμα αυτης σκευη χρυσα. Job. xxviii. 17. και οἱ νωτοι αυτων πληρεις οφθαλμων, κυκλοθεν τοις τεσσαρσι. Ezech. i. 18. x. 12. θαλασσα ὑαλινη. Conf. Gen. i. 7. 3 Reg. vii. 23. Exod. xxxviii. 8. Comp. Francof.

7 Και το ζωον το πρωτον ὁμοιον λεοντι, και το δευτερον ζωον
ὁμοιον μοσχῳ, και το τριτον ζωον εχον το προσωπον ὡς αν-
θρωπος, και το τεταρτον ζωον ὁμοιον αετῳ πετωμενῳ.

ἡψατο μου ὡς ὁρασις ανθρωπου. Dan. x. 8. [απηντησε μοι ὡς ανθρωπος τις. Act. Thom. c. 40.] ιχνη αετου πετωμενου. Prov. xxx. 19. Conf. Hab. iii. 2. το τεταρτον προσωπον αετου. Ezech. x. 14. το θηριον το τεταρτον. Dan. vii. 7. και ὁμοιωσις των προσωπων αυτων, προσωπον ανθρωπου, και προσωπον του λεοντος— και προσωπον μοσχου,—και προσωπον αετου. Ezech. i. 10. Conf. Dan. vii. 4. Ezech. i. 5. Ps. cv. 20. CITAT. 314.

8 Και τεσσαρα ζωα, ἑν καθ' ἑαυτο, ειχον ανα πτερυγας ἑξ
κυκλοθεν, και εσωθεν γεμοντα οφθαλμων, και αναπαυσιν ουκ
εχουσιν ἡμερας και νυκτος λεγοντα, Ἁγιος, ἁγιος, ἁγιος,
Κυριος ὁ Θεος ὁ παντοκρατωρ, ὁ Ην και ὁ Ων και ὁ Ερχομενος.

και σεραφιμ εἱστηκεισαν κυκλῳ αυτου, ἑξ πτερυγες τῳ ἑνι, και ἑξ πτερυγες τῳ ἑνι—και ελεγον, Ἁγιος, ἁγιος, ἁγιος Κυριος σαβαωθ. Esa. vi. 2, 3. Κυριε, Κυριε παντοκρατωρ Θεος Ισραηλ. 1 Par. xvii. 24. Conf. cap. i. 4. Exod. iii. 14. vi. 3. ὁ Κυριος ὁ Θεος ὁ παντοκρατωρ. Ose. xii. 6. = יהוה צבאות 2 Reg. vii. 8. Nah. ii. 13. εγω Κυριος ὁ Θεος, τουτο μου εστι το ονομα, την δοξαν μου ἑτερῳ ου δωσω, κ. τ. λ. Esa. xlii. 8. CITAT. 315.

9 Και ὁταν δωσουσι τα ζωα δοξαν και τιμην και ευχαριστιαν
τῳ καθημενῳ επι του θρονου, τῳ ζωντι εις τους αιωνας των
αιωνων,

και τῳ ζωντι εις τους αιωνας ηνεσα. Dan. iv. 31. vi. 26. ζω εγω

και ζων το ονομα μου. Num. xiv. 21. Conf. Exod. xv. 18. ενεγκατε τῳ Κυριῳ δοξαν και τιμην. Ps. xcv. 7. ὁτι οὑτος εστιν ὁ Θεος ἡμων εις τον αιωνα κ. τ. λ. xlvii. 14. ὁ ζων εις τον αιωνα εκτισε τα παντα κοινῃ. Sir. xviii. 1.

10 Πεσουνται οἱ εικοσι και τεσσαρες πρεσβυτεροι ενωπιον του καθημενου επι του θρονου, και προσκυνουσι τῳ ζωντι εις τους αιωνας των αιωνων, και βαλλουσι τους στεφανους αυτων ενωπιον του θρονου, λεγοντες,

εθηκας επι την κεφαλην αυτου στεφανον εκ λιθου τιμιου. Ps. xx. 3. και πεσων χαμαι, προσεκυνησε. Job. i. 20. Conf. cap. v. 14. και προσκυνησουσιν αυτῳ παντες οἱ βασιλεις κ. τ. λ. Ps. lxxi. 11. cxiii. (cxiv.) 1.

11 Αξιος ει, Κυριε, λαβειν την δοξαν και την τιμην και την δυναμιν· ὁτι συ εκτισας τα παντα, και δια το θελημα σου εισι και εκτισθησαν.

πληρης πασα ἡ γη της δοξης αυτου. Esa. vi. 3. Gen. xiv. 19. σοι Κυριε ἡ μεγαλωσυνη, και ἡ δυναμις κ. τ. λ. 1 Par. xxix. 11-16. Col. i. 16. Ephes. i. 10. τῳ διδοντι μοι σοφιαν δωσω δοξαν. Sir. li. 18. εκτισε εις το ειναι τα παντα. Sap. i. 14. συ ει αυτος Κυριος μονος, συ εποιησας τον ουρανον—και συ ζωοποιεις τα παντα, και σοι προσκυνουσιν αἱ στρατιαι των ουρανων. Neh. ix. 6. Conf. Gen. i. 1. Sir. xxxix. 21. Cap. v. 12. ὁ Ων, Κυριε, συ εποιησας τον ουρανον και την γην τῃ ισχυϊ σου τῃ μεγαλῃ, και τῳ βραχιονι σου τῳ ὑψηλῳ κ. τ. λ. Jer. xxxix. 17, 18. Judith. xvi. 14. 3 Mac. ii. 3. Dan. vii. 14. Ps. cl. Sir. li.

ΚΕΦ. ε. 5.

ΚΑΙ ειδον επι την δεξιαν του καθημενου επι του θρονου βιβλιον γεγραμμενον εσωθεν και οπισθεν, κατεσφραγισμενον σφραγισιν ἑπτα.

Και ιδον, και ιδου χειρ εκτεταμενη προς με, εν αυτῃ κεφαλις βιβλιου—και εν αυτῃ γεγραμμενα τα εμπροσθεν και τα οπισθεν. Ezech. ii. 9, 10. οἱ λογοι του βιβλιου του εσφραγισμενου. Esa. xxix. 11. viii. 16. Dan. xii. 4. ὁτι κατεσφραγισθῃ, και ουδεις αναστρεφει. Sap. ii. 5. Deut. xxxii. 34.

2 Και ειδον αγγελον ισχυρον κηρυσσοντα φωνῃ μεγαλῃ, Τις εστιν αξιος ανοιξαι το βιβλιον και λυσαι τας σφραγιδας αυτου;

ηνοιξεν Εσδρας το βιβλιον. *Neh. viii.* 5. *Jer. xxxix.* 11. 25.

3 Και ουδεις ηδυνατο εν τω ουρανω, ουδε επι της γης, ουδε υποκατω της γης, ανοιξαι το βιβλιον, ουδε βλεπειν αυτο.

τις εγνω νουν Κυριου, και τις αυτου συμβουλος, κ. τ. λ. *Esa. xl.* 13. *lix.* 16. ευλογειτε τον Κυριον παντες αγγελοι αυτου, δυνατοι ισχυϊ κ. τ. λ. *Ps. cii.* 20. ὁ εαν δωσιν ανθρωπω επισταμενω γραμματα λεγοντες, Αναγνωθι ταυτα, και ερει, Ου δυναμαι αναγνωναι, εσφραγισται γαρ. *Esa. xxix.* 11. *Deut. xxix.* 29. *Job. iv.* 18. *ix.* 33. *Sap. xvi.* 7. 12.

4 Και εγω εκλαιον πολλα, ὁτι ουδεις αξιος εὑρεθη ανοιξαι και αναγνωναι το βιβλιον, ουτε βλεπειν αυτο.

εὑρεθη. *Neh. xiii.* 1. *Dan. v.* 12, 14. ανεγνω βασιλευς το βιβλιον. 4 *Reg. v.* 7. και επεβλεψα, και ουκ ην βοηθος, κ. τ. λ. *Esa. lxiii.* 5. και εγω ηκουσα και ου συνηκα· και ειπα, Κυριε, τι τα εσχατα τουτων; και ειπε, Δευρο Δανιηλ, ὁτι εμπεφραγμενοι και εσφραγισμενοι οἱ λογοι ἑως καιρου περας. κ. τ. λ. *Dan. xii.* 8, 9.

5 Και εἱς εκ των πρεσβυτερων λεγει μοι, Μη κλαιε· ιδου, ενικησεν ὁ λεων ὁ ων εκ της φυλης Ιουδα, ἡ ῥιζα Δαβιδ, ανοιξαι το βιβλιον και λυσαι τας ἑπτα σφραγιδας αυτου.

σκυμνος λεοντος Ιουδα. *Gen. xlix.* 9, 10. *Num. xxiv.* 9. διοτι εγω ειμι—ὡς λεων τω οικω Ιουδα. *Ose. v.* 14. ἡ ριζα του Ιεσσαι. *Esa. xi.* 10. *Jer. xxiii.* 5, 6. *xxxviii.* 16. και τω Δαυιδ εξ αυτου ῥιζαν. *Sir. xlvii.* 22. *Conf. Rom. xv.* 12. *Heb. vii.* 14. ὁτι ενισχυσας μετα Θεου. *Gen. xxxii.* 28.

6 Και ειδον, και ιδου, εν μεσω του θρονου και των τεσσαρων ζωων, και εν μεσω των πρεσβυτερων, αρνιον ἑστηκος ὡς εσφαγμενον, εχον κερατα ἑπτα και οφθαλμους ἑπτα, οἱ εισι τα ἑπτα του Θεου πνευματα, τα απεσταλμενα εις πασαν την γην.

ὁ κριος ὁν ειδες ὁ εχων τα κερατα. *Dan. viii.* 20. *Conf. Mich. iv.* 13. εγω δε ὡς αρνιον ακακον αγομενον του θυεσθαι κ. τ. λ. *Jer. xi.* 19. ὡς προβατον επι σφαγην ηχθη. *Conf. Esa. liii.* 7, 8. και τα χερουβιμ ησαν τουτο το ζωον ὁ ιδον—διοτι πνευμα ζωης εν αυτοις ην. *Ezech. x.* 17. *Conf. Joan. i.* 29. 1 *Pet. i.* 19. και σφαξεις τον μοσχον εναντι Κυριου. *Exod. xxix.* 11. και παντα τα κερατα των ἁμαρτωλων συγκλασω, και ὑψωθησεται τα κερατα του δικαιου. *Ps. lxxv.* 10. ὁ Θεος οψεται ἑαυτω προβατον εις ὁλοκαρπωσιν. *Gen. xxii.* 8. [πληρωθησεται επι σοι προφητεια ουρανου περι του αμνου του Θεου και σωτηρος του κοσμου. *Test. XII Patr. p.* 730.] οφθαλμους επτα. *Zach. iii.* 9, 10. *iv.* 8-10. *vi.* 1-8. εν παντι τοπω

οφθαλμοι Κυριου σκοπευουσι κακους τε και αγαθους. *Prov. xv.* 3. *Gen. xxii.* 7, 8.

7 Και ηλθε και ειληφε το βιβλιον εκ της δεξιας του καθημενου επι του θρονου.

και ελαβον το βιβλιον. *Jer. xxxix.* 11. *Esa. xxxvii.* 14. *Joan. viii.* 47. καθημενος επι του θρονου αυτου Κυριος. *Sir. i.* 8.

8 Και ὁτε ελαβε το βιβλιον, τα τεσσαρα ζωα και οἱ εικοσιτεσσαρες πρεσβυτεροι επεσον ενωπιον του αρνιου, εχοντες ἑκαστος κιθαρας, και φιαλας χρυσας γεμουσας θυμιαματων, αἱ εισιν αἱ προσευχαι των ἁγιων·

εξομολογεισθε τῳ Κυριῳ εν κιθαρᾳ. *Ps. xxxii.* 2. φιαλας χρυσας. 2 *Par. iv.* 8. ἡ προσευχη μου ὡς θυμιαμα ενωπιον σου. κ. τ. λ. *Ps. cxl.* 2. τας προσευχας των ἁγιων. *Tob. xii.* 15.

9 Και ᾳδουσιν ῳδην καινην, λεγοντες, Αξιος ει λαβειν το βιβλιον και ανοιξαι τας σφραγιδας αυτου· ὁτι εσφαγης, και ηγορασας τῳ Θεῳ ἡμας εν τῳ αἱματι σου εκ πασης φυλης και γλωσσης και λαου και εθνους,

ασατε τῳ Κυριῳ ασμα καινον. *Ps. xcv.* 1. ὑμνησατε τῳ Κυριῳ ὑμνον καινον. *Esa. xlii.* 10. ὑμιν λεγεται λαοις, φυλαι, γλωσσαι. *Dan. iii.* 4. 30. *Judith. xvi.* 13. [ὑπο τε ευφροσυνης και χαρας ασμα καινον οἱ θεοφιλεις, χορους περι το φρεαρ εν κυκλῳ στησαντες, ηδον εις τον κληρουχον Θεον, και τον αληθως ἡγεμονα της αποικιας. *Philo,* 1 *Vit. Mos. p.* 642.] *Conf. Act. xx.* 28. 1 *Cor. vi.* 20. *Ephes. i.* 7. και ἡξουσιν εις Σιων μετ᾽ ευφροσυνης και αγαλλιαματος αιωνιου, κ. τ. λ. *Esa. li.* 11. εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους κ. τ. λ. *Zach. ix.* 11.

10 Και εποιησας ἡμας τῳ Θεῳ ἡμων βασιλεις και ἱερεις, και βασιλευσομεν επι της γης.

Conf. 1 *Pet. ii.* 5. *Cap. i.* 6. βασιλεα και ἱερεα. *Thren. ii.* 6. *Conf. Esa. lxi.* 6. ὑμεις δε εσεσθε μοι βασιλειον ἱερατευμα, και εθνος ἁγιον. *Exod. xix.* 6. *Conf. Sap. iii.* 8. 1 *Mac. ii.* 57.

11 Και ειδον, και ηκουσα φωνην αγγελων πολλων κυκλοθεν του θρονου, και των ζωων, και των πρεσβυτερων· και χιλιαδες χιλιαδων,

χιλιαι χιλιαδες ελειτουργουν αυτῳ. *Dan. vii.* 10. και ἡ βασιλεια αυτου, βασιλεα αιωνιος. 27. *Deut. xxxiii.* 5. *Ps. lxvii.* 17. *Heb. xii.* 22. αινειτε αυτον παντες οἱ αγγελοι αυτου, κ. τ. λ. *Ps. cxlviii.*

2. ειδον τον Θεον Ισραηλ καθημενον επι του θρονου αυτου, και πασα στρατια του ουρανου κ. τ. λ. 3 *Reg. xxii.* 19. 4 *Reg. vi.* 16.

12 Λεγοντες φωνη μεγαλη, Αξιον εστι το αρνιον το εσφαγμενον λαβειν την δυναμιν και πλουτον και σοφιαν και ισχυν και τιμην και δοξαν και ευλογιαν.

Conf. Zach. xiii. 7. ευφραινεσθωσαι οἱ ουρανοι και αγαλλιασθω ἡ γη κ. τ. λ. *Ps. xcvi.* 11-13. *Esa. xxiv.* 14. *xliii.* 10. *Conf.* 2 *Pet. iii.* 18. *Heb. xiii.* 21. 1 *Par. xvi.* 28. *Ps. lxvii.* 33, 34.

13 Και παν κτισμα ὁ εστιν εν τῳ ουρανῳ, και εν τῃ γῃ, και ὑποκατω της γης, και επι της θαλασσης ἁ εστι, και τα εν αυτοις παντα, ηκουσα λεγοντας, Τῳ καθημενῳ επι του θρονου και τῳ αρνιῳ ἡ ευλογια και ἡ τιμη και ἡ δοξα και το κρατος εις τους αιωνας των αιωνων.

και τῃ σοφιᾳ σου κατεσκευασας ανθρωπον, ἱνα δεσποζῃ των ὑπο σου γενομενων κτισματων. *Sap. ix.* 2. *Conf. Phil. ii.* 10. σοι Κυριε ἡ μεγαλωσυνη και ἡ δυναμις και το καυχημα και ἡ νικη και ἡ ισχυς. 1 *Par. xxix.* 11. *Conf. Rom. ix.* 5. *xi.* 36. *Gal. i.* 5. *Ephes. iii.* 21. σοι δουλευσατω πασα ἡ κτισις σου, ὁτι ειπας, και εγεννηθησαν, κ. τ. λ. *Judith. xvi.* 14. *Esa. xxxviii.* 20.

14 Και τα τεσσαρα ζωα ελεγον, Αμην· και οἱ εικοσιτεσσαρες πρεσβυτεροι επεσαν και προσεκυνησαν ζωντι εις τους αιωνας των αιωνων.

ὁ Ζων εις τον αιωνα. *Sir. xviii.* 1. *Num. xiv.* 21. *Dan. iv.* 31. *Conf. cap. iv.* 9. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. ix.* 13. ᾡ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. fin.*

ΚΕΦ. ϛ. 6.

ΚΑΙ ειδον ὁτε ηνοιξε το αρνιον μιαν εκ των σφραγιδων, και ηκουσα ἑνος εκ των τεσσαρων ζωων λεγοντος ὡς φωνης βροντης, Ερχου και βλεπε.

Ιδε ὁ αμνος του Θεου. *Joan. i.* 36. ερχου και ιδε. 47. *Conf. cap. iv.* 6. *v.* 5, 9. εγω δε ὡς αρνιον ακακον αγομενον του θυεσθαι. *Jer. xi.* 19. *Esa. liii.* 7. φωνη της βροντης σου. *Ps. lxxvi.* 18.

2 Και ειδον, και ιδου, ἱππος λευκος, και ὁ καθημενος επ' αυτῳ εχων τοξον, και εδοθη αυτῳ στεφανος, και εξηλθε νικων, και ἱνα νικησῃ.

και εν τῳ ἁρματι τῳ τριτῳ ἱπποι λευκοι. Zach. vi. 3. τα βελη σου ηκονημενα, δυνατε. κ. τ. λ. Ps. xliv. 4, 5. και ποιησεις στεφανους, και επιθησεις επι την κεφαλην Ιησου του Ιωσεδεκ, του ἱερεως του μεγαλου, κ. τ. λ. Zach. vi. 11, 12. Conf. cap. xiv. 14. xix. 11. εσωσεν αυτῳ ἡ δεξια αυτου και ὁ βραχιων ὁ ἁγιος αυτου. Ps. xcvii. 1. [και ειδον, ὁτι εκ του Ιουδα εγεννηθη παρθενος,—και εξ αυτης προηλθεν αμνος αμωμος—και παντα τα θηρια ὡρμουν κατ᾽ αυτου, και ενικησεν αυτο ὁ αμνος, κ. τ. λ. Test. XII Patr. p. 724.] και ποιων ποιησεις, και δυναμενος δυνησῃ. 1 Reg. xxvi. 25. περιζωσαι την ῥομφαιαν σου επι τον μηρον σου, Δυνατε, κ. τ. λ. Ps. xliv. 3-5. l. 4. Conf. Ezech. x. 1.

3 Και ὁτε ηνοιξε την δευτεραν σφραγιδα, ηκουσα του δευτερου ζωου λεγοντος, Ερχου και βλεπε.

4 Και εξηλθεν αλλος ἱππος πυῤῥος, και τῳ καθημενῳ επ᾽ αυτῳ εδοθη αυτῳ λαβειν την ειρηνην απο της γης, και ἱνα αλληλους σφαξωσι, και εδοθη αυτῳ μαχαιρα μεγαλη.

Conf. Zach. vi. 2. και ιδου ανὴρ επιβεβηκως επι ἱππον πυῤῥον. i. 8. και δωσω την ῥομφαιαν μου εις την χειρα σου. Ezech. xxx. 24. και ουκ εδωκεν αυτῳ ὁ Θεος κακοποιησαι με. Gen. xxxi. 7. Conf. Dan. ii. 37, 38. v. 19. Esa. xxxvii. 36.

5 Και ὁτε ηνοιξε την τριτην σφραγιδα, ηκουσα του τριτου ζωου
λεγοντος, Ερχου και βλεπε. Και ειδον, και ιδου, ἱππος μελας,
και ὁ καθημενος επ᾽ αυτῳ εχων ζυγον εν τῃ χειρι αὑτου.

ἱππος μελας. Conf. Zach. vi. 2. 6. ζυγα δικαια και σταθμια δικαια κ. τ. λ. Lev. xix. 35, 36. Ezech. iv. 10. 16. τις εστησε τα ορη σταθμῳ, και τας ναπας ζυγῳ; Esa. xl. 12. Prov. xvi. 11.

6 Και ηκουσα φωνην εν μεσῳ των τεσσαρων ζωων λεγουσαν, Χοινιξ σιτου δηναριου, και τρεις χοινικες κριθης δηναριου· και το ελαιον και τον οινον μη αδικησῃς.

χοινιξ. Ezech. xlv. 10, 11. Conf. cap. ix. 4. Esa. xxiv. 11. [Conf. Drusium et Ottium ad. loc.] και το βρωμα σου φαγεσαι εν σταθμῳ εικοσι σικλους των ἡμεραν απο καιρου ἑως καιρου φαγεσαι αυτα κ. τ. λ. Ezech. iv. 10, 11. ουκ αδικησουσιν ουδε λυμαινονται επι τῳ ορει τῳ ἁγιῳ μου, λεγει Κυριος. Esa. lxv. 25. ὁ δε πυρος και ἡ ολυρα ουκ επληγησαν, ὁτι οψιμα γαρ ην. Exod. ix. 32. Conf. 4 Reg. vi. 25.

7 Και ὁτε ηνοιξε την σφραγιδα την τεταρτην, ηκουσα φωνην του τεταρτου ζωου λεγουσαν, Ερχου και βλεπε.

Και ειδον, και ιδου ἱππος χλωρος, και ὁ καθημενος επανω

αυτου, ονομα αυτῳ ὁ Θανατος, και ὁ Ἁδης ακολουθει μετ' αυτου· και εδοθη αυτοις εξουσια αποκτειναι επι το τεταρτον της γης εν ῥομφαιᾳ και εν λιμῳ και εν θανατῳ, και ὑπο των θηριων της γης.

ἱπποι ψαροι. Conf. Zach. i. 8. vi. 3. και εξουσια εδοθη αυτῃ. Dan. vii. 6. την προφητην εκαλει ὁ Βλεπων. 1 Reg. ix. 9. πυρ και χαλαζα και λιμος και θανατος, παντα ταυτα εις εκδικησιν εκτισται. Sir. xxxix. 29. εαν επελθῃ εφ' ἡμας—θανατος, λιμος. 2 Par. xx. 9. απεκτεινεν εν ῥομφαιᾳ. Jos. xi. 10. Comp. Conf. Ezech. vii. 15. xiv. 21. εκ χειρος ᾳδου—και εκ θανατου λυτρωσομαι σε. Ose. xiii. 14. εν θανατῳ, peste. Conf. Exod. ix. 3. ουκ εγκαταλειψεις την ψυχην μου εις ᾳδην. κ. τ. λ. Ps. xv. 10, 11. Conf. Hab. ii. 5. το θηριον τεταρτον. Dan. vii. 7. και σπονδην το τεταρτον του ειν οινου. Exod. xxix. 40. Conf. Ezech. i. 15. xliv. 4.

9 *Και ὁτε ηνοιξε την πεμπτην σφραγιδα, ειδον ὑποκατω του θυσιαστηριου τας ψυχας των εσφαγμενων δια τον λογον του Θεου και δια την μαρτυριαν ἡν ειχον,*

Conf. cap. i. 9. viii. 3. 1 Reg. ii. 28. ποιμαινε τα προβατα της σφαγης. Zach. xi. 7. ελογισθημεν ὡς προβατα σφαγης. Ps. xliii. 24. του σφαξαι τους ευθεις τῃ καρδιᾳ. xxxvi. 15. δικαιων δε ψυχαι εν χειρι Θεου. Sap. iii. 1. Conf. 3 Reg. xix. 10.

10 *Και εκραζον φωνῃ μεγαλῃ λεγοντες, Ἑως ποτε, ὁ δεσποτης ὁ ἁγιος και ὁ αληθινος, ου κρινεις και εκδικεις το αἱμα ἡμων απο των κατοικουντων επι της γης;*

φωνῃ μου προς Κυριον εκεκραξα. Ps. cxli. 1. ἑως ποτε Κυριε επιλησῃ μου εις τελος; xii. 1. 3. lxi. 3. ἑως ποτε ου ποιησῃ κρισιν, και εκδικησεις τους αδελφους ἡμων; 1 Mac. vi. 22. Κυριε παντοκρατωρ ἑως τινος ου μη ελεησῃς την Ἱερουσαλημ; Zach. i. 12. μνησθητι Κυριε του ονειδισμου των δουλων σου κ. τ. λ. Ps. lxxxviii. 50. Jer. xiii. 27. και εκδικησεις τα αἱματα των δουλων. 4 Reg. ix. 7. 2 Pet. ii. 1. 1 Joan. v. 20. Deut. xxxii. 43. Dan. viii. 13. iv. 32. και των καταβοωντων προς αυτον αἱματων εισακουσαι. 2 Mac. viii. 3. [παντων πατηρ τε και δεσποτης ὁ Θεος ων. Jos. Ant. Proem. § 4.] Κυριε πατερ και δεσποτα της ζωης μου. Sir. xxiii. 1.

11 *Και εδοθησαν ἑκαστοις στολαι λευκαι, και ερρεθη αυτοις ἱνα αναπαυσωνται ετι χρονον μικρον, ἑως οὑ πληρωσονται και οἱ συνδουλοι αυτων και οἱ αδελφοι αυτων, οἱ μελλοντες αποκτεινεσθαι ὡς και αυτοι.*

επι μικρον χρονον. Joan. vii. 33. ἑκαστος επι θρονου αυτου, και

ενδεδυμενοι στολας. 2 Par. xviii. 9. Mich. iv. 4. εν παντι καιρῳ εστωσαν ἱματια σου λευκα. Eccles. ix. 8. εκλεγωσι, και εκλευκανθωσι, και πυρωθωσι· και ἁγιασθωσι πολλοι. Dan. xii. 10. [εν εσθητι λευκῃ. Test. XII Patr. p. 565.] αποκτεινεσθαι. Hab. i. 17. Dan. ii. 13. και συ δευρο, και αναπαυου· ετι γαρ ἡμεραι και ὡραι εις αναπληρωσιν συντελειας, και αναστησῃ εις κληρον σου εις συντελειαν ἡμερων. Dan. xii. 13. Conf. Hab. ii. 3, 4. Cap. iii. 5.

12 Και ειδον ὁτε ηνοιξε την σφραγιδα την ἑκτην, και ιδου, σεισμος μεγας εγενετο, και ὁ ἡλιος εγενετο μελας ὡς σακκος τριχινος, και ἡ σεληνη εγενετο ὡς αἱμα,

φωνη ακοης ιδου ερχεται, και σεισμος μεγας εκ γης Βορρᾶ. Jer. x. 22. Amos. i. 1. Zach. xiv. 5. Matt. xxiv. 29. ὁ ἡλιος και ἡ σεληνη συσκοτασουσι. Joel. ii. 10. 31. ἡ σεληνη εις αἱμα. Act. ii. 20. Conf. 2 Reg. xxii. 7, 8. Luc. xxi. 10.

13 Και οἱ αστερες του ουρανου επεσαν εις την γην, ὡς συκη βαλλει τους ολυνθους αὑτης ὑπο μεγαλου ανεμου σειομενη·

Conf. Matt. xxiv. 29. ἡ συκη εξηνεγκεν ολυνθους αυτης. Cant. ii. 13. και παντα τα αστρα πεσειται ὡς φυλλα εξ αμπελου, και ὡς πιπτει φυλλα απο συκης. Esa. xxxiv. 4. τα ορη μεταστησεσθαι, ουδ' οἱ βουνοι σου μετακινηθησονται. liv. 10. Dan. viii. 10. πως εξεπεσεν εκ του ουρανου ὁ Ἑωσφορος, ὁ πρωϊ ανατελλων; Esa. xiv. 12. και κατακαλυψω εν τῳ σβεσθηναι σε ουρανον, και συσκοτασω τα αστρα αυτου κ. τ. λ. Ezech. xxxii. 7, 8.

14 Και ουρανος απεχωρισθη ὡς βιβλιον ειλισσομενον, και παν ορος και νησος εκ των τοπων αὑτων εκινηθησαν·

Conf. Jer. iii. 23. iv. 24. και ελιγησεται ὁ ουρανος ὡς βιβλιον. Esa. xxxiv. 4. ὡς ἱματιον παλαιωθησονται, και ὡσει περιβολαιον ἑλιξεις αυτους κ. τ. λ. Ps. ci. 26. Heb. i. 12. ειδον τα ορη, και ην τρεμοντα, και παντας τους βουνους ταρασσομενους, κ. τ. λ. Jer. iv. 24. Conf. Esa. ii. 14-17. δια τουτο ου φοβηθησομεθα εν τῳ ταρασσεσθαι την γην, και μετατιθεσθαι ορη εν καρδιαις θαλασσων. Ps. xlv. 2. CITAT. 316.

15 Και οἱ βασιλεις της γης και οἱ μεγιστανες και οἱ πλουσιοι και οἱ χιλιαρχοι και οἱ δυνατοι και πας δουλος και πας ελευθερος εκρυψαν ἑαυτους εις τα σπηλαια και εις τας πετρας των ορεων,

και ῳκησαν εν πετραις οἱ κατοικουντες Μωαβ. Jer. xxxi. 28. εισενεγκαντες εις τα σπηλαια, και εις τας σχισμας των πετρων. Esa. ii. 19-26. Conf. Jer. iv. 29. Ps. lxxv. 12. μεγιστανες. Dan.

iii. 24. *iv.* 33. ὁτι ιδου βασιλεις της γης συνηχθησαν—αυτοι ιδοντες οὑτως εθαυμασαν, εταραχθησαν, κ. τ. λ. *Ps. xlvii.* 4, 5.

16 Και λεγουσι τοις ορεσι και ταις πετραις, Πεσετε εφ᾽ ἡμας και κρυψατε ἡμας απο προσωπου του καθημενου επι του θρονου, και απο της οργης του αρνιου·

και ερουσι τοις ορεσι, Καλυψατε ἡμας, και τοις βουνοις, Πεσατε εφ᾽ ἡμας. *Ose. x.* 8. *Conf. Luc. xxiii.* 30. ανεχωρησε δε απο προσωπου Φαραω. *Exod. ii.* 15. απο προσωπου οργης αυτου τις ὑποστησεται; *Nah. i.* 6. *Zach. i.* 14, 15. *CITAT.* 317.

17 Ὁτι ηλθεν ἡ ἡμερα ἡ μεγαλη της οργης αυτου, και τις δυναται σταθηναι;

και τις ὑπομενει ἡμεραν εισοδου αυτου; *Mal. iii.* 2. πριν ελθειν την ἡμεραν Κυριου την μεγαλην. *iv.* 5. ὁτι εγγυς ἡ ἡμερα Κυριου ἡ μεγαλη. *Sophon. i.* 14. εν ἡμερᾳ οργης θυμου αυτου. *Thren. i.* 12. *Conf. Esa. xiii.* 6. *xxvi.* 20. *Jer. xxxvii.* 7. διοτι μεγαλη ἡμερα Κυριου επιφανης σφοδρα, και τις εσται ἱκανος αυτῃ. *Joel. ii.* 11. *CITAT.* 318.

ΚΕΦ. ζ. 7.

ΚΑΙ μετα ταυτα ειδον τεσσαρας αγγελους ἑστωτας επι τας τεσσαρας γωνιας της γης, κρατουντας τους τεσσαρας ανεμους της γης, ἱνα μη πνεῃ ανεμος επι της γης μητε επι της θαλασσης μητε επι παν δενδρον.

το περας ἡκει επι τας τεσσαρας πτερυγας της γης, ἡκει το περας επι σε. *Ezech. vii.* 2. 6. τις εκρατησε παντων των ακρων της γης; *Prov. xxx.* 4. και μετα ταυτα. *Exod. v.* 1. και επαξω—τεσσαρας ανεμους εκ των τεσσαρων ακρων του ουρανου κ. τ. λ. *Jer. xlix.* 36. *Conf. Jon. i.* 4. *Matt. viii.* 26. *Ps. cvi.* 29. εγω Δανιηλ εθεωρουν, και ιδου, οἱ τεσσαρες ανεμοι του ουρανου προσελαβον εις την θαλασσαν την μεγαλην. *Dan. vii.* 2. τεσσαραι γωνιαι του ἱλαστηριου. *Ezech. xliii.* 20. = μη αφητε παντα ανθρωπον παρεμβαλειν. 1 *Mac. v.* 29. ου δικαιωθησεται—πας ζων. *Ps. cxlii.* 2.

2 Και ειδον αλλον αγγελον αναβαντα απο ανατολης ἡλιου, εχοντα σφραγιδα Θεου ζωντος· και εκραξε φωνῃ μεγαλῃ τοις τεσσαρσιν αγγελοις, οἱς εδοθη αυτοις αδικησαι την γην και την θαλασσαν,

και εσφαγισται εν τοις θησαυροις μου. *Deut. xxxii.* 34. *Sap. xiv.*

29. *αδικηθηναι. Conf. cap. xiv.* 1. = *οἱς ειπεν αυτοις. Exod. vi.* 26. *αφ' ἡλιου ανατολων. Job. i.* 3. *Esa. xi.* 14. *τις γαρ σαρξ ἡτις ηκουσε φωνην Θεου ζωντος, κ. τ. λ. Deut. v.* 26. 1 *Reg. xvii.* 36. *αλλα ζω εγω, και ζων το ονομα μου. Num. xiv.* 21. *Cant. viii.* 6.

3 Λεγων, Μη αδικησητε την γην, μητε την θαλασσαν, μητε τα
δενδρα, αχρις οὑ σφραγιζωμεν τους δουλους του Θεου ἡμων επι
των μετωπων αυτων.

αχρις οὑ. Job. xxxii. 11. *εστι κληρονομια τοις θεραπευουσι Κυριον κ. τ. λ. Esa. liv.* 17. *Dan. iii.* 17. *και οψεσθε αναμεσον δικαιου, και αναμεσον ανομου, και αναμεσον δουλευοντος Θεῳ και του μη δουλευοντος. Mal. iii.* 18. *αδικησητε. Esa. x.* 20. *σφραγιζωμεν. Dan. xii.* 9. 4 *Reg. xxii.* 4.

4 Και ηκουσα τον αριθμον των εσφραγισμενων, ρμδ χιλιαδες
εσφραγισμενοι εκ πασης φυλης υἱων Ισραηλ·

τοτε φανεροι εσονται οἱ σφραγιζομενοι. Esa. viii. 16. *ἡ κληρονομια φυλης Εφραϊμ. Jos. xvi.* 8. *και δος σημειον επι τα μετωπα των ανδρων. Ezech. ix.* 4-6. *xlvii.* 13. *Agg. ii.* 24. *Cap. xiv.* 1. *εκ πασων των φυλων του Ισραηλ. Ezech. xlviii.* 19. *Zach. ix.* 1. *Conf. Num. xxiv.* 2. *Deut. i.* 13.

5 Εκ φυλης Ιουδα, ιβ χιλιαδες εσφραγισμενοι· εκ φυλης Ῥου-
βην, ιβ χιλιαδες εσφραγισμενοι· εκ φυλης Γαδ, ιβ χιλιαδες
εσφραγισμενοι·

6 Εκ φυλης Ασηρ, ιβ χιλιαδες εσφραγισμενοι. εκ φυλης Νεφ-
θαλειμ, ιβ χιλιαδες εσφραγισμενοι· εκ φυλης Μανασση, ιβ χι-
λιαδες εσφραγισμενοι.

7 Εκ φυλης Συμεων, ιβ χιλιαδες εσφραγισμενοι· εκ φυλης
Λευϊ, ιβ χιλιαδες εσφραγισμενοι. εκ φυλης Ισαχαρ, ιβ χιλια-
δες εσφραγισμενοι·

8 Εκ φυλης Ζαβουλων, ιβ χιλιαδες εσφραγισμενοι. εκ φυλης
Ιωσηφ, ιβ χιλιαδες εσφραγισμενοι· εκ φυλης Βενιαμιν, ιβ
χιλιαδες εσφραγισμενοι,

5-8.] *εκ φυλης Ιουδα, εκ φυλης Ασηρ. Num. i.* 4-49. *Conf. Ezech. xlviii. passim. και επι των σφραγιζοντων κ. τ. λ. Neh. x.* 1-28. [*Conf. Ottium ad loc.*]

9 Μετα ταυτα ειδον, και ιδου, οχλος πολυς, ὁν αριθμησαι αυ-
τον ουδεις ηδυνατο, εκ παντος εθνους και φυλων και λαων και
γλωσσων, ἑστωτες ενωπιον του θρονου και ενωπιον του αρνιου,

περιβεβλημενοι στολας λευκας, και φοινικες εν ταις χερσιν αυτων·

ἑως ουκ εδυναντο αριθμησαι. *Gen. xli.* 49. *Ald. Conf. Gen. xiii.* 16. *xv.* 5. παντες οἱ λαοι, φυλαι, και γλωσσαι. *Dan. iii.* 4. *vi.* 25. *vii.* 14. ερχομαι συναγαγειν παντα τα εθνη και τας γλωσσας, και ἡξουσι και οψονται την δοξαν μου. *Esa. lxvi.* 18. στολην βυσσινην, ἡν ὁ βασιλευς περιβαλλεται. *Est. vi.* 8. προσαγων αυτῳ στεφανον χρυσουν και φοινικα. 2 *Mac. xiv.* 4. *Conf. Zach. ii.* 11. *viii.* 20-23. *xiv.* 16. *Jer. iii.* 17. δικαιος ὡς φοινιξ ανθησει. *Ps. xci.* 12. *Conf. Jer. iii.* 17. *xvi.* 19. *Lev. xxiii.* 40. περιβλημενοι στολας λευκας. *Conf. Matt. xxviii.* 3. *Dan. vii.* 9. *Esa. lx.* 1-14. *Cap. iii.* 5. *xviii.* 4. ὁν—αυτον = υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. *Exod. xxxv.* 1.

10 Και κραζοντες φωνῃ μεγαλῃ, λεγοντες, Ἡ σωτηρια τῳ καθημενῳ επι του θρονου του Θεου ἡμων και τῳ αρνιῳ.

του Κυριου ἡ σωτηρια, και επι τον λαον σου ἡ ευλογια σου. *Ps. iii.* 8. *Esa. xliii.* 11. *Jer. iii.* 23. *Ose. xiii.* 4. ειδον τον Κυριον καθημενον επι θρονου. *Esa. vi.* 1. ὡς αμνος κ. τ. λ. *Esa. liii.* 7. και εκεκραγεν ἑτερος προς ἑτερον, και ελεγον, Ἁγιος, ἁγιος, ἁγιος κ. τ. λ. *Esa. vi.* 3. *Conf. Zach. xiii.* 7.

11 Και παντες οἱ αγγελοι ἑστηκεσαν κυκλῳ του θρονου και των πρεσβυτερων και των τεσσαρων ζωων, και επεσον ενωπιον του θρονου επι προσωπον αὑτων, και προσεκυνησαν τῳ Θεῳ

κυκλῳ αυτου πηχυς κυκλοθεν. *Ezech. xliii.* 7. *Edit. Francof. Ps. xvii.* 11. *Exod. vii.* 24. και πιπτω επι προσωπον μου. *Dan. viii.* 17. εκαθισας επι θρονου ὁ κρινων δικαιοσυνην. *Ps. ix.* 4. προσκυνησατε αυτῳ παντες αγγελοι αυτου. *xcvi.* 7. *ciii.* 19. το ἁρμα του Θεου μυριοπλασιον—Κυριος εν αυτοις. *lxvii.* 11.

12 Λεγοντες, Αμην ἡ ευλογια και ἡ δοξα και ἡ σοφια και ἡ ευχαριστια και ἡ τιμη και ἡ δυναμις και ἡ ισχυς τῳ Θεῳ ἡμων εις τους αιωνας των αιωνων. αμην.

σοι Κυριε ἡ μεγαλωσυνη, και ἡ δυναμις, και το καυχημα, και ἡ νικη, και ἡ ισχυς. 1 *Par. xxix.* 11. ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 12. ἡ αινεσις αυτου μενει εις τον αιωνα του αιωνος. *Ps. cx.* 3. 10. *cxi.* 3. 8. ᾧ ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην. 4 *Mac. fin.* = αμην αμην λεγω ὑμιν. *Joan. i.* 52. *et pass.*

13 Και απεκριθη εἱς εκ των πρεσβυτερων λεγων μοι, Οὑτοι οἱ περιβεβλημενοι τας στολας τας λευκας, τινες εισι, και ποθεν ηλθον;

ποθεν εστε, και ποθεν παραγεγονατε; *Jos. ix.* 8. *Jon. i.* 8. *Conf. Alberti. Observat. Philolog. p.* 486.

14 Και ειρηκα αυτῳ, Κυριε, συ οιδας. Και ειπε μοι, Οὑτοι
εισιν οἱ ερχομενοι εκ της θλιψεως της μεγαλης, και επλυναν
τας στολας αὑτων και ελευκαναν στολας αὑτων εν τῳ αἱματι
του αρνιου.

και ειπε προς με, Ὑιε ανθρωπου, ει ζησεται τα οστεα ταυτα; και ειπα, Κυριε, Κυριε, συ επιστῃ ταυτα. *Ezech. xxxvii.* 3. και εαν ωσιν αἱ ἁμαρτιαι ὑμων ὡς φοινικουν, ὡς χιονα λευκανω. *Esa. i.* 18. 1 *Joan. i.* 7. πλυνει εν οινῳ την στολην αυτου. *Gen. xlix.* 11. πλυνεις με, και ὑπερ χιονα λευκανθησομαι. *Ps. l.* 8. εκ πασης θλιψεως αυτων, ου πρεσβυς, ουδε αγγελος αλλ' αυτος εσωσεν αυτους. *Esa. lxiii.* 9. εξειλαμην σε εκ καμινου πτωχειας. *xlviii.* 10. εγω δε ὡς αρνιον ακακον αγομενον του θυεσθαι. *Jer. xi.* 19. εν αἱματι διαθηκης. *Zach. xi.* 11. *iii.* 5. ὁτι ὁ Θεος επειρασεν αυτους, και εὑρεν αυτους αξιους ἑαυτου. *Sap. iii.* 5. εκλεγωσι, και εκλευκανθωσι, και πυρωθωσι, και ἁγιασθωσι πολλοι. *Dan. xii.* 10. *Conf. Exod. xxix.* 7. 20. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32. *Cap. i.* 5.

15 Δια τουτο εισιν ενωπιον του θρονου του Θεου, και λατρευ-
ουσιν αυτῳ ἡμερας και νυκτος εν τῳ ναῳ αυτου· και ὁ καθη-
μενος επι του θρονου σκηνωσει επ' αυτους.

Conf. Luc. ii. 37. *Ps. cxxxiii.* 1, 2. *Esa. iv.* 5. οδυνας εν καρδιᾳ μου ἡμερας και νυκτος. *Ps. xii.* 2. *Alex. Ald. Comp.* σκηνωσει. *Gen. xiii.* 12. *Exod. xxiv.* 16. και αυτῳ μονῳ λατρευσεις. *vi.* 13. *x.* 12. *Conf. cap. xxi.* 3. αινετε το ονομα Κυριου, αινειτε δουλοι Κυριον. κ. τ. λ. *Ps. cxxxiv.* κ. τ. λ. το ορος ὁ ευδοκησεν ὁ Θεος κατοικειν εν αυτῳ, και γαρ ὁ Κυριος κατασκηνωσει εις τελος. *Ps. lxvii.* 16. *Exod. xxix.* 45. *Joel. iii.* 21.

16 Ου πεινασουσιν ετι, ουδε διψησουσιν ετι, ουδε μη πεσῃ επ'
αυτους ὁ ἡλιος ουδε παν καυμα·

ου πεινασουσιν, ουδε διψησουσιν, ουδε παταξει αυτους ὁ καυσων, ουδε ὁ ἡλιος, αλλ' ὁ ελεων αυτους παρακαλεσει, και δια πηγων ὑδατων αξει αυτους. *Esa. xlix.* 10. και εσται εις σκιαν απο καυματος. *iv.* 6. *Ps. cxx.* 6. *Conf. Joan. iv.* 14. = ου ποιησεις παν εργον. *Deut. xvi.* 8. ου δικαιωθησεται παν ζων. *Ps. cxliii.* 2. ουδε μη. = *Conf. Exod. xxii.* 21. *xxiii.* 13. *Jos. xxiii.* 7. και ουκ εσται σοι ετι ἡλιος εις το φως ἡμερας, ουδε ανατολη σεληνης φωτιει σου την νυκτα, αλλ' εσται σου Κυριος φως αιωνιον, και ὁ Θεος δοξα σου. κ. τ. λ. *Esa. lx.* 19, 20.

17 Ὁτι το αρνιον το αναμεσον του θρονου ποιμανει αυτους, και οδηγησει αυτους επι ζωσας πηγας ὑδατων, και εξαλειψει ὁ Θεος παν δακρυον απο των οφθαλμων αυτων.

Κυριος ποιμανει με κ. τ. λ. *Ps. xxii.* 1. ὡδηγησεν με επι τριβους δικαιοσυνης. 3. αυτος ποιμανει ἡμας εις τους αιωνας. *xlvii.* 14. αναμεσον των πετρων. *Esa. lvii.* 5. και παλιν αφειλε Κυριος ὁ Θεος παν δακρυον απο παντος προσωπου κ. τ. λ. *xxv.* 8, 9. και εξαλειψεις Κυριος ὁ Θεος απο προσωπου παν δακρυον. *Sym.* πηγη ζωης. *Ps. xxxvi.* 10. *Prov. xviii.* 4. *Conf. Joan. x.* 11. *Cap. xxi.* 4. *Gen. xxi.* 19. αντλησατε ὑδωρ εκ των πηγων του σωτηριου. *Esa. xii.* 3. και στησεται και οψεται, και ποιμανει το ποιμνιον αυτου εν ισχυϊ Κυριος, κ. τ. λ. *Mich. v.* 4. *Esa. lxv.* 19. αυτος ποιμανει ἡμας εις τους αιωνας. *Ps. xlvii.* 14. *CITAT.* 319. 320.

ΚΕΦ. η. 8.

ΚΑΙ ὁτε ηνοιξε την σφραγιδα την ἑβδομην, εγενετο σιγη εν τῳ ουρανῳ ὡς ἡμιωριον.

ὁ δε Κυριος εν ναῳ ἁγιῳ αυτου· ευλαβεισθω απο προσωπου αυτου πασα ἡ γη. *Hab. ii.* 20. ευλαβεισθω πασα σαρξ απο προσωπου Κυριου ὁτι εξεγηγεται εκ νεφελων ἁγιων αυτου. *Zach. ii.* 13.

2 Και ειδον τους ἑπτα αγγελους, οἱ ενωπιον του Θεου ἑστηκασι, και εδοθησαν αυτοις ἑπτα σαλπιγγες.

3 Και αλλος αγγελος ηλθε, και εσταθη επι το θυσιαστηριον, εχων λιβανωτον χρυσουν· και εδοθη αυτῳ θυμιαματα πολλα, ἱνα δωσῃ ταις προσευχαις των ἁγιων παντων επι το θυσιαστηριον το χρυσουν το ενωπιον του θρονου.

2, 3.] αγγελος παρεστηκως ενωπιον του Θεου. *Luc. i.* 19. *Matt. xviii.* 10. [φιαλαι χρυσεαι λιβανωτου πληρεις. *Jos. Ant. iii.* 6. 6.] εγω ειμι Ῥαφαηλ, εἱς εκ των ἑπτα ἁγιων αγγελων οἱ προσαναφερουσι τας προσευχας των ἁγιων, και εισπορευονται ενωπιον της δοξης του ἁγιου. *Tob. xii.* 15. ει φωνησει σαλπιγξ εν πολει, κ. τ. λ. *Amos. iii.* 6-8. *Conf. cap. v.* 8. *vi.* 9. 2 *Par. xxix.* 25. κ. τ. λ. *Conf. Lev. xvi.* 12. *Exod. xxx.* 8. και επεθηκε το θυσιαστηριον το χρυσουν εν τῃ σκηνῃ του μαρτυριου· κ. τ. λ. *xl.* 25. ποιησον σεαυτῳ δυο σαλπιγγας αργυρας κ. τ. λ. *Num. x.* 2, 3.

4 Και ανεβη ὁ καπνος των θυμιαματων ταις προσευχαις των ἁγιων εκ χειρος του αγγελου ενωπιον του Θεου.

κατευθυνθητω ἡ προσευχη μου ὡς θυμιαμα ενωπιον σου. *Ps. cxl. 2.*

5 Και ειληφεν ὁ αγγελος το λιβανωτον, και εγεμισεν αυτο
εκ του πυρος του θυσιαστηριου, και εβαλεν εις την γην· και
εγενοντο φωναι και βρονται και αστραπαι και σεισμος.

ειληφε. *Lev. vii. 24.* και εγενοντο φωναι και αστραπαι και νεφελη γνοφωδης. *Exod. xix. 16. Conf. cap. xi. 19. xvi. 18. 2 Reg. xxii. 7, 8.* φωνη εκ ναου, φωνη Κυριου ανταποδιδοντος κ. τ. λ. *Esa. lxvi. 6. Ezech. x. 2. 7.* [δυο δε χρυσεων ὑπερκειμενων πινακων λιβανωτου. *Jos. Ant. iii. 10. 7.* συνεπιτιθεται δε τοις αρτοις λιβανωτος και ἁλες. *Philo de Victim. p. 574. Ottius.*]

6 Και οἱ ἑπτα αγγελοι εχοντες τας ἑπτα σαλπιγγας ἡτοι-
μασαν ἑαυτους ἱνα σαλπισωσι.

πριν ευξασθαι ἑτοιμασον σεαυτον. *Sir. xviii. 23.* ἑτοιμαζου εις καταντησιν Θεου σου. *Amos. iv. 12. Theod.* νυν ουν ει εχετε ἑτοιμως, ἱνα κ. τ. λ. *Dan. iii. 15. Jer. xxxviii. 6.*

7 Και ὁ πρωτος αγγελος εσαλπισε, και εγενετο χαλαζα και
πυρ μεμιγμενα αἱματι, και εβληθη εις την γην· και το τριτον
των δενδρων κατεκαη, και πας χορτος χλωρος κατεκαη.

χαλαζα και ανθρακες πυρος. *Ps. xvii. 12. civ. 32. Esa. xxviii. 2. xxix. 6.* σαλπιουσι τη σαλπιγγι τη μεγαλη. *xxvii. 13.* χορτος γαρ χλωρος ουκ εσται. *xv. 6. Conf. Ezech. xxxviii. 22. Joel. ii. 30.* και Κυριος εδωκε φωνας και χαλαζαν, κ. τ. λ. *Exod.* ἡμερα Κυριου—επι πασαν κεδρον του Λιβανου. κ. τ. λ. *Esa. ii. 12-15.* χορτος (*quavis herba*). *Drus. Esa. xl. 6-8. Aq.*

8 Και ὁ δευτερος αγγελος εσαλπισε, και ὡς ορος μεγα πυρι
καιομενον εβληθη εις την θαλασσαν· και εγενετο το τριτον της
θαλασσης αἱμα,

το τριτον (*sc.* μερος) του ιν. *Num. xv. 6, 7. Conf. Bos. p. 171. Esa. liv. 10.* και ερημωσω την θαλασσαν αυτης, και ξηρανω την πηγην αυτης. *Jer. xxviii. 36-44.* ὡς ορος εμπευρισμενον. *25. Marc. xi. 23. Amos. vii. 4. Ezech. xiv. 19.* εν πνευματι βιαιῳ συντριψεις πλοια Θαρσις. *Ps. xlviii. 7. civ. 29. Esa. ii. 16. Joel. ii. 31.*

9 Και απεθανε το τριτον των κτισματων των εν τῃ θαλασσῃ
τα εχοντα ψυχας, και το τριτον των πλοιων διεφθαρη.

και μετεβαλε παν το ὑδωρ το εν τῳ ποταμῳ εις αἱμα. και οἱ ιχθυες οἱ εν τῳ ποταμῳ ετελευτησαν. κ. τ. λ. *Exod. vii. 20, 21.* τα δυο μερη αυτης εξολοθρευθησεται, κ. τ. λ. *Zach. xiii. 8.* ψυχας. *Gen. i. 24. ii. 19.*

10 Και ὁ τριτος αγγελος εσαλπισε, και επεσεν εκ του ουρανου αστηρ μεγας καιομενος ὡς λαμπας, και επεσεν επι το τριτον των ποταμων, και επι τας πηγας ὑδατων.

πως εξεπεσεν εκ του ουρανου ὁ Ἑωσφορος ὁ πρωϊ ανατελλων; *Esa. xiv.* 12. *xxxiv.* 4. *Jer. ix.* 15. *xxiii.* 15. *Dan. viii.* 10. *Amos. viii.* 10. αἱ πηγαι των ὑδατων. *Ps. xvii.* 15. *cv.* 9.

11 Και το ονομα του αστερος λεγεται Αψινθος, και γινεται το τριτον εις αψινθον· και πολλοι ανθρωπων απεθανον εκ των ὑδατων, ὁτι επικρανθησαν.

εχορτασε με πικριας, εμεθυσε με χολης, κ. τ. λ. *Thren. iii.* 15. 19. καλεσατε με Πικραν, (*Mara.*) ὁτι επικρανθη εν εμοι ὁ ἱκανος σφοδρα. *Ruth. i.* 20. δια τουτο επωνομασε το ονομα του τοπου εκεινου, Πικρια. *Exod. xv.* 23. αψινθιον. *Prov. v.* 4. *Aq.*

12 Και ὁ τεταρτος αγγελος εσαλπισε, και επληγη το τριτον το ἡλιου και το τριτον της σεληνης και το τριτον των αστερων, ἱνα σκοτισθῃ το τριτον αυτων, και ἡ ἡμερα μη φαινῃ το τριτον αὐτης, και ἡ νυξ ὁμοιως.

οἱ γαρ αστερες του ουρανου—το φως ου δωσουσι· και σκοτισθησεται του ἡλιου ανατελλοντος, και ἡ σεληνη ου δωσει το φως αυτης. *Esa. xiii.* 10. σκοτισθειη τα αστρα της νυκτος εκεινης. *Job. iii.* 9. *Conf. Exod. x.* 21-23. *Ps. civ.* 28. *cxxxviii.* 12.

13 Και ειδον και ηκουσα ἑνος αγγελου πετωμενου εν μεσουρανηματι λεγοντος φωνῃ μεγαλῃ, Ουαι, ουαι, ουαι, τοις κατοικουσιν επι της γης εκ των λοιπων φωνων της σαλπιγγος των τριων αγγελων των μελλοντων σαλπιζειν.

αγγελου πετωμενου. *Dan. ix.* 21. ουαι, ουαι. *Amos. v.* 16. γη, γη, γη. *Jer. xxii.* 29. *Comp.* αἱ φωναι της σαλπιγγος. *Exod. xix.* 16. 19. *Conf.* 1 *Par. xxi.* 16. ευλογειτε τον Κυριον παντες αγγελοι αυτου, δυνατοι ισχυϊ ποιουντες τον λογον αυτου, του ακουσαι της φωνης των λογων αυτου. *Ps. cii.* 20. *Conf. Ezech. iii.* 10. μεσουρανηματι = αναμεσον της γης και αναμεσον του ουρανου. *Zach. v.* 9. [φωνη απ' ανατολης, φωνη απο δυσεως, φωνη απο των τεσσαρων ανεμων, φωνη επι Ἱεροσολυμα και τον ναον, φωνη επι νυμφιους και νυμφας, φωνη επι τον λαον παντα—αι, αι τῃ πολει, και τῳ λαῳ, και τῳ ναῳ. κ. τ. λ. *Jos. Bell. Jud. vi.* 5. 3. *p.* 1282, 3. *Hudson.*]

ΚΕΦ. θ. 9.

ΚΑΙ ὁ πεμπτος αγγελος εσαλπισε, και ειδον αστερα εκ του ουρανου πεπτωκοτα εις την γην, και εδοθη αυτῳ ἡ κλεις του φρεατος της αβυσσου,

πως εξεπεσεν εκ του ουρανου—νυν δε εις ᾁδην καταβηση. Esa. xiv. 13-16. xxxiv. 4. και δωσω αυτῳ την κλειδα οικου Δαυιδ. xxii. 22. φρεαρ διαφθορας. Ps. liv. 23. Conf. Luc. viii. 31. Cap. xvii. 8. xx. 1. και ὡδηγησεν αυτους εν αβυσσῳ, ὡς εν ερημῳ. Ps. cv. 9.

2 Και ηνοιξε το φρεαρ της αβυσσου. και ανεβη καπνος εκ του φρεατος ὡς καπνος καμινου μεγαλης, και εσκοτισθη ὁ ἡλιος και ὁ αηρ εκ του καπνου του φρεατος.

ανεβαινε φλοξ εκ της γης, ὡσει ατμις καμινου. Gen. xix. 28. Exod. xix. 18. Job. xli. 11. Conf. Joel. ii. 2-10. Esa. xxxiv. 10. ἑως οὑ μη σκοτισθῃ ὁ ἡλιος και το φως. Eccles. xii. 2.

3 Και εκ του καπνου εξηλθον ακριδες εις την γην, και εδοθη αυταις εξουσια ὡς εχουσιν εξουσιαν οἱ σκορπιοι της γης·

σκορπιος. Conf. Deut. viii. 15. [επειτα φυλον ακριδων επινεμεται την ὑπο της χαλαζης μη καταβλαβεισαν σποραν. Jos. Ant. ii. 14. 4. Ottius.] τα καταλοιπα της καμπης κατεφαγεν ὁ ακρις κ. τ. λ. Joel. i. 4. ὡς ακρις εις πληθος. Jud. vii. 12. Sap. xvi. 9. Conf. Exod. x. 12-15. και εξουσια εδοθη αυτῃ. Dan. vii. 6.

4 Και ερρεθη αυταις ἱνα μη αδικησωσι τον χορτον της γης, ουδε παν χλωρον, ουδε παν δενδρον, ει μη τους ανθρωπους μονους οἱτινες ουκ εχουσι την σφραγιδα του Θεου επι των μετωπων αὑτων.

και ερρεθη εν τῃ Νινευη. Jon. iii. 7. και δος σημειον επι τα μετωπα των ανδρων. Ezech. ix. 4. Cap. vi. 6. Exod. xii. 23. και θησομαι σε ὡς σφραγιδα, διοτι σε ῃρετισα. Agg. ii. 24.

5 Και εδοθη αυταις ἱνα μη αποκτεινωσιν αυτους, αλλ' ἱνα βασανισθωσι μηνας πεντε· και ὁ βασανισμος αυτων ὡς βασανισμος σκορπιου, ὁταν παισῃ ανθρωπον.

και εβασανισεν αυτους. 1 Reg. v. 6. Comp. ιδου παντα ὁσα εστιν αυτῳ διδωμι εν τῃ χειρι σου, αλλ' αυτου μη ἁψῃ. Job. i. 12. ii. 6. και ουκ εδωκεν αυτῳ ὁ Θεος κακοποιησαι με. Gen. xxxi. 7. δικαιων δε ψυχαι εν χειρι Θεου, και ου μη ἁψηται βασανος. Sap. iii. 1. ὡς ὁ δρασσομενος σκορπιου. Sir. xxvi. 7.

6 Και εν ταις ἡμεραις εκειναις ζητησουσιν οἱ ανθρωποι τον
θανατον, και ουχ εὑρησουσιν αυτον· και επιθυμησουσιν απο-
θανειν, και φευξεται ὁ θανατος απ' αυτων.

δεομαι δε ταφης, και ου τυγχανω. Job. xvii. 1. οἱ ἱμειρονται του θανατου, και ου τυγχανουσι. iii. 21. Esa. ii. 19. Jer. viii. 3. Osc. x. 8. Conf. Luc. xxiii. 30. Cap. vi. 16. [εκεινων μεν ουν αθλιωτατους ὑποληπτεον τους ετι ζωντας, οἱ πολλακις ευχομενοι θανατον λαβειν ουκ εχουσι. Jos. Bell. Jud. vii. § 10.]

7 Και τα ὁμοιωματα των ακριδων ὁμοια ἱπποις ἡτοιμασμενοις
εις πολεμον, και επι τας κεφαλας αυτων ὡς στεφανοι ὁμοιοι
χρυσῳ· και τα προσωπα αυτων ὡς προσωπα ανθρωπων,

Sap. xvi. 9. Dan. vii. 8. Exod. x. 4. ὁμοιωμα ανθρωπου επ' αυτοις. Ezech. i. 5. 10. ὡς ὁρασις ἱππων ἡ ὁρασις αυτων. Joel. ii. 4. ὡς ακρις επιβεβηκυια επι φραγμον, κ. τ. λ. Nah. iii. 17.

8 Και ειχον τριχας ὡς τριχας γυναικων, και οἱ οδοντες αυτων
ὡς λεοντων ησαν·

οἱ οδοντες αυτου οδοντες λεοντος. Joel. i. 6. Conf. 1 Cor. xi. 14, 15. 4 Reg. ix. 30. το πρωτον ὡσει λεαινα. Dan. vii. 4. οδοντες λεοντος οἱ οδοντες αυτης. Sir. xxi. 2.

9 Και ειχον θωρακας ὡς θωρακας σιδηρους, και ἡ φωνη των
πτερυγων αυτων ὡς φωνη ἁρματων ἱππων πολλων τρεχοντων
εις πολεμον.

ὡς φωνη ἁρματων—και ὡς λαος πολυς και ισχυρος παρατασσομενος εις πολεμον. Joel. ii. 5. και ηκουον την φωνην των πτερυγων αυτων κ. τ. λ. Ezech. i. 24. Jer. xxvi. 4.

10 Και εχουσιν ουρας ὁμοιας σκορπιοις, και κεντρα ην εν ταις
ουραις αυτων· και ἡ εξουσια αυτων αδικησαι τους ανθρωπους
μηνας πεντε.

11 Και εχουσιν εφ' αὑτων βασιλεα τον αγγελον της αβυσσου·
ονομα αυτῳ Ἑβραϊστι Αβαδδων, και εν τῃ Ἑλληνικῃ ονομα
εχει Απολλυων.

Conf. Ephes. ii. 2. = απωλεια. Job. xxviii. 22. ὁ ολοθρευων. Sap. xviii. 25. ολοθρευτης. 1 Cor. x. 10. Conf. Exod. xii. 23. Supra. ix. 1. xx. 1. Tob. iii. 8. ὁ αρχων του κοσμου τουτου. Joan. xii. 31. xiv. 30. εκεινος ανθρωποκτονος ην απ' αρχης. viii. 44.

12 Ἡ ουαι ἡ μια απηλθεν· ιδου, ερχονται ετι δυο ουαι μετα
ταυτα.

ἡ μια. *Gen. i. 5.* ἡ ουαι = ἡ θλιψις. *Winer* § 27. αδικιαν, αδικιαν, αδικιαν θησομαι αυτην. *Ezech. xxi.* 27. ουαι επι ουαι εσται. *vii.* 26. θρηνος και μελος και ουαι. *ii.* 10.

13 Και ὁ ἑκτος αγγελος εσαλπισε, και ηκουσα φωνην μιαν εκ των τεσσαρων κερατων του θυσιαστηριου του χρυσου του ενωπιον του Θεου,

και θησεις το θυσιαστηριον το χρυσουν. Exod. xl. 5. *xxix.* 12. *και επιθησουσιν επι τα τεσσαρα κερατα του θυσιαστηριου. Ezech. xliii.* 20. *Lev. iv.* 7.

14 Λεγουσαν τῳ ἑκτῳ αγγελῳ ὁς ειχε την σαλπιγγα, Λυσον τους τεσσαρας αγγελους τους δεδεμενους επι τῳ ποταμῳ τῳ μεγαλῳ Ευφρατῃ.

εφυγεν εις τα ανωτατα Αιγυπτου, και εδησεν αυτο ὁ αγγελος. *Tob. viii.* 3. *et Grot. ibid. Conf. cap. viii.* 2. Ευφρατης. *Gen. ii.* 14. 2 *Reg. viii.* 3. ἑως του ποταμου του μεγαλου, ποταμου Ευφρατου. *Deut. i.* 7. *Conf. Jer. xxviii.* 63.

15 Και ελυθησαν οἱ τεσσαρες αγγελοι οἱ ἡτοιμασμενοι εις την ὡραν και ἡμεραν και μηνα και ενιαυτον, ἱνα αποκτεινωσι το τριτον των ανθρωπων.

16 Και ὁ αριθμος στρατευματων του ἱππικου δυο μυριαδες μυριαδων· και ηκουσα τον αριθμον αυτων.

το ἁρμα του Θεου μυριοπλησιον, χιλιαδες ευθηνουντων. *Ps. lxvii.* 17. δυναμεις ἱππικαι. 1 *Mac. xv.* 38. και μυριαι μυριαδες παρειστηκεισαν αυτῳ. *Dan. vii.* 10. 25. *Conf. Ezech. xxxviii.* 4. 22.

17 Και οὑτως ειδον τους ἱππους εν τῃ ὁρασει, και τους καθημενους επ᾽ αυτων εχοντας θωρακας πυρινους και ὑακινθινους και θειωδεις· και αἱ κεφαλαι των ἱππων ὡς κεφαλαι λεοντων, και εκ των στοματων αυτων εκπορευεται πυρ και καπνος και θειον.

και προσωπον λεοντος τα προσωπα αυτων. 1 *Par. xii.* 8. *Esa. v.* 28, 29. *xxx.* 33. *Conf. Exod. xxvi.* 4. *Gen. xix.* 24. *Ps. x.* 7.

18 Ὑπο των τριων τουτων απεκταιθησαν το τριτον των ανθρωπων, εκ του πυρος και εκ του καπνου και εκ του θειου, του εκπορευομενου εκ των στοματων αυτων.

και αμφοτερα εκ του στοματος σου εκπορευεται. *Sir. xxviii.* 12. *Conf. cap. viii.* 7. *Ps. xvii.* 8.

19 Αἱ γαρ εξουσιαι αυτων εν τῳ στοματι αυτων εισιν· αἱ γαρ
ουραι αυτων ὁμοιαι οφεσιν, εχουσαι κεφαλας, και εν αυταις
αδικουσι.

προφητην διδασκοντα ανομα, οὗτος ἡ ουρα. Esa. ix. 15.

20 Και οἱ λοιποι των ανθρωπων, οἱ ουκ απεκτανθησαν εν ταις
πληγαις ταυταις, ουτε μετενοησαν εκ των εργων των χειρων
αὑτων, ἱνα μη προσκυνησωσι τα δαιμονια, και ειδωλα τα χρυ-
σα και τα αργυρα και τα χαλκα και τα λιθινα και τα ξυ-
λινα, ἁ ουτε βλεπειν δυναται, ουτε ακουειν, ουτε περιπατειν·

οἱ δε λοιποι των Ιουδαιων. Est. ix. 16. δαιμονια. Conf. Matt. vii. 22. 1 Cor. x. 20. Ps. cv. 37. εθυσαν δαιμονιοις, και ου Θεῳ. Deut. xxxii. 17. και ῃνεσαν τους θεους—και ξυλινους και λιθινους. Dan. v. 4. 23. Conf. Lev. xvii. 7. τα ειδωλα των εθνων, αργυριον και χρυσιον, εργα χειρων ανθρωπων· στομα εχουσι· και ου λαλησουσιν, κ. τ. λ. Ps. cxiii. 4-7. αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. Sap. xiv. 12. [δαιμονες πλανης. Test. XII Patr. pp. 613. 535. 732.] γνωθι ὁτι σποδος ἡ καρδια αυτων, και πλανωνται, και ουδεις δυναται εξελεσθαι την ψυχην αυτου κ. τ. λ. Esa. xliv. 20.

21 Και ου μετενοησαν εκ των φονων αὑτων, ουτε εκ των φαρ-
μακειων αὑτων, ουτε εκ της πορνειας αὑτων, ουτε εκ των κλεμ-
ματων αὑτων.

απο πληθους πορνειας. Nah. iii. 4. ουκ εστιν ανθρωπος ὁ μετανοων απο της κακιας. Jer. viii. 6. Conf. Exod. vii. 11. εν πασι τουτοις ου μετανοησεν ὁ λαος. Sir. xlviii. 16. Jer. v. 3. το κλεμμα. Exod. xxii. 3, 4. παντα γαρ απισθουντες δια τας φαρμακειας. Sap. xviii. 13. και συ ζητησεις σεαυτῃ στασιν εξ (propter) εχθρων. Nah. iii. 11. αδικουμαι εκ σου. Gen. xvi. 5. αλλ' εαν μη μετανοητε, παντες ὡσαυτως απολεισθε. Luc. xiii. 3.

ΚΕΦ. ι. 10.

ΚΑΙ ειδον αλλον αγγελον ισχυρον καταβαινοντα εκ του ουρανου, περιβεβλημενον νεφελην, και ιρις επι της κεφαλης, και το προσωπον αυτου ὡς ὁ ἡλιος, και οἱ ποδες αυτου ὡς στυλοι πυρος,

ὁτι ειδον τον αγγελον Κυριου. Jud. vi. 22. 1 Par. xxi. 16. και εκλινεν ουρανον και κατεβη. Ps. xvii. 9. ὡς ὁ ἡλιος. Conf. Matt.

xvii. 2. εν στυλῳ πυρος. *Exod. xiii.* 21. και δοξα Κυριου ωφθη εν νεφελῃ. *xvi.* 10. *Ezech. i.* 27. *Cap. i.* 15. *Dan. x.* 6. ιρις. *Gen. ix.* 13-16. *Conf. Ezech. i.* 4. ὡς ορασις ιριδος. *Orig.* ιδε τοξον, και ευλογησον τον ποιησαντα αυτο, σφοδρα ὡραιον εν τῳ αυγασματι αυτου. *Sir. xliii.* 11. ὡς ἡλιος εκλαμπων επι ναον ὑψιστου, και ὡς τοξον φωτιζον εν νεφελαις δοξης. *l.* 7. *Conf. Ezech. i.* 28. *Cant. v.* 14, 15.

2 Και ειχεν εν τῃ χειρι αὑτου βιβλαριδιον ανεῳγμενον, και
εθηκε τον ποδα αὑτου τον δεξιον επι την θαλασσαν, τον δε
ευωνυμον επι την γην,

Conf. Matt. xxviii. 18. και εθετο με επι τον θρονον Δαβιδ. 3 *Reg. ii.* 24. και ιδον, και ιδου χειρ εκτεταμενη προς με, και εν αυτῃ κεφαλις βιβλιου, κ. τ. λ. *Ezech. ii.* 9, 10. ὁ ουρανος μου θρονος, και ἡ γη ὑποποδιον κ. τ. λ. *Esa. lxvi.* 1.

3 Και εκραξε φωνῃ μεγαλῃ, ὡσπερ λεων μυκαται. και ὁτε
εκραξεν, ελαλησαν αἱ ἑπτα βρονται τας ἑαυτων φωνας·

δι' αγγελων λαληθεις. *Heb. ii.* 2. οργιωσιν ὡς λεοντες. *Esa. v.* 29. φωνῃ μου προς Κυριον εκεκραξα. *Ps. lxxvi.* 1. εγενοντο φωναι και αστραπαι κ. τ. λ. *Exod. xix.* 16. *Conf. Amos. i.* 2. λεων ερευξεται, και τις ου φοβηθησεται; Κυριος ὁ Θεος ελαλησε, και τις ου προφητευσει; *Amos. iii.* 8. *Esa. xxxi.* 4. *Jos. vi.* 7.

4 Και ὁτε ελαλησαν αἱ ἑπτα βρονται τας φωνας ἑαυτων,
εμελλον γραφειν· και ηκουσα φωνην εκ του ουρανου λεγουσαν
μοι, Σφραγισον ἁ ελαλησαν αἱ ἑπτα βρονται, και μη ταυτα
γραψῃς.

και συ σφραγισον την ὁρασιν. *Dan. viii.* 26. *xii.* 4. 9. του σφραγισαι ἁμαρτιας, και απαλειψαι. *ix.* 24. τοτε φανεροι εσονται οἱ σφραγιζομενοι. *Esa. viii.* 16. *Deut. xxix.* 29. *xxxii.* 34.

5 Και ὁ αγγελος, ὁν ειδον ἑστωτα επι της θαλασσης και επι
της γης, ηρε την χειρα αὑτου εις τον ουρανον,

6 Και ωμοσεν εν τῳ ζωντι εις τους αιωνας των αιωνων, ὁς εκ-
τισε τον ουρανον και τα εν αυτῳ, και την γην και τα εν αυτῃ,
και την θαλασσαν και τα εν αυτῃ, ὁτι χρονος ουκ εσται ετι,

5, 6.] και ὑψωσε την δεξιαν αυτου, και την αριστεραν αυτου εις τον ουρανον, και ωμοσεν εν τῳ ζωντι εις τον αιωνα ὁτι εν τῳ συντελεσθηναι, κ. τ. λ. *Dan. xii.* 7. εκτενω την χειρα μου προς Κυριον. *Judith. xiii.* 16. ὁς εκτισε τον ουρανον και την γην. *Gen. xiv.* 19. 1 *Esd. vi.* 13. *Conf. Num. xiv.* 30. *Ezech. xx.* 5. συ ει

αυτος Κυριος μονος, συ εποιησας τον ουρανον κ. τ. λ. Neh. ix. 6. [ἡμων ομνυοντων τον Θεον, τον ποιησαντα τον ουρανον, και την γην, και την θαλασσαν, κ. τ. λ. Jos. c. Ap. ii. 10.] ταχυ ερχεται και ου χρονιει, και ἡμεραι αυτων (αυτης, Basil.) ου μη εφελκυσθωσι. Esa. xiv. 1. Ald. Comp. Ps. lxxxix. 4. CITAT. 321.

7 Αλλα εν ταις ἡμεραις της φωνης του ἑβδομου αγγελου, ὁταν
μελλῃ σαλπιζειν, και τελεσθῃ το μυστηριον του Θεου, ὡς ευ-
ηγγελισε τοις ἑαυτου δουλοις τοις προφηταις.

τελεσθῃ. Esd. v. 16. Neh. vi. 15. ευηγγελισε. 2 Reg. xviii. 19. 1 Reg. xxxi. 9. Comp. και ουκ εισηκουσαμεν των δουλων σου των προφητων. Dan. ix. 6. τα μυστηρια του Θεου. Sap. ii. 22. Conf. cap. xi. 15. Dan. ix. 2. Amos. iii. 7. και τελεσθῃ (i. e. τελεσθησεται). Conf. Jud. iv. 8. [Vide Middleton. de Artic. Græc. p. 463. Sit copula παρελκουσα, et αοριστος pro fut. προφητικως. Calov.] = Joan. xv. 6. Luc. i. 69. και καλειται το ονομα αυτου, Μεγαλης βουλης αγγελος. Esa. ix. 6.

8 Και ἡ φωνη ἡν ηκουσα εκ του ουρανου, παλιν λαλουσα μετ'
εμου και λεγουσα, Ὑπαγε, λαβε το βιβλαριδιον το ηνεῳγ-
μενον εν τῃ χειρι αγγελου του ἑστωτος επι της θαλασσης και
επι της γης.

βιβλαριδιον = κεφαλις βιβλιου. Ezech. ii. 9. ελαλησε, λεγων. Gen. xlii. 22. Conf. sup. 4.

9 Και απηλθον προς τον αγγελον λεγων αυτῳ, Δος μοι το
βιβλαριδιον. Και λεγει μοι, Λαβε και καταφαγε αυτο· και
πικρανει σου την κοιλιαν, αλλ' εν τῳ στοματι σου εσται γλυκυ
ὡς μελι.

εν δε κολπῳ μου εκρυψα τα ῥηματα αυτου. Job. xxiii. 12. μη γινου παραπικραινων, καθως ὁ οικος ὁ παραπικραινων· χανε το στομα σου, και φαγε ὁ εγω διδωμι σοι. Ezech. ii. 8. και γλυκυτερα ὑπερ μελι και κηριον. Ps. xviii. 10. Conf. Ezech. iii. 14. ii. 10. ὁ πικρανας μου την ψυχην. Job. xxvii. 2.

10 Και ελαβον το βιβλαριδιον εκ της χειρος του αγγελου, και
κατεφαγον αυτο· και ην εν τῳ στοματι μου ὡς μελει, γλυκυ·
και ὁτε εφαγον αυτο, επικρανθη ἡ κοιλια μου.

και διηνοιξε το στομα μου, και εψωμισε με την κεφαλιδα—και εγενετο εν τῳ στοματι μου ὡς μελι γλυκαζον. Ezech. iii. 2, 3. ιδου εγω δεδωκα (λογους)—και καταφαγεται αυτους. Jer. v. 14. xv. 16. ὁ πικρανας μου την ψυχην. Job. xxvii. 2. Conf. Ezech. iii. 14. CITAT. 322.

11 Και λεγει μοι, Δει σε παλιν προφητευσαι επι λαοις και εθνεσι και γλωσσαις και βασιλευσι πολλοις.

Conf. Act.ix. 15. λαοι, φυλαι, γλωσσαι. *Dan. iii.* 4. *vii.* 14. *Conf. Jer. xxxii.* 15-30. ιδου καθεστηκα σε σημερον επι εθνη, και επι βασιλειας κ. τ. λ. *i.* 10. *Esa. lxvi.* 18.

ΚΕΦ. ια. 11.

ΚΑΙ εδοθη μοι καλαμος ὁμοιος ῥαβδῳ λεγων, Εγειραι και μετρησον τον ναον του Θεου και το θυσιαστηριον, και τους προσκυνουντας εν αυτῳ·

και εν τῃ χειρι αυτου ην σπαρτιον οικοδομων, και καλαμος μετρον, κ. τ. λ. *Ezech. xl.* 3. και εισηγαγε με εις τον ναον, ᾧ διεμετρησε κ.τ.λ. *xli.* 1. και ιδου—εν χειρι αυτου σχοινιον γεωμετρικον—και ειπε προς με, Διαμετρησαι την Ἱερουσαλημ, κ. τ. λ. *Zach. ii.* 1, 2.

2 Και την αυλην την εσωθεν του ναου εκβαλε εξω, και μη αυτην μετρησῃς, ὁτι εδοθη τοις εθνεσι· και την πολιν την ἁγιαν πατησουσι μηνας τεσσαρακοντα δυο.

Conf. Ezech. xl. 17-20. *xlii.* 20. ηλθοσαν εθνη εις την κληρονομιαν σου. *Ps. lxxviii.* 1. *Thren. i.* 10. *Conf. Dan. vii.* 23-27. *viii.* 9-14. *xii.* 5-13. και τοις ποσι καταπατηθησεται ὁ στεφανος της ὑβρεως. *Esa. xxviii.* 3. [*Conf. Ottium ad loc.*] και ᾠκοδομησε την αυλην την εσωτατην. 3 *Reg. vi.* 35. ᾠκοδομησε θυσιαστηριον—εν ταις δυσιν αυλαις. 4 *Reg. xxi.* 5. και τα ἁγια σου καταπεπατηται, και βεβηλωται. 1 *Mac. iii.* 51. εν Ἱερουσαλημ πολει τῃ ἁγιᾳ. *Neh. xi.* 1. *Esa. xlviii.* 2. *Dan. ix.* 24. *Luc. xxi.* 24.

3 Και δωσω τοις δυσι μαρτυσι μου, και προφητευσουσιν ἡμερας χιλιας διακοσιας ἑξηκοντα περιβεβλημενοι σακκους.

ὡς σακκον θησω το περιβολαιον αυτου. *Esa. l.* 3. και περιεβαλοντο σακκους. 1 *Mac. iii.* 47. *Conf. cap. xii.* 6. *Conf. Deut. xvii.* 6. *xix.* 15.

4 Οὑτοι εισιν αἱ δυο ελαιαι και δυο λυχνιαι αἱ ενωπιον του Θεου της γης ἑστωσαι.

τι αἱ δυο ελαιαι αὑται;—οὑτοι οἱ δυο υἱοι της πιοτητος παρεστηκασι Κυριῳ πασης της γης. *Zach. iv.* 11. 14. *CITAT.* 323.

5 Και ει τις αυτους θελῃ αδικησαι, πυρ εκπορευεται εκ του στοματος αυτων, και κατεσθιει τους εχθρους αυτων· και ει τις αυτους θελῃ αδικησαι, οὑτω δει αυτον αποκτανθηναι.

Esa. xi. 4. 1 *Par. xvi.* 22. *Num. xvi.* 29. και κατεβη πυρ' εκ του ουρανου, και κατεφαγεν αυτον, κ. τ. λ. 4 *Reg. i.* 10. κατεσθιειν τους ταπεινους. *Prov. xxx.* 14. απεκτεινα αυτους εν ῥηματι στοματος μου κ. τ. λ. *Osc. vi.* 5. ιδου εγω δεδωκα τους λογους μου εις το στομα σου, πυρ—και κατεφαγεται αυτους. *Jer. v.* 14.

6 Οὗτοι εχουσιν εξουσιαν κλεισαι τον ουρανον, ἱνα μη βρεχῃ ὑετος εν ἡμεραις αυτων της προφητειας· και εξουσιαν εχουσιν επι των ὑδατων στρεφειν αυτα εις αἱμα, και παταξαι την γην παση πληγῃ ὁσακις εαν θελησωσι.

3 *Reg. xvii.* 1. *Jac. v.* 17. *Gen. vii.* 11. 11. *Job. xxxviii.* 37. και βρεξει ὑμιν ὑετον πρωϊμον και οψιμον. *Joel. ii.* 23. μετεστρεψε τα ὑδατα αυτων εις αἱμα. *Ps. cv.* 29. *Exod. vii.* 19. οἱ παταξαντες την Αιγυπτον εν παση πληγῃ. 1 *Reg. iv.* 8. *Sir. xlviii.* 3.

7 Και ὁταν τελεσωσι την μαρτυριαν αὐτων, το θηριον το αναβαινον εκ της αβυσσου ποιησει πολεμον μετ' αυτων, και νικησει αυτους και αποκτενει αυτους.

και το κερας εκεινο εποιει πολεμον μετα των ἁγιων, και ισχυσε προς αυτους, κ.τ.λ. *Dan. vii.* 21, 22. ταυτα τα θηρια τα τεσσαρα, τεσσαρες βασιλειαι. *vii.* 17. *viii.* 23, 24.

8 Και τα πτωματα αυτων επι της πλατειας πολεως της μεγαλης, ἡτις καλειται πνευματικως Σοδομα και Αιγυπτος, ὁπου και ὁ Κυριος ἡμων εσταυρωθη.

πτωματα. *Matt. xxiv.* 28. *Sap. iv.* 18. *Ezech. vi.* 5. *Jer. xxxiii.* 23. πνευματικως. 1 *Cor. ii.* 14. Σοδομα. *Conf. Esa. i.* 10. *iii.* 9. 3 *Mac. ii.* 5. Αιγυπτος. *Ezech. xxiii.* 19. [πνευματικως επεστειλεν ἡμιν. (Παυλος.) *Clem. Rom. i.* § 47.]

9 Και βλεψουσιν εκ των λαων και φυλων και γλωσσων και εθνων τα πτωματα αυτων ἡμερας τρεις και ἡμισυ, και τα πτωματα αυτων ουκ αφησουσι τεθηναι εις μνηματα.

εξεχεαν το αἱμα αυτων ὡς ὑδωρ, κυκλῳ Ἱερουσαλημ, και ουκ ην ὁ θαπτων. *Ps. lxxviii.* 3. *Tob. i.* 17, 18.

10 Και οἱ κατοικουντες επι της γης χαρουσιν επ' αυτοις και ευφρανθησονται και δωρα πεμψουσιν αλληλοις, ὁτι οὗτοι οἱ δυο προφηται εβασανισαν τους κατοικουντας επι της γης.

Conf. Est. ix. 19. 22. και δωρα ου ληψῃ· τα γαρ δωρα εκτυφλοι οφθαλμους. *Exod. xxiii.* 8. οἱ κατοικουντες την γην. *Jer. i.* 14. ασεβεις εβασανιζοντο. *Sap. xi.* 9. *xii.* 23. *xvi.* 1. και πεμπει το

αργυριον. 1 Mac. xiii. 17. Conf. 1 Mac. iv. 59. iii. 45. μη επιχαιρε μοι ἡ εχθρα μου, ὁτι πεπτωκα, και αναστησομαι· κ. τ. λ. Mich. vii. 8. Obd. 12. Jer. xxvii. 11. Neh. viii. 16.

11 Και μετα τας τρεις ἡμερας και ἡμισυ, πνευμα ζωης εκ του Θεου εισηλθεν επ᾽ αυτους, και εστησαν επι τους ποδας αὑτων, και φοβος μεγας επεσεν επι τους θεωρουντας αυτους.

και ενεφυσησεν εις το προσωπον αυτου πνοην ζωης. Gen. ii. 7. vii. 15. Conf. Job. xxvii. 3. ιδου εγω φερω εφ᾽ ὑμας πνευμα ζωης. Ezech. xxxvii. 5. και εισηλθεν εις αυτους το πνευμα, και εζησαν, και εστησαν επι των ποδων αυτων. 10. επεπεσεν ὁ φοβος αυτων επ᾽ αυτους. Ps. civ. 38. CITAT. 324.

12 Και ηκουσαν φωνην μεγαλην εκ του ουρανου λεγουσαν αυτοις, Αναβητε ὡδε. Και ανεβησαν εις τον ουρανον εν τῃ νεφελῃ, και εθεωρησαν αυτους οἱ εχθροι αυτων.

εις τον ουρανον αναβησομαι—αναβησομαι επανω των νεφων. Esa. xiv. 13. Conf. lx. 8. εθεωρησαν. Ps. lxvii. 24. ἁμαρτωλος οψεται και οργισθησεται. cxi. 10. Mal. iii. 18. και ανεληφθη Ηλιου *εν συσσεισμῳ ὡς εις τον ουρανον. 4 Reg. ii. 11. τις αναβησεται εις το ορος του* Κυριου; *κ. τ. λ. Ps. xxiii. 3. Conf. Esa. xl. 31. xlix. 26. Matt. xix. 28. 1 Thess. iv. 17. και μακαριουσιν ὑμας παντα τα εθνη, κ. τ. λ. Mal. iii. 12.*

13 Και εν εκεινῃ τῃ ὡρᾳ εγενετο σεισμος μεγας, και το δεκατον της πολεως επεσε, και απεκτανθησαν εν τῳ σεισμῳ ονοματα ανθρωπων χιλιαδες ἑπτα· και οἱ λοιποι εμφοβοι εγενοντο, και εδωκαν δοξαν τῳ Θεῳ του ουρανου·

εν εκεινῃ τῃ ὡρᾳ. Joan. iv. 53. εσται σεισμος μεγας. Ezech. xxxviii. 19. εμφοβος. 1 Mac. xiii. 2. παρα Θεου *του ουρανου. Dan. ii. 18, 19. ονοματα. 1 Par. xii. 23. Num. xxvi. 53. δος δοξαν σημερον τῳ* Κυριῳ, Θεῳ Ισραηλ. *Jos. vii. 19. 1 Reg. vi. 5. του δουναι δοξαν τῳ ονοματι μου. Mal. ii. 2. Jer. xiii. 16. το δεκατον (sc. μερος). Bos. p. 171.*

14 Ἡ ουαι ἡ δευτερα απηλθεν· ιδου, ἡ ουαι ἡ τριτη ερχεται ταχυ.

Conf. cap. viii. 13. ix. 12.

15 Και ὁ ἑβδομος αγγελος εσαλπισε, και εγενοντο φωναι μεγαλαι εν τῳ ουρανῳ, λεγουσαι, Εγενοντο αἱ βασιλειαι του κοσμου του Κυριου ἡμων και του Χριστου αυτου, και βασιλευσει εις τους αιωνας των αιωνων.

και εσται Κυριος εις βασιλεα επι πασαν την γην. Zach. xiv. 9. Obd. 21. xliv. 23. Dan. ii. 44. vii. 14. 22. και βασιλευσει Κυριος επ' αυτους. Mich. iv. 7. βασιλευσει Κυριος εις τον αιωνα. Ps. cxlvi. 10. Conf. cap. vii. 10. Mal. i. 11. Ps. ix. 16. xxi. 28. xliv. 6. και εσται εν τῃ ἡμερᾳ εκεινῃ, σαλπιουσι τῃ σαλπιγγι τῃ μεγαλῃ. Esa. xxvii. 13. Κυριος βασιλευων τον αιωνα, και επ' αιωνα, και ετι. Exod. xiii. 18. CITAT. 325.

16 *Και οἱ εικοσι και τεσσαρες πρεσβυτεροι, οἱ ενωπιον του Θεου καθημενοι επι τους θρονους αὑτων, επεσαν επι τα προσωπα αὑτων, και προσεκυνησαν τῳ Θεῳ,*

και πιπτω επι προσωπον μου. Dan. viii. 17. 2 Reg. xiv. 33. ουδε προσκυνησεις θεῳ αλλοτριῳ. Ps. lxxx. 7. 1 Reg. xxviii. 14. Conf. cap. iv. 4.

17 *Λεγοντες, Ευχαριστουμεν σοι, Κυριε ὁ Θεος ὁ παντοκρατωρ, ὁ Ων και ὁ Ην και ὁ Ερχομενος, ὁτι ειληφας την δυναμιν σου την μεγαλην, και εβασιλευσας.*

μεγαλως ευχαριστουμεν αυτῳ. 2 Mac. i. 11. Joan. xvii. 5. ὑψωθητι Κυριε εν τῃ δυναμει σου· ᾳσομεν και ψαλουμεν τας δυναστειας σου. Ps. xx. 13. Conf. cap. i. 4-8. xvi. 5. xix. 6. Κυριος ὁ Θεος ὁ παντοκρατωρ ονομα αυτῳ. Amos. iv. 13. Jer. xxvii. 34. ὁ Ων. Sap. xiii. 1. [Philo, leg. ad Cai. p. 993. ubi ὁ Θεος και ὁ Ων permutantur. Loesner. p. 505.] αληθως Κυριος ὁ Θεος αυτος ὁ Θεος. 3 Reg. xviii. 39.

18 *Και τα εθνη ωργισθησαν, και ηλθεν ἡ οργη σου, και ὁ καιρος των νεκρων, κριθηναι, και δουναι τον μισθον τοις δουλοις σου τοις προφηταις, και τοις ἁγιοις, και τοις φοβουμενοις το ονομα σου τοις μικροις και τοις μεγαλοις, και διαφθειραι τους διαφθειροντας την γην.*

ἱνατι εφρυαξαν εθνη; Ps. ii. 1. ιδου γαρ ἡμερα Κυριου—θυμου και οργης. Esa. xiii. 9. εγω δωσω σοι τον μισθον. Exod. ii. 9. και φοβηθησονται τα εθνη το ονομα σου. Ps. ci. 15. Mich. vi. 9. τον Θεον του Ισραηλ φοβηθησονται. Esa. xxix. 23. και—και. 1 Reg. xv. 3-9. Esa. xi. 12-16. Ezech. v. 1-6. τοις μικροις και τοις μεγαλοις. Jer. vi. 13. Ps. cxiii. 13. διεφθαρητε φθορᾳ. Mich. ii. 10. Conf. Dan. vii. 9, 10. 26. xi. 44. xii. 2. 13. Cap. xx. 11.

19 *Και ηνοιγη ὁ ναος του Θεου εν τῳ ουρανῳ, και ωφθη ἡ κιβωτος της διαθηκης αυτου εν τῳ ναῳ αυτου· και εγενοντο αστραπαι, και φωναι, και βρονται, και σεισμος, και χαλαζα μεγαλη.*

ὁταν ιδητε την κιβωτον της διαθηκης Κυριου. Jos. iii. 3. επισκοπη γαρ εσται μετα βροντης και σεισμου. Esa. xxix. 6. Exod. xix. 16. Job. xxxviii. 22. Ps. xvii. 12. Conf. cap. xv. 5. xvi. 18. 21.

ΚΕΦ. ιβ. 12.

ΚΑΙ σημειον μεγα ωφθη εν τῳ ουρανῳ, γυνη περιβεβλημενη τον ἡλιον, και ἡ σεληνη ὑποκατω των ποδων αυτης, και επι της κεφαλης αυτης στεφανος αστερων δωδεκα,

και μνηστευσομαι σε εμαυτῳ εις τον αιωνα κ. τ. λ. Ose. ii. 19, 20. σημειον. Deut. xiii. 1, 2. [Jos. Bell. Jud. Proem. § 11.] ωφθη δε αυτῳ αγγελος Κυριου. Exod. iii. 2. Lev. ix. 23. Dan. viii. 1. Ζω εγω, λεγει Κυριος, ὁτι παντας αυτους ὡς κοσμον ενδυσῃ, και περιθησεις αυτους ὡς κοσμον νυμφη. Esa. xlix. 18. Mal. iv. 2. και εσῃ στεφανος καλλους εν χειρι Κυριου, και διαδημα βασιλειας κ. τ. λ. Esa. lxii. 3-5. liv. 1-6. Dan. xii. 3.

2 Και εν γαστρι εχουσα κραζει ωδινουσα και βασανιζομενη τεκειν.

εν γαστρι ελαβομεν, και ωδινησαμεν, και ετεκομεν. Esa. xxvi. 18. ειδεν ὁτι εν γαστρι εχει. Gen. xvi. 4. Conf. Gal. iv. 19. 27. Mich. iv. 10. v. 3. Joan. xvi. 21.

3 Και ωφθη αλλο σημειον εν τῳ ουρανῳ, και ιδου, δρακων μεγας πυῤῥος, εχων κεφαλας ἑπτα και κερατα δεκα, και επι τας κεφαλας αυτου διαδηματα ἑπτα·

εν τῃ ἡμερᾳ εκεινῃ—ανελει τον δρακοντα. κ. τ. λ. Esa. xxvii. 1. [την ὑπερηφανιαν του δρακοντος. Psalt. Sal. ii. 29.] Conf. Ezech. xxix. 3. κερατα δεκα. Dan. vii. 7, 8, 20, 24. [τα δε κερατα σημαινει τους βασιλευειν μελλοντας κ. τ. λ. Jos. Ant. x. 11. 7. Ottius.]

4 Και ἡ ουρα αυτου συρει το τριτον των αστερων του ουρανου, και εβαλεν αυτους εις την γην. Και ὁ δρακων ἑστηκεν ενωπιον της γυναικος της μελλουσης τεκειν, ἱνα ὁταν τεκῃ, το τεκνον αυτης καταφαγῃ.

Conf. Dan. viii. 9-12. Exod. i. 16. Matt. ii. 3-16. συρειν. 2 Reg. xvii. 13. και επεσεν επι την γην απο της δυναμεως του ουρανου, και απο των αστρων, και συνεπατησαν αυτα. Dan. viii. 10. [δρακων. Act. Thom. § 33.]

5 Και ετεκεν υἱον αῤῥενα, ὁς μελλει ποιμανειν παντα τα εθνη

εν ῥαβδῳ σιδηρᾳ· και ἡρπασθη το τεκνον αυτης προς τον Θεον και τον θρονον αυτου.

ποιμανεις αυτους εν ῥαβδῳ σιδηρᾳ. Ps. ii. 9. ανεληφθη εις τον ουρανον, κ. τ. λ. Marc. xvi. 19. εξεφυγε και ετεκεν αρσεν. Esa. lxvi. 7. διατουτο δωσει Κυριος αυτος ὑμιν σημειον· ιδου ἡ παρθενος εν γαστρι ληψεται, κ. τ. λ. vii. 14. ἁρπαζειν εκ του βιου. Sap. iv. 11. [CITAT. 312.]

6 Και ἡ γυνη εφυγεν εις την ερημον, ὁπου εχει τοπον ἡτοιμασμενον απο του Θεου, ἱνα εκει τρεφωσιν αυτην, ἡμερας χιλιας διακοσιας ἑξηκοντα.

εν ᾀδῃ ὁπου συ πορευη εκει. Eccles. iii. 10. ἱνα τρεφῃς μετα σεαυτου. Gen. vi. 19, 20. Conf. 3 Reg. xvii. 5-16. xix. 4-6. εις τον τοπον ὁν ἡτοιμασεν αυτῃ. 1 Par. xv. 3. [Conf. Ottium, ad loc.]

7 Και εγενετο πολεμος εν τῳ ουρανῳ· ὁ Μιχαηλ και οἱ αγγελοι αυτου επολεμησαν κατα του δρακοντος, και ὁ δρακων επολεμησε και οἱ αγγελοι αυτου,

και ιδου Μιχαηλ εἱς των αρχοντων ηλθε βοηθησαι μοι κ. τ. λ. Dan. x. 13. 21. και εν τῳ καιρῳ εκεινῳ αναστησεται Μιχαηλ ὁ αρχων ὁ μεγας. xii. 1. και εγενετο ετι πολεμος εν Γεθ. 2 Reg. xxi. 18-20. οἱ αγγελοι πονηροι. Ps. lxxvii. 49. εμεθυσθη ἡ μαχαιρα μου εν τῳ ουρανῳ. Esa. xxxiv. 5. Conf. Juda. 9.

8 Και ουκ ισχυσαν, ουτε τοπος εὑρεθη αυτων ετι εν τῳ ουρανῳ.

και ουκ ισχυσαν. Ps. xiii. 4. και τοπος ουχ εὑρεθη αυτοις. Dan. ii. 35. [απο του Σατανα και των Πνευματων αυτου. Test. XII Patr. pp. 650, 657.]

9 Και εβληθη ὁ δρακων ὁ μεγας, ὁ οφις ὁ αρχαιος, ὁ καλουμενος Διαβολος, και ὁ Σατανας, ὁ πλανων την οικουμενην ὁλην, εβληθη εις την γην, και οἱ αγγελοι αυτου μετ᾽ αυτου εβληθησαν.

ὁ οφις ὁ αρχαιος. Conf. Gen. iii. 1. Job. i. 6, 7. Cap. xx. 2. αυτος κρινει την οικουμενην εν δικαιοσυνῃ. Ps. ix. 8. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον, κ. τ. λ. Sap. ii. 24. Σαταν. 3 Reg. xi. 14. 23. 25. εν τῳ καταρασθαι ασεβη τον Σαταναν, αυτος καταραται την ἑαυτου ψυχην. Sir. xxi. 27. Διαβολος, και ὁ Σατανας. = Ναι, Αμην. Cap. i. 7. Αββα, ὁ πατηρ. Marc. xiv. 36. Rom. viii. 15. Gal. iv. 6. Αβαδδων—ὁ Απολλυων. Cap. ix. 11. πως εξεπεσεν εκ του ουρανου ὁ Ἑωσφορος κ. τ. λ. Esa. xi. 12.

10 Και ἡκουσα φωνην μεγαλην λεγουσαν εν τῳ ουρανῳ, Αρτι εγενετο ἡ σωτηρια και ἡ δυναμις και ἡ βασιλεια του Θεου ἡμων, και ἡ εξουσια του Χριστου αυτου· ὁτι κατεβληθη ὁ κατηγορος των αδελφων ἡμων, ὁ κατηγορων αυτων ενωπιον του Θεου ἡμων ἡμερας και νυκτος.

απεκριθη δε ὁ διαβολος κ. τ. λ. *Job. i.* 9. *ii.* 5. καταβαλε αυτους ῥομφαιᾳ αγαπωντων σε. 1 *Mac. iv.* 33. *Ps. lxxiii.* 18. *cix.* 1. αρτι. 2 *Mac. iii.* 28. και κατηγορησαν του λαου προς τον βασιλεα. 1 *Mac. vii.* 6. ῥαβδος ευθυτητος ἡ ραβδος της βασιλειας σου. *Ps. iv.* 6. *Conf.* 2 *Mac. iv.* 5. *Cap. v.* 12. *xi.* 15. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. και εδειξε μοι Κυριος τον Ιησουν τον ἱερεα τον μεγαν, ἑστωτα προ προσωπου αγγελου Κυριου, και ὁ διαβολος εἱστηκει εκ δεξιων αυτου του αντικεισθαι αυτῳ, κ. τ. λ. *Zach. iii.* 1, 2.

11 Και αυτοι ενικησαν αυτον δια το αἱμα του αρνιου και δια τον λογον της μαρτυριας αὑτων, και ουκ ηγαπησαν την ψυχην αὑτων αχρι θανατου.

των μεχρι θανατου βασανων περιεωρα δι’ ευσεβειαν. 4 *Mac.* § 7. ουκ αγαπητον. *Sir. xv.* 13. *Conf. Act. xx.* 24.

12 Δια τουτο ευφραινεσθε οἱ ουρανοι και οἱ εν αυτοις σκηνουντες. ουαι τοις κατοικουσι την γην και την θαλασσαν, ὁτι κατεβη ὁ Διαβολος προς ὑμας εχων θυμον μεγαν, ειδως ὁτι ολιγον καιρον εχει.

ευφρανθητε ουρανοι, κ. τ. λ. *Esa. xliv.* 23. *xlix.* 13. αγαλλασθω ἡ γη. *Ps. xcv.* 11. *cxlviii.* 1. ἡξει μετα θυμου. *Esa. lix.* 19. ουαι αυτοις. *Ose. vii.* 13. των σκηνουντων εν σκηναις. *Jud. viii.* 11. *Conf. Jer. xxviii.* 48. *Comp.* 1 *Joan. ii.* 18. 1 *Pet. iv.* 7. *Cap. viii.* 13. οὑτοι εις ζωην αιωνιον, και οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. *Dan. xii.* 2. *Esa. xxvi.* 19. ὁτι μεγας ὁ θυμος και ἡ οργη Κυριου. *Jer. xliii.* 7. συνηχθησαν επιτοαυτο κατα του Κυριου, και κατα του Χριστου αυτου. ὁ κατοικων εν ουρανοις εκγελασεται αυτους, κ. τ. λ. *Ps. ii.* 1-5.

13 Και ὁτε ειδεν ὁ δρακων ὁτι εβληθη εις την γην, εδιωξε την γυναικα ἡτις ετεκε τον αρρενα.

εχθραν θησω αναμεσον σου κ. τ. λ. *Gen. iii.* 15. *Ps. xxxvi.* 12-14. *Joan. xvi.* 33. *Conf. Esa. lxvi.* 7. *Sir. i.* 24.

14 Και εδοθησαν τῃ γυναικι δυο πτερυγες του αετου του μεγαλου, ἱνα πετηται εις την ερημον εις τον τοπον αὑτης, ὁπου

τρεφεται εκει καιρον και καιρους και ἡμισυ καιρου, απο προσωπου του οφεως.

ὁ αετος ὁ μεγας. *Ezech. xvii.* 3. 7. *Conf.* 1 *Mac. ii.* 29-31. και ανελαβον ὑμας ὡσει επι πτερυγων αετων. *Exod. xix.* 4. ἑως καιρου, και καιρων και γε ἡμισυ καιρου. *Dan. vii.* 25. *xii.* 7. ὁπου εκει. *Jud. xviii.* 10. *Ruth. iii.* 4. 1 *Reg. ix.* 10. και πετασθησομαι και καταπαυσω. Ιδου εμακρυνα φυγαδευων, και ηυλισθην εν τῃ ερημῳ. *Ps. liv.* 6, 7. απο προσωπου Ισαακ. *Gen. xxvii.* 30. *Conf. supra.* 6. *Deut. xxxii.* 11. πτεροφυησουσιν ὡς αετοι. *Esa. xl.* 31. [ἡ σφραγις εστιν αετος δρακοντος επειλημμενος. *Jos. Ant. xii.* 4. 10. *Ottius.*] απο προσωπου οφεως. *Sir. xxi.* 2.

15 *Και εβαλεν ὁφις οπισω της γυναικος εκ του στοματος αὑτου ὑδωρ ὡς ποταμον, ἱνα ταυτην ποταμοφορητον ποιησῃ.*

Esa. lix. 19. ἡξει γαρ ὡς ποταμος βιαιος ἡ οργη Κυριου, κ. τ. λ. [αποερσεν· απεπνιξε, τουτεστι ποταμοφορητον εποιησε. *Hesych.*]

16 *Και εβοηθησεν ἡ γη τῃ γυναικι, και ηνοιξεν ἡ γη το στομα αὑτης, και κατεπιε τον ποταμον ὁν εβαλεν ὁ δρακων εκ του στοματος αὑτου.*

και ανοιξασα ἡ γη το στομα αυτης, κατεπιεν αυτους. *Num. xxvi.* 10. *Deut. xi.* 6. *Conf. Ps. xvii.* 4. *xxxi.* 6. *lxviii.* 15.

17 *Και ωργισθη ὁ δρακων επι τῃ γυναικι, και απηλθε ποιησαι πολεμον μετα των λοιπων του σπερματος αυτης, των τηρουντων τας εντολας του Θεου και εχοντων την μαρτυριαν του Ιησου Χριστου.*

και γαρ τουτο εστι τηρησις εντολων. *Sir. xxxv.* 23. την ὁδον εχειν. *Job. xvii.* 9. ωργισθη Κυριος επι τους πατερας ὑμων οργην μεγαλην. *Zach. i.* 2. *Cap. vi.* 9. εχθραν θησω ανα μεσον σου, και ανα μεσον της γυναικος, και ανα μεσον του σπερματος αυτης. αυτος σου τηρησει κεφαλην, και συ τηρησεις αυτου πτερναν. *Gen. iii.* 15.

18 *Και εσταθην επι την αμμον της θαλασσης.*

και εγω ημην—επι ποταμου. *Ezech. i.* 1. *Dan. viii.* 2. *x.* 4. *Marc. iv.* 1. *Jer. v.* 22. και εδωκε Κυριος φρονησιν τῳ Σαλωμων και σοφιαν πολλην σφοδρα, και χυμα καρδιας, ὡς ἡ αμμος ἡ παρα την θαλασσαν. 3 *Reg. iv.* 29.

ΚΕΦ. ιγ. 13.

ΚΑΙ ειδον εκ της θαλασσης θηριον αναβαινον, εχον κεφαλας ἑπτα κερατα δεκα, και επι των κερατων αυτου δεκα διαδηματα, και επι τας κεφαλας αυτου ονομα βλασφημιας.

Conf. Dan. vii. 2-27. περιθειναι αυτῃ το διαδημα. *Est. i. 11.* μεγαλωσυνη σου επι διαδηματος κεφαλης. *Sap. xviii. 24. Conf. cap. xii. 3. xvii. 3.* εαν ειπῃ βλασφημιαν κατα του Θεου. *Dan. iii. 29.* [τα δε κερατα σημαινειν τους βασιλευειν μελλοντας. *Jos. Ant. x. 11. 7.*] *Conf. Dan. viii. 22.* και λογους προς τον ὑψιστον λαλησει, κ. τ. λ. *vii. 25. xi. 36.* και τεσσαρα θηρια μεγαλα ανεβαινον εκ της θαλασσης, κ. τ. λ. *vii. 3.* κερατα. *Conf. Ps. lxxiv. 10. 2 Thess. ii. 3, 4. 2 Mac. viii. 4. xv. 24.*

2 Και το θηριον ὁ ειδον ην ὁμοιον παρδαλει, και οἱ ποδες αυτου ὡς αρκτου, και το στομα αυτου ὡς στομα λεοντος. και εδωκεν αυτῳ ὁ δρακων την δυναμιν αὑτου και τον θρονον αὑτου και εξουσιαν μεγαλην.

και ιδου θηριον ἑτερον ὡσει παρδαλις. *Dan. vii. 6.* και ιδου θηριον δευτερον ὁμοιον αρκτῳ. *5.* το πρωτον ὡσει λεαινα. *4. Conf. cap. xii. 9. Jer. v. 6. xiii. 23. Ose. xiii. 7.*

3 Και ειδον μιαν των κεφαλων αυτου ὡς εσφαγμενην εις θανατον, και ἡ πληγη του θανατου αυτου εθεραπευθη. και εθαυμασθη εν ὁλῃ τῃ γῃ οπισω του θηριου,

παρεδοθη εις θανατον. *Esa. liii. 12.* πας ὁ λαος εξεστη οπισω αυτου. *1 Reg. xiii. 7.* ὁσον βημα αναμεταξυ εμου και θανατου. *xx. 3.* μελλων δε ταις πληγαις τελευταν. *2 Mac. vi. 30.* εξεπορνευσαν οπισω των θεων. *1 Par. v. 25.* εθαυμασθη. *Esa. lxi. 6. Sap. viii. 11. Sir. xxxviii. 3. Conf. cap. xvii. 8.* συγχυσις θανατου. *1 Reg. v. 12. Alex. Ald. Comp.* και εθαυμασθη εν ὁλῃ τῃ γῃ (και εθαυμασεν ὁλη ἡ γη. *Griesb.*] οπισω του θηριου. *i. e.* πορευομενη οπισω του θηριου. *Conf. Luc. xxi. 8. 2 Pet. ii. 10.* ὁ κοσμος οπισω αυτου απηλθε. *Joan. xii. 19.*

4 Και προσεκυνησαν τον δρακοντα ὁς εδωκεν εξουσιαν τῳ θηριῳ, και προσεκυνησαν το θηριον, λεγοντες, Τις ὁμοιος τῳ θηριῳ; Τις δυναται πολεμησαι μετ' αυτου;

και εθυσαν τους υἱους αυτων και τας θυγατερας αυτων τοις δαιμονιοις. *Ps. cv. 37.* και ὁ βασιλευς ὑψωθησεται και μεγαλυνθη-

σεται επι παντα θεον. *Dan. xi.* 36. τις ὁμοιος σοι; *Ps. lxxxviii.* 8. *Exod. xv.* 11. τις αντιστησεται κατα προσωπου υἱων Εναχ; *Deut. ix.* 2. τις—ὁτι εξελειται Κυριος την Ἱερουσαλημ εκ χειρος μου; 4 *Reg. xviii.* 35. *Conf. Dan. xi.* 38, 39.

5 Και εδοθη αυτῳ στομα λαλουν μεγαλα και βλασφημιας·
και εδοθη αυτῳ εξουσια ποιησαι μηνας τεσσαρακοντα δυο·

και στομα λαλουν μεγαλα. *Dan. vii.* 8. βλασφημιας. *iii.* 29. 1 *Mac. ii.* 6. και λαλησει ὑπερογκα. *Dan. xi.* 36. αυτῳ εδοθη ἡ αρχη και ἡ βασιλεια. *vii.* 14. *v.* 19. και εμεγαλυνθη ἑως της δυναμεως του ουρανου—και δι' αυτον θυσια εταραχθη, και κατευωδωθη αυτῳ· και το ἁγιον ερημωθησεται. κ. τ. λ. *viii.* 10-12. *Conf. Dan. xi.* 45. *Esa. xxxvii.* 23-29.

6 Και ηνοιξε το στομα αὑτου εις βλασφημιαν προς τον Θεον, βλασφημησαι το ονομα αυτου και την σκηνην αυτου, και τους εν τῳ ουρανῳ σκηνουντας.

μετα τουτο ηνοιξεν Ιωβ το στομα αυτου. *Job. iii.* 1. τινα ωνειδισας, και τινα εβλασφημησας; 4 *Reg. xix.* 22. ἡμων γαρ το πολιτευμα εν ουρανοις ὑπαρχει. *Phil. iii.* 20. *Dan. viii.* 23.

7 Και εδοθη αυτῳ πολεμον ποιησαι μετα των ἁγιων και νικησαι αυτους· και εδοθη αυτῳ εξουσια επι πασαν φυλην και γλωσσαν και εθνος.

και ουκ εδωκεν αυτῳ ὁ Θεος κακοποιησαι με. *Gen. xxxi.* 7. εθεωρουν, και το κερας εκεινο εποιει πολεμον μετα των ἁγιων, και ισχυσε προς αυτους. *Dan. vii.* 21. *v.* 18. λαοι, φυλαι, γλωσσαι. *iii.* 4. *Judith. iii.* 8. *Conf. cap. xi.* 7. *Deut. ix.* 16.

8 Και προσκυνησουσιν αυτῳ παντες οἱ κατοικουντες επι της γης, ὡν ου γεγραπται τα ονοματα εν τῃ βιβλιῳ της ζωης, του αρνιου εσφαγμενου απο καταβολης κοσμου.

Conf. Ps. lxviii. 28. εξαλειψον με εκ του βιβλιου σου. *Exod. xxxii.* 32. απ' αρχης το ονομα σου εφ' ἡμας εστι. *Esa. lxiii.* 16. ὁ Κυριος ὁ εξολοθρευσας τους κατοικουντας την γην. 2 *Par. xx.* 7. εκ γαστρος προ Ἑωσφορου εγεννησα σε. *Ps. cix.* 3. ὡς αρνιον ακακον αγομενον θυεσθαι. *Jer. xi.* 19. απο καταβολης κοσμου. *Matt. xiii.* 35. *xxv.* 34. *et pass. Phil. iv.* 3. ει τις ἁμαρτηκεν ενωπιον μου, εξαλειψω αυτους εκ του βιβλιου μου. *Exod. xxxii.* 33. *Conf. cap. xvii.* 8. εν τῳ καιρῳ εκεινῳ σωθησεται ὁ λαος σου πας ὁ γεγραμμενος εν τῃ βιβλῳ. *Dan. xii.* 1. *Esa. iv.* 3.

9 Ει τις εχει ους, ακουσατω.

Conf. Matt. xi. 15. *xiii.* 9. *et. pass. Cap. ii.* 7. 11. 29.

10 Ει τις αιχμαλωσιαν συναγει, εις αιχμαλωσιαν ὑπαγει· ει τις εν μαχαιρᾳ αποκτενει, δει αυτον εν μαχαιρᾳ αποκτανθηναι. ὧδε εστιν ἡ ὑπομονη και ἡ πιστις των ἁγιων.

και αποδουναι αυτοις την αιχμαλωσιαν. 1 *Mac. ix.* 70. 72. εσονται αιχμαλωτοι οἱ αιχμαλωτευσαντες κ. τ. λ. *Esa. xiv.* 2. *Ephes. iv.* 8. *Conf. Gen. ix.* 6. *Esa. xxxiii.* 1. *Matt. xxvi.* 52. *Dan. xii.* 12. *Cap. xiv.* 12. ὑπομεινον αυτον, ὁτι ερχομενος ἡξει, και ου μη χρονισῃ. *Hab. ii.* 3. ανακαλυψει ἡ γη το αἱμα αὑτης, και ου κατακαλυψει τους ανῃρημενους. *Esa. xxvi.* 21. και ὑπομενει, και ἡσυχασει εις το σωτηριον Κυριου. *Thren. iii.* 26. *Luc. xxi.* 19.

11 Και ειδον αλλο θηριον αναβαινον εκ της γης, και ειχε κερατα δυο ὁμοια αρνιῳ, και ελαλει ὡς δρακων.

Conf. Dan. vii. 8. 24, 25. θεους ἑωρακα αναβαινοντας εκ της γης. 1 *Reg. xxviii.* 13, 14. κατ᾽ ενεργειαν του Σατανα. *Conf.* 2 *Thess. ii.* 9. 2 *Cor. xi.* 14. *Ps. liv.* 21.

12 Και την εξουσιαν του πρωτου θηριου πασαν ποιει ενωπιον αυτου· και ποιει την γην και τους κατοικουντας εν αυτῃ ἱνα προσκυνησωσι το θηριον το πρωτον, οὑ εθεραπευθη ἡ πληγη του θανατου αυτου·

και γαρ ουτε βοτανη ουτε μαλαγμα, αλλα ὁ σος Κυριε λογος, ὁ παντα ιωμενος. *Sap. xvi.* 12. *Conf. supra.* 3.

13 Και ποιει σημεια μεγαλα, ἱνα και πυρ ποιῃ καταβαινειν εκ του ουρανου εις την γην ενωπιον των ανθρωπων.

εαν δε αναστῃ εν σοι—και δῳ σοι σημειον κ. τ. λ. *Deut. xiii.* 1-3. *Conf. Matt. xxiv.* 24. 2 *Thess. ii.* 9. και ποιει σημεια και τερατα εν τῳ ουρανῳ. *Dan. vi.* 27. *Conf. Exod. vii.* 11.

14 Και πλανᾳ τους κατοικουντας επι της γης, δια τα σημεια ἁ εδοθη αυτῳ ποιησαι ενωπιον του θηριου, λεγων τοις κατοικουσιν επι της γης, ποιησαι εικονα τῳ θηριῳ ὁ εχει την πληγην της μαχαιρας και εζησε.

Matt. xxiv. 4. και τους ἁγιους Ὑψιστου πλανησει. *Dan. vii.* 25. *Ald. Comp. Conf. Ezech. viii.* 10. *Cap. xvi.* 14. *xix.* 20.

15 Και εδοθη αυτῳ δουναι πνευμα τῃ εικονι του θηριου, ἱνα και λαλησῃ ἡ εικων του θηριου, και ποιησῃ, ὁσοι ἀν μη προσκυνησωσι την εικονα του θηριου, ἱνα αποκτανθωσι.

Conf. Dan. iii. 7. προσεκυνουν τῃ εικονι τῃ χρυσῃ. *Conf. Dan. vii.* 20.

16 Και ποιει παντας, τους μικρους και τους μεγαλους, και

τους πλουσιους και τους πτωχους, και τους ελευθερους και τους δουλους, ἱνα δωσῃ αυτοις χαραγμα επι της χειρος αυτων της δεξιας η επι των μετωπων αυτων,

μικροι και μεγαλοι. *Gen. xix.* 11. *Ps. cxiii.* 13. πλουσιος και πτωχος συνηντησαν αλληλοις, αμφοτερους δε ὁ Κυριος εποιησε. *Prov. xxii.* 2. *Conf. Esa. xxiv.* 2. *Cap. xix.* 20. και εποιησαν κοινωνους, και εχαραξαν του παροργισαι τον Κυριον. 4 *Reg. xvii.* 11.

17 *Και ἱνα μη τις δυνηται αγορασαι η πωλησαι, ει μη ὁ εχων το χαραγμα, η το ονομα του θηριου. η τον αριθμον του ονοματος αυτου.*

μητε αγοραζωσι μητε πωλωσι. 1 *Mac. xii.* 36. και δος σημειον επι τα μετωπα. *Ezech. ix.* 4. *xliii.* 2. *Theod. Conf. cap. xiv.* 11.

18 *Ὡδε ἡ σοφια εστιν. ὁ εχων τον νουν ψηφισατω τον αριθμον του θηριου· αριθμος γαρ ανθρωπου εστι, και ὁ αριθμος αυτου χξϛ.*

και επιστησομεν τον νουν. *Esa. xli.* 22. *Jos. xiv.* 7. ψηφισατε τους πυργους αυτης. *Ps. xlvii.* 12. *Aq.* ιδου ἡ θεοσεβεια εστι σοφια κ. τ. λ. *Job. xxviii.* 28. *Conf. cap. xv.* 2. *xvii.* 9. και οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. τις σοφος, και φυλαξει ταυτα; κ. τ. λ. *Ps. cvi.* 43. *Ose. xiv.* 10. το ευρος αυτης εν πηχει ανδρος. *Deut. iii.* 11.

ΚΕΦ. ιδ. 14.

ΚΑΙ *ειδον, και ιδου, Αρνιον ἑστηκος επι το ορος Σιων, και μετ' αυτου ἑκατον τεσσαρακοντατεσσαρες χιλιαδες, εχουσαι το ονομα του πατρος αυτου γεγραμμενον επι των μετωπων αὑτων.*

εγω δε κατεσταθην βασιλευς ὑπ' αυτου επι Σιων ορος το ἁγιον αυτου. *Ps. ii.* 6. και ἡξει Κυριος—και παντες οἱ ἁγιοι μετ' αυτου. *Zach. xiv.* 5. *Conf. Esa. liii.* 7. ὡς αμνος. *Joan. x.* 15. και ιδον, και ιδου. *Ezech. ii.* 9. *Dan. xii.* 5. Σιων βασιλευσει σου ὁ Θεος. *Esa. lii.* 7. *Conf. Heb. xii.* 22. *Cap. vii.* 3, 4. *Exod. xxviii.* 26. *Ps. lxvii.* 17. *cxxxi.* 13. *Mich. iv.* 7. *Ezech. xlviii.* 35.

2 *Και ηκουσα φωνην εκ του ουρανου ὡς φωνην ὑδατων πολλων, και ὡς φωνην βροντης μεγαλης· και φωνην ηκουσα κιθαρῳδων κιθαριζοντων εν ταις κιθαραις αὑτων.*

απο φωνων ὑδατων πολλων. *Ps. xcii.* 4. *Esa. xvii.* 13. *Exod. xix.* 16. *Zach. ix.* 14. λαβε κιθαραν—καλως καθαρισον. *Esa. xxiii.* 16.

Ps. cxxxii. 2. απο φωνης βροντης σου δειλιασουσιν. *ciii.* 7. *Conf. cap. i.* 15. *v.* 8. *xix.* 6. [CITAT. 309.]

3 Και ᾳδουσιν ὡς ῳδην καινην ενωπιον του θρονου και ενωπιον των τεσσαρων ζωων και των πρεσβυτερων· και ουδεις ηδυνατο μαθειν την ῳδην ει μη αἱ ἑκατον τεσσαρακοντατεσσαρες χιλιαδες οἱ ηγορασμενοι απο της γης.

ὁ Θεος ῳδην καινην ᾳσομαι σοι. *Ps. cxliii.* 9. απορρητον Κυριου τοις φοβουμενοις αυτον. *xxiv.* 14. *Aq.* αγορασατε—ανευ αργυριου και τιμης. *Esa. lv.* 1. 2 *Pet. ii.* 1.

4 Οὑτοι εισιν οἱ μετα γυναικων ουκ εμολυνθησαν· παρθενοι γαρ εισιν· οὑτοι εισιν οἱ ακολουθουντες τῳ αρνιῳ ὁπου αν ὑπαγῃ. οὑτοι ηγορασθησαν απο των ανθρωπων, απαρχη τῳ Θεῳ και τῳ Αρνιῳ·

και αἱ γυναικες μολυνθησονται. *Zach. xiv.* 2. *Conf. Ps. xliv.* 14. *Num. iii.* 13. *Exod. xii.* 23. *Joan. x.* 27. *xiii.* 36. *Jac. i.* 18. *Sir. xxi.* 28. 1 *Cor. vi.* 20. 2 *Cor. xi.* 2. *Cap. iii.* 4. ὁτι μακαρια στειρα ἡ αμιαντος, ἡτις ουκ εγνω κοιτην εν παραπτωματι, ἑξει καρπον εν επισκοπῃ ψυχων. *Sap. iii.* 13. *Conf. Ezech. xviii.* 6. *xxiii.* 17. και εσται ἡ απαρχη των ἁγιων. *xlviii.* 21. μνησθητι της συναγωγης σου ἡς εκτησω απ᾽ αρχης. ελυτρωσω ῥαβδον κληρονομιας σου. κ. τ. λ. *Ps. lxxiii.* 2. απετρυγησαν αρχας εθνων, κ. τ. λ. *Amos. vi.* 1. [παρθενους χειρας. *Philo.*] [Αβελ· οὑτος παρθενος και δικαιος ὑπηρχε. *Suidas.*] *Conf. Lev. xxiii.* 26, 27.

5 Και εν τῳ στοματι αυτων ουχ εὑρεθη δολος· αμωμοι γαρ εισιν ενωπιον του θρονου του Θεου.

ουδε εὑρεθη δολος εν τῳ στοματι αυτου. *Esa. liii.* 9. *Alex. Mal. ii.* 6. *Ps. xxxi.* 2. αμωμος εν δικαιοσυνῃ. *Prov. xx.* 7. *Sophon. iii.* 13. ψυχαι αμωμαι. *Sap. ii.* 22. *Ephes. v.* 27. *Dan. vi.* 4. ὁταν βασιλευς δικαιος καθισῃ επι θρονου, ουκ εναντιουται εν οφθαλμοις αυτου παν πονηρον. *Prov. xx.* 8. ευαρεστει ενωπιον εμου, κ. τ. λ. *Gen. xvii.* 1.

6 Και ειδον αλλον αγγελον πετωμενον εν μεσουρανηματι, εχοντα ευαγγελιον αιωνιον ευαγγελισαι τους κατοικουντας επι της γης, και παν εθνος, και φυλην, και γλωσσαν, και λαον,

Conf. Esa. vi. 2. *Dan. iii.* 4. *ix.* 21. *Tit. i.* 2. *Rom. xvi.* 25. *Ps. cxviii.* 142. τινες οἱδε ὡς νεφελαι πετανται; *Esa. lx.* 8. και αγαθα ευαγγελισαι. 3 *Reg. i.* 42. σωζεται ὑπο Κυριου σωτηριαν αιωνιον. *Esa. xlv.* 17. *lxvi.* 18. τριβον αιωνιον. *Job. xxii.* 15.

7 Λεγοντα εν φωνῃ μεγαλῃ, Φοβηθητε τον Θεον και δοτε αυ-

τῳ δοξαν, ὁτι ηλθεν ἡ ὡρα της κρισεως αυτου· και προσκυνησατε τῳ ποιησαντι τον ουρανον και την γην και θαλασσαν και πηγας ὑδατων.

Conf. Ps. xxxii. 8. *lxv.* 1. *cxliv.* 5, 6. ου φεισεται εν ἡμερᾳ κρισεως. *Prov. vi.* 34. *Ezech. ix.* 1. τον Θεον φοβου, και τας εντολας αυτου φυλασσε. *Eccles. xii.* 13. τον ποιησαντα τον ουρανον και την γην. *Ps. cxlv.* 6. *Neh. ix.* 6. *Act. xiv.* 15. *xvii.* 24. δωσουσι τῳ Θεῳ δοξαν κ. τ. λ. *Esa. xlii.* 12. δοτε δοξαν Κυριῳ τῳ Θεῳ. 2 *Par. xxx.* 8. *Conf. Gen. i.* 1. *Ps. xciv.* 5. κακωσις ὡρας επιλησμονην ποιει τρυφης, και εν συντελειᾳ ανθρωπου αποκαλυψις εργων αυτου. *Sir. xi.* 27. *Conf.* 4 *Reg. xix.* 15. *Esa. xxxiv.* 8.

8 Και αλλος αγγελος ηκολουθησε λεγων, Επεσεν, επεσε Βαβυλων ἡ πολις ἡ μεγαλη· ὁτι εκ του οινου του θυμου της πορνειας αὑτης πεποτικε παντα εθνη.

πεπτωκε, πεπτωκε Βαβυλων. *Esa. xxi.* 9. *Jer. xxviii.* 49. *Conf. Ps. cxxxvi.* 8, 9. Βαβυλων ἡ μεγαλη. *Dan. iv.* 27. λαβε το ποτηριον—και ποτιεις παντα τα εθνη. *Jer. xxxii.* 15. θυμος δρακοντων ὁ οινος αυτων. *Deut. xxxii.* 33. *Ps. lix.* 3. *Job. xx.* 16. *Cap. xvi.* 19. ποτηριον χρυσουν Βαβυλων εν χειρι Κυριου, μεθυσκον πασαν την γην, απο του οινου αυτης κ. τ. λ. *Jer. xxviii.* 7. [εκ του οινου του θυμου της πορνειας αυτης = το σκηνωμα της καταπαυσεως του ονοματος της δοξης σου. *Judith. ix.* 8. *x.* 3. *xiii.* 18. *Winer.* § 30. *p.* 155.] επεσε Βαβυλων. *Jer. xxviii.* 8. *CITAT.* 326.

9 Και τριτος αγγελος ηκολουθησεν αυτοις λεγων εν φωνῃ μεγαλῃ, Ει τις το θηριον προσκυνει και την εικονα αυτου, και λαμβανει χαραγμα επι του μετωπου αὑτου η επι την χειρα αὑτου,

10 Και αυτος πιεται εκ του οινου του θυμου του Θεου, του κεκερασμενου ακρατου εν τῳ ποτηριῳ της οργης αυτου, και βασανισθησεται εν πυρι και θειῳ ενωπιον των ἁγιων αγγελων και ενωπιον του Αρνιου·

ὁτι ποτηριον εν χειρι Κυριου, οινου ακρατου πληρες κερασματος—πιονται παντες οἱ ἁμαρτωλοι της γης. *Ps. lxxiv.* 8. *Prov. ix.* 2. *Job. xxi.* 20. *Esa. li.* 17. εν οργῃ κρινομενοι ασεβεις εβασανιζοντο. *Sap. xi.* 9. δικαιων δε ψυχαι εν χειρι Θεου, και ου μη ἁψηται βασανος. *Sap. iii.* 1. και Κυριος εβρεξεν θειον και πυρ εξ ουρανου. *Gen. xix.* 24. *Ezech. xxxviii.* 22. και κρινω αυτον θανατῳ—και πυρ και θειον βρεξω επ' αυτον κ.τ.λ. 3 *Mac. ii.* 5. επιβρεξει επι ἁμαρτωλους—πυρ και θειον κ. τ. λ. *Ps. x.* 7. μεγας γαρ

ψυχης κινδυνος εν αιωνιῳ βασανισμῳ κειμενος τοις παραβαινουσι την εντολην του Θεου. 4 *Mac.* § 13.

11 Και ὁ καπνος του βασανισμου αυτων αναβαινει εις αιωνας αιωνων· και ουκ εχουσιν αναπαυσιν ἡμερας και νυκτος οἱ προσκυνουντες το θηριον και την εικονα αυτου, και ει τις λαμβανει το χαραγμα του ονοματος αυτου.

νυκτος και ἡμερας, και ου σβεσθησεται εις τον αιωνα χρονον, και αναβησεται ὁ καπνος αυτης ανω, κ. τ. λ. Esa. xxxiv. 10. *εκοιμηθην εν στεναγμοις, αναπαυσιν ουχ εὑρον. Jer. li.* 3. *Conf. cap. xix.* 3. *ανθ᾽ ὡν ταμιευται σε ἡ θεια δικη πυκνοτερῳ και αιωνιῳ πυρι και βασανοις, κ. τ. λ.* 4 *Mac.* § 12. *CITAT.* 327.

12 Ὡδε ὑπομονη των ἁγιων εστιν· ὡδε οἱ τηρουντες τας εντολας του Θεου και την πιστιν Ιησου.

Conf. Dan. xii. 1. *Sir. xxxv.* 23. *Deut. xi.* 1. [*Χρηστος ὁ Κυριος τοις επικαλουμενοις αυτον εν ὑπομονῃ. Psalt. Sal. ii.* 40.]

13 Και ηκουσα φωνης εκ του ουρανου λεγουσης μοι, Γραψον, Μακαριοι οἱ νεκροι οἱ εν Κυριῳ αποθνησκοντες απαρτι· Ναι, λεγει το Πνευμα· ἱνα αναπαυσωνται εκ των κοπων αὑτων· τα δε εργα αυτων ακολουθει μετ᾽ αυτων.

Conf. Eccles. iv. 2. 1 *Cor. xv.* 18. 1 *Thess. iv.* 14. *και αναπαυσεται ἑκαστος ὑποκατω αμπελου αυτου. Mich. iv.* 4. *εν αναπαυσει νεκρου καταπαυσον το μνημοσυνον. Sir. xxxviii.* 23. *οἱ δε εισιν εν ειρηνῃ. Sap. ii.* 3. *iv.* 7. *Ναι δη απ᾽ αληθειας. Job. xix.* 4. *απαρτι. Matt. xxiii.* 39. *Conf. απεδωκεν ὁσιοις μισθον κοπων αυτων. Sap. x.* 17. *απο γαρ προσωπου αδικιας ηρται ὁ δικαιος, κ. τ. λ. Esa. lvii.* 1, 2. *τιμιος εναντιον Κυριου ὁ θανατος των ὁσιων αυτου. Ps. cxv.* 15. *αποθανοι ἡ ψυχη μου εν ψυχαις δικαιων, και γενοιτο το σπερμα μου ὡς το σπερμα τουτων. Num. xxiii.* 10. *τα γαρ εργα των πονων αυτων παλαιωσουσιν. Esa. lxv.* 22.

14 Και ειδον, και ιδου, νεφελη λευκη, και επι την νεφελην καθημενος ὁμοιος υἱῳ ανθρωπου, εχων επι της κεφαλης αὑτου στεφανον χρυσουν, και εν τῃ χειρι αὑτου δρεπανον οξυ.

και ιδου ὡς ὁμοιωσις υἱου ανθρωπου. Dan. x. 16. *μετα νεφελων του ουρανου. vii.* 13. *Joan. i.* 52. *και στεφανον εχων χρυσουν. Est. ix.* 15. *ιδου καθηται επι νεφελης. Esa. xix.* 1. *Ps. xx.* 3. *Ezech. i.* 26. *Cap. i.* 13. [*CITAT.* 308.]

15 Και αλλος αγγελος εξηλθεν εκ του ναου κραζων εν μεγαλῃ φωνῃ τῳ καθημενῳ επι της νεφελης, Πεμψον το δρεπανον σου

και θερισον, ότι ηλθε σοι ἡ ὡρα του θερισαι, ότι εξηρανθη ὁ θερισμος της γης.

εξαποστειλατε δρεπανα, ὁτι παρεστηκεν ὁ τρυγητος. *Joel. iii.* 13. οἱ δε θερισται αγγελοι εισιν. *Matt. xiii.* 39. εξολοθρευσατε σπερμα εκ Βαβυλωνος, κατεχοντα δρεπανον εν καιρῳ θερισμου. *Jer. xxvii.* 16. ετι μικρον, και ἡξει ὁ αμητος αυτης. *xxviii.* 33. αυτος καταξηρανει την γην αυτου. *Ose. xiii.* 15. διηλθε θερος, παρηλθεν αμητος, και ἡμεις ου διεσωθημεν. *Jer. viii.* 20.

16 Και εβαλεν ὁ καθημενος επι την νεφελην το δρεπανον αὑτου επι την γην, και εθερισθη ἡ γη.

[την τε κριθοφορον και σιτοφορον γην αναθεριζουσι. *Philo, de Carit. p.* 703. *Loesner.*] *Conf. Esa. xvii.* 5. *Ose. vi.* 12.

17 Και αλλος αγγελος εξηλθεν εκ του ναου του εν τῳ ουρανῳ, εχων και αυτος δρεπανον οξυ.

18 Και αλλος αγγελος εξηλθεν εκ του θυσιαστηριου, εχων εξουσιαν επι του πυρος, και εφωνησε κραυγῃ μεγαλῃ τῳ εχοντι το δρεπανον το οξυ, λεγων, Πεμψον σου το δρεπανον το οξυ, και τρυγησον τους βοτρυας της γης, ὁτι ηκμασαν αἱ σταφυλαι αυτης.

εαν δε τρυγησῃς τον αμπελωνα σου. *Deut. xxiv.* 21. αμπελωνα φυτευσεις, και ου μη τρυγησεις αυτον. *xxviii.* 30. *Conf. Dan. iii.* 27. *Cap. viii.* 5. *xi.* 5. *Conf. Job. xxiv.* 6.

19 Και εβαλεν ὁ αγγελος το δρεπανον αὑτου εις την γην, και ετρυγησε την αμπελον της γης, και εβαλεν εις την ληνον του θυμου του Θεου την μεγαλην.

και κατεπατησα αυτους τῃ οργῃ μου. *Esa. lxiii.* 6. ληνον επατησε Κυριος παρθενῳ θυγατρι Ιουδα. *Thren. i.* 15. *Conf. cap. xix.* 15. εκ γαρ αμπελου Σοδομων ἡ αμπελος αυτων,—σταφυλη αυτων σταφυλη χολης, κ. τ. λ. *Deut. xxxii.* 32-35.

20 Και επατηθη ἡ ληνος εξω της πολεως, και εξηλθεν αἱμα εκ της ληνου αχρι των χαλινων των ἱππων, απο σταδιων χιλιων ἑξακοσιων.

αἱμα σταφυλης. *Deut. xxxii.* 14. 1 *Mac. vi.* 34. διατι σου ερυθρα τα ἱματια, και τα ενδυματα σου ὡς απο πατητου ληνου; κ. τ. λ. *Esa. lxiii.* 2. 3. *xxxiv.* 5-7. σταδιων οντων διακοσιων τεσσαρακοντα. 2 *Mac. xii.* 9, 10, 16, 29. [απο δεκα σταδιων της Ἱεριχουντος. *Jos. Ant. v.* 1. 4. *xviii.* 3. 2.] *Conf. Ezech. xxxix.* 17. 21.

ΚΕΦ. ιε. 15.

ΚΑΙ ειδον αλλο σημειον εν τῳ ουρανῳ μεγα και θαυμαστον, αγγελους ἑπτα εχοντας πληγας ἑπτα τας εσχατας, ὁτι εν αυταις ετελεσθη ὁ θυμος του Θεου.

εἱς εκ των ἑπτα ἁγιων αγγελων. Tob. xii. 15. και ποιει σημεια και τερατα εν τῳ ουρανῳ. Dan. vi. 27. xii. 8-13. ἑως αν τελεσθῃ ὁσα αν ηθελησα. Esa. lv. 11. Conf. cap. xi. 14. προσθησω ὑμιν πληγας ἑπτα κατα τας ἁμαρτιας ὑμων. Lev. xxvi. 1.

2 Και ειδον ὡς θαλασσαν ὑαλινην μεμιγμενην πυρι, και τους νικωντας εκ του θηριου και εκ της εικονος αυτου, και εκ του χαραγματος αυτου, εκ του αριθμου του ονοματος αυτου, ἑστωτας επι την θαλασσαν την ὑαλινην, εχοντας κιθαρας του Θεου.

θαλασσα ὑαλινη. Conf. Exod. xxx. 18. 3 Reg. vii. 23. Gen. i. 7. και ὁμοιωμα ὑπερ κεφαλης αυτων των ζωων ὡσει στερεωμα, ὡς ὁρασις κρυσταλλου, κ. τ. λ. Ezech. i. 22. και ειδεν Ισραηλ τους Αιγυπτιους τεθνηκοτας παρα το χειλος της θαλασσης, κ. τ. λ, Exod. xxx. 31.

3 Και ᾳδουσι την ᾠδην Μωσεως δουλου του Θεου, και την ᾠδην του Αρνιου, λεγοντες, Μεγαλα και θαυμαστα τα εργα σου, Κυριε ὁ Θεος ὁ παντοκρατωρ· δικαιαι και αληθιναι αἱ ὁδοι σου, ὁ βασιλευς των ἁγιων.

τοτε ῃσε Μωυσης και οἱ υἱοι Ισραηλ την ᾠδην ταυτην τῳ Θεῳ, κ. τ. λ. Exod. xv. 1. θαυμαστος εν δοξαις, ποιων τερατα. 11. Μωυσης δουλος Κυριου. Jos. xiv. 7. τα εργα Κυριου, ὁτι θαυμαστα εστι. Exod. xxxiv. 10. μνησθητι, ὁτι μεγαλα εστιν αυτου τα εργα. Job. xxxvi. 24. xxxvii. 5. Conf. Ps. cx. 2. cxxxviii. 14. cxliv. 6. ταδε λεγει Κυριος παντοκρατωρ. 2 Reg. vii. 8. 25, 27. ηγαπημενον ὑπο Θεου και ανθρωπων Μωϋσην, κ. τ. λ. Sir. xlv. Θεος, αληθινα τα εργα αυτου, και πασαι αἱ ὁδοι αυτου κρισεις. Deut. xxxii. 4. ὁ βασιλευς των εθνων (Griesbach.) = τις ου φοβηθησεται σε, βασιλευ εθνων; Jer. x. 7. Comp. Theod. [εισι θρονοι και εξουσιαι, εν ᾡ αει ὑμνοι τῳ Θεῳ προσφερονται. Test. XII Patr. p. 548.] βασιλευ των εθνων. Deut. ix. 26. alii. θαυμαστος εν δικαιοσυνῃ, επακουσον ἡμων ὁ Θεος ὁ σωτηρ ἡμων. Ps. lxiv. 5. lxvii. 35. CITAT. 328.

4 Τις ου μη φοβηθῃ σε, Κυριε, και δοξασῃ το ονομα σου; ὁτι

μονος ὁσιος· ὁτι παντα τα εθνη ἡξουσι και προσκυνησουσιν ενωπιον σου· ὁτι τα δικαιωματα σου εφανερωθησαν.

ἑως δυσμων το ονομα μου δεδοξασται εν εθνεσι. Mal. i. 11. *Ps. lxxxv.* 11. *δικαιος* Κυριος—*και ὁσιος εν πασι τοις εργοις αυτου. cxliv.* 17. *ὑψωθησεται* Κυριος *μονος εν τῃ ἡμερᾳ εκεινῃ. Esa. ii.* 11. 17. *Conf.* 2 *Mac. viii.* 15. *Cap. iii.* 9. *Matt. xix.* 17. *ἡξει πασα σαρξ του προσκυνησαι ενωπιον εμου. Esa. lxvi.* 23. *Exod. xv.* 2. *Conf. Ps. cxviii.* 75. 137. 1 *Reg. xx.* 40.

5 Και *μετα ταυτα ειδον, και ιδου, ηνοιγη ὁ ναος της σκηνης του μαρτυριου εν τῳ ουρανῳ·*

και ιδον, και ιδου. Ezech. xliv. 4. *ἡ σκηνη του μαρτυριου. Conf. Num. i.* 50. *Exod. xxvii.* 21. *Cap. xi.* 19.

6 Και *εξηλθον οἱ ἑπτα αγγελοι εχοντες τας ἑπτα πληγας εκ του ναου, ενδεδυμενοι λινον καθαρον και λαμπρον, και περιεζωσμενοι περι τα στηθη ζωνας χρυσας.*

Conf. Ezech. ix. 2. *xliv.* 17. *Cap. i.* 13. *sup.* 1. *και το ὑφασμα των επωμιδων ὁ εστιν επ' αυτῳ—εσται εκ χρυσιου καθαρου, κ. τ. λ. Exod. xxviii.* 8. *ιδου ανηρ εἱς ενδεδυμενος βαδδιν, και ἡ οσφυς αυτου περιεζωσμενη εν χρυσιῳ Ωφαζ. Dan. x.* 5.

7 Και *ἑν εκ των τεσσαρων ζωων εδωκε τοις ἑπτα αγγελοις ἑπτα φιαλας χρυσας, γεμουσας του θυμου του* Θεου *του ζωντος εις τους αιωνας των αιωνων.*

Conf. Dan. iv. 31. *vi.* 26. *xii.* 7. *Ezech. x.* 7. *Cap. iv.* 9. *v.* 14. *Ps. lxxiv.* 8. *Jer. xxxii.* 15.

8 Και *εγεμισθη ὁ ναος καπνου εκ της δοξης του* Θεου *και εκ της δυναμεως αυτου· και ουδεις ηδυνατο εισελθειν εις τον ναον, αχρι τελεσθωσιν αἱ ἑπτα πληγαι των ἑπτα αγγελων.*

και εκαλυψεν ἡ νεφελη την σκηνην του μαρτυριου—και δοξης Κυριου *ενεπλησθη ἡ σκηνη. Exod. xl.* 34. 3 *Reg. viii.* 10. *και ὁ οικος ενεπλησθη καπνου. Esa. vi.* 4. 2 *Par. v.* 13, 14. *προσθησω ὑμιν πληγας ἑπτα κατα τας ἁμαρτιας ὑμων. Lev. xxvi.* 21. Κυριος *εν ναῳ ἁγιῳ αυτου, εν ουρανῳ ὁ θρονος αυτου. Ps. x.* 5. *Conf. Ezech. xli.-xliv.* [*αφνω πιλημα νεφελης ου σκληρον, ουδ' οἱον ὡρᾳ χειμωνος ὑετου γεμων ἱσταται—ὡς του* Θεου *κατεληλυθοτος εις το* Ἱερον, *και κατεσκηνοκοτος, ἡδεως εν αυτῳ. Jos. Ant. viii.* 4. 2. *Ottius.*]

ΚΕΦ. ιϛ. 16.

ΚΑΙ ἠκουσα φωνης μεγαλης εκ του ναου λεγουσης τοις ἑπτα αγγελοις, Ὑπαγετε και εκχεατε τας φιαλας του θυμου του Θεου εις την γην.

εκχεον επ᾽ αυτους την οργην σου. Ps. lxviii. 24. Jer. x. 25. φωνη εκ ναου κ. τ. λ. Esa. lxvi. 5. Conf. Ezech. ix. 5-8. xx. 33.

2 Και απηλθεν ὁ πρωτος και εξεχεε την φιαλην αὐτου επι την γην· και εγενετο ἑλκος κακον και πονηρον εις τους ανθρωπους τους εχοντας το χαραγμα του θηριου και τους τῃ εικονι αυτου προσκυνουντας.

και εσται επι τους ανθρωπους, και επι τα τετραποδα ἑλκη. Exod. ix. 9. Deut. xxviii. 35. Cap. xiii. 14. εν μαλακιᾳ πονηρᾳ. 2 Par. xxi. 15. Job. ii. 7. Ιδου οργη και θυμος μου χειται επι τοπον τουτον κ. τ. λ. Jer. vii. 20.

3 Και ὁ δευτερος αγγελος εξεχεε την φιαλην αὐτου εις την θαλασσαν· και εγενετο αἱμα ὡς νεκρου, και πασα ψυχη ζωσα απεθανεν εν τῃ θαλασσῃ.

και απο πασης ψυχης της ζωσης εν τῳ ὑδατι. Lev. xi. 10. Conf. Exod. vii. 17-29. και απεθανε πασα σαρξ—και παντα ὁσα εχει πνοην ζωης, και παν ὁ ην επι της ξηρας, απεθανε. Gen. vii. 21, 22.

4 Και ὁ τριτος αγγελος εξεχεε την φιαλην αὐτου εις τους ποταμους και εις τας πηγας των ὑδατων· και εγενετο αἱμα.

και μετεβαλε παν το ὑδωρ το εν τῳ ποταμῳ εις αἱμα. Exod. vii. 20. και εγενετο οφις. iv. 3. και μετεστρεψεν εις αἱμα τους ποταμους αυτων. Ps. lxxvii. 44.

5 Και ἠκουσα του αγγελου των ὑδατων λεγοντος, Δικαιος, Κυριε ει, ὁ Ων και ὁ Ην και ὁ Ὁσιος, ὁτι ταυτα εκρινας.

δικαιος και ὁσιος Κυριος. Deut. xxxii. 4. Ps. cxliv. 17. Δικαιος ει Κυριε. Jer. xii. 1. ὁ Ων. Cap. i. 8. Conf. xi. 17.

6 Ὁτι αἱμα ἁγιων και προφητων εξεχεαν, και αἱμα αυτοις εδωκας πιειν· αξιοι γαρ εισι.

και πιονται ὡς οινον νεον το αἱμα αυτων. Esa. xlix. 26. και μεθυσθησεται απο του αἱματος αυτων. Jer. xxvi. 10. Matt. xxiii. 35. Gen. ix. 6. και εὑρεν αυτους αξιους ἑαυτου. Sap. iii. 5. ἐξεχεαν το αἱμα αυτων ὡς ὑδωρ. Ps. lxxviii. 3. και εν ταις χερσι σου εὑρεθησαν αἱματα ψυχων αθωων. Jer. ii. 34. και θησω σε αἱματι θυμου

και ζηλου. Ezech. xvi. 38. [ὁπως εκδικησε το αἱμα των προφητων, των ὑπο Ιεζαβελης παρανομως αποθανοντων, κ. τ. λ. *Jos. Ant. ix.* 6. 1.] *Conf. Sap. i.* 16.

7 Και ηκουσα αλλου εκ του θυσιαστηριου λεγοντος, Ναι, Κυριε
ὁ Θεος ὁ παντοκρατωρ, αληθιναι και δικαιαι αἱ κρισεις σου.

δικαιος ει Κυριε, και ευθεις αἱ κρισεις σου. Ps. cxviii. 137. *Deut. xxxii.* 4. *Conf. cap. ix.* 13. *εγω Κυριος ὁ Θεος* [אני יהוה], *τουτο μου εστι το ονομα. Esa. xlii.* 8. *Conf. cap. xv.* 3. *Sap. xii.* 26.

8 Και ὁ τεταρτος αγγελος εξεχεε την φιαλην αὑτου επι τον
ἡλιον· και εδοθη αυτῳ καυματισαι τους ανθρωπους εν πυρι.

διεσωθη απο καυματος υἱος νοημων. Prov. x. 5. *Jon. iv.* 8. *Ps. cxx.* 6. *σκεπασθησεται ὑπ᾽ αυτης απο καυματος. Sir. xiv.* 27. *xliii.* 3.

9 Και εκαυματισθησαν οἱ ανθρωποι καυμα μεγα, και εβλασφημησαν το ονομα του Θεου του εχοντος εξουσιαν επι τας πληγας ταυτας, και ου μετενοησαν δουναι αυτῳ δοξαν.

ουχ εὑρεθησαν ὑποστρεψαντες δουναι δοξαν τῳ Θεῳ. Luc. xvii. 18. *Conf. Dan. v.* 22. 4 *Reg. vi.* 33. 2 *Par. xxviii.* 2. *το ονομα μου βλασφημειται. Esa. lii.* 5. *εβλασφημησαν εις εμε τα παιδαρια.* 4 *Reg. xix.* 6. 22. *Comp. και περι των γενομενων εις το ονομα αυτου βλασφημιων.* 2 *Mac. viii.* 4. *ειπε βλασφημιαν κατα του Θεου. Dan. iii.* 30. *Jer. v.* 3. *viii.* 6. *Mal. ii.* 2.

10 Και ὁ πεμπτος αγγελος εξεχεε την φιαλην αὑτου επι τον θρονον του θηριου· και εγενετο ἡ βασιλεια αυτου εσκοτωμενη· και εμασσωντο τας γλωσσας αὑτων εκ του πονου,

εθου σκοτος, και εγενετο νυξ. Ps. ciii. 20. *Exod. x.* 22. *πασα κεφαλη εις πονον. Esa. i.* 5. *lxv.* 14. 2 *Par. vi.* 28. *πονῳ και μαστιγι. Jer. vi.* 7. *Gen. xxxiv.* 25. *Job. iv.* 5. *Ps. cxi.* 10. *Matt. xiii.* 42. *Luc. xvi.* 24. [*τα δερματα των θυρεων αποδεροντες εμασσωντο. Jos. Bell. Jud. vi.* 3. 3.] *αἱ πυλαι αυτης—εσκοτωθησαν. Jer. xiv.* 2. *και αυτος εξεστως εσκοτωθη, και απεθανε. Jud. iv.* 21.

11 Και εβλασφημησαν τον Θεον του ουρανου εκ των πονων αὑτων και εκ των ἑλκων αὑτων, και ου μετενοησαν εκ των εργων αὑτων.

και ευλογησε τον Θεον του ουρανου. Dan. ii. 19. *αλλα ειπον τι ῥημα εις Κυριον, και τελευτα.* [*καταρασσον τον Θεον. Schol.*] *Job. ii.* 9. *εν πασι τουτοις ου μετενοησεν ὁ λαος. Sir. xlviii.* 15. *εκ, propter. Gen. xvi.* 5. *Nah. iii.* 11. *Conf.* 2 *Par. xxxvi.* 13.

12 Και ὁ ἑκτος αγγελος εξεχεε την φιαλην αὑτου επι τον πο-

ταμον τον μεγαν τον Ευφρατην, και εξηρανθη το ὑδωρ αυτου, ἱνα ἑτοιμασθῃ ἡ ὁδος των βασιλεων των απο ανατολων ἡλιου.

ἑως του ξηρανθηναι το ὑδωρ. *Gen. viii.* 7. και ξηρανθησονται παντα τα βαθη ποταμων. *Zach. x.* 11. απο ανατολων ἡλιου. *Ps. cxii.* 3. ἑως του ποταμου του μεγαλου Ευφρατου. *Gen. xv.* 18. *Conf. Jer. xxvii.* 38. *xxviii.* 36. *Esa. xi.* 14-16. *xli.* 25.

13 Και ειδον εκ του στοματος του δρακοντος και εκ του στοματος του θηριου και εκ του στοματος του ψευδοπροφητου πνευματα τρια ακαθαρτα ὁμοια βατραχοις,

Conf. 1 *Joan. iv.* 1-3. ιδου εγω τυπτω παντα τα ὁρια σου τοις βατραχοις. *Exod. viii.* 2. 7. *Ps. lxxvii.* 45. *civ.* 30. *Sir. xxxix.* 28.

14 Εισι γαρ πνευματα δαιμονων ποιουντα σημεια, εκπορευεσθαι επι τους βασιλεις της γης και της οικουμενης ὁλης, συναγαγειν αυτους εις πολεμον της ἡμερας εκεινης της μεγαλης του Θεου του παντοκρατορος.

Conf. 1 *Tim. vi.* 14. 1 *Joan. iv.* 1-3. και οἱ αλλυφυλοι συνηχθησαν εις πολεμον. 2 *Reg. xxiii.* 9. *Ald. Comp.* παρεστησαν οἱ βασιλεις της γης—επιτοαυτο κατα του Κυριου, και κατα του Χριστου αυτου. *Ps. ii.* 2. *Conf.* 2 *Par. xviii.* 20. εξελευσομαι και εσομαι πνευμα ψευδες εν στοματι παντων των προφητων αυτου, κ. τ. λ. *Conf. Sophon. iii.* 8. *Joel. iii.* 2. *Zach. xiv.* 2. *Deut. xiii.* 1, 2. *Mal. iii.* 17. [*Test. XII Patr. p.* 547.]

15 Ιδου, ερχομαι ὡς κλεπτης· μακαριος ὁ γρηγορων και τηρων τα ἱματια αὑτου, ἱνα μη γυμνος περιπατῃ, και βλεπωσι την ασχημοσυνην αυτου.

εκεινο δε γινωσκετε, ὁτι ει ηδει ὁ οικοδεσποτης ποιᾳ φυλακῃ ὁ κλεπτης ερχεται, εγρηγορησεν αν. *Matt. xxiv.* 43. ἱματιον, και οικος καλυπτων ασχημοσυνην. *Sir. xxix.* 21. ἱματιον σωτηριας. *Esa. lxi.* 10. *xlvii.* 3. *Gen. ix.* 22. *Aq. Sym.* ὡς κλεπτης. *Job. xxiv.* 14. γυμνος. *Conf.* 2 *Cor. v.* 3. αχημοσυνη. *Exod. xx.* 16. *Lev. xviii.* 6, 7. *Dan. v.* 14. *xii.* 12. *Ezech. xvi.* 37.

16 Και συνηγαγεν αυτους εις τον τοπον τον καλουμενον Ἑβραϊστι Αρμαγεδδων.

εν τῃ ἡμερᾳ εκεινῃ μεγαλυνθησεται ὁ κοπετος εν Ἱερουσαλημ, ὡς κοπετος ῥοωνος εν πεδιῳ εκκοπτομενου. *Zach. xii.* 11. και συνηγαγε παντας τους αρχοντας. 1 *Par. xxiii.* 2. Μαγεδδῳ. *Jud. v.* 19. 2 *Par. xxxv.* 22. αλλα συνεστησατο προς αυτον πολεμον εν τῳ πεδιῳ Μαγεδδω. 1 *Esd. i.* 29. [הר מגדו]

17 Και ὁ ἑβδομος αγγελος εξεχεε την φιαλην αὑτου εις τον
αερα· και εξηλθε φωνη μεγαλη απο του ναου του ουρανου, απο
του θρονου, λεγουσα, Γεγονε,

Conf. Dan. xii. 7-13. τετελεσται. *Joan. xix.* 30. γεγονε. *Eccles. iii.* 15. *Conf. Ephes. ii.* 2. *Esa. lxvi.* 6. *Amos. viii.* 3.

18 Και εγενοντο φωναι και βρονται και αστραπαι, και σει-
σμος εγενετο μεγας, οἱος ουκ εγενετο αφ' οὑ οἱ ανθρωποι εγε-
νοντο επι της γης, τηλικουτος σεισμος οὑτω μεγας.

και εγενοντο φωναι και αστραπαι. *Exod. xix.* 16. μετα βροντης και σεισμου. *Esa. xxix.* 6. *Ezech. iii.* 12. *Matt. xxiv.* 21. τηλικουτο δυσσεβημα. 2 *Mac. xii.* 3. και εσται καιρος θλιψεως, θλιψις οἱα ου γεγονεν αφ' οὑ γεγενηται εθνος εν τῃ γῃ, ἑως του καιρου εκεινου. *Dan. xii.* 1. *Ps. lxxvi.* 18.

19 Και εγενετο ἡ πολις ἡ μεγαλη εις τρια μερη, και αἱ πολεις
των εθνων επεσον. και Βαβυλων ἡ μεγαλη εμνησθη ενωπιον του
Θεου, δουναι αυτῃ το ποτηριον του οινου του θυμου της οργης
αὑτου·

Conf. Jer. xxv. 15, 16. *xxviii.* 27. Βαβυλων ἡ μεγαλη. *Dan. iv.* 27. και εμνησθη ὁ Θεος του Νωε. *Gen. viii.* 1. *Alex. Ald.* ἡ πιουσα εκ χειρος Κυριου το ποτηριον του θυμου αυτου. *Esa. li.* 17. 22. *Cap. iv.* 5.

20 Και πασα νησος εφυγε, και ορη ουχ εὑρεθησαν·

επεβλεψα επι την γην, και ιδου ουθεν, και εις τον ουρανον, και ουκ ην τα φωτα κ. τ. λ. *Jer. iv.* 23, 24. και τοπος ουχ εὑρεθη αυτοις. *Dan. ii.* 35. *Deut. xviii.* 10. *Conf. cap. vi.* 14. *Esa. ii.* 14-17.

21 Και χαλαζα μεγαλη ὡς ταλαντιαια καταβαινει εκ του
ουρανου επι τους ανθρωπους· και εβλασφημησαν οἱ ανθρωποι
τον Θεον εκ της πληγης της χαλαζης, ὁτι μεγαλη εστιν ἡ
πληγη αυτης σφοδρα.

ἡ δε χαλαζα πολλη σφοδρα. *Exod. ix.* 25. 34. και εγενετο πληγη μεγαλη σφοδρα. 1 *Reg. iv.* 10. [ταλαντιαιοι μεν ησαν οἱ βαλλομενοι πετροι. *Jos. Bell. Jud. v.* 6. 3.] και τινα εβλασφημησας; 4 *Reg. xix.* 22. *Conf. cap. viii.* 7. *Ezech. xiii.* 11. *Esa. viii.* 21, 22.

ΚΕΦ. ιζ. 17.

ΚΑΙ ηλθεν εἱς εκ των ἑπτα αγγελων των εχοντων τας ἑπτα φιαλας, και ελαλησε μετ᾽ εμου λεγων μοι, Δευρο, δειξω σοι το κριμα της πορνης της μεγαλης, της καθημενης επι των ὑδατων των πολλων·

εἱς εκ των ἑπτα αγγελων. *Tob. xii.* 15. δια τουτο, πορνη, ακουε λογον Κυριου. *Ezech. xvi.* 35. πως εγενετο πορνη πολις πιστη Σιων; *Esa. i.* 21. ελαλησα—λεγων. *Gen. xlii.* 22. κατασκηνουντας εφ᾽ ὑδασι πολλοις. *Jer. xxviii.* 13. *Cap. xv.* 6. σπερμα μοιχων και πορνης. *Esa. lvii.* 3. και εσονται οἱ λεβητες εν τῳ οικῳ Κυριου, ὡς φιαλαι, κ. τ. λ. *Zach. xiv.* 20, 21. δευρο και δειξω σοι τον ανδρα ὁν συ ζητεις. *Jud. iv.* 22. ηγγικεν εις ουρανον το κριμα αυτης. *Jer. xxviii.* 9.

2 Μεθ᾽ ἡς επορνευσαν οἱ βασιλεις της γης, και εμεθυσθησαν εκ του οινου της πορνειας αυτης οἱ κατοικουντες την γην.

διοτι επορνευσας απο του Θεου σου. *Ose. ix.* 1. 1 *Par. v.* 25. *Jer. iii.* 1. *Ezech. xvi.* 17. απο πληθους πορνειας πορνη καλη. *Nah. iii.* 4. μεθυσκει αυτους απο των καρπων αυτης. *Sir. i.* 16. *Ose. iv.* 11. οἱ κατοικουντες την γην. *Joel. ii.* 1. *Zach. xi.* 6. *Jer. i.* 14. μεθυσκον πασαν την γην, απο του οινου αυτης επιοσαν εθνη. *Jer. xxviii.* 7. οἱ βασιλεις της γης. *Ps. ii.* 2. πορνειαι αυτης. *Conf. Viger. p.* 138. = υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. *et alibi frequentius.*

3 Και απηνεγκε με εις ερημον εν πνευματι· και ειδον γυναικα καθημενην επι θηριον κοκκινον, γεμον ονοματων βλασφημιας, εχον κεφαλας ἑπτα και κερατα δεκα.

τοτε ανηχθη εις την ερημον ὑπο του πνευματος. *Matt. iv.* 1. και ανελαβε με πνευμα κ. τ. λ. *Ezech. iii.* 12. 3 *Reg. xviii.* 12. *Conf. cap. xiii.* 1. ὁρασις εν τῃ ερημῳ. *Esa. xxx.* 5. το στομα αρας και πικριας γεμει. *Ps. xiii.* 3. *Conf. Dan. viii.* 20. 25. *xi.* 36.

4 Και ἡ γυνη ἡ περιβεβλημενη πορφυρᾳ και κοκκινῳ, και κεχρυσωμενη χρυσῳ και λιθῳ τιμιῳ και μαργαριταις, εχουσα χρυσουν ποτηριον εν τῃ χειρι αὑτης γεμον βδελυγματων και ακαθαρτητος πορνειας αὑτης,

Conf. 2 *Reg. i.* 24. *Ezech. xxvii.* 22-25. ποτηριον χρυσουν Βαβυλων εν χειρι Κυριου. *Jer. xxviii.* 7. κεχρυσωμενον χρυσιῳ. *Exod.*

xxvi. 32. 37. ενεπλησθη ἡ γη βδελυγματων κ. τ. λ. *Esa. ii.* 8. *Cap. xviii.* 16. τῃ Ασταρτῃ βδελυγματι Σιδωνιων. 3 *Reg. xi.* 5. 33. [πορφυραν ενδυσασθαι, και εν εκπωμασι χρυσοις πινειν. *Jos. Ant. xi.* 3. 2.] δοξασει εν χρυσῳ και αργυρῳ και λιθῳ τιμιῳ και εν επιθυμημασι, κ. τ. λ. *Dan. xi.* 38. *Conf. Esa. iii.* 18. *Ezech. xx.* 30. 4 *Reg. ix.* 30.

5 Και επι το μετωπον αὑτης ονομα γεγραμμενον, Μυστηριον, Βαβυλων ἡ μεγαλη ἡ μητηρ των πορνων και των βδελυγματων της γης.

Conf. Jer. xxviii. 7. 2 *Thess. ii.* 7. σπερμα μοιχων και πορνης. *Esa. lvii.* 3. *Nah. iii.* 4. μητηρ. *Conf. Sir. xl.* 1. *Cap. xiv.* 8. [ἡ πορνεια μητηρ εστι παντων των κακων κ. τ. λ. *Test. XII Patr. p.* 539. Ἡ μαχαιρα ἑπτα κακων μητηρ εστι. *p.* 735.]

6 Και ειδον την γυναικα μεθυουσαν εκ του αἱματος των ἁγιων και εκ του αἱματος των μαρτυρων Ιησου. και εθαυμασα, ιδων αυτην, θαυμα μεγα.

Conf. 4 *Reg. ix.* 7. εν ταις χερσι σου εὑρεθησαν αἱματα ψυχων αθωων. κ. τ. λ. *Jer. ii.* 34. *xxvi.* 10. θαυμασατε θαυμασια. *Hab. i.* 5.

7 Και ειπε μοι ὁ αγγελος, Διατι εθαυμασας; εγω σοι ερω το μυστηριον της γυναικος και του θηριου του βασταζοντος αυτην, του εχοντος τας ἑπτα κεφαλας και τα δεκα κερατα.

τι θαυμαζετε επι τουτῳ; *Act. iii.* 12. *Conf. Dan. iv.* 16.

8 Θηριον ὁ ειδες, ην, και ουκ εστι, και μελλει αναβαινειν εκ της αβυσσου, και εις απωλειαν ὑπαγειν· και θαυμασονται οἱ κατοικουντες επι της γης, ὡν ου γεγραπται τα ονοματα επι το βιβλιον της ζωης απο καταβολης κοσμου, βλεποντες το θηριον ὁ, τι ην, και ουκ εστι, καιπερ εστιν.

εις απωλειαν. *Esa. xiv.* 23. ουκ εστι. *Gen. xxxvii.* 30. *xlii.* 36. απο καταβολης κοσμου. *Matt. xxv.* 34. εξαλειφθητωσαν εκ βιβλου ζωντων. *Ps. lxviii.* 28. *cxxxviii.* 16. ὁ, τι. *Conf.* 1 *Reg. xix.* 3. *Exod. xxii.* 9. *xxxii.* 32. *Phil. iv.* 3. *Dan. xii.* 1. [εν ασεβων στηλαις εγγεγραφεσθωσαν ὡς αντιπαλοι Θεου. *Philo de Legg. p.* 782.] εθεωρουν—ἑως ανηρεθη το θηριον. κ. τ. λ. *Dan. vii.* 11. εκ γαστρος προ Ἑωσφορου εγεννησα σε. *Ps. cix.* 3. *Conf. Job. xx.* 5.

9 Ὡδε ὁ νους ὁ εχων σοφιαν. αἱ ἑπτα κεφαλαι ορη εισιν ἑπτα, ὁπου ἡ γυνη καθηται επ᾽ αυτων,

επισκεψομαι επι τον νουν τον μεγαν. *Esa. x.* 12. και εκαλεσε—παντας τους εχοντας την σοφιαν. *Exod. xxxvi.* 2. *Conf. cap. xiii.*

i. 18. εν ᾳδη, ὁπου συ πορευῃ εκει. *Eccles. ix.* 10. και ου συνησουσι παντες ανομοι, και οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. *Conf. cap. xiii.* 1.

10 Και βασιλεις ἑπτα εισιν. οἱ πεντε επεσαν, και ὁ εἱς εστιν, ὁ αλλος ουπω ηλθε, και ὁταν ελθῃ, ολιγον αυτον δει μειναι.

ανηρ δε τελευτησας ᾠχετο, πεσων δε βροτος ουκ ετι εστι. *Job. xiv.* 10. *Conf.* 2 *Thess. ii.* 3-8.

11 Και τα θηριον, ὁ ην, και ουκ εστι, και αυτος ογδοος εστι, και εκ των ἑπτα εστι, και εις απωλειαν ὑπαγει.

εσονται εις απωλειαν. *Jer. li.* 12. *Dan. ii.* 40-43. *vii.* 7.

12 Και το δεκα κερατα ἁ ειδες, δεκα βασιλεις εισιν, οἱτινες βασιλειαν ουπω ελαβον, αλλ᾽ εξουσιαν ὡς βασιλεις μιαν ὡραν λαμβανουσι μετα του θηριου.

περι των κερατων αυτου των δεκα—δεκα βασιλεις αναστησονται. *Dan. vii.* 20-24. *Zach. i.* 18-21. μιαν ὡραν. *Matt. xxvi.* 40. *Marc. xiv.* 37. λαμβανειν την πολιν. *Jos. xv.* 16.

13 Οὑτοι μιαν γνωμην εχουσι, και την δυναμιν και την εξουσιαν ἑαυτων τῳ θηριῳ διαδιδωσουσιν.

και νυν θετε γνωμην. *Esd. iv.* 21. διαδωσουσι. *Joan. vi.* 11. *Luc. xviii.* 22. *Gen. xlix.* 20. *Ald.* συνηχθησαν επιτοαυτο κατα Κυριου κ. τ. λ. *Ps. ii.* 2. *lxxxii.* 5. *Prov. i.* 14.

14 Οὑτοι μετα του Αρνιου πολεμησουσι, και το Αρνιον νικησει αυτους, ὁτι Κυριος κυριων εστι και Βασιλευς βασιλεων, και οἱ μετ᾽ αυτου κλητοι και εκλεκτοι και πιστοι.

Θεος των θεων, και Κυριος των κυριων, και Βασιλευς βασιλεων. *Dan. iv.* 34. *LXX.* αυτος εστι Θεος θεων και Κυριος των βασιλεων. *ii.* 47. *Conf. Deut. x.* 17. 3 *Mac. v.* 35. και κληρονομησουσιν οἱ εκλεκτοι μου. *Esa. lxv.* 9. *Conf.* 1 *Tim. vi.* 15. *Jer. xxvii.* 44. *Dan. ii.* 44. *vii.* 27. διαρρηξωμεν τους δεσμους—ὁ κατοικων εν ουρανοις εκγελασεται αυτους, κ. τ. λ. *Ps. ii.* 3, 4. 9. και παντες οἱ ἁγιοι μετ᾽ αυτου. *Zach. xiv.* 5. *CITAT.* 329.

15 Και λεγει μοι, Τα ὑδατα ἁ ειδες, οὑ ἡ πορνη καθηται, λαοι και οχλοι εισι, και εθνη και γλωσσαι.

κατασκηνουντας εφ᾽ ὑδασι πολλοις. *Jer. xxviii.* 13. 42. *Ps. lxv.* 7. *xcii.* 3. *Esa. viii.* 7. *Conf. sup. v.* 1.

16 Και τα δεκα κερατα ἁ ειδες επι το θηριον, οὑτοι μισησουσι

την πορνην, και ηρημωμενην ποιησουσιν αυτην και γυμνην, και τας σαρκας αυτης φαγονται, και αυτην κατακαυσουσιν εν πυρι.

και φαγεσθε τας σαρκας των υἱων ὑμων. Lev. xxvi. 29. Ps. xxvi. 2. Cap. xviii. 8. Jer. xxvii. 41. Dan. vii. 5. *και εκδυσουσι σε τα ἱματια σου, και ληψονται τα σκευη της καυχησεως σου, και αφησουσι σε γυμνην, κ. τ. λ.* Ezech. xvi. 39. Conf. Lev. xxi. 9. [*ηρημωσεν την γην απο ενοικουντων αυτην.* Psalt. Sal. xvii. 13.]

17 *Ὁ γαρ Θεος εδωκεν εις τας καρδιας αυτων, ποιησαι την γνωμην αὑτου, και ποιησαι μιαν γνωμην, και δουναι την βασιλειαν αὑτων τῳ θηριῳ, αχρι τελεσθῃ τα ῥηματα του Θεου.*

Conf. 2 Thess. ii. 11. *πας ὁ εστιν εν γνωμῃ του Θεου του ουρανου.* Esd. vii. 23. *ἁ γαρ ὁ Θεος ὁ ἁγιος βεβουλευται, τις διασκεδασει; κ. τ. λ.* Esa. xiv. 27. [*αχρι αν αυτος τον ναον ἁγνισειη.* Jos. Ant. xii. 7. 6.] *του τελεσθηναι λογον Κυριου.* Esd. i. 1. *δωσει αγαθον εις καρδιαν αυτου.* Eccles. vii. 3. *και μετεστρεψε την καρδιαν αυτων του μισησαι τον λαον αυτου, κ. τ. λ.* Ps. civ. 25. *δωσεις τῳ δουλῳ σου καρδιαν του ακουειν.* 3 Reg. iii. 9. *εδωκεν εν καρδιᾳ αυτου ζητησαι τον νομον.* Esd. vii. 10. *εδωκας ευφροσυνην εις την καρδιαν μου.* Ps. iv. 7. Conf. Esa. lv. 11. Ezech. vii. 27.

18 *Και ἡ γυνη ἡν ειδες εστιν ἡ πολις ἡ μεγαλη, ἡ εχουσα βασιλειαν επι των βασιλεων της γης.*

Conf. cap. xvi. 19. *και βασιλεια τεταρτη, ἡτις εσται ισχυρα ὡς σιδηρος—οὑτως παντα λεπτυνει και δαμασει.* Dan. ii. 40, 41. vii. 23. Conf. Joan. xviii. 36.

ΚΕΦ. ιη. 18.

ΚΑΙ *μετα ταυτα ειδον αγγελον καταβαινοντα εκ του ουρανου, εχοντα εξουσιαν μεγαλην, και ἡ γη εφωτισθη εκ της δοξης αυτου·*

και μετα ταυτα. Exod. v. 1. *φωτιζου φωτιζου Ἱερουσαλημ, κ. τ. λ.* Esa. lx. 1-3. *εσται σοι Κυριος φως αιωνιον, και ὁ Θεος δοξα σου.* 19. *και ἡ γη εξελαμπτεν ὡς φεγγος απο της δοξης κυκλοθεν.* Ezech. xliii. 2. *εξουσια.* Conf. Ps. cxxxvi. 8, 9. Sir. xliii. 1-4. 9.

2 *Και εκραξεν εν ισχυϊ, φωνῃ μεγαλῃ λεγων, Επεσεν, επεσε Βαβυλων ἡ μεγαλη, και εγενετο κατοικητηριον δαιμονων και*

φυλακη παντος πνευματος ακαθαρτου, και φυλακη παντος ορνεου ακαθαρτου και μεμισημενου·

αναβοησον εν ισχυϊ. Esa. lviii. 1. Dan. iii. 4. iv. 11. πεπτωκε πεπτωκε Βαβυλων. Esa. xxi. 9. επεσε Βαβυλων. Jer. xxviii. 8. και δωσω εις κατοικητηριον των δρακοντων. ix. 11. και δαιμονια εκει ορχησονται. Esa. xiii. 21. Nah. ii. 11. Esa. xiii. 19. 21. xxxiv. 11-14. παν ορνεον καθαρον φαγεσθε. Deut. xiv. 11. πνευμα ακαθαρτον. Zach. xiii. 2. Conf. cap. xiv. 8. Jer. xxviii. 37. Dan. iv. 27. φυλακη. Hab. ii. 1. [*CITAT.* 326.]

3 Ὁτι εκ του οινου του θυμου της πορνειας αυτης πεπωκε
παντα τα εθνη, και οἱ βασιλεις της γης μετ᾽ αυτης επορνευ-
σαν, και οἱ εμποροι της γης εκ της δυναμεως του στρηνους
αυτης επλουτησαν.

Conf. cap. xiv. 8. παρεστησαν οἱ βασιλεις της γης. Ps. ii. 2. Ezech. xxvii. 33. μεθυσκον πασαν την γην. Jer. xxviii. 7. στρηνος. 4 Reg. xix. 28. Conf. Esa. xlvii. 15. ὁτι απο φωνης ἁλωσεως Βαβυλωνος σεισθησεται ἡ γη, και κραυγη εν εθνεσιν ακουσθησεται. Jer. xxvii. 46. [*στρηνος. Sturz. de voc. Alex. p.* 195.]

4 Και ηκουσα αλλην φωνην εκ του ουρανου λεγουσαν, Εξελ-
θετε εξ αυτης, ὁ λαος μου, ἱνα μη συγκοινωνησητε ταις ἁμαρ-
τιαις αυτης, και ἱνα μη λαβητε εκ των πληγων αυτης·

εξελθε εκ Βαβυλωνος. Esa. xlviii. 20. lii. 11. Jer. xxviii. 8. 9. Zach. ii. 7. και μη συγκοινωνειτε τοις εργοις τοις ακαρποις του σκοτους. Ephes. v. 7. 11. Conf. 2 Cor. vi. 17. Gen. xix. 12. 21. = εκ των σων δεδωκαμεν σοι. 1 Par. xxix. 14. [*πολλοι γαρ κατεμειναν εν τῃ Βαβυλωνι, τα κτηματα καταλιπειν ου θελοντες, κ. τ. λ. Jos. Ant. xi. 1. 3.*] *Conf. Ps. xlix. 18. 4 Reg. v. 27.*

5 Ὁτι ηκολουθησαν αυτης αἱ ἁμαρτιαι αχρι του ουρανου, και
εμνημονευσεν ὁ Θεος τα αδικηματα αυτης.

Conf. Ose. viii. 13. ix. 9. Gen. xviii. 20. Cap. xvi. 19. = εφθανεν εις τον ουρανον. Dan. iv. 17. 19. ηγγικεν εις ουρανον το κριμα αυτης (Βαβυλωνος), εξηρεν ἑως των αστρων. Jer. xxviii. 9. ανεβη ἡ κραυγη της κακιας αυτης προς με. Jon. i. 2. Conf. Jer. xxvii. 15. 29. μνησθητι Κυριε των υἱων Εδωμ κ. τ. λ. Ps. cxxxvi. 7.

6 Αποδοτε αυτῃ ὡς καὶ αυτη απεδωκεν ὑμιν, και διπλωσατε
αυτῃ διπλα κατα τα εργα αυτης. εν τῳ ποτηριῳ ᾡ εκερασε,
κερασατε αυτῃ διπλουν·

θυγατερ Βαβυλωνος, ἡ ταλαιπωρος, μακαριος ὁς ανταποδωσει σοι

το ανταποδομα σου, ὁ ανταπεδωκας ἡμιν. Ps. cxxxvi. 8. ανταποδωσω διπλας τας κακιας αυτων, και τας ἁμαρτιας αυτων. Jer. xvi. 18. Zach. ix. 12. Conf. 2 Tim. iv. 14. Cap. xiv. 10.

7 Οσα εδοξασεν ἑαυτην και εστρηνιασε, τοσουτον δοτε αυτῃ
βασανισμον και πενθος. ὁτι εν τῃ καρδιᾳ αὑτης λεγει, Καθη-
μαι βασιλισσα, και χηρα ουκ ειμι, και πενθος ου μη ιδω.

το στρηνος σου ανεβη εν τοις ὡσι μου. 4 *Reg. xix.* 28. *Ps. xiii.* 1. ἡ λεγουσα εν καρδιᾳ αυτης, Εγω ειμι, και ουκ εστι μετ' εμου. *Sophon. iii.* 15. *Obd. i.* 3. επηγαγε μοι ὁ Θεος πενθος μεγα—μηδεις επιχαιρετω μοι τῃ χηρᾳ. *Bar. iv.* 9. 12. ετι γαρ εν χερσιν εχοντες τα πενθη. *Sap. xix.* 3. *Sir. xxvi.* 6. στενοχωριας ἁς ειδομεν. 1 *Mac. xiii.* 3. προ συντριβης ἡγειται ὑβρις, προ δε πτωματος κακοφροσυνη. *Prov. xvi.* 18. ἡ λεγουσα εν καρδιᾳ αυτης, Εγω ειμι, και ουκ εστιν ἑτερα, ου καθιω χηρα, κ. τ. λ. *Esa. xlvii.* 8. καταβηθι, καθισον επι την γην, παρθενος θυγατηρ Βαβυλωνος, κ. τ. λ. *xlvii.* 1-5. *Ezech. xxviii.* 2-10. *CITAT.* 330.

8 Δια τουτο εν μιᾳ ἡμερᾳ ἡξουσιν αἱ πληγαι αυτης, θανατος
και πενθος και λιμος· και εν πυρι κατακαυθησεται· ὁτι ισχυρος
Κυριος ὁ Θεος ὁ κρινων αυτην.

Conf. 1 *Reg. ii.* 34. ισχυρος Κυριος ὁ διδους εκδικησεις εμοι. 2 *Reg. xxii.* 48. *Neh. i.* 5. *Conf.* 2 *Thess. ii.* 8. *Gen. xxxviii.* 24. *Jer. xxviii.* 6-9. *Cap. xvii.* 16. ἡξει επι σε τα δυο ταυτα εξαιφνης εν ἡμερᾳ μιᾳ, ατεκνια και χηρεια, κ. τ. λ. *Esa. xlvii.* 9-11. *xlix.* 21. και ὁ λυτρουμενος αυτους ισχυρος. *Jer. xxvii.* 34. τις ουν κριμασιν αυτου αντιστησεται; *Job. ix.* 19. *Ps. lvii.* 11.

9 Και κλαυσονται αυτην και κοψονται επ' αυτῃ οἱ βασιλεις
της γης, οἱ μετ' αυτης πορνευσαντες και στρηνιασαντες, ὁταν
βλεπωσι τον καπνον της πυρωσεως αυτης,

Conf. Ezech. xxvi. 16, 17. καπνος. *Esa. xxxiv.* 8. 10. *Cap. xiv.* 11. *xvii.* 12. οἱ βασιλεις της γης. *Ps. xlvii.* 5. και εκοψαντο και εκλαυσαν. 2 *Reg. i.* 12. *Conf. Ezech. xxiv.* 16. 23. εκοψετο επι τον ανδρα αυτης. 2 *Reg. xi.* 28. *Zach. xii.* 10. *Conf. Dan. iv.* 14. [την γην ὁμοιᾳ πυρωσει αφανιζων. *Jos. Ant. i.* 11. 1.] [στρηνιωντες· πεπληγμενοι (*l.* πεπλησμενοι), δηλοι δε και το δια πλουτον ὑβριζειν, και βαρεως φερειν. *Hesych. Conf.* 1 *Cor. iv.* 8. *Robinson.*]

10 Απο μακροθεν ἑστηκοτες δια τον φοβον του βασανισμου
αυτης, λεγοντες, Ουαι, ουαι, ἡ πολις ἡ μεγαλη, Βαβυλων ἡ
πολις ἡ ισχυρα, ὁτι εν μιᾳ ὡρᾳ ηλθεν ἡ κρισις σου.

και ἡ καταφθορα αυτου εν ὡρα μια της ἡμερας. Dan. iv. 15. LXX. Cap. xiv. 8. μη ποτε καταπιη ἡμας ἡ γη. Num. xvi. 34. οἱ εγγιστα μου μακροθεν εστησαν. Ps. xxxvii. 11. εν πασαις πλατειαις κοπετος, και εν πασαις ὁδοις ῥηθησεται, Ουαι, ουαι. Amos. v. 16. Conf. Esa. xiii. 19. και αφνω επεσε Βαβυλων. Jer. xxviii. 8.

11 Και οἱ εμποροι της γης κλαιουσι και πενθουσιν επ᾽ αυτῃ, ὁτι τον γομον αυτων ουδεις αγοραζει ουκ ετι,

εμποροι απο εθνων εσυρισαν σε, απωλεια εγενου, και ουκετι εσῃ εις τον αιωνα. Ezech. xxvii. 30. Conf. xxvi. 17. Jer. xxviii. 29-37.

12 Γομον χρυσου, και αργυρου, και λιθου τιμιου, και μαργαριτου, και βυσσου, και πορφυρας, και σηρικου, και κοκκινου, και παν ξυλον θυϊνον, και παν σκευος ελεφαντινον, και παν σκευος εκ ξυλου τιμιωτατου, και χαλκου, και σιδηρου, και μαρμαρου,

γομον. Act. xxi. 3. εκ βυσσου—και πορφυρας. Exod. xxvi. 1. Dan. xi. 8. v. 2. μαρμαρος. Epist. Jer. 72. μαρμαρινος. Cant. v. 15. Conf. Ezech. xxvii. passim. [χαλκα σκευη χρυσου κρειττονα σταθμου ταλαντων ιβ. Jos. Ant. xi. 5. 1. Ottius.] Conf. 3 Reg. x. 11, 12. 2 Par. ix. 9.

13 Και κιναμωμον, και θυμιαματα, και μυρον, και λιβανον, και οινον, και ελαιον, και σεμιδαλιν, και σιτον, και κτηνη, και προβατα, και ἱππων και ῥεδων και σωματων, και ψυχας ανθρωπων.

Conf. Cant. iv. 14. —οὑτοι ενεπορευοντο σοι εν ψυχαις ανθρωπων. Ezech. xxvii. 13. σωματων (servorum.). Gen. xxxiv. 28, 29. σωματα, και κτηνη, και αργυριον. Tob. x. 10. και διδωμι τῳ αρχιερει, ὁπως αν καταστησῃ εν αυτῃ ανδρας—και πασαν ψυχην Ιουδαιων κ. τ. λ. 1 Mac. x. 32, 33. [κλεπτεις ψυχας εκ γης Ἑβραιων. Test. XII Patr. p. 715.] Anglice, "female slaves," in distinction to σωματα. Robinson. επ᾽ αγορασμον Ιουδαικων σωματων. 2 Mac. viii. 11. [αιχμαλωτων δε σωματων απεριληπτον αριθμον απαγαγοντες. Philo 1 Vit. Mos. p. 650. in Flacc. pp. 973. 986.] Conf. Heb. x. 5. et Whitb. ad loc.

14 Και ἡ οπωρα της επιθυμιας της ψυχης σου απηλθεν απο σου. και παντα τα λιπαρα και λαμπρα απηλθεν απο σου, και ουκ ετι ου μη εὑρησῃς αυτα.

συναγετε οινον, και οπωραν, και ελαιον. Jer. xlvii. 10. xxxi. 32.

ινα μη εκκλινωσι τας ψυχας ὑμων οπισω ειδωλων αυτων. 3 Reg. xi. 2. και ὁ επιμικτος ὁ εν αυτοις επεθυμησεν επιθυμιαν. Num. xi. 4. 34. τα λαμπρα. Conf. Sir. xxxiv. 23. xxix. 26. Ps. lxxvii. 18. Luc. xvi. 19. Cap. xii. 8. και επεθυμησαν επιθυμιαν κ. τ. λ. Ps. cv. 14. [αρτος λιπαρος. Jos. Ant. viii. 1. 1. ὁπωρα ακμαζουσα. iv. 8. 21.] Conf. Esa. xxx. 23. Ezech. xxvi. 12.

15 Οἱ εμποροι τουτων, οἱ πλουτησαντες απ᾽ αυτης, απο μακροθεν στησονται δια τον φοβον του βασανισμου αυτης, κλαιοντες και πενθουντες,

κλαιοντες και πενθουντες. 2 Reg. xix. 1. ἁ οἱ κτησαμενοι κατεσφαζον, και ου μετεμελοντο, και οἱ πωλουντες κ. τ. λ. Zach. xi. 5. = εστι πλουτων απο προσυχης κ. τ. λ. Sir. xi. 28. Ezech. xxvii. 25.

16 Και λεγοντες, Ουαι, ουαι, ἡ πολις ἡ μεγαλη, ἡ περιβεβλημενη βυσσινον και πορφυρουν και κοκκινον, και κεχρυσωμενη εν χρυσῳ και λιθῳ τιμιῳ και μαργαριταις· ὁτι μιᾳ ὡρᾳ ηρημωθη ὁ τοσουτος πλουτος.

Βαβυλων ἡ μεγαλη. Dan. iv. 27. καταπληγμος και ὑβρις ερημωσουσι πλουτον. Sir. xxi. 4. κεχρυσωμενων χρυσιῳ. Exod. xxxvi. 32. ἡ δοξα ἡμων ηρημωθη. 1 Mac. ii. 12. Conf. cap. xvii. 4. και ηρημωθη ἡ γη σου τῃ πληρωσει αυτης, κ. τ. λ. Ezech. xxxii. 15.

17 Και πας κυβερνητης και πας επι των πλοιων ὁ ὁμιλος, και ναυται και ὁσοι την θαλασσαν εργαζονται, απο μακροθεν εστησαν,

προς την κραυγην της φωνης σου οἱ κυβερνηται σου φοβῳ φοβηθησονται, κ. τ. λ. Ezech. xxvii. 28-36. οἱ καταβαινοντες εις θαλασσαν—ποιουντες εργασιαν εν ὑδασι. Ps. cvi. 23. ολολυξατε πλοια Καρχηδονος κ. τ. λ. Esa. xxiii. 14. [Conf. Middleton ad loc.]

18 Και εκραζον ὁρωντες τον καπνον της πυρωσεως αυτης, λεγοντες, Τις ὁμοια τῃ πολει τῃ μεγαλῃ;

Conf. Gen. xix. 28. Esa. xxxiv. 10. xlii. 10. Cap. xiii. 4. τις ταυτα εβουλευσεν επι Τυρον, κ. τ. λ. Esa. xxiii. 8. Jer. xxviii. 8.

19 Και εβαλον χουν επι τας κεφαλας αὐτων, και εκραζον κλαιοντες και πενθουντες, λεγοντες, Ουαι, ουαι, ἡ πολις ἡ μεγαλη, εν ᾗ επλουτησαν παντες οἱ εχοντες πλοια εν τῃ θαλασσῃ εκ της τιμιοτητος αυτης, ὁτι μιᾳ ὡρᾳ ηρημωθη.

και επεβαλοντο χουν επι τας κεφαλας αυτων. Jos. vii. 6. 2 Reg. xiii. 19. ηρημωθη πασα πολις. Esa. xxiv. 10. xxvi. 19. Conf.

Job. ii. 11, 12. εὑρες μισθον απο της θαλασσης; Ενεπλησας εθνη απο του πληθους σου, και απο του συμμικτου σου επλουτησας παντας βασιλεις της γης. Νυν συνετριβης εν θαλασσῃ, κ. τ. λ. *Ezech. xxvii.* 33.

20 Ευφραινου επ᾽ αυτην, ουρανε, και οἱ ἁγιοι αποστολοι και οἱ
προφηται, ὁτι εκρινεν ὁ Θεος το κριμα ὑμων εξ αυτης.

ευφρανθητε ουρανοι. *Esa. xliv.* 23. *xlix.* 13. *lxvi.* 10. Θεος εκδικησεων κ.τ.λ. *Ps. xciii.* 1. *Luc. xi.* 9-44. *Jer. xxviii.* 48. *Cap. xix.* 2. ευφρανθητε ουρανοι—ὁτι το αἱμα των υἱων αυτου ενδικαται. κ.τ.λ. *Deut. xxxii.* 43.

21 Και ηρεν εἱς αγγελος ισχυρος λιθον ὡς μυλον μεγαν, και
εβαλεν εις την θαλασσαν, λεγων, Οὑτως ὁρμηματι βληθησε-
ται Βαβυλων ἡ μεγαλη πολις, και ου μη ευρεθῃ ετι.

επ᾽ αυτους εκχεω ὡς ὑδωρ το ὁρμημα μου. *Ose. v.* 10. *Cap. xii.* 8. και επιδησεις επ᾽ αυτο λιθον, και ῥιψεις αυτο εις μεσον του Ευφρατου, και ερεις, Οὑτως καταδυσεται Βαβυλων, κ. τ. λ. *Jer. xxviii.* 63, 64. *Conf.* 1 *Mac. vi.* 33. 47. *Dan. ii.* 35. *iv.* 27. *Esa. xxi.* 9. *CITAT.* 331.

22 Και φωνη κιθαρῳδων και μουσικων και αυλητων και σαλ-
πιστων ου μη ακουσθῃ εν σοι ετι, και πας τεχνιτης πασης
τεχνης ου μη ευρεθῃ εν σοι ετι, και φωνη μυλου ου μη ακουσθῃ
εν σοι ετι,

και ἡ φωνη των ψαλτηριων σου ου μη ακουσθῃ ετι. *Ezech. xxvi.* 13. πεπαυται ευφροσυνη τυμπανων, πεπαυται φωνη κιθαρας. *Esa. xxiv.* 8. σαλπιγγος φωνη. *Lev. xxv.* 9. παν εργον δια χειρος των τεχνιτων. 1 *Par. xxix.* 5. βδελυγμα Κυριου, εργον χειρων τεχνιτου. *Deut. xxvii.* 15. εν εργασιᾳ τεχνης. *Sir. xxxix.* 39. *Conf. Ezech. xxvii.* 24-34.

23 Και φως λυχνου ου μη φανῃ εν σοι ετι· και φωνη νυμφιου
και νυμφης ου μη ακουσθῃ εν σοι ετι· ὁτι οἱ εμποροι σου ησαν
οἱ μεγιστανες της γης, ὁτι εν τῃ φαρμακειᾳ σου επλανηθησαν
παντα τα εθνη.

ὁ δε λυχνος επ᾽ αυτῳ σβεσθησεται. *Job. xviii.* 6. και απολω—φωνην νυμφιου και φωνην νυμφης—και φως λυχνου. *Jer. xxv.* 10. *vii.* 34. φωνη ευφροσυνης—φωνη νυμφιου και φωνη νυμφης. *xl.* 11. [μεγιστανες. *Conf. Sturz. pp.* 180-182.] εν τῃ φαρμακειᾳ σου. *Esa. xlvii.* 9. *Act. viii.* 11. *Cap. xvii.* 2. οἱ εμποροι αυτης ενδοξοι αρχοντες της γης. *Esa. xxiii.* 8. *CITAT.* 332.

24 Και εν αυτῃ αἱμα προφητων και ἁγιων εὑρεθη και παντων
των εσφαγμενων επι της γης.

Conf. 4 *Reg. ix.* 22. *Nah. iii.* 4. *Matt. xxiii.* 35. *Luc. xi.* 51. *Jer. xxviii.* 35. *Cap. xvii.* 6. εν ταις χερσιν σου εὑρεθη αἱματα ψυχων αθωων. *Jer. ii.* 34. εξεχεαν το αἱμα αυτων ὡς ὑδωρ. *Ps. lxxviii.* 3. εν Βαβυλωνι πεσουνται τραυματιαι πασης της γης. *Jer. xxviii.* 49.

ΚΕΦ. ιθ. 19.

ΚΑΙ μετα ταυτα ηκουσα φωνην οχλου πολλου μεγαλην εν
τῳ ουρανῳ λεγοντος, Αλληλουϊα· ἡ σωτηρια και ἡ δοξα
και ἡ τιμη και ἡ δυναμις Κυριῳ τῳ Θεῳ ἡμων·

και μετα ταυτα. *Exod. v.* 1. ὡς φωνη οχλου. *Dan. x.* 6. Αλληλουϊα. *Ps. civ.* 1. [הללו־יה] αινειτε το Ον. *Theod.* αινειτε τον Κυριον. *alii.* και ερουσι πασαι αἱ ῥυμαι αυτης Αλληλουϊα και αινεσιν, λεγοντες, Ευλογητος ὁ Θεος, ὁς ὑψωσε παντας τους αιωνας. *Tob. xiii.* 18. παν το πληθος επιφωνησαντες το Αλληλουϊα. 3 *Mac. vii.* 13. *Conf. cap. iv.* 11. *vii.* 10. σοι Κυριε ἡ μεγαλωσυνη, και ἡ δυναμις. κ. τ. λ. 1 *Par. xxix.* 11. Αλληλουϊα, ὁτι αγαθος ψαλμος. *Ps. cxlvi. Sym. alii.*

2 Ὁτι αληθιναι και δικαιαι αἱ κρισεις αυτου· ὁτι εκρινε την
πορνην την μεγαλην, ἡτις εφθειρε την γην εν τῃ πορνειᾳ αὑτης,
και εξεδικησε το αἱμα των δουλων αὑτου εκ της χειρος αυτης.

Conf. cap. xv. 3. απο πληθους πορνειας. πορνη καλη. *Nah. iii.* 4. *Jer. iii.* 3. *Ezech. xvi.* 15. 28. εφθαρη δε ἡ γη. *Gen. vi.* 11. δια τουτο πορνη ακουε λογον Κυριου. *Ezech. xvi.* 34. *Esa. i.* 21. ἡ εκδικησις του αἱματος των δουλων σου. *Ps. lxxviii.* 10. και εκδικησεις τα αἱματα των δουλων μου—εκ χειρος Ιεσαβελ. 4 *Reg. ix.* 7. παντα τα εργα αυτου αληθινα, και αἱ τριβοι αυτου κρισεις. *Dan. iv.* 34. *Deut. xxxii.* 4. ευφρανθητε ουρανοι—ὁτι το αἱμα των υἱων αυτου εκδικαται. 43.

3 Και δευτερον ειρηκαν, Αλληλουϊα· και ὁ καπνος αυτης ανα-
βαινει εις τους αιωνας των αιωνων.

δευτερον. *Gen. xxvii.* 36. και αναβησεται ὁ καπνος αυτης ανω. *Esa. xxxiv.* 10. *Cap. xiv.* 11. *xviii.* 9. 18. [*CITAT.* 327.]

4 Και επεσον οἱ πρεσβυτεροι οἱ εικοσι και τεσσαρες και τα
τεσσαρα ζωα, και προσεκυνησαν τῳ Θεῳ τῳ καθημενῳ επι του
θρονου, λεγοντες, Αμην· Αλληλουϊα.

αμην. 1 *Par. xvi.* 36. *Neh. v.* 13. ευλογειτε τον Κυριον παντες οἱ δουλοι Κυριου. *Ps. cxxxiii.* 1. προσκυνησατε τῳ Κυριῳ εν αυλῃ ἁγιᾳ αυτου. *xcv.* 9. ὁ Θεος καθηται επι θρονου ἁγιου αυτου. *xlvi.* 8. *Conf. cap. iv.* 4. 6. και ηυλογησεν Εσδρας Κυριον τον Θεον τον μεγαν—και απεκριθη πας ὁ λαος—Αμην, επαραντας τας χειρας αυτων· κ. τ. λ. *Neh. viii.* 6. *Conf. Esa. vi.* 1-3.

5 Και φωνη εκ του θρονου εξηλθε λεγουσα, Αινειτε τον Θεον ἡμων, παντες οἱ δουλοι αυτου και οἱ φοβουμενοι αυτον και οἱ μικροι και οἱ μεγαλοι.

αινειτε δουλοι Κυριον. *Ps. cxxxiv.* 1. οἱ φοβουμενοι τον Κυριον αινεσατε αυτον. *xxi.* 23. ευλογησε—τους μικρους μετα των μεγαλων. *cxiii.* 13. *cxlviii.* 12. *CITAT.* 333.

6 Και ηκουσα ὡς φωνην οχλου πολλου, και ὡς φωνην ὑδατων πολλων, και ὡς φωνην βροντων ισχυρων, λεγοντας, Αλληλουϊα· ὁτι εβασιλευσε Κυριος ὁ Θεος ὁ παντοκρατωρ.

και ἡ φωνη των λογων αυτου ὡς φωνη οχλου. *Dan. x.* 6. ὡς φωνην ὑδατος πολλου. *Ezech. i.* 24. *xliii.* 2. *Ps. xxviii.* 3. Κυριος ὁ Θεος ὁ παντοκρατωρ. *Amos. ix.* 5. Κυριος βασιλευων τον αιωνα κ. τ. λ. *Exod. xv.* 18. και βασιλευσει αυτων Κυριος εις τους αιωνας. *Sap. iii.* 8. *Obd.* 21. *Cap. i.* 8. ὁ Κυριος εβασιλευσην, αγαλλιασθω ἡ γη. *Ps. xcvi.* 1. ὁτι Κυριος ὑψιστος, φοβερος, βασιλευς μεγας κ. τ. λ. *xlvi.* 2. Σιων, βασιλευσει σου ὁ Θεος. *Esa. lii.* 7.

7 Χαιρωμεν και αγαλλιωμεθα, και δωμεν την δοξαν αυτῳ· ὁτι ηλθεν ὁ γαμος του Αρνιου, και ἡ γυνη αυτου ἡτοιμασεν ἑαυτην.

Conf. Matt. xxii. 2. *xxv.* 10. *Luc. xii.* 47. *xiv.* 16. 2 *Cor. xi.* 2. και μνηστευσομαι σε εμαυτῳ εις τον αιωνα, και μνηστευσομαι σε εν δικαιοσυνῃ, κ. τ. λ. *Ose. ii.* 19. *Esa. liv.* 6-8. *Conf. Ephes. v.* 32. αγαλλιασθω ἡ ψυχη μου επι τῳ Κυριῳ—ὡς νυμφιῳ περιεθηκε μοι μιτραν, κ. τ. λ. *Esa. lxi.* 10. *lxii.* 5. *Ps. xliv.* 10. 16. *lxxxviii.* 15. *Cant. iii.* 11. δοτε τῳ Κυριῳ Θεῳ ὑμων δοξαν. *Jer. xiii.* 16.

8 Και εδοθη αυτῃ ἱνα περιβαληται βυσσινον καθαρον και λαμπρον· το γαρ βυσσινον τα δικαιωματα εστι των ἁγιων.

Conf. Matt. xxii. 11. *Cap. iii.* 4. 18. δικαιωματα. *Conf. Prov. viii.* 20. *Jer. xviii.* 19. και εζωσα σε βυσσῳ, κ. τ. λ. *Ezech. xvi.* 10. οἱ ἱερεις σου ενδυσονται δικαιοσυνην. *Ps. cxxxi.* 9. περιβεβλημενη, πεποικιλμενη, απενεχθησονται τῳ βασιλει κ. τ. λ. *xliv.* 14.

9 Και λεγει μοι, Γραψον, Μακαριοι οἱ εις το δειπνον του γα-

μου του Αρνιου κεκλημενοι. Και λεγει μοι, Οὑτοι οἱ λογοι
αληθινοι εισι του Θεου.

ειδον τον Κυριον καθημενον επι θρονου, κ. τ. λ. *Esa. vi.* 1. συ ει Θεος, και οἱ λογοι σου εσονται αληθινοι. 2 *Reg. vii.* 28. *Cap. xxi.* 5. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32. *Conf. Est. v.* 12. *vi.* 5. *Joan. ii.* 2.

10 Και επεσον εμπροσθεν των ποδων αὐτου προσκυνησαι αυτῳ·
και λεγει μοι, Ὁρα μη· συνδουλος σου ειμι και των αδελφων
σου των εχοντων την μαρτυριαν του Ιησου· τῳ Θεῳ προσκυνη-
σον· ἡ γαρ μαρτυρια του Ιησου εστι το πνευμα της προφη-
τειας.

Conf. Act. x. 26. 43. *xiv.* 15. *Col. iv.* 7. 1 *Joan. v.* 10. 1 *Par. xvi.* 29. *Ps. xxviii.* 2. = μη εν τῃ ἑορτῃ. *Matt. xxvi.* 5. συνδουλος. *Esd. iv.* 7. 9. *Conf. Joan. v.* 39. *Luc. xxiv.* 27. ευλογειτε τον Κυριον παντες αγγελοι αυτου. κ. τ. λ. *Ps. cii.* 20. ουδε προσκυνησεις Θεῳ αλλοτριῳ. *lxxx.* 9. ὁρα. *Exod. xxv.* 40.

11 Και ειδον τον ουρανον ανεῳγμενον, και ιδου, ἱππος λευκος,
και ὁ καθημενος επ' αυτον, καλουμενος πιστος και αληθινος,
και εν δικαιοσυνῃ κρινει και πολεμει·

κρινει την οικουμενην εν δικαιοσυνῃ. *Ps. xcv.* 13. *xcvii.* 2. και ιδου, ανηρ επιβεβηκως επι ἱππον, κ. τ. λ. *Zach. i.* 1. και ηνοιχθησαν οἱ ουρανοι, κ. τ. λ. *Ezech. i.* 1. και δη πιστος ει και αληθινος. 3 *Mac. ii.* 11.

12 Οἱ δε οφθαλμοι αυτου ὡς φλοξ πυρος, και επι την κεφαλην
αυτου διαδηματα πολλα· εχων ονομα γεγραμμενον ὁ ουδεις
οιδεν ει μη αυτος·

και το προσωπον αυτων ὡς φλοξ. *Esa. xiii.* 8. *xxix.* 6. *Job. xli.* 10. διαδημα βασιλειας. *Esa. lxii.* 3. και οἱ οφθαλμοι αυτου ὡσει λαμπαδες πυρος. *Dan. x.* 6. *Cap. i.* 14. *ii.* 17, 18. *Ps. lxxi.* 11. εις τι τουτο ερωτᾳς το ονομα μου; κ. τ. λ. *Jud. xiii.* 18. *Gen. xxxii.* 29. *Exod. xxiii.* 21. *Ezech. xlviii.* 35.

13 Και περιβεβλημενος ἱματιον βεβαμμενον αἱματι· και κα-
λειται το ονομα αυτου, Ὁ Λογος του Θεου.

διατι σου ερυθρα τα ἱματια, και ενδυματα σου ὡς απο πατητου ληνου; *Esa. lxiii.* 2, 3. εν αἱματι διαθηκης. *Zach. ix.* 11. πηγη σοφιας Λογος Θεου εν ὑψιστοις κ. τ. λ. *Sir. i.* 6. *Comp. Conf. Sap. xviii.* 15. *Joan. i.* 1. 1 *Joan. i.* 1. *v.* 7.

14 Και τα στρατευματα εν τῳ ουρανῳ ηκολουθει αυτῳ εφ'

ἱπποις λευκοις, ενδεδυμενοι βυσσινον λευκον και καθαρον.

και οπισω αυτου ἱπποι—λευκοι. Zach. i. 8. και παντες οἱ ἁγιοι μετ' αυτου. xiv. 5. και σοι προσκυνουσιν αἱ στρατιαι των ουρανων. Neh. ix. 6. Κυριος, Κυριος των στρατιων. *Esa. iii. 14. Ald. Comp. Conf. Matt. xxviii. 3. Cap. iv. 4. Ps. lxvii. 17.*

15 Και εκ του στοματος αυτου εκπορευεται ῥομφαια οξεια, ἱνα
εν αυτῃ παταξῃ τα εθνη, και αυτος ποιμανει αυτους εν ῥαβδῳ
σιδηρᾳ· και αυτος πατει την ληνον του οινου του θυμου και της
οργης του Θεου του παντοκρατορος.

Conf. 2 Thess. ii. 8. ποιμανεις αυτους εν ῥαβδῳ σιδηρᾳ. Ps. ii. 9. Esa. xi. 4. ληνον επατησε Κυριος. *Thren. i. 15. ληνον κατεπατησα μονωτατος. Esa. lxiii. 4. παταξει* Κυριος *παντα τα εθνη. Zach. xiv. 18. και ῥομφαια εν τοις χειλεσιν αυτων. Ps. lviii. 7. Cap. i. 16. ii. 12. xiv. 20.* [*CITAT.* 312.]

16 Και εχει επι το ἱματιον και επι τον μηρον αὐτου το ονομα
γεγραμμενον, Βασιλευς βασιλεων και Κυριος κυριων.

και προσκυνησουσιν αυτῳ παντες οἱ βασιλεις, κ. τ. λ. Ps. lxxi. 11. Θεος *των θεων, και* Κυριος *των κυριων, και βασιλευς των βασιλεων. Dan. iv. 34. LXX. Dan. ii. 47. 1 Tim. vi. 15. Cap. xvii. 14.* [*βασιλευς βασιλεων* Χερξης Εσδρα *ἱερει και αναγνωστῃ του θειου νομου,* Χαιρειν. *Jos. Ant. xi. 5. 1. Conf. Ottium. ad loc.*]

17 Και ειδον ἑνα αγγελον ἑστωτα εν τῳ ἡλιῳ· και εκραξε φωνῃ
μεγαλῃ, λεγων πασι τοις ορνεοις τοις πετωμενοις εν μεσου-
ρανηματι, Δευτε και συναγεσθε εις το δειπνον του μεγαλου
Θεου,

φωνῃ μου προς Κυριον *εκεκραξα. Ps. cxli. 1. επι παντα τα ορνεα του ουρανου. Gen. ix. 2. Ald. Comp.* [*"Signati in convivio (ad convivium) Domini." 4 Esd. ii. 38. Bretschn.*] *Conf. Jer. xii. 9. Esa. xxv. 6. xxxiv. 1-8. και εσονται οἱ νεκροι του λαου τουτου εις βρωσιν τοις πετεινοις του ουρανου. Dan. vii. 33. Conf. 1 Reg. xvii. 46. και τις θεος μεγας ὡς ὁ* Θεος *ἡμων; Ps. lxxvi. 13. Jer. xxxix. 18.*

18 Ἱνα φαγητε σαρκας βασιλεων και σαρκας χιλιαρχων και
σαρκας ισχυρων, και σαρκας ἱππων και των καθημενων επ'
αυτων, και σαρκας παντων ελευθερων και δουλων, και μικρων
και μεγαλων.

ειπον παντι ορνεῳ πετεινῳ—συναχθητε και ερχεσθε, συναχθητε απο παντων των περικυκλῳ επι την θυσιαν μου—και φαγεσθε κρεα, και πιεσθε αἱμα. Κρεα *γιγαντων φαγεσθε, και αἱμα αρχοντων της γης πιεσθε. Ezech. xxxix, 17, 18. CITAT.* 334.

19 Και ειδον το θηριον, και τους βασιλεις της γης και τα
στρατευματα αυτων συνηγμενα ποιησαι πολεμον μετα του
καθημενου επι του ἱππου, και μετα του στρατευματος αυτου.

Conf. Ezech. xxix. 5. Jer. xvi. 4. Dan. vii. 21. παρεστησαν οἱ βασιλεις της γης, κ. τ. λ. *Ps. ii. 2.* Κυριος εκ δεξιων συνεθλασεν εν ἡμερᾳ οργης αυτου βασιλεις. *cix. 5.*

20 Και επιασθη το θηριον, και μετα τουτου ὁ ψευδοπροφητης
ὁ ποιησας τα σημεια ενωπιον αυτου, εν οἱς επλανησε τους
λαβοντας το χαραγμα του θηριου και τους προσκυνουντας τῃ
εικονι αυτου· ζωντες εβληθησαν οἱ δυο εις την λιμνην του πυρος
την καιομενην εν τῳ θειῳ.

επιασθη. *Cant. ii. 15.* το πυρ αυτων ου σβεσθησεται. *Esa. lxvi. 24.* πυρ και θειον. *Ps. x. 7.* τῃ εικονι τῃ χρυσῃ—ου προσκυνουμεν. *Dan. iii. 18. 11. Conf. Esa. xxxiv. 9, 10. Ezech. xxxviii. 22. 2 Thess. ii. 8. Matt. xxiv. 24.* [εν τουτῳ δε χωριῳ τοπος αφωρισται τις λιμνη πυρος ασβεστου κ. τ. λ. *Jos. Frag. apud Ottium. p. 524.*] αιωνιῳ πυρι και βασανοις. *4 Mac. § 12.* και ὑμεις μη ακουετε των ψευδοπροφητων ὑμων κ. τ. λ. *Jer. xxvii. 9. Conf. Deut. xiii. 1-3.* ανῃρεθη το θηριον, και απωλετο, και το σωμα αυτου εδοθη εις καυσιν πυρος. *Dan. vii. 11.*

21 Και οἱ λοιποι απεκτανθησαν εν τῃ ῥομφαιᾳ του καθημενου
επι του ἱππου τῃ εκπορευομενῃ εκ του στοματος αυτου· και
παντα τα ορνεα εχορτασθησαν εκ των σαρκων αυτων.

ὁ παντοδυναμος σου λογος απ' ουρανων εκ θρονων βασιλειων—ξιφος οξυ. *Sap. xviii. 15, 16. Heb. iv. 12.* απεκτειναν εν ῥομφαιᾳ. *Num. xxxi. 8.* και φαγεται τα ορνεα του ουρανου τας σαρκας σου. *Gen. xl. 19. Conf. Ezech. xxxix. 4. Esa. xi. 4. xlix. 2.*

ΚΕΦ. κ. 20.

ΚΑΙ ειδον αγγελον καταβαινοντα εκ του ουρανου, εχοντα
την κλειδα της αβυσσου, και ἁλυσιν μεγαλην επι την
χειρα αυτου.

και δωσω αυτῳ την κλειδα οικου Δαυιδ. *Esa. xxii. 22.* βοθρος ᾁδου. *Sir. xxi. 11.* μιᾳ γαρ ἁλυσει σκοτους παντες εδεθησαν. *Sap. xvii. 17.* τον ἁγιον καταβαινοντα εκ του ουρανου. *Dan. iv. 10. 20. Conf. Ps. lxvii. 20. Job. xli. 23. Luc. viii. 31. Cap. i. 18.*

2 Και εκρατησε τον δρακοντα, τον οφιν τον αρχαιον, ὁς εστι

Διαβολος και Σατανας, και εδησεν αυτον χιλια ετη,

ὁ δε οφις ην φρονιμωτατος παντων των θηριων. *Gen. iii.* 1-14. και εδησεν αυτο (το δαιμονιον) ὁ αγγελος. *Tob. viii.* 3. *Conf. Ps. lxxxix.* 4. 2 *Pet. iii.* 8. εξαγαγειν εκ δεσμων δεδεμενους και εξ οικου φυλακης. *Esa. xlii.* 7. *Conf.* 2 *Pet. ii.* 4. *Juda.* 6. *Cap. xii.* 9. εν τῃ ἡμερᾳ εκεινῃ επαξει ὁ Θεος την μαχαιραν την ἁγιαν, και την μεγαλην, και την ισχυραν επι τον δρακοντα οφιν φευγοντα, επι τον δρακοντα οφιν σκολιον· ανελει τον δρακοντα. *Esa. xxvii.* 1. *Conf. Sir. xxi.* 2. *Sap. ii.* 24. [και εν ἡσυχιᾳ συντριβων (*Messias*) την κεφαλην του δρακοντος δι᾽ ὑδατος. *Test. XII Patr. p.* 696. και ὁ Βελιαρ δεθησεται ὑπ᾽ αυτου, κ. τ. λ. *p.* 587.]

3 Και εβαλεν αυτον εις την αβυσσον, και εκλεισεν αυτον και
εσφραγισεν επανω αυτου, ἱνα μη πλανησῃ τα εθνη ετι, αχρι
τελεσθῃ τα χιλια ετη· και μετα ταυτα δει αυτον λυθηναι
μικρον χρονον.

Conf. Esa. xxix. 11. και ηνεγκαν λιθον, και επεθηκαν επι το στομα του λακκου, και εσφραγισατο. *Dan. vi.* 17.

4 Και ειδον θρονους και εκαθισαν επ᾽ αυτους, και κριμα εδοθη
αυτοις· και τας ψυχας των πεπελεκισμενων δια την μαρτυ-
ριαν Ιησου και δια τον λογον του Θεου, και οἱτινες ου προσεκυ-
νησαν τῳ θηριῳ ουτε τῃ εικονι αυτου, και ουκ ελαβον το χα-
ραγμα επι το μετωπον αὑτων και επι την χειρα αὑτων· και
εζησαν και εβασιλευσαν μετα Χριστου χιλια ετη.

τοις θεοις σου ου λατρευομεν, και τῃ εικονι ᾗ εστησας ου προσκυνουμεν. *Dan. iii.* 18. δος το σημειον επι τα μετωπα των ανδρων. *Ezech. ix.* 4. [περιεστηκεσαν δε τον θρονον αυτου πελεκεις εχοντες ανθρωποι, κ. τ. λ. *Jos. Ant. xi.* 6. 3.] ἡτοιμασεν εν κρισει τον θρονον. *Ps. ix.* 7. *cxxi.* 5. δικαιων δε ψυχαι εν χειρι Θεου. *Sap. iii.* 1. *Conf. Matt. xix.* 28. *Luc. xxii.* 30. *Rom. viii.* 17. 1 *Cor. vi.* 2, 3. 2 *Tim. ii.* 12. εθεωρουν ἑως ὁτου οἱ θρονοι ετεθησαν, και παλαιος ἡμερων εκαθητο, κ. τ. λ. *Dan. vii.* 9. 18. 22. *Cap. xiii.* 16. *xiv.* 9. 11. *xvi.* 2. *xix.* 20.

5 Οἱ δε λοιποι των νεκρων ουκ ανεζησαν ἑως τελεσθῃ τα χιλια
ετη· αὑτη ἡ αναστασις ἡ πρωτη.

Conf. Rom. xi. 15. οἱ δε λοιποι των Ιουδαιων. *Est. ix.* 16. και ετελεσθη το τειχος. *Neh. vi.* 15. *Dan. xii.* 2. *Ezech. xxxvii.* 2-4.

6 Μακαριος και ἁγιος ὁ εχων μερος εν τῃ αναστασει τῃ πρωτῃ·
επι τουτων ὁ θανατος ὁ δευτερος ουκ εχει εξουσιαν, αλλ᾽ εσον-

ται ἱερεις του Θεου και του Χριστου, και βασιλευσουσι μετ᾽ αυτου χιλια ετη.

υμεις δε ἱερεις Κυριου κληθησεσθε. κ. τ. λ. *Esa. lxi.* 6. 1 *Pet. ii.* 9. αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. βασιλευσει Κυριος εις τον αιωνα. *Ps. cxlv.* 10. *Cap. i.* 6. μακαριος ὁ λαος ὁ γινωσκων αλαλαγμον. *Ps. lxxxviii.* 15. *Conf. Dan. xii.* 12. *Sir. xlv.* 22. *Job. xiv.* 14. *xix.* 25-27. *xxxiii.* 24.

7 *Και ὁταν τελεσθῃ τα χιλια ετη, λυθησεται ὁ Σατανας εκ της φυλακης αὐτου,*

ὁταν πληρωθῃ ἑξ ετη. *Jer. xxxiv.* 14. Κυριος λυει πεπεδημενους. *Ps. cxlv.* 7. *Conf. Esa. lx.* 21. *Sap. iii.* 8.

8 *Και εξελευσεται πλανησαι τα εθνη τα εν ταις τεσσαρσι γωνιαις της γης, τον Γωγ και τον Μαγωγ, συναγαγειν αυτους εις πολεμον, ὡν ὁ αριθμος ὡς ἡ αμμος της θαλασσης.*

τον Γωγ και τον Μαγωγ. *Ezech. xxxviii.* 2. *xxxix.* 1, 2. και σπερμα σου ὡς την αμμον της θαλασσης. *Gen. xxxii.* 12. *Esa. x.* 22. *Cap. x.* 14. [*Conf. Jos. Ant. i.* 6. 1.] *Job. i.* 7.

9 *Και ανεβησαν επι το πλατος της γης, και εκυκλωσαν την παρεμβολην των ἁγιων και την πολιν την ηγαπημενην· και κατεβη πυρ απο του Θεου εκ του ουρανου, και κατεφαγεν αυτους·*

εθνος—επορευομενον επι τα πλατα της γης. *Hab. i.* 6. *Conf. Esa. viii.* 8. παρεμβαλει αγγελος Κυριου κυκλῳ των φοβουμενων αυτον. *Ps. xxxiii.* 7. το ορος το Σιων, ὁ ηγαπησε. *lxxvii.* 68. αγαπᾳ Κυριος τας πυλας Σιων. *lxxxvi.* 2. και επεσε πυρ παρα Κυριου εκ του ουρανου, και κατεφαγε κ. τ. λ. 3 *Reg. xviii.* 38.

10 *Και ὁ Διαβολος ὁ πλανων αυτους εβληθη εις την λιμνην του πυρος και θειου, ὁπου το θηριον και ὁ ψευδοπροφητης· και βασανισθησονται ἡμερας και νυκτος εις τους αιωνας των αιωνων.*

πυρος και θειου. *Gen. xix.* 24. *Ezech. xxxviii.* 22. εν οργῃ κρινομενοι ασεβεις εβασανιζοντο. *Sap. xi.* 9. *Conf. Dan. vii.* 11. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον· πειραζουσι δε αυτον οἱ της εκεινου μεριδος οντες. *Sap. ii.* 24. ὁ γαρ σκωληξ αυτων ου τελευτησει, και το πυρ αυτων ου σβεσθησεται, κ. τ. λ. *Esa. lxvi.* 24. εν αιωνιῳ βασανισμῳ. 4 *Mac.* § 13.

11 *Και ειδον θρονον λευκον μεγαν, και τον καθημενον επ᾽ αυτου, οὑ απο προσωπου εφυγεν ἡ γη και ὁ ουρανος, και τοπος ουχ εὑρεθη αυτοις.*

και τοπος ουχ εὑρεθη αυτοις. Dan. ii. 35. Conf. 2 Pet. iii. 10. Cap. xii. 8. και ειδον τον Κυριον καθημενον επι θρονου ὑψηλου κ. τ. λ. Esa. vi. 1. Ps. ix. 7. ἡ θαλασσα ειδε και εφυγε, κ. τ. λ. Ps. cxiii. 3-5. Jer. iv. 23-25. Matt. v. 18.

12 Και ειδον τους νεκρους μικρους και μεγαλους ἑστωτας ενωπιον του Θεου, και βιβλια ηνεῳχθησαν· και βιβλιον αλλο ηνεῳχθη, ὁ εστι της ζωης· και εκριθησαν οἱ νεκροι εκ των γεγραμμενων εν τοις βιβλιοις κατα τα εργα αυτων.

και πολλοι των καθευδοντων εν γης χωματι εξεγερθησονται κ.τ.λ. Dan. xii. 2. κατα τα εργα αυτων. κατα τα εργα αυτης. Ps. xxvii. 4. lxii. 12. μικροι και μεγαλοι. Jer. xxxviii. 34. και βιβλοι ηνεῳχθησαν. Dan. vii. 10. και εγραψε βιβλιον μνημοσυνου. Mal. iii. 16. Jer. xvii. 10. Exod. xxxii. 32. Matt. xvi. 27. Rom. ii. 6. 1 Cor. iii. 8. Gal. vi. 5. εκ των γεγραμμενων. Ita, εκ του κληρου μεριεις την κληρονομιαν. Num. xxvi. 56. Matt. xii. 37. Luc. xix. 22. παντα τα γεγραμμενα εν τῳ βιβλιῳ τουτῳ. Jer. xxv. 13. Conf. Phil. iv. 3. Cap. iii. 5. CITAT. 335.

13 Και εδωκεν ἡ θαλασσα τους εν αυτῃ νεκρους, και ὁ θανατος και ὁ ᾁδης εδωκαν τους εν αυτοις νεκρους· και εκριθησαν ἑκαστος κατα τα εργα αὑτων.

και ανακαλυψει ἡ γη το αἱμα αυτης, και ου κατακαλυψει τους ανῃρημενους. Esa. xxvi. 21. και γνωθι ὁτι επι πασι τουτοις αξει σε ὁ Θεος εν κρισει. Eccles. xi. 9.

14 Και ὁ θανατος και ὁ ᾁδης εβληθησαν εις την λιμνην του πυρος· οὑτος εστιν ὁ δευτερος θανατος.

Conf. 1 Cor. xv. 26-55. Cap. ii. 11. εκ λακκου ουκ εχοντος ὑδωρ. Zach. ix. 11. που ἡ δικη σου θανατε; που το κεντρον σου ᾁδη; Ose. xiii. 14. ᾁδης και απωλεια φανερα παρα Κυριου. Prov. xv. 11.

15 Και ειτις ουχ εὑρεθη εν τῃ βιβλιῳ της ζωης γεγραμμενος, εβληθη εις την λιμνην του πυρος·

ἁγιοι κληθησονται παντες οἱ γραφεντες εις ζωην εν Ἱερουσαλημ. Esa. iv. 3. εν τῳ καιρῳ εκεινῳ σωθησεται ὁ λαος σου πας ὁ γεγραμμενος εν τῃ βιβλῳ. Dan. xii. 1. εμβαλειν εις τον καμινον του πυρος τον καιομενην. iii. 30. Conf. Matt. xxii. 13. εξαλειφθητωσαν εκ βιβλου ζωντων, και μετα δικαιων μη γραφητωσαν. Ps. lxviii. 28. xxi. 30. Sym. [επι τους ασεβεις επαξει Κυριος πυρ' αιωνιον. Test. XII Patr. p. 645.] Job. xxi. 30. τις αναγγελει ὑμιν, ὁτι πυρ καιεται; τις αναγγελει ὑμιν τον τοπον τον αιωνιον; Esa. xxxiii. 14.

ΚΕΦ. κα. 21.

ΚΑΙ ειδον ουρανον καινον και γην καινην· ὁ γαρ πρωτος ουρανος και ἡ πρωτη γη παρηλθε, και ἡ θαλασσα ουκ εστιν ετι.

εσται γαρ ὁ ουρανος καινος, και ἡ γη καινη, και ου μη μνησθωσι των προτερων. Esa. lxv. 17. lxvi. 22. Conf. 2 Pet. iii. 13. Matt. v. 18. Rom. viii. 19. Ps. ci. 26. CITAT. 336.

2 Και εγω Ιωαννης ειδον την πολιν την ἁγιαν, Ἱερουσαλημ καινην καταβαινουσαν απο του Θεου εκ του ουρανου, ἡτοιμασμενην ὡς νυμφην κεκοσμημενην τῳ ανδρι αὑτης.

Ἱερουσαλημ πολις ἡ ἁγια. Esa. lii. 1. Joel. iii. 17-21. Sap. xiii. 3. ἑτοιμαζου εις καταντησιν Θεου σου. Amos. iv. 12. Theod. Conf. Esa. lx. 10. 2 Cor. xi. 2. Gal. iv. 26. Heb. xi. 10. xii. 22. ὁτι επεθυμησεν ὁ βασιλευς του καλλους σου, ὁτι αυτος εστιν ὁ Κυριος σου. κ. τ. λ. Ps. xliv. 11-15. ενεδυσε γαρ με ἱματιον σωτηριου, και χιτωνα ευφροσυνης, ὡς νυμφιῳ περιεθηκε μοι μιτραν, και ὡς νυμφην κατεκοσμησε με κοσμῳ. Esa. lxi. 10.

3 Και ηκουσα φωνης μεγαλης εκ του ουρανου λεγουσης, Ιδου, ἡ σκηνη του Θεου μετα των ανθρωπων, και σκηνωσει μετ᾽ αυτων· και αυτοι λαοι αυτου εσονται, και αυτος ὁ Θεος εσται μετ᾽ αυτων, Θεος αυτων.

εν οἱς κατεσκηνωσῃ το ονομα μου εν μεσῳ οικου Ισραηλ τον αιωνα. Ezech. xliii. 7. εσκηνωσεν εν ἡμιν. Joan. i. 14. και εσομαι ὑμιν Θεος, και ὑμεις εσεσθε μοι λαος. Lev. xxvi. 12. μεθ᾽ ἡμων ὁ Θεος. Esa. viii. 8. Joan. xiv. 23. και εσται ἡ κατασκηνωσις μου εν αυτοις, και εσομαι αυτοις Θεος, και αυτοι μου εσονται λαος. Ezech. xxxvii. 27. CITAT. 337.

4 Και εξαλειψει ὁ Θεος παν δακρυον απο των οφθαλμων αυτων, και ὁ θανατος ουκ εσται ετι, ουτε πενθος ουτε κραυγη ουτε πονος ουκ εσται ετι· ὁτι τα πρωτα απηλθον.

αφειλε Κυριος ὁ Θεος παν δακρυον απο παντος προσωπου, κ. τ. λ. Esa. xxv. 8. Ezech. ix. 4. Esa. lxi. 3. lxv. 16-19. Cap. vii. 17. ὁταν βασιλευς δικαιος καθισῃ επι θρονου, ουκ εναντιουται εν οφθαλμοις αυτου παν πονηρον. Prov. xx. 8. ὁτι ὁ Θεος εκτισε τον ανθρωπον επ᾽ αφθαρσιᾳ, κ. τ. λ. Sap. ii. 23, 24. απεδρα οδυνη και λυπη και στεναγμος. Esa. xxxv. 10. [CITAT. 320.]

5 Και ειπεν ὁ καθημενος επι του θρονου, Ιδου, καινα παντα
ποιω. Και λεγει μοι, Γραψον, ὁτι οὑτοι οἱ λογοι αληθινοι και
πιστοι εισι.

ιδου εγω ποιω καινα. Esa. xliii. 19. lxvi. 22. Cap. v. 17. και οἱ λογοι σου εσονται αληθινοι. 2 Reg. vii. 28. Conf. 2 Cor. v. 17. Cap. iv. 2. 9. CITAT. 338.

6 Και ειπε μοι, Γεγονε· εγω ειμι το Α και το Ω, ἡ αρχη και
το τελος. εγω τῳ διψωντι δωσω εκ της πηγης του ὑδατος
της ζωης δωρεαν·

εγω Θεος πρωτος και εις τα επερχομενα εγω ειμι. Esa. xli. 4. xliv. 6. οἱ διψωντες πορευεσθε εφ' ὑδωρ. lv. 1. Joan. iv. 10. 1 Tim. ii. 4. Cap. i. 8. ὑδωρ ζωης. Gen. xxi. 19. xxvi. 19. τετελεσται. Joan. xix. 30. Conf. cap. xvi. 17. αντλησατε ὑδωρ εκ των πηγων του σωτηριου. Esa. xii. 3. Conf. Zach. xiv. 8. Jer. ii. 13. CITAT. 339.

7 Ὁ νικων κληρονομησει παντα, και εσομαι αυτῳ Θεος, και
αυτος εσται μοι ὁ υἱος.

και κληρονομησουσιν οἱ εκλεκτοι μου. Esa. lxv. 9. ὁ νικων. Conf. cap. iii. 26. και εσομαι αυτοις εις Θεον, και αυτοι εσονται μοι εις λαον. Jer. xxxviii. 33. 2 Reg. vii. 14. Zach. viii. 8. Heb. viii. 10. Conf. 1 Joan. iii. 1. Ose. i. 10. CITAT. 340.

8 Δειλοις δε και απιστοις, και εβδελυγμενοις, και φονευσι, και
πορνοις, και φαρμακευσι, και ειδωλολατραις, και πασι τοις
ψευδεσι, το μερος αυτων εν τῃ λιμνῃ τῃ καιομενῃ πυρι και
θειῳ, ὁ εστι δευτερος θανατος.

δειλοις. Jud. ix. 4. πας ὁ φιλων και ποιων ψευδος. Cap. xxii. 15. λογισμοι δειλοι. Sap. ix. 14. ἱνα μη πλησθεις ψευδης γενωμαι. Prov. xxx. 9. αὑτη ἡ μερις των προνομευσαντων ὑμας. Esa. xvii. 14. πυρ και θειον. Ps. x. 7. Esa. lxvi. 24. οἱ εβδελυγμενοι. Ose. ix. 10. [την μητερα αυτου φαρμακον και πορνην αποκαλεσαι. Jos. Ant. ix. 6. 3.] Conf. 1 Cor. vi. 9. Gal. v. 21. Ephes. v. 5. 1 Tim. i. 9. Cap. xx. 14. Conf. Joan. vi. 20. xi. 26.

9 Και ηλθε προς με εἱς των ἑπτα αγγελων των εχοντων τας
ἑπτα φιαλας τας γεμουσας των ἑπτα πληγων των εσχατων,
και ελαλησε μετ' εμου λεγων, Δευρο, δειξω σοι την νυμφην του
Αρνιου την γυναικα.

εἱς εκ των ἑπτα ἁγιων αγγελων. Tob. xii. 15. Conf. sup. cap. xvii. 1. ελαλησε, λεγων. Gen. xlii. 22. Exod. xxxi. 12. et pass. Conf. cap. xv. 1. xix. 7. και μνηστευσομαι σε εμαυτῳ εις τον αιωνα, κ. τ. λ. Ose. ii. 19. Conf. Rom. vii. 4. Ephes. v. 31, 32. Ps. xliv. 11.

10 Και απηνεγκε με εν πνευματι επ' ορος μεγα και ὑψηλον, και εδειξε μοι την πολιν την μεγαλην την ἁγιαν Ἱερουσαλημ καταβαινουσαν εκ του ουρανου απο του Θεου,

και ηγαγε με εν ὁρασει Θεου εις την γην Ισραηλ, και εθηκε με επ' ορος ὑψηλον σφοδρα, κ. τ. λ. Ezech. xl. 1, 2. Conf. Esa. lii. 1. Exod. xxv. Matt. iv. 1. 8. 3 Reg. xviii. 12. Ezech. iii. 14.

11 Εχουσαν την δοξαν του Θεου· και ὁ φωστηρ αυτης ὁμοιος λιθῳ τιμιωτατῳ, ὡς λιθῳ ιασπιδι κρυσταλλιζοντι·

και οἱ συνιεντες λαμψουσιν ὡς ἡ λαμπροτης του στερεωματος, κ. τ. λ. Dan. xii. 3. ὡς ὁρασις κρυσταλλου. Ezech. i. 22. χρυσιου και λιθου τιμιου. 2 Reg. xii. 25. Conf. Esa. iv. 5. lx. 19.

12 Εχουσαν τε τειχος μεγα και ὑψηλον, εχουσαν πυλωνας δωδεκα, και επι τοις πυλωσιν αγγελους δωδεκα, και ονοματα επιγεγραμμενα, ἁ εστι των δωδεκα φυλων των υἱων Ισραηλ.

πυλωνας δωδεκα. Conf. Ezech. xlviii. 31-34. αἱ πυλαι της πολεως επ' ονομασι φυλων του Ισραηλ. κ. τ. λ. Conf. Ps. xlvii. 12. l. 18. cxxi. 7. Esa. xxvi. 1. CITAT. 341.

13 Απ' ανατολης πυλωνες τρεις, απο βορῥα πυλωνες τρεις, απο νοτου πυλωνες τρεις, απο δυσμων πυλωνες τρεις.

πυλωνες. 3 Reg. xvii. 10. 1 Par. xix. 9. Job. xxxvii. 22.

14 Και το τειχος της πολεως εχον θεμελιους δωδεκα, και εν αυτοις ονοματα των δωδεκα αποστολων του Αρνιου.

Conf. Matt. xvi. 18. Ephes. ii. 19, 20. Gal. ii. 9.

15 Και ὁ λαλων μετ' εμου ειχε καλαμον χρυσουν, ἱνα μετρηση την πολιν και τους πυλωνας αυτης και το τειχος αυτης.

και μετρησεις εξω της πολεως το κλιτος. Num. xxxv. 5. Ezech. xl. 3. xlii. 16-18. και ιδου ανηρ—και εν τῃ χειρι αυτου σχοινιον γεωμετρικον. Zach. ii. 1. ἱνα, pro relativo. Esd. vii. 25. Dan. v. 15.

16 Και ἡ πολις τετραγωνος κειται, και το μηκος αυτης τοσουτον εστιν ὁσον και το πλατος. και εμετρησε την πολιν τῳ καλαμῳ επι σταδιων δωδεκα χιλιαδων· το μηκος και το πλατος και το ὑψος αυτης ισα εστι.

και διεμετρησε το προτειχισμα, πλατος ισον τῳ καλαμῳ, και το ὑψος αυτου ισον τῳ καλαμῳ. Ezech. xl. 5-8. 12. xlii. 16. xliii. 14. της δε εχθρας επι τοσουτον προβαινουσης. 2 Mac. iv. 3. τετρα-

γωνον επι τα τεσσαρα μερη αυτου. *Ezech. xliii.* 16. *Conf. xlviii.* 8-19. *Exod. xxx.* 2. *Gen. vi.* 15. 2 *Mac. xii.* 16. *Ephes. iii.* 18.

17 Και εμετρησε το τειχος αυτης ἑκατον τεσσαρακοντα τεσσαρων πηχων, μετρον ανθρωπου, ὁ εστιν αγγελου.

18 Και ην ἡ ενδομησις του τειχους αυτης ιασπις· και ἡ πολις χρυσιον καθαρον ὁμοια ὑαλῳ καθαρῳ.

ουκ ισωθησεται αυτῃ χρυσιον και ὑαλος. *Job. xxviii.* 17. κρυσταλλος. *Alex.* και θησω τας επαλξεις σου ιασπιν κ. τ. λ. *Esa. liv.* 12. ενδομησις. *Conf. Jos. Ant. xv.* 9. 6.]

19 Και οἱ θεμελιοι του τειχους της πολεως παντι λιθῳ τιμιῳ κεκοσμημενοι· ὁ θεμελιος ὁ πρωτος ιασπις, ὁ δευτερος σαπφειρος, ὁ τριτος χαλκηδων, ὁ τεταρτος σμαραγδος,

και εκοσμησε τον οικον λιθοις τιμιοις. 2 *Par. iii.* 6. ιασπις. *Exod. xxviii.* 18. σμαραγδος. 17. *Conf. Esa. xxviii.* 16. *Conf. Exod. xxiv.* 10. οικοδομησεται Ἱερουσαλημ σαφειρῳ και σμαραγδῳ, και λιθῳ εντιμῳ τα τειχη σου, κ. τ. λ. *Tob. xiii.* 16, 17. οἱ θεμελιοι αυτου εν τοις ὁρεσι τοις ἁγιοις κ. τ. λ. *Ps. lxxxvi.* 1. [λιθων στιχος εσται, σαρδιον, τοπαζιον, και σμαραγδος. ὁ στιχος ὁ εἱς, Ῥουβιμ, Συμεων, Λευι, κ. τ. λ. *Philo* 1 *Alleg. p.* 42. *Edit. Col.*] ιδου εγω ἑτοιμαζω σοι ανθρακα τον λιθον σου, και τα θεμελια σου σαπφειρον κ. τ. λ. *Esa. liv.* 11, 12. *Job. xxviii.* 16. [*Conf. Jos. Ant. iii.* 7. 5.] *CITAT.* 342.

20 Ὁ πεμπτος σαρδονυξ, ὁ ἑκτος σαρδιος, ὁ ἑβδομος χρυσολιθος, ὁ ογδοος βηρυλλος, ὁ εννατος τοπαζιον, ὁ δεκατος χρυσοπρασος, ὁ ενδεκατος ὑακινθος, ὁ δωδεκατος αμεθυστος.

σαρδονυχιον. *Job. xxviii.* 16. *ex var. interpp.* σαρδιος. *Exod. xxviii.* 17. χρυσολυθος. 20. βηρυλλος. *Id.* τοπαζιον. 17. ὑακινθος. *Ald.* αμεθυστος. 19.

21 Και οἱ δωδεκα πυλωνες, δωδεκα μαργαριται· ανα εἱς ἑκαστος των πυλωνων ην εξ ἑνος μαργαριτου. και ἡ πλατεια της πολεως χρυσιον καθαρον ὡς ὑαλος διαφανης.

ανα εἱς. *Luc. ix.* 3. *Conf. Esa. vi.* 2, 3. *Matt. xiii.* 45. κρυσταλλος διαφανης. *Job. xxviii.* 17. *Sym. Gen. vi.* 16. *Sym.* και αντι χαλκου οισω σοι χρυσιον, αντι δε σιδηρου οισω σοι αργυριον, κ. τ. λ. *Esa. lx.* 17, 18.

22 Και ναον ουκ ειδον εν αυτῃ· ὁ γαρ Κυριος ὁ Θεος ὁ παντοκρατωρ ναος αυτης εστι, και το Αρνιον.

Conf. Joan. iv. 23. και το ονομα της πολεως, αφ᾽ ἡς αν ἡμερας γενηται, ΕΣΤΑΙ το ονομα αυτης. *Ezech. xlviii.* 35. *Conf. cap. iii.* 12. *xxii.* 4. Κυριος παντοκρατωρ. 2 *Reg. v.* 10. *vii.* 8. 26. *et alibi sæpius.* εγω Κυριος ὁ Θεος, τουτο μου εστι το ονομα. *Esa. xlii.* 8. *CITAT.* 343.

23 Και ἡ πολις ου χρειαν εχει του ἡλιου ουδε της σεληνης, ἱνα φαινωσιν εν αυτῃ· ἡ γαρ δοξα του Θεου εφωτισεν αυτην, και ὁ λυχνος αυτης το Αρνιον·

ου χρειαν εχεις. *Ps. xv.* 2. ὁ ἡλιος ου συγκαυσει σε, ουδε ἡ σεληνη την νυκτα. *cxx.* 6. εσται μιαν ἡμεραν, και ἡ ἡμερα εκεινη γνωστη τῳ Κυριῳ, και ουχ ἡμερα και ου νυξ, και προς ἑσπεραν εσται φως. *Zach. xiv.* 7. και εστω ἡ λαμπροτης Κυριου του Θεου ἡμων εφ᾽ ἡμας, κ. τ. λ. *Ps. lxxxix.* 17. και ουκ εσται σοι ετι ὁ ἡλιος εις φως ἡμερας, ουδε ανατολη σεληνης φωτιει σου την νυκτα, κ. τ. λ. *Esa. lx.* 19. *xlix.* 10. *Mal. iv.* 2. *Cap. xxii.* 5. *Joan. v.* 35. *CITAT.* 344.

24 Και τα εθνη των σωζομενων εν τῳ φωτι αυτης περιπατησουσι· και οἱ βασιλεις της γης φερουσι την δοξαν και την τιμην αὑτων εις αυτην·

βουλευσασθε ἁμα, οἱ σωζομενοι απο των εθνων. *Esa. xlv.* 20. *ii.* 2. και πορευσονται βασιλεις τῳ φωτι σου, και εθνη τῃ λαμπροτητι σου. *lx.* 3. *lxvi.* 12. 18. *xlix.* 23. *Ps. lxxi.* 9-11. *Tob. xiii.* 11. *Matt. ii.* 11. *CITAT.* 345.

25 Και οἱ πυλωνες αυτης ου μη κλεισθωσιν ἡμερας, νυξ γαρ ουκ εσται εκει·

και ου νυξ. *Zach. xiv.* 7. ου γαρ δυσεται ὁ ἡλιος κ. τ. λ. *Esa. lx.* 20. και ανοιχθησονται αἱ πυλαι σου διαπαντος, ἡμερας και νυκτος ου κλεισθησονται. 11. *CITAT.* 346.

26 Και οισουσι την δοξαν και την τιμην των εθνων εις αυτην.

27 Και ου μη εισελθῃ εις αυτην παν κοινουν και ποιουν βδελυγμα και ψευδος, ει μη οἱ γεγραμμενοι εν τῳ βιβλιῳ της ζωης του Αρνιου.

ου μη παρελθῃ εκει ακαθαρτος. κ. τ. λ. *Esa. xxxv.* 8. *lii.* 1. *lx.* 18. *Joel. iii.* 18. ὁ γεγραμμενος εν τῃ βιβλῳ. *Dan. xii.* 1. *Ps. xxi.* 30. *Sym. lxviii.* 28. *Phil. iv.* 3. *Exod. xxxii.* 32. *Cap. iii.* 5. εν τῳ οικῳ μου εποιησε βδελυγμα. *Jer. xi.* 15. πας υἱος αλλογενης απεριτμητος καρδιᾳ και απεριτμητος σαρκι ουκ εισελευσεται εις τα ἁγια μου κ. τ. λ. *Ezech. xliv.* 9. *CITAT.* 347.

ΚΕΦ. κβ. 22.

ΚΑΙ εδειξε μοι καθαρον ποταμον ὑδατος ζωης λαμπρον ὡς κρυσταλλον, εκπορευομενον εκ του θρονου του Θεου και του Αρνιου.

εξελευσεται ὑδωρ ζων εξ Ἱερουσαλημ. *Zach. xiv.* 8. *Ezech. xlvii.* 1. ὡς ὁρασις κρυσταλλου. *i.* 22. *Conf. Joan. iv.* 10-15. *Cap. iv.* 6. του ποταμου τα ὁρμηματα ευφραινουσι την πολιν του Θεου, ἡγιασε το σκηνωμα αυτου ὁ ὑψιστος. *Ps. xlv.* 4. *xxxv.* 8. *Esa. xli.* 18. *xlviii.* 18. *lxvi.* 12.

2 Εν μεσῳ της πλατειας αυτης και του ποταμου εντευθεν και εντευθεν ξυλον ζωης, ποιουν καρπους δωδεκα, κατα μηνα ἑνα ἑκαστον αποδιδουν τον καρπον αὑτου· και τα φυλλα του ξυλου εις θεραπειαν των εθνων.

εντευθεν και εντευθεν. *Ezech. xl.* 34. 37. και ξυλον καρπιμον ποιουν καρπον. *Gen. i.* 11, 12. εκ καρπου δικαιοσυνης φυεται δενδρον ζωης. *Prov. xi.* 30. *xv.* 4. και εσται ὁ καρπος αυτων εις βρωσιν, και αναβασις αυτων εις ὑγιειαν. *Ezech. xlvii.* 12. *Conf. Gen. ii.* 9. *Cap. ii.* 7. και ιασις εν ταις πτερυξιν αυτου. *Mal. iv.* 2. [κατα την επιουσαν ἡμεραν. *Jos. Ant. vi.* 5. 3.] και ιδου επι του χειλους του ποταμου δενδρα πολλα σφοδρα ενθεν και ενθεν. και ειπε προς με, Το ὑδωρ τουτο το εκπορευομενον εις την Γαλιλαιαν—και ὑγιασει τα ὑδατα—παν εφ' ὁ αν ελθῃ ὁ ποταμος εκει, ζησεται. *Ezech. xlvii.* 7, 8, 9. ιασαι με Κυριε, και ιαθησομαι, κ. τ. λ. *Jer. xvii.* 14. ὁ ιωμενος τους συντετριμμενους την καρδιαν, κ. τ. λ. *Ps. cxlvi.* 3. *Conf. Esa. vi.* 10. *Jer. iii.* 22. *viii.* 22. *Ose. xi.* 3.

3 Και παν καταναθεμα ουκ εσται ετι· και ὁ θρονος του Θεου και του Αρνιου εν αυτῃ εσται, και οἱ δουλοι αυτου λατρευσουσιν αυτῳ.

και αναθεμα ουκ εσται ετι. *Zach. xiv.* 11. *Conf. Esa. xi.* 13. *Mal. iv.* 1. εν ουρανῳ ὁ θρονος αυτου. *Ps. x.* 5. αγαλλιασθε και ευφραινεσθε οἱ κατοικουντες Σιων, ὁτι ὑψωθη ὁ ἁγιος του Ισραηλ εν μεσῳ αυτης. *Esa. xii.* 6. *Ezech. xlviii.* 35. ὁ Θεος σου ᾡ συ λατρευεις ενδελεχως. *Dan. vi.* 16. *CITAT.* 348.

4 Και οψονται το προσωπον αυτου, και το ονομα αυτου επι των μετωπων αυτων.

εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου. Ps. xvi. 15. και εσται επι του μετωπου κ. τ. λ. Exod. xxviii. 34. Ezech. ix. 4. [το σημειον απολειας επι του μετωπου αυτων—το σημειον του Θεου επι δικαιους εις σωτηριαν. Psalt. Sal. xv. 10.] Conf. Matt. v. 8. 1 Cor. xiii. 12. 1 Joan. iii. 2. Cap. iii. 12. Esa. lxiii. 16.

5 Και νυξ ουκ εσται εκει, και χρειαν ουκ εχουσι λυχνου και φωτος ἡλιου, ὁτι Κυριος ὁ Θεος φωτιζει αυτους· και βασιλευσουσιν εις τους αιωνας των αιωνων.

ὁτι συ—φωτιεις το σκοτος μου. Ps. xvii. 28. εν τῳ φωτι σου οψομεθα φως. xxxv. 9. Rom. v. 17. 2 Tim. ii. 12. ἡ βασιλεια αυτου βασιλεια αιωνιος. Dan. iii. 34. vii. 26. τιμησατε σοφιαν, ἱνα εις τον αιωνα βασιλευσητε. Sap. vi. 21. Conf. cap. xxi. 23. φωτιζεις συ θαυμαστως απο ορεων αιωνιων. Ps. lxxv. 4. καλλος ουρανου, δοξα αστρων, κοσμος φωτιζων, εν ὑψιστοις Κυριος. Sir. xliii. 9. Conf. Num. viii. 3. ου γαρ δυσεται ὁ ἡλιος σοι, και ἡ σεληνη σοι ουκ εκλειψει· εσται γαρ σοι Κυριος φως αιωνιον, κ. τ. λ. Esa. lx. 20. Sap. iii. 8. Joel. iii. 17-21.

6 Και ειπε μοι, Οὑτοι οἱ λογοι πιστοι και αληθινοι· και Κυριος ὁ Θεος των ἁγιων προφητων απεστειλε τον αγγελον αὑτου δειξαι τοις δουλοις αὑτου ἁ δει γενεσθαι εν ταχει.

οἱ λογοι σου εσονται αληθινοι. 2 Reg. vii. 28. Dan. vi. 12. απεστειλε τον αγγελον αυτου. iii. 28. vi. 22. εν ταχει. Ezech. xxix. 5. Deut. ix. 3. Conf. Luc. i. 19. Cap. i. 1. xix. 9. Κυριος ὁ Θεος. Cap. xxi. 22. Conf. 3 Reg. xviii. 39. Θεος, Θεος, των πνευματων και πασης σαρκος. Num. xvi. 22. = Ἱερεμιας ὁ του Θεου προφητης. 2 Mac. xv. 14. και επι παντων των ἁγιων του Θεου, Σαμουηλ του προφητου, και Σαουλ, κ. τ. λ. 1 Par. xxvi. 28. Cap. i. 1.

7 Ιδου ερχομαι ταχυ. μακαριος ὁ τηρων τους λογους της προφητειας του βιβλιου τουτου.

Conf. Esa. li. 5. Hab. ii. 3. μακαριος ανηρ ὁ ποιων ταυτα. Esa. lvi. 2. Ps. lxxxviii. 15. Conf. 4 Reg. xxiii. 2.

8 Και εγω Ιωαννης ὁ βλεπων ταυτα και ακουων· και ὁτε ηκουσα και εβλεψα, επεσα προσκυνησαι εμπροσθεν των ποδων του αγγελου του δεικνυοντος μοι ταυτα.

ὁς αν μη πεσων προσκυνησῃ. Dan. iii. 6. Conf. Act. x. 26. xiv. 14. Cap. xix. 10. εμπροσθεν. Conf. 2 Par. v. 6.

9 Και λεγει μοι, Ὁρα μη· συνδουλος σου γαρ ειμι και των

αδελφων σου των προφητων, και των τηρουντων τους λογους
του βιβλιου τουτου. τῳ Θεῳ προσκυνησον.

Conf. cap. iv. 10. *ix.* 20. οἱ λογοι του βιβλιου τουτου. *Esa. xxix.* 11. ου γαρ μη προσκυνησετε θεοις ἑτεροις κ. τ. λ. *Exod. xxxiv.* 14. ὁρα. *xxv.* 40. συνδουλοι. *Esd. iv.* 7. 9. *Conf.* 2 *Par. xvii.* 19.

10 Και λεγει μοι, Μη σφραγισῃς τους λογους της προφητειας
του βιβλιου τουτου· ὁτι ὁ καιρος εγγυς εστιν.

σφραγισον την ὁρασιν. *Dan. viii.* 26. *xii.* 4. σφραγισαι ἁμαρτιας. *ix.* 24. *Job. xiv.* 17. ὁτι εγγυς ἡ ἡμερα Κυριου. *Joel. i.* 15. *Esa. xiii.* 6. *Sophon. i.* 7. *Ezech. xii.* 23. *Cap. i.* 3. *Rom. xiii.* 12.

11 Ὁ αδικων αδικησατω ετι, και ὁ ῥυπων ῥυπωσατω ετι· και
ὁ δικαιος δικαιωθητω ετι, και ὁ ἁγιος ἁγιασθητω ετι.

ὁ ακουων ακουετω, και ὁ απειθων απειθειτω. *Ezech. iii.* 27. *Conf.* 2 *Reg. xxii.* 27. *Ps. xvii.* 26. ὁτι εκπλυνει Κυριος τον ῥυπον των υἱων Σιων. *Esa. iv.* 4. [ῥυπαρα επιθυμια. *Act. Thom. c.* 13.] εν κακιᾳ αυτου απωσθησεται ασεβης. *Prov. xiv.* 32. *Ps. lxxx.* 12. *Conf.* 2 *Tim. iii.* 13. και ἁγιασθωσι πολλοι, και ανομησωσιν ανομοι, και ου συνησουσι παντες ανομοι, κ. τ. λ. *Dan. xii.* 10. *Conf. Ose. xiv.* 9. *Jer. xv.* 2. *Eccles. ix.* 10. *xi.* 3.

12 Και ιδου, ερχομαι ταχυ, και ὁ μισθος μου μετ᾽ εμου απο-
δουναι ἑκαστῳ ὡς το εργον αυτου εσται.

ιδου ὁ σωτηρ εχων τον ἑαυτου μισθον μετ᾽ αυτου. *Esa. lxii.* 11. ιδου, ὁ μισθος αυτου μετ᾽ αυτου. *xl.* 10. *Sap. v.* 15. *Rom. ii.* 8-10. *xiv.* 12. 1 *Pet. i.* 17. *Cap. xx.* 12. αποδουναι αυτοις κατα την κρισιν αυτου. *Sir. xxxvi.* 13. *Ps. lxi.* 12. *CITAT.* 349.

13 Εγω ειμι το Α και το Ω, αρχη και τελος, ὁ πρωτος και ὁ
εσχατος.

Εγω Θεος πρωτος, και εις τα επερχομενα Εγω Ειμι. *Esa. xli.* 4. *xliv.* 6. *Cap. i.* 8. 11. 17. [ὁ λογος Θεου κεφαλη και τελος. *Philo de Somn.*] [*Citat.* 310.]

14 Μακαριοι οἱ ποιουντες τας εντολας αυτου, ἱνα εσται ἡ εξου-
σια αυτων επι το ξυλον της ζωης, και τοις πυλωσιν εισελθωσιν
εις την πολιν.

μακαριος ὁ ὑπομενων. *Dan. xii.* 12. μακαριοι οἱ φυλασσοντες κρισιν, κ. τ. λ. *Ps. cv.* 3. *cxi.* 1. φυλασσεσθαι και ποιειν πασας τας εντολας Κυριου. *Neh. x.* 29. 1 *Joan. iii.* 24. *Joan. x.* 7. 9. *Conf. Esa. lxvi.* 11. *Cap. ii.* 7. το ξυλον της ζωης. *Gen. ii.* 9. *Ezech. xxxi.* 8. *Num. xv.* 40. *Ps. cxxi.* 2.

15 Εξω δε οἱ κυνες, και οἱ φαρμακοι, και οἱ πορνοι, και οἱ φο-
νεις, και οἱ ειδωλολατραι, και πας ὁ φιλων και ποιων ψευδος.

κυνες. *Phil. iii.* 2. *Esa. lvi.* 10, 11. *Jer. xv.* 3. αγαπατε—και ζητειτε ψευδος. *Ps. iv.* 3. αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. *Sap. xiv.* 12. ηλπισατε επι ψευδει. *Esa. xxx.* 12. ανδρος φιλουντος σοφιαν. *Prov. xxix.* 3. *Conf.* 1 *Cor. vi.* 10. *Ephes. v.* 5. *Col. iii.* 6. *Gal. v.* 19. ου προσοισεις μισθωμα πορνης, ουδε αλλαγμα κυνος εις τον οικον Κυριου του Θεου κ. τ. λ. *Deut. xxiii.* 18. *Conf. Matt. vii.* 6. ἡ γαρ των ανωνυμων ειδωλων θρησκεια παντος αρχη κακου και αιτια και περας εστι. *Sap. xiv.* 27. *Esa. xlvii.* 12. *lvii.* 3-8.

16 Εγω Ιησους επεμψα τον αγγελον μου μαρτυρησαι ὑμιν
ταυτα επι ταις εκκλησιαις· εγω ειμι ἡ ῥιζα και το γενος του
Δαβιδ, ὁ αστηρ ὁ λαμπρος και ορθρινος.

Conf. cap. i. 1. και εξελευσεται ῥαβδος εκ της ῥιζης Ιεσσαι. *Esa. xi.* 1. 10. *liii.* 2. *Conf.* 1 *Mac. i.* 10. *Job. xxxi.* 8. *Ezech. xvi.* 3. ὡς αστηρ ἑωθινος εν μεσῳ νεφελης. *Sir. l.* 6. ανατελει αστρον εξ Ιακωβ. *Num. xxiv.* 17. *Sir. xlviii.* 1. *Mal. iv.* 1. *Conf. Rom. xv.* 12. 2 *Pet. i.* 19. *Zach. vi.* 12. και εστω ἡ λαμπροτης Κυριου του Θεου ἡμων εφ' ἡμας κ. τ. λ. *Ps. lxxxix.* 17. οὑτω δοκω και επι ὑμιν. ("*sic etiam de vobis judico.*" *Bretschn.*) 2 *Mac. ii.* 29. *Conf. Heb. xi.* 4. φεγγος πρωϊνον. *Job. xxxviii.* 12. ὡς ῥανις δροσου ορθρινη. *Sap. xi.* 22. *Ose. vi.* 4. *xiii.* 3.

17 Και το Πνευμα και ἡ νυμφη λεγουσιν, Ελθε· και ὁ ακουων
ειπατω, Ελθε. και ὁ διψων ελθετω, και ὁ θελων λαμβανετω το
ὑδωρ ζωης δωρεαν.

οἱ διψωντες πορευεσθε εφ' ὑδωρ—ανευ αργυριου και τιμης. *Esa. lv.* 1. ὁ Κυριος—και το Πνευμα αυτου. *xxxiv.* 16. *Conf. cap. xxi.* 2. 9. [CITAT. 339.]

18 Συμμαρτυρουμαι γαρ παντι ακουοντι τους λογους της προ-
φητειας του βιβλιου τουτου, εαν τις επιτιθῃ προς ταυτα, επι-
θησει ὁ Θεος επ' αυτον τας πληγας τας γεγραμμενας εν βι-
βλιῳ τουτῳ·

μη προσθῃς τοις λογοις αυτου, ἱνα μη ελεγξῃ σε, και ψευδης γενῃ. *Prov. xxx.* 6. ουκ εστιν ελαττωσαι ουδε προσθειναι, και ουκ εστιν εξιχνιασαι τα θαυμασια του Κυριου. *Sir. xviii.* 6.

19 Και εαν τις αφαιρῃ απο των λογων βιβλου της προφητειας
ταυτης, αφαιρησει ὁ Θεος το μερος αυτου απο βιβλιου της ζωης,

και εκ της πολεως της άγιας, και των γεγραμμενων εν βιβλιῳ τουτῳ.


και μετα δικαιων μη γραφητωσαν. *Ps. lxviii.* 28. αναγραφησεται εν βιβλιῳ τῳ Κυριῳ. *xxi.* 30. *Sym.* ου προσθησεις επ᾽ αυτο, ουδε αφελεις απ᾽ αυτου. *Deut. xii.* 32. *iv.* 2. εξαλειψω αυτους εκ της βιβλου μου. *Exod. xxxii.* 33. [τοσαυταις μεν δη πληγαις και τιμωριαις Αιγυπτος ενουθετειτο. *Philo* 1 *Vit. Mos. p.* 624.] εαν δε μετα τους λογους τουτους βουλευσωνται ούτοι και ούτοι προσθειναι η αφελειν, κ. τ. λ. 1 *Mac. viii.* 30. 2 *Mac. xiv.* 7. *Cap. iii.* 5. *Lev. xxvi.* 18. [δηλον δ᾽ εστιν εργῳ πως ἡμεις τοις ιδιοις γραμμασι πεπιστευκαμεν· τοσουτου γαρ αιωνος ηδη παρῳχηκοτος, ουτε προσθειναι τις ουδεν, ουτε αφελειν αυτων, ουτε μεταθειναι τε τολμηκεν. *Jos. c. Ap. i.* 8.] *CITAT.* 350.

20 *Λεγει ὁ μαρτυρων ταυτα, ναι ερχομαι ταχυ· αμην, ναι ερχου,* Κυριε Ιησου.

ὁτι ερχομενος ἡξει, και ου μη χρονισῃ. *Hab. ii.* 3. *Heb. x.* 37. ταχυ ερχεται και ου χρονιει. *Esa. xiv.* 1. *xlvi.* 13. συ ὁ Θεος μου, μη χρονισῃς. *Ps. xxxix.* 17. *lxix.* 5. προσχες Κυριε, ποιησον, και μη χρονισῃς ἑνεκεν σου Κυριε ὁ Θεος. *Dan. ix.* 19. *Alex. Ald.* σπευσον καιρον κ. τ. λ. *Sir. xxxiii.* 8. ναι ιδου. *Gen. xvii.* 19. *Jac. v.* 8. 1 *Joan. ii.* 18. 1 *Pet. iv.* 7. ναι, ναι, ὁ Θεος του πατρος μου, και Θεος κληρονομιας Ισραηλ, δεσποτα των ουρανων και της γης, κτιστα των ὑδατων, βασιλευ πασης κτισεως σου, συ εισακουσον της δεησεως μου. *Judith. ix.* 12. Κυριε Ιησου. *Conf. Exod. vi.* 3.

21 *Ἡ χαρις του* Κυριου *ἡμων* Ιησου Χριστου *μετα παντων ὑμων.* Αμην.

Κυριος μεθ᾽ ὑμων. *Ruth. ii.* 4. *Num. vi.* 24-26. ευλογια Κυριου εφ᾽ ὑμας κ. τ. λ. *Ps. cxxviii.* 8. *cxxvii.* 5, 6. και ερει πας ὁ λαος, Αμην. 1 *Par. xvi.* 36. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *viii.* 6. εν ᾡ ὁ ευλογημενος επι της γης ευλογηθησεται εν τῳ Θεῳ, Αμην. *Esa. lxv.* 16. *Sym.*



CITATA ET PARALLELA.

1. Matt. i. 23.

Ιδου ἡ παρθενος εν γαστρι ἑξει, και τεξεται υἱον, και καλεσουσι το ονομα αυτου Εμμανουηλ.

Esa. vii. 14.

Ιδου ἡ παρθενος εν γαστρι ληψεται, [ἑξει, *Alex.*] και τεξεται υἱον, και καλεσεις το ονομα αυτου Εμμανουηλ.

2. i. 23.

Μεθ' ἡμων ὁ Θεος.

Esa. viii. 8.

Μεθ' ἡμων ὁ Θεος.

3. ii. 6.

Και συ Βηθλεεμ, γη Ιουδα, ουδαμως [μη. *Codex Bezæ*] ελαχιστη ει εν τοις ἡγεμοσιν Ιουδα. εκ σου γαρ εξελευσεται ἡγουμενος, ὁστις ποιμανει τον λαον μου, τον Ισραηλ.

Mic. v. 2.

Και συ Βηθλεεμ, οικος Εφραθα, ολιγοστος ει του ειναι εν χιλιασιν Ιουδα; εκ σου μοι εξελευσεται, του ειναι εις αρχοντα του Ισραηλ. *Alii* μη ολιγοστος; *Nobil. ad loc.* εξελευσεται ἡγουμενος. *Euseb. apud Nobil.*

4. ii. 15.

Εξ Αιγυπτου εκαλεσα τον υἱον μου.

Ose. xi. 1.

Εξ Αιγυπτου μετεκαλεσα τα τεκνα αυτου. *LXX.* απο Αιγυπτου εκαλεσα τον υἱον μου. *Aq.* εξ Αιγυπτου κεκληται υἱος μου. *Sym.* εκαλεσα υἱον μου εξ Αιγυπτου. *Theod.*

5. ii. 18.

Φωνη εν Ῥαμᾳ ηκουσθη, θρηνος και κλαυθμος και οδυρμος πολυς· [θρηνου, κλαυθμου και οδυρμου. *Ald.*] Ῥαχηλ κλαιουσα τα τεκνα αὑτης· και ουκ ηθελε παρακληθηναι, ὁτι ουκ εισι. [αποκλαιομενη τους υἱους αυτης. *Comp.* αποκλαιομενη επι των υἱων αυτης. *Ald. Conf. Drusium.*]

Jer. xxxviii. 15.

Φωνη εν Ῥαμᾳ ηκουσθη θρηνου, και κλαυθμου, και οδυρμου· Ῥαχηλ αποκλαιομενη ουκ ηθελε παυσασθαι [παρακληθηναι. *Alex.*] επι τοις υἱοις αυτης, ὁτι ουκ εισι.

6. Matt. ii. 23.

Ναζωραιος κληθησεται.

Jud. xiii. 5.

Ναζιραιον εσται τῳ Θεῳ. *Alex.*

7. iii. 3.

Φωνη βοωντος εν τῃ ερημῳ. Ἑτοιμασατε την ὁδον Κυριου, ευθειας ποιειτε τας τριβους αυτου [του Θεου ἡμων. *Alex.*] *Conf. Marc. i.* 3. *Luc. iii.* 4. *Joan. i.* 23.

Esa. xl. 3.

Φωνη βοωντος εν τῃ ερημῳ· Ἑτοιμασατε την ὁδον Κυριου, ευθειας ποιειτε τας τριβους του Θεου ἡμων.

8. iv. 4.

Ουκ επ' αρτῳ μονῳ ζησεται ὁ ανθρωπος, αλλ' επι παντι ῥηματι εκπορευομενῳ δια στοματος Θεου. *Conf. Luc. iv.* 4.

Deut. viii. 3.

Ουκ επ' αρτῳ μονῳ ζησεται ὁ ανθρωπος, αλλ' επι παντι ῥηματι εκπορευομενῳ δια στοματος Θεου ζησεται ὁ ανθρωπος.

9. iv. 6.

Ὁτι τοις αγγελοις αὐτου εντελειται περι σου, και επι χειρων αρουσι σε, μηποτε προσκοψῃς προς λιθον τον ποδα σου. *Conf. Luc. iv.* 10, 11.

Ps. xc. 11, 12.

Ὁτι τοις αγγελοις αυτου εντελειται περι σου, του διαφυλαξαι σε εν πασαις ταις ὁδοις σου. Επι χειρων αρουσι σε, μηποτε προσκοψῃς προς λιθον τον ποδα σου.

10. iv. 7.

Ουκ εκπειρασεις Κυριον τον Θεον σου. *Conf. Luc. iv.* 12.

Deut. vi. 16.

Ουκ εκπειρασεις Κυριον τον Θεον σου.

11. iv. 10.

Κυριον τον Θεον σου προσκυνησεις, και αυτῳ μονῳ λατρευσεις. *Conf. Luc. iv.* 8.

Deut. vi. 13.

Κυριον τον Θεον σου φοβηθησῃ, και αυτῳ μονῳ λατρευσεις. [προσκυνησεις. *Alex.*]

12. iv. 15, 16.

Γη Ζαβουλων και γη Νεφθαλειμ, ὁδον θαλασσης, περαν του Ιορδανου, Γαλιλαια των εθνων, ὁ λαος ὁ καθημενος εν σκοτει, ειδε φως μεγα, και τοις καθημενοις εν χωρᾳ και σκιᾳ θανατου, φως ανετειλεν αυτοις.

Esa. ix. 1, 2.

Ταχυ ποιει χωρα Ζαβυλων, ἡ γη Νεφθαλειμ [ὁδον θαλασσης περαν του Ιορδανου, ὁριου του εθνων. *Aq. Theod.*] και οἱ λοιποι οἱ την παραλιαν, και περαν του Ιορδανου Γαλιλαια των εθνων. Ὁ λαος ὁ πορευομενος [καθημενος. *Alex.*] εν σκοτει, ιδετε [*alii* ιδε, ειδε, ιδετω. *Nobil.*] φως μεγα· οἱ κατοικουντες εν χωρᾳ [και. *Alex.*] σκιᾳ θανατου, φως λαμψει εφ' ὑμας. *Alii*, και σκιᾳ θανατου. *Nobil.*

13. Matt. v. 21.
Ου φονευσεις. *Conf. Rom. xiii.* 9.

Exod. xx. 15.
Ου φονευσεις.

14. v. 27.
Ου μοιχευσεις. *Conf. Rom. xiii.* 9.

Exod. xx. 13.
Ου μοιχευσεις.

15. v. 33.
Ουκ επιορκησεις· αποδωσεις δε τῳ Κυριῳ τους ὁρκους σου.

Lev. xix. 12. Num. xxx. 3.
Ουκ ομεισθε τῳ ονοματι μου επ᾽ αδικῳ.

16. v. 38.
Οφθαλμον αντι οφθαλμου, και οδοντα αντι οδοντος.

Exod. xxi. 24. Lev. xxiv. 20. Deut. xix. 21.
Οφθαλμον αντι οφθαλμου, οδοντα αντι οδοντος.

17. vii. 23.
Αποχωρειτε απ᾽ εμου οἱ εργαζομενοι την ανομιαν. *Conf. Luc. xiii.* 27.

Ps. vi. 8.
Αποστητε απ᾽ εμου παντες οἱ εργαζομενοι την ανομιαν.

18. viii. 17.
Αυτος τας ασθενειας ἡμων ελαβε, και τας νοσους εβαστασεν. *Conf.* 1 *Pet. ii.* 24.

Esa. liii. 4.
Οὑτος τας ἁμαρτιας ἡμων φερει, και περι ἡμων οδυναται. *LXX. et Theod.* οντως τας ἁμαρτιας ἡμων αυτος αν ελαβε, και τους πονους ὑπεμεινεν. *Sym.*

19. ix. 13. xii. 7.
Ελεον θελω, και ου θυσιαν. *Conf. cap. xii.* 7.

Ose. vi. 7.
Ελεος θελω η θυσιαν. [και ου θυσιαν. *apud Theod. Nobil.*]

20. xi. 10.
Ιδου, εγω αποστελλω τον αγγελον μου προ προσωπου σου, ὁς κατασκευασει την ὁδον σου εμπροσθεν σου.

Mal. iii. 1.
Ιδου, εξαποστελλω τον αγγελον μου, και επιβλεψεται ὁδον προ προσωπου μου. *LXX.* ὁστις ἑτοιμασει ὁδον. *Theod. et Comp.*

21. xii. 18-21.
Ιδου, ὁ παις μου, ὁν ἡρετισα, ὁ αγαπητος μου, εις ὁν ευδοκησεν ἡ ψυχη μου· θησω το πνευμα μου επ᾽ αυτον, και κρισιν τοις εθνεσιν απαγγελει. Ουκ ερισει, ουδε κραυγασει, ουδε ακουσει τις εν ταις πλατειαις την φωνην αυτου· καλαμον συντετριμμενον ου

Esa. xlii. 1-4.
Ιακωβ ὁ παις μου, αντιληψομαι αυτου· Ισραηλ ὁ εκλεκτος μου, προσεδεξατο αυτον ἡ ψυχη μου, εδωκα το πνευμα μου επ᾽ αυτον, κρισιν τοις εθνεσιν εξοισει. Ου κεκραξεται, ουδε ανησει, ουδε ακουσθησεται εξω ἡ φωνη αυτου. Καλαμον τεθλασμενον ου συντρι-

κατεαξει, και λινον τυφομενον ου σβεσει, ἑως αν εκβαλῃ εις νικος την κρισιν. Και τῳ ονοματι αυτου εθνη ελπιουσι.

ψει, και λινον καπνιζομενον ου σβεσει, αλλα εις αληθειαν εξοισει κρισιν—και επι τῳ ονοματι αυτου εθνη ελπιουσιν. Ιδου, ὁ παις μου αντιληψεται αυτον, και εκλεκτος μου ὁν ευδοκησεν ἡ ψυχη μου. *Theod.*

22. Matt. xiii. 14, 15.

Ακοῃ ακουσετε, και ου μη συνητε· και βλεποντες βλεψετε, και ου μη ιδητε. Επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσι βαρεως ηκουσαν, και τους οφθαλμους αὑτων εκαμμυσαν· μηποτε ιδωσι τοις οφθαλμοις, και τοις ὡσιν ακουσωσι, και τῃ καρδιᾳ συνωσι, και επιστρεψωσι, και ιασωμαι αυτους. *Conf. Marc. iv.* 12. *Luc. viii.* 10. *Joan. xii.* 40. *Act. xxviii.* 26. *Rom. xi.* 8.

Esa. vi. 9, 10.

Ακοῃ ακουσετε, και ου μη συνητε, και βλεποντες βλεψετε, και ου μη ιδητε. Επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσιν αυτων βαρεως ηκουσαν, και τους οφθαλμους [αυτων. *Alex.*] εκαμμυσαν· μηποτε ιδωσι τοις οφθαλμοις, και τοις ωσιν ακουσωσι, και τῃ καρδιᾳ συνωσι, και επιστρεψωσι, και ιασομαι αυτους.

23. xiii. 35.

Ανοιξω εν παραβολαις το στομα μου, ερευξομαι κεκρυμμενα απο καταβολης κοσμου.

Ps. lxxvii. 2.

Ανοιξω εν παραβολαις το στομα μου, φθεγξομαι προβληματα απ᾽ αρχης.

24. xv. 4.

Τιμα τον πατερα και την μητερα. *Conf. Marc. vii.* 10.

Exod. xx. 12.

Τιμα τον πατερα σου και την μητερα σου.

25. xv. 4.

Ὁ κακολογων πατερα η μητερα, θανατῳ τελευτατω. *Conf. Marc. vii.* 10.

Exod. xxi. 16.

Ὁ κακολογων πατερα αυτου η μητερα αυτου, τελευτησει θανατῳ. *Theod.* θανατῳ θανατουσθῳ. *alii* θανατωθησεται.

26. xv. 8, 9.

Εγγιζει μοι ὁ λαος οὑτος τῳ στωματι αὑτων, και τοις χειλεσι με τιμᾳ· ἡ δε καρδια αυτων πορῥω απεχει απ᾽ εμου. Ματην δε σεβονται με, διδασκοντες διδασκαλιας, ενταλματα ανθρωπων. *Conf. Marc. vii.* 6, 7.

Esa. xxix. 13.

Εγγιζει μοι ὁ λαος οὑτος εν τῳ στοματι αυτου, και εν τοις χειλεσιν αυτων τιμωσι με, ἡ δε καρδια αυτων πορῥω απεχει απ᾽ εμου· ματην δε σεβονται με, διδασκοντες ενταλματα ανθρωπων, και διδασκαλιας.

27. Matt. xviii. 16.	Deut. xix. 15.
Επι στοματος δυο μαρτυρων η τριων σταθῃ παν ῥημα. *Conf.* 2 *Cor. xiii.* 1.	Επι στοματος δυο μαρτυρων, και επι στοματος τριων μαρτυρων, στησεται [σταθησεται. *Ald. Comp.*] παν ῥημα.
28. xix. 4.	Gen. i. 27.
Αρσεν και θηλυ εποιησεν αυτους. *Conf. Marc. x.* 6.	Αρσεν και θηλυ εποιησεν αυτους.
29. xix. 5.	Gen. ii. 24.
Ἑνεκεν τουτου καταλειψει ανθρωπος τον πατερα και την μητερα, και προσκολληθησεται τῃ γυναικι αὑτου· και εσονται οἱ δυο εις σαρκα μιαν. *Conf. Marc. x.* 7, 8. *Ephes. v.* 31. 1 *Cor. vi.* 16.	Ἑνεκεν τουτου καταλειψει ανθρωπος τον πατερα αυτου και την μητερα, και προσκολληθησεται προς την γυναικα αυτου· [τῃ γυναικι αυτου. *Alex. Ald.*] και εσονται οἱ δυο εις σαρκα μιαν.
30. xix. 18.	Exod. xx. 12-16.
Ου φονευσεις· Ου μοιχευσεις· Ου κλεψεις· Ου ψευδομαρτυρησεις· Τιμα τον πατερα και την μητερα. *Conf. Marc. x.* 19. *Luc. xviii.* 20.	Τιμα τον πατερα σου και την μητερα σου—Ου μοιχευσεις. Ου κλεψεις· Ου φονευσεις· Ου ψευδομαρτυρησεις. *Alex. Comp. Ald.* ου φονευσεις· ου μοιχευσεις· ου κλεψεις.
31. xix. 19. xxii. 39.	Lev. xix. 18.
Αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Conf. Marc. xii.* 31. *Luc. x.* 27. *Jac. ii.* 8.	Αγαπησεις τον πλησιον σου ὡς σεαυτον.
32. xxi. 5.	Zach. ix. 9.
Ειπατε τῃ θυγατρι Σιων· Ιδου ὁ βασιλευς σου ερχεται σοι, πραϋς, και επιβεβηκως επι ονον και πωλον, υἱον ὑποζυγιου. *Conf. Joan. xii.* 15. Ειπατε τῃ θυγατρι Σιων, κ. τ. λ. *Esa. lxii.* 11.	Χαιρε σφοδρα θυγατερ Σιων, κηρυσσε θυγατερ Ἱερουσαλημ· ιδου ὁ βασιλευς ερχεται σοι δικαιος και σωζων, αυτος πραϋς, και επιβεβηκως επι ὑποζυγιον και πωλον νεον. *Aq.* επι ονον, και πωλον υἱον οναδος.
33. xxi. 9. xxiii. 39.	Ps. cxvii. 26.
Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. *Conf. Marc. xi.* 9. *Luc. xiii.* 35.	Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου.

34. Matt. xxi. 13.
Ὁ οικος μου, οικος προσευχης κληθησεται. *Conf. Marc. xi.* 17. *Luc. xix.* 46.

Esa. lvi. 7.
Ὁ γαρ οικος μου, οικος προσευχης κληθησεται πασι τοις εθνεσιν.

35. xxi. 16.
Εκ στοματος νηπιων και θηλαζοντων κατηρτισω αινον.

Ps. viii. 2.
Εκ στοματος νηπιων και θηλαζοντων κατηρτισω αινον.

36. xxi. 42.
Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας· παρα Κυριου εγενετο αὑτη, και εστι θαυμαστη εν οφθαλμοις ἡμων. *Conf. Marc. xii.* 10. *Luc. xx.* 17. *Act. iv.* 11.

Ps. cxvii. 22.
Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας· παρα Κυριου εγενετο αὑτη, και εστι θαυμαστη εν οφθαλμοις ἡμων.

37. xxii. 24.
Εαν τις αποθανῃ μη εχων τεκνα, επιγαμβρευσει ὁ αδελφος αυτου την γυναικα αυτου, και αναστησει σπερμα τῳ αδελφῳ αὑτου. *Conf. Marc. xii.* 19.

Gen. xxxviii. 8.
Εισελθε προς την γυναικα του αδελφου σου, και επιγαμβρευσαι αυτην, και αναστησον σπερμα τῳ αδελφῳ σου. *Conf. Deut. xxv.* 5.

38. xxii. 32.
Εγω ειμι ὁ Θεος [των πατερων σου. *Act.*] Αβρααμ, και ὁ Θεος Ισαακ, και ὁ Θεος Ιακωβ. *Conf. Marc. xii.* 26. *Luc. xx.* 37.

Exod. iii. 6.
Εγω ειμι ὁ Θεος του πατρος σου, Θεος Ἁβρααμ, και Θεος Ισαακ, και Θεος Ιακωβ.

39. xxii. 37.
Αγαπησεις Κυριον τον Θεον σου εν ὁλῃ τῃ καρδιᾳ σου, και εν ὁλῃ τῃ ψυχῃ σου, και εν ὁλῃ τῃ διανοιᾳ σου. *Conf. Marc. xii.* 30. *Luc. x.* 27.

Deut. vi. 5.
Και αγαπησεις Κυριον τον Θεον σου εξ ὁλης της διανοιας σου, [της καρδιας σου. *Alex. Ald. Comp.*] και εξ ὁλης της ψυχης σου, και εξ ὁλης της δυναμεως σου.

40. xxii. 44.
Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου. Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *Conf. Marc. xii.* 36. *Luc. xx.* 42. *Act. ii.* 34, 35.

Ps. cix. 1.
Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου· Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.

41. Matt. xxiv. 15.

Το βδελυγμα της ερημωσεως. *Conf. Marc. xiii.* 14.

Dan. xii. 11. ix. 27.

Το βδελυγμα ερημωσεως.

42. xxvi. 31.

Παταξω [παταξον. *Alex.*] τον ποιμενα, και διασκορπισθησεται τα προβατα της ποιμνης. *Conf. Marc. xiv.* 27.

Zach. xiii. 7.

Παταξατε τους ποιμενας, και εκσπασατε τα προβατα. *Vat.* Παταξον τον ποιμενα, και διασκορπισθησονται τα προβατα της ποιμνης. *Alex.*

43. xxvii. 9, 10.

Και ελαβον τα τριακοντα αργυρια, την τιμην του τετιμημενου, ὁν ετιμησαντο απο υἱων Ισραηλ, και εδωκαν αυτα εις τον αγρον του κεραμεως· καθα συνεταξε μοι Κυριος.

Zach. xi. 13.

Καθες αυτους εις το χωνευτηριον, και σκεψομαι ει δοκιμον εστιν, ὁν τροπον εδοκιμασθην ὑπερ αυτων [ῥιψον αυτα προς τον πλαστην, ὑπερμεγεθης ἡ τιμη ἡν ετιμηθην ὑπ' αυτων. *Aq.*] και ενεβαλον αυτους εις τον οικον Κυριου εις το χωνευτηριον.

44. xxvii. 35.

Διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον μου εβαλον κληρον. *Conf. Joan. xix.* 24.

Ps. xxi. 18.

Διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον μου εβαλον κληρον.

45. xxvii. 46.

Ηλι, Ηλι, λαμα σαβαχθανι; τουτ εστι· Θεε μου, Θεε μου, ἱνατι με εγκατελιπες;

Ps. xxi. 1.

Ὁ Θεος ὁ Θεος μου, ἱνατι εγκατελιπες με;

46. Marc. i. 2.

Ιδου εγω αποστελλω τον αγγελον μου προ προσωπου σου, ὁς κατασκευασει την ὁδον σου εμπροσθεν σου. *Conf. Matt. xi.* 10. *Luc. vii.* 27.

Mal. iii. 1.

Ιδου εξαποστελλω τον αγγελον μου, και επιβλεψεται ὁδον προ προσωπου μου. *LXX.* ἑτοιμαζει ὁδον. *Theod.*

47. i. 3.

Φωνη βοωντος εν τῃ ερημῳ· Ἑτοιμασατε την ὁδον Κυριου, ευθειας ποιειτε τας τριβους αυτου. [του Θεου ἡμων. *Alex.*] *Conf. Matt. iii.* 3. *Luc. iii.* 4-6. *Joan. i.* 23.

Esa. xl. 3.

Φωνη βοωντος εν τῃ ερημῳ, Ἑτοιμασατε την ὁδον Κυριου, ευθειας ποιειτε τας τριβους του Θεου ἡμων.

48. Marc. iv. 12.

Ἱνα βλεποντες βλεπωσι, και μη ιδωσι· και ακουοντες ακουωσι, και μη συνιωσι· μηποτε επιστρεψωσι, και αφεθῃ αυτοις τα ἁμαρτηματα. *Conf. Matt. xiii.* 14. *Luc. viii.* 10. *Joan. xii.* 40. *Act. xxviii.* 26, 27. *Rom. xi.* 8.

Esa. vi. 9, 10.

Ακοῃ ακουσετε, και ου μη συνητε, και βλεποντες βλεψετε, και ου μη ιδητε—μηποτε ιδωσι τοις οφθαλμοις, και τοις ωσιν ακουσωσι, και τῃ καρδιᾳ συνωσι και επιστρεψωσι, και ιασομαι αυτους.

49. vii. 6, 7.

Οὑτος ὁ λαος τοις χειλεσι με τιμᾳ, ἡ δε καρδια αυτων πορῤω απεχει απ' εμου. Ματην δε σεβονται με, διδασκοντες διδασκαλιας, ενταλματα ανθρωπων. *Conf. Matt. xv.* 8, 9.

Esa. xxix. 13.

Εγγιζει μοι ὁ λαος οὑτος εν τῳ στοματι αυτου, και εν τοις χειλεσιν αυτων τιμωσι με, ἡ δε καρδια αυτων πορῤω απεχει απ' εμου· ματην δε σεβονται με, διδασκοντες ενταλματα ανθρωπων, και διδασκαλιας.

50. vii. 10.

Τιμα τον πατερα σου και την μητερα σου. *Conf. Matt. xv.* 4. *Ephes. vi.* 2.

Exod. xx. 12.

Τιμα τον πατερα σου και την μητερα σου.

51. vii. 10.

Ὁ κακολογων πατερα η μητερα, θανατῳ τελευτατω. *Conf. Matt. xv.* 4.

Exod. xxi. 16.

Ὁ κακολογων πατερα αυτου η μητερα αυτου, τελευτησει θανατῳ.

52. ix. 44, 46, 48.

Ὁπου ὁ σκωληξ αὑτων ου τελευτᾳ, και το πυρ ου σβεννυται.

Esa. lxvi. 24.

Ὁ γαρ σκωληξ αυτων ου τελευτησει, και το πυρ αυτων ου σβεσθησεται. [*Hody. p.* 259.]

53. x. 6.

Απο δε αρχης κτισεως αρσεν και θηλυ εποιησεν αυτους ὁ Θεος.

Gen. i. 27.

Εν αρχῃ—αρσεν και θηλυ εποιησεν αυτους.

54. x. 7, 8.

Ἑνεκεν τουτου καταλειψει ανθρωπος τον πατερα αὑτου και την μητερα, και προσκολληθησεται προς την γυναικα αὑτου· και εσονται οἱ δυο εις σαρκα μιαν. *Conf. Matt. xix.* 5, 6. *Ephes. v.* 31. 1 *Cor. vi.* 16.

Gen. ii. 24.

Ἑνεκεν τουτου καταλειψει ανθρωπος τον πατερα αυτου και την μητερα, και προσκολληθησεται προς την γυναικα αυτου· και εσονται οἱ δυο εις σαρκα μιαν.

55. Marc. x. 19.

Μη μοιχευσῃς· Μη φονευσῃς· Μη κλεψῃς· Μη ψευδομαρτυρησῃς· Μη αποστερησῃς· Τιμα τον πατερα σου και την μητερα. *Conf. Matt. xix.* 18. *Luc. xviii.* 20.

Exod. xx. 12-15.

Ου μοιχευσεις· Ου κλεψεις· Ου φονευσεις· Ου ψευδομαρτυρησεις κατα του πλησιον σου μαρτυριαν ψευδη—τιμα τον πατερα σου και την μητερα σου.

56. xi. 9.

Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. *Conf. Matt. xxi.* 9. *xxiii.* 39. *Luc. xiii.* 35.

Ps. cxvii. 26.

Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου.

57. xi. 17.

Ὁτι ὁ οικος μου, οικος προσευχης κληθησεται πασι τοις εθνεσιν· ὑμεις δε εποιησατε αυτον σπηλαιον λῃστων. *Conf. Matt. xxi.* 13. *Luc. xix.* 46.

Esa. lvi. 7. Jer. vii. 11.

Ὁ γαρ οικος μου, οικος προσευχης κληθησεται πασι τοις εθνεσιν. Μη σπηλαιον λῃστων ὁ οικος μου, κ. τ. λ.

58. xii. 10, 11.

Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας· παρα Κυριου εγενετο αὑτη, και εστι θαυμαστη εν οφθαλμοις ἡμων. *Conf. Matt. xxi.* 42. *Luc. xx.* 17. *Act. iv.* 11. 1 *Pet. ii.* 7.

Ps. cxvii. 22.

Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, εγενηθη εις κεφαλην γωνιας· παρα Κυριου εγενετο αὑτη, και εστι θαυμαστη εν οφθαλμοις ἡμων.

59. xii. 19.

Εαν τινος αδελφος αποθανῃ, και καταλιπῃ γυναικα, και τεκνα μη αφῃ, ἱνα λαβῃ ὁ αδελφος αυτου την γυναικα αυτου, και εξαναστησῃ σπερμα τῳ αδελφῳ αὑτου. *Conf. Matt. xxii.* 24. *Luc. xx.* 28.

Deut. xxv. 5.

Εαν δε κατοικωσιν αδελφοι επι το αυτο, και αποθανῃ εἱς εξ αυτων, σπερμα δε μη ῃ αυτῳ, ουκ εσται ἡ γυνη του τεθνηκοτος εξω ανδρι μη εγγιζοντι· ὁ αδελφος του ανδρος αυτης εισελευσεται προς αυτην, και ληψεται αυτην ἑαυτῳ γυναικα, και συνοικησει αυτῃ. *Conf. Gen. xxxviii.* 8.

60. xii. 26.

Εγω ὁ Θεος [των πατερων σου. *Act.*] Αβρααμ, και ὁ Θεος Ισαακ, και ὁ Θεος Ιακωβ. *Conf. Matt. xxii.* 32. *Luc. xx.* 37. *Act. vii.* 32.

Exod. iii. 6.

Εγω ειμι ὁ Θεος του πατρος σου, Θεος Ἀβρααμ, και Θεος Ισαακ, και Θεος Ιακωβ.

61. Marc. xii. 29, 30.

Ακουε Ισραηλ, Κυριος ὁ Θεος ἡμων, Κυριος εἱς εστι· και αγαπησεις Κυριον τον Θεον σου εξ ὁλης της καρδιας σου, και εξ ὁλης της ψυχης σου, και εξ ὁλης της διανοιας σου, και εξ ὁλης της ισχυος σου. *Conf. Matt. xxii.* 37. *Luc. x.* 27.

Deut. vi. 4, 5.

Ακουε Ισραηλ, Κυριος ὁ Θεος ἡμων, Κυριος εἱς εστι· και αγαπησεις Κυριον τον Θεον σου εξ ὁλης της διανοιας σου, και εξ ὁλης της ψυχης σου, και εξ ὁλης της δυναμεως σου.

62. xii. 31.

Αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Conf. Matt. xix.* 19. *Luc. x.* 27. *Jac. ii.* 8.

Lev. xix. 18.

Αγαπησεις τον πλησιον σου ὡς σεαυτον.

63. xii. 36.

Λεγει ὁ Κυριος τῳ Κυριῳ μου· Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *Conf. Matt. xxii.* 44. *Luc. xx.* 42. *Act. ii.* 34, 35.

Ps. cix. 1.

Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου· Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.

64. xiii. 14.

Το βδελυγμα της ερημωσεως.

Dan. xii. 11. ix. 27.

Το βδελυγμα ερημωσεως.

65. xiv. 27.

Παταξω τον ποιμενα, και διασκορπισθησεται τα προβατα. *Conf. Matt. xxvi.* 31.

Zach. xiii. 7.

Παταξατε τους ποιμενας, και εκσπασατε τα προβατα. *Vat.* παταξον τον ποιμενα, και διασκορπισθησονται τα προβατα της ποιμνης. *Alex.*

66. xv. 28.

Και μετα ανομων ελογισθη.

Esa. liii. 12.

Και εν τοις ανομοις ελογισθη.

67. xv. 34.

Ελωΐ, Ελωΐ, λαμμα σαβαχθανι; ὁ εστι μεθερμηνευομενον· Ὁ Θεος μου, ὁ Θεος μου, εις τι με εγκατελιπες;

Ps. xxi. 1.

Ὁ Θεος ὁ Θεος μου προσχες μοι, ἱνατι εγκατελιπες με;

68. Luc. ii. 23.

Παν αρσεν διανοιγον μητραν ἁγιον τῳ Κυριῳ κληθησεται.

Exod. xiii. 2.

Ἁγιασον μοι παν πρωτοτοκον πρωτογενες διανοιγον πασαν μητραν.

69. Luc. ii. 24.

Ζευγος τρυγονων, η δυο νοσσους περιστερων.

Lev. v. 11.

Ζευγος τρυγονων, η δυο νοσσους περιστερων.

70. iii. 4-6.

Φωνη βοωντος εν τῃ ερημῳ· Ἑτοιμασατε την ὁδον Κυριου, ευθειας ποιειτε τας τριβους αυτου. Πασα φαραγξ πληρωθησεται, και παν ορος και βουνος ταπεινωθησεται· και εσται τα σκολια εις ευθειαν, και αἱ τραχειαι εις ὁδους λειας· και οψεται πασα σαρξ το σωτηριον του Θεου. *Conf. Matt. iii. 3. Marc. i. 2, 3. Joan. i. 23.*

Esa. xl. 3, 4.

Φωνη βοωντος εν τῃ ερημῳ· Ἑτοιμασατε την ὁδον Κυριου, ευθειας ποιειτε τας τριβους του Θεου ἡμων. Πασα φαραγξ πληρωθησεται, και παν ορος και βουνος ταπεινωθησεται· και εσται παντα τα σκολια εις ευθειαν, και ἡ τραχεια εις πεδια [ὁδους λειας. *Alex. et Ald.* πεδια λεια. *Comp.*] Και οφθησεται ἡ δοξα Κυριου, και οψεται πασα σαρξ το σωτηριον του Θεου, ὁτι Κυριος ελαλησε.

71. iv. 4.

Ὁτι ουκ επ' αρτῳ μονῳ ζησεται ὁ ανθρωπος, αλλ' επι παντι ῥηματι Θεου. *Conf. Matt. iv. 4.*

Deut. viii. 3.

Ὁτι ουκ επ' αρτῳ μονῳ ζησεται ὁ ανθρωπος; αλλ' επι παντι ῥηματι τῳ εκπορευομενῳ δια στοματος Θεου ζησεται ὁ ανθρωπος.

72. iv. 8.

Προσκυνησεις Κυριον τον Θεον σου, και αυτῳ μονῳ λατρευσεις. *Conf. Matt. iv. 10.*

Deut. vi. 13.

Κυριον τον Θεον σου φοβηθησῃ, και αυτῳ μονῳ λατρευσεις.

73. iv. 10, 11.

Ὁτι τοις αγγελοις αὑτου εντελειται περι σου, του διαφυλαξαι σε· και επι χειρων αιρουσι σε, μηποτε προσκοψῃς προς λιθον τον ποδα σου. *Conf. Matt. iv. 6.*

Ps. xc. 11, 12.

Ὁτι τοις αγγελοις αυτου εντελειται περι σου, του διαφυλαξαι σε εν πασαις ταις ὁδοις σου. Επι χειρων αιρουσι σε, μηποτε προσκοψῃς προς λιθον τον ποδα σου.

74. iv. 12.

Ουκ εκπειρασεις Κυριον τον Θεον σου. *Conf. Matt. iv. 7.*

Deut. vi. 16.

Ουκ εκπειρασεις Κυριον τον Θεον σου.

75. iv. 18, 19.

Πνευμα Κυριου επ' εμε, οὑ εἱνεκεν εχρισε με ευαγγελισασθαι πτωχοις, απεσταλκε με ιασασθαι τους συντετριμμενους την καρ-

Esa. lxi. 1, 2.

Πνευμα Κυριου επ' εμε, οὑ εἱνεκεν εχρισε με ευαγγελισασθαι πτωχοις, απεσταλκε με ιασασθαι τους συντετριμμενους την καρ-

διαν, κηρυξαι αιχμαλωτοις αφεσιν, και τυφλοις αναβλεψιν, [αποστειλαι τεθραυσμενους εν αφεσει, *deficit in Cod. Coislin.*] κηρυξαι ενιαυτον Κυριου δεκτον.

διαν, κηρυξαι αιχμαλωτοις αφεσιν, και τυφλοις αναβλεψιν, καλεσαι ενιαυτον Κυριου δεκτον.

76. Luc. vii. 27.

Ιδου, εγω αποστελλω τον αγγελον μου προ προσωπου σου, ὁς κατασκευασει την ὁδον σου εμπροσθεν σου. *Conf. Matt. xi.* 10. *Marc. i.* 2, 3.

Mal. iii. 1.

Ιδου, εξαποστελλω τον αγγελον μου, και επιβλεψεται ὁδον προ προσωπου μου. *LXX.* ἑτοιμαζει ὁδον. *Theod.*

77. viii. 10.

Ἱνα βλεποντες μη βλεπωσι, και ακουοντες μη συνιωσιν. *Conf. Matt. xiii.* 14. *Marc. iv.* 12. *Joan. xii.* 40. *Act. xxviii.* 26, 27. *Rom. xi.* 8.

Esa. vi. 9.

Ακοη ακουσετε, και ου μη συνητε, και βλεποντες βλεψετε, και ου μη ιδητε.

78. x. 27.

Αγαπησεις Κυριον τον Θεον σου εξ ὁλης της καρδιας σου, και εξ ὁλης της ψυχης σου, και εξ ὁλης της ισχυος σου, και εξ ὁλης της διανοιας σου· και τον πλησιον σου ὡς σεαυτον. *Conf. Matt. xxii.* 37. *Marc. xii.* 30. *Jac. ii.* 8.

Deut. vi. 5.

Αγαπησεις Κυριον τον Θεον σου εξ ὁλης της διανοιας σου, και εξ ὁλης της ψυχης σου, και εξ ὁλης της δυναμεως σου,—*Lev. xix.* 18. —, και αγαπησεις τον πλησιον σου ὡς σεαυτον.

79. xiii. 27.

Αποστητε απ' εμου παντες οἱ εργαται της αδικιας. *Matt. vii.* 23.

Ps. vi. 8.

Αποστητε απ' εμου παντες οἱ εργαζομενοι την ανομιαν.

80. xiii. 35.

Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. *Conf. Matt. xxi.* 9. *xxiii.* 39. *Marc. xi.* 9.

Ps. cxvii. 26.

Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου.

81. xviii. 20.

Μη μοιχευσῃς· μη φονευσῃς· μη κλεψῃς· μη ψευδομαρτυρησῃς· τιμα τον πατερα σου και την μητερα σου. *Conf. Matt. xix.* 18. *Marc. x.* 19.

Exod. xx. 12-16.

Τιμα τον πατερα σου και την μητερα σου.—Ου μοιχευσεις· ου κλεψεις· ου φονευσεις· ου ψευδομαρτυρησεις κατα του πλησιον σου.

82. Luc. xix. 46.

Ὁ οικος μου οικος προσευχης εστι. *Conf. Matt. xxi.* 13. *Marc. xi.* 17.

Esa. lvi. 7.

Ὁ γαρ οικος μου οικος προσευχης κληθησεται.

83. xx. 17.

Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας. *Conf. Matt. xxi.* 42. *Marc. xii.* 10. *Act. iv.* 11. 1 *Pet. ii.* 7.

Ps. cxvii. 22,23.

Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας.

84. xx. 28.

Εαν τινος αδελφος αποθανῃ εχων γυναικα, και οὑτος ατεκνος αποθανῃ, ἱνα λαβῃ ὁ αδελφος αυτου την γυναικα, και εξαναστησῃ σπερμα τῳ αδελφῳ αὑτου. *Conf. Matt. xxii.* 24. *Marc. xii.* 18.

Deut. xxv. 5.

Εαν δε κατοικωσιν αδελφοι επι το αυτο, και αποθανῃ εἱς εξ αυτων, σπερμα δε μη ῃ αυτῳ, ουκ εσται ἡ γυνη του τεθνηκοτος εξω ανδρι μη εγγιζοντι· ὁ αδελφος του ανδρος αυτης εισελευσεται προς αυτην, και ληψεται αυτην ἑαυτῳ γυναικα, και συνοικησει αυτῃ.

85. xx. 37.

Λεγει Κυριον, τον Θεον Αβρααμ, και τον Θεον Ισαακ, και τον Θεον Ιακωβ. *Conf. Matt. xxii.* 32. *Marc. xii.* 26. *Act. vii.* 32.

Exod. iii. 6.

Εγω ειμι ὁ Θεος του πατρος σου, Θεος Αβρααμ, και Θεος Ισαακ, και Θεος Ιακωβ.

86. xx. 42, 43.

Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *Conf. Matt. xxii.* 44. *Marc. xii.* 36. *Act. ii.* 34, 35. 1 *Cor. xv.* 25. *Heb. i.* 13. *x.* 13.

Ps. cix. 1.

Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.

87. xxii. 37.

Και μετα ανομων ελογισθη. *Conf. Marc. xv.* 28.

Esa. liii. 12.

Και εν τοις ανομοις ελογισθη.

88. xxiii. 30.

Τοτε αρξονται λεγειν τοις ορεσι, Πεσετε εφ' ἡμας, και τοις βουνοις, Καλυψατε ἡμας.

Ose. x. 8.

Και ερουσι τοις ορεσι, Καλυψατε ἡμας, και τοις βουνοις, Πεσατε εφ' ἡμας.

89. Luc. xxiii. 46.	Ps. xxx. 5.
Εις χειρας σου παραθησομαι το πνευμα μου.	Εις χειρας σου παραθησομαι το πνευμα μου.
90. Joan. i. 23.	Esa. xl. 3.
Φωνη βοωντος εν τῃ ερημῳ· Ευθυνατε την ὁδον Κυριου. *Conf. Matt. iii.* 3. *Marc. i.* 3. *Luc. iii.* 4.	Φωνη βοωντος εν τῃ ερημῳ, Ετοιμασατε την ὁδον Κυριου.
91. ii. 17.	Ps. lxviii. 9.
Ὁ ζηλος του οικου σου κατεφαγε με.	Ὁ ζηλος του οικου σου κατεφαγε με.
92. vi. 31.	Ps. lxxvii. 24.
Αρτον εκ του ουρανου εδωκεν αυτοις φαγειν.	Αρτον ουρανου εδωκεν αυτοις.
93. vi. 45.	Esa. liv. 13.
Και εσονται παντες διδακτοι Θεου.	Και [θησω] παντας τους υἱους σου διδακτους Θεου.
94. viii. 17.	Deut. xix. 15.
Δυο ανθρωπων ἡ μαρτυρια αληθης εστι. *Conf. Matt. xviii.* 16. 2 *Cor. xiii.* 1.	Επι στοματος δυο μαρτυρων—στησεται παν ῥημα. *Conf. Deut. xvii.* 6.
95. x. 34.	Ps. lxxxi. 6.
Εγω ειπα, θεοι εστε.	Εγω ειπα, θεοι εστε.
96. xii. 13.	Ps. cxvii. 26.
Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. *Conf. Matt. xxi.* 9. *xxiii.* 39. *Marc. xi.* 9. *Luc. xiii.* 35.	Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου.
97. xii. 15.	Zach. ix. 9.
Μη φοβου, θυγατερ Σιων· ιδου ὁ βασιλευς σου ερχεται, καθημενος επι πωλον ονου. *Conf. Matt. xxi.* 5.	Χαιρε σφοδρα θυγατερ Σιων, κηρυσσε θυγατερ Ἱερουσαλημ· ιδου, ὁ βασιλευς ερχεται σοι δικαιος και σωζων, αυτος πραϋς, και επιβεβηκως επι ὑποζυγιον και πωλον νεον.
98. xii. 38.	Esa. liii. 1.
Κυριε, τις επιστευσε τῃ ακοῃ ἡμων; και ὁ βραχιων Κυριου τινι απεκαλυφθη; *Conf. Rom. x.* 16.	Κυριε, τις επιστευσε τῃ ακοῃ ἡμων; και ὁ βραχιων Κυριου τινι απεκαλυφθη;
99. xii. 40.	Esa. vi. 9-11.
Τετυφλωκεν αυτων τους οφθαλμους, και πεπωρωκεν αυτων την	Ακοῃ ακουσετε, και ου μη συνητε, και βλεποντες βλεψετε, και

καρδιαν· ἱνα μη ιδωσι τοις οφθαλμοις, και νοησωσι τῃ καρδιᾳ, και επισταφωσι, και ιασωμαι αυτους. *Conf. Matt. xiii.* 14. *Act. xxviii.* 26. *Marc. iv.* 12. *Luc. viii.* 10. *Rom. xi.* 8.

ου μη ιδητε. Επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσιν αυτων βαρεως ηκουσαν, και τους οφθαλμους εκαμμυσαν, μηποτε ιδωσι τοις οφθαλμοις, και τοις ωσιν ακουσωσι, και τῃ καρδιᾳ συνωσι και επιστρεψωσι, και ιασομαι αυτους.

100. Joan. xiii. 18.

Ὁ τρωγων μετ' εμου τον αρτον, επηρεν επ' εμε την πτερναν αὑτου.

Ps. xl. 9.

Ὁ εσθιων αρτους μου εμεγαλυνεν επ' εμε πτερνισμον. *LXX.* κατεμεγαλυνθη μου πτερνα. *Aq. Theod.*

101. xv. 25.

Εμισησαν με δωρεαν.

Ps. cviii. 3.

Επολεμησαν με δωρεαν.—*xxxiv.* 19. οἱ μισουντες με δωρεαν.

102. xix. 24.

Διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον μου εβαλον κληρον. *Conf. Matt. xxvii.* 35.

Ps. xxi. 18.

Διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον μου εβαλον κληρον.

103. xix. 36.

Οστουν ου συντριβησεται αυτου.

Exod. xii. 46.

Οστουν ου συντριψετε [συντριψουσι. *Num. ix.* 12.] απ' αυτου.

104. xix. 37.

Οψονται εις ὁν εξεκεντησαν. *Conf. Apoc. i.* 7.

Zach. xii. 10.

Επιβλεψονται προς με, ανθ' ὡν κατωρχησαντο. *LXX.*—ὁν εξεκεντησαν. *Theod.* συν ᾧ εξεκεντησαν, και κοψονται αυτον. *Aq.* εις ὁν εξεκεντησαν, *alii. et Edit. Ald.*

105. Act. i. 20.

Γενηθητω ἡ επαυλις αυτου ερημος, και μη εστω ὁ κατοικων εν αυτῃ.

Ps. lxviii. 25.

Γενηθητω ἡ επαυλις αυτων ηρημωμενη, και εν τοις σκηνωμασιν αυτων μη εστω ὁ κατοικων.

106. i. 20.

Την επισκοπην αυτου λαβοι ἑτερος.

Ps. cviii. 8.

Την επισκοπην αυτου λαβοι ἑτερος.

107. ii. 17-21.

Και εσται εν ταις εσχαταις

Joel. ii. 28-32.

Και εσται μετα ταυτα, και

ἡμεραις [μετα ταυτα. *Codex Vat.*] λεγει ὁ Θεος, εκχεω απο του πνευματος μου επι πασαν σαρκα· και προφητευσουσιν οἱ υἱοι ὑμων, και αἱ θυγατερες ὑμων, και οἱ νεανισκοι ὑμων ὁρασεις οψονται, και οἱ πρεσβυτεροι ὑμων ενυπνιοις ενυπνιασθησονται· καιγε επι τους δουλους μου και επι τας δουλας μου εν ταις ἡμεραις εκειναις εκχεω απο του πνευματος μου [και προφητευσουσι, *deficit in Cod. Bezæ.*] Και δωσω τερατα εν τῳ ουρανῳ ανω, και σημεια επι της γης κατω, αἱμα και πυρ και ατμιδα καπνου. Ὁ ἡλιος μεταστραφησεται εις σκοτος, και ἡ σεληνη εις αἱμα, πριν η ελθειν την ἡμεραν Κυριου την μεγαλην και επιφανη. Και εσται, πας ὁς αν επικαλεσηται το ονομα Κυριου σωθησεται. *Conf. Rom.* x. 13.

εκχεω απο του πνευματος μου επι πασαν σαρκα, και προφητευσουσιν οἱ υἱοι ὑμων, και αἱ θυγατερες ὑμων, και οἱ πρεσβυτεροι ὑμων ενυπνια ενυπνιασθησονται, και οἱ νεανισκοι ὑμων ὁρασεις οψονται. Και επι τους δουλους μου και επι τας δουλας εν ταις ἡμεραις εκειναις εκχεω απο του πνευματος μου. Και δωσω τερατα εν ουρανῳ, και επι της γης αἱμα και πυρ και ατμιδα καπνου. Ὁ ἡλιος μεταστραφησεται εις σκοτος, και ἡ σεληνη εις αἱμα, πριν ελθειν την ἡμεραν Κυριου την μεγαλην και επιφανη. Και εσται πας ὁς αν επικαλεσηται το ονομα Κυριου σωθησεται.

108. Act. ii. 25-28.

Προωρωμην τον Κυριον ενωπιον μου διαπαντος· ὁτι εκ δεξιων μου εστιν, ἱνα μη σαλευθω. Δια τουτο ευφρανθη ἡ καρδια μου, και ηγαλλιασατο ἡ γλωσσα μου· ετι δε και ἡ σαρξ μου κατασκηνωσει επ᾽ ελπιδι· ὁτι ουκ εγκαταλειψεις την ψυχην μου εις ᾁδου, ουδε δωσεις τον Ὁσιον σου ιδειν διαφθοραν. Εγνωρισας μοι ὁδους ζωης· πληρωσεις με ευφροσυνης μετα του προσωπου σου. *Conf. Act.* xiii. 35.

Ps. xv. 8-11.

Προωρωμην τον Κυριον ενωπιον μου διαπαντος· ὁτι εκ δεξιων μου εστιν, ἱνα μη σαλευθω. Δια τουτο ηυφρανθη ἡ καρδια μου, και ηγαλλιασατο ἡ γλωσσα μου, ετι δε και ἡ σαρξ μου κατασκηνωσει επ᾽ ελπιδι· ὁτι ουκ εγκαταλειψεις την ψυχην μου εις ᾁδην, ουδε δωσεις τον Ὁσιον σου ιδειν διαφθοραν. Εγνωρισας μοι ὁδους ζωης· πληρωσεις με ευφροσυνης μετα του προσωπου σου.

109. ii. 30.

Ωμοσεν αυτῳ ὁ Θεος, Εκ καρπου της οσφυος αυτου καθισαι επι του θρονου αυτου.

Ps. cxxxi. 11.

Ωμοσε Κυριος τῳ Δαυιδ—Εκ καρπου της κοιλιας σου θησομαι επι του θρονου σου.

110. ii. 34, 35.

Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου,

Ps. cix. 1.

Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου,

Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *Conf. Matt. xxii.* 44. *Marc. xii.* 36. *Luc. xx.* 42. *Heb. i.* 13.

Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.

111. Act. iii. 22, 23.

Προφητην ὑμιν αναστησει Κυριος ὁ Θεος ὑμων εκ των αδελφων ὑμων, ὡς εμε. αυτου ακουσεσθε κατα παντα ὁσα αν λαλησῃ προς ὑμας. Εσται δε, πασα ψυχη ἡτις αν μη ακουσῃ του προφητου εκεινου, εξολοθρευθησεται εκ του λαου. *Conf. Cap. vii.* 37.

Deut. xviii. 15-19.

Προφητην εκ των αδελφων σου, ὡς εμε, αναστησει σοι Κυριος ὁ Θεος σου, αυτου ακουσεσθε—Και ὁ ανθρωπος ὁς εαν μη ακουσῃ ὁσα αν λαλησῃ ὁ προφητης εκεινος επι το ονοματι μου, εγω εκδικησω εξ αυτου.

112. iii. 25.

Και εν τῳ σπερματι σου ενευλογηθησονται πασαι αἱ πατριαι της γης. *Conf. Gal. iii.* 8.

Gen. xxii.

Και ενευλογηθησονται εν τῳ σπερματι σου παντα τα εθνη της γης.

113. iv. 11.

Οὑτος εστιν ὁ λιθος ὁ εξουθενηθεις ὑφ᾽ ὑμων των οικοδομουντων, ὁ γενομενος εις κεφαλην γωνιας. *Conf. Matt. xxi.* 42. *Marc. xii.* 10. *Luc. xx.* 17. 1 *Pet. ii.* 7.

Ps. cxvii. 22.

Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας.

114. iv. 25, 26.

Ἱνατι εφρυαξαν εθνη, και λαοι εμελετησαν κενα; Παρεστησαν οἱ βασιλεις της γης, και οἱ αρχοντες συνηχθησαν επι το αυτο, κατα του Κυριου και κατα του Χριστου αυτου.

Ps. ii. 1, 2.

Ἱνατι εφρυαξαν εθνη, και λαοι εμελετησαν κενα; Παρεστησαν οἱ βασιλεις της γης, και οἱ αρχοντες συνηχθησαν επι το αυτο κατα του Κυριου και κατα του Χριστου αυτου.

115. vii. 3.

Εξελθε εκ της γης σου, και εκ της συγγενειας σου, [και εκ του οικου του πατρος σου. *Codex. Laud. et alii.*] και δευρο εις γην, ἡν αν σοι δειξω.

Gen. xii. 1.

Εξελθε εκ της γης σου, και εκ της συγγενειας σου, και εκ του οικου του πατρος σου, και δευρο εις την γην, ἡν αν σοι δειξω.

116. vii. 6, 7.

Εσται το σπερμα αυτου παροικον εν γῃ αλλοτριᾳ, και δου-

Gen. xv. 13, 14.

Παροικον εσται το σπερμα σου εν γῃ ουκ ιδιᾳ, και δουλευσουσιν

λευσουσιν αυτο και κακωσουσιν, ετη τετρακοσια. Και το εθνος, ᾡ εαν δουλευσωσι, κρινω εγω, ειπεν ὁ Θεος· και μετα ταυτα εξελευσονται, και λατρευσουσι μοι εν τῳ τοπῳ τουτῳ.

αυτους, και κακωσουσιν αυτους, [αυτους *deest. Com.*] και ταπεινωσουσιν αυτους [αυτους *deest. Comp.*] τετρακοσια ετη. Το δε εθνος, ᾡ εαν δουλευσωσι, κρινω εγω. μετα δε ταυτα εξελευσονται ὡδε.

117. Act. vii. 18.

Ανεστη βασιλευς ἑτερος, ὁς ουκ ᾐδει τον Ιωσηφ.

Exod. i. 8.

Ανεστη δε βασιλευς ἑτερος επ᾽ Αιγυπτον, ὁς ουκ ᾐδει τον Ιωσηφ.

118. vii. 27, 28.

Τις σε κατεστησεν αρχοντα και δικαστην εφ᾽ ἡμας; Μη ανελειν με συ θελεις, ὁν τροπον ανειλες χθες τον Αιγυπτιον;

Exod. ii. 14.

Τις σε κατεστησεν αρχοντα και δικαστην εφ᾽ ἡμων; Μη ανελειν με συ θελεις, ὁν τροπον ανειλες χθες τον Αιγυπτιον;

119. vii. 32.

Εγω ὁ Θεος των πατερων σου, ὁ Θεος Αβρααμ, και ὁ Θεος Ισαακ, και ὁ Θεος Ιακωβ. *Conf. Matt. xxii.* 32. *Marc. xii.* 26. *Luc. xx.* 37.

Exod. iii. 6.

Εγω ειμι ὁ Θεος του πατρος σου, Θεος Αβρααμ, και Θεος Ισαακ, και Θεος Ιακωβ.

120. vii. 33.

Λυσον το ὑποδημα των ποδων σου· ὁ γαρ τοπος εν ᾡ ἑστηκας, γη ἁγια εστι.

Exod. iii. 5.

Λυσαι το ὑποδημα εκ των ποδων σου· ὁ γαρ τοπος εν ᾡ συ ἑστηκας, γη ἁγια εστι.

121. vii. 34.

Ιδων ειδον την κακωσιν του λαου μου εν Αιγυπτῳ, και του στεναγμου αυτων ηκουσα, και κατεβην εξελεσθαι αυτους· και νυν δευρο, αποστελω σε εις Αιγυπτον.

Exod. iii. 7.

Ιδων ειδον την κακωσιν του λαου μου του εν Αιγυπτῳ, και της κραυγης αυτων ακηκοα.—Και κατεβην εξελεσθαι αυτους—Και νυν δευρο, αποστειλω σε προς Φαραω βασιλεα Αιγυπτου.

122. vii. 40.

Ποιησον ἡμιν θεους, οἱ προπορευσονται ἡμων· ὁ γαρ Μωϋσης οὑτος, ὁς εξηγαγεν ἡμας εκ γης Αιγυπτου, ουκ οιδαμεν τι γεγονεν αυτῳ.

Exod. xxxii. 1.

Ποιησον ἡμιν θεους, οἱ προπορευσονται ἡμων· ὁ γαρ Μωϋσης οὑτος, ὁ ανθρωπος ὁς εξηγαγεν ἡμας εκ γης Αιγυπτου, ουκ οιδαμεν τι γεγονεν αυτῳ.

123. vii. 42.

Μη σφαγια και θυσιας προση-

Amos. v. 25-27.

Μη σφαγια και θυσιας προση-

νεγκατε μοι ετη τεσσαρακοντα εν τῃ ερημῳ, οικος Ισραηλ; Και ανελαβετε την σκηνην του Μολοχ, και το αστρον του θεου ὑμων Ῥεμφαν, τους τυπους, οὑς εποιησατε προσκυνειν αυτοις. και μετοικιω ὑμας επεκεινα Βαβυλωνος.

νεγκατε μοι, οικος Ισραηλ, τεσσαρακοντα ετη εν τῃ ερημῳ; Και ανελαβετε την σκηνην του Μολοχ, και το αστρον του θεου ὑμων Ῥαιφαν, [Ρομφα Comp.] τους τυπους αυτων, οὑς εποιησατε ἑαυτοις. και μετοικιω ὑμας επεκεινα Δαμασκου.

124. Act. vii. 44.

Ποιησαι αυτην κατα τον τυπον ὁν εωρακει. Conf. Heb. viii. 5.

Exod. xxv. 40.

Ὁρα ποιησεις κατα τον τυπον τον δεδειγμενον σοι.

125. vii. 49, 50.

Ὁ ουρανος μοι θρονος, ἡ δε γη ὑποποδιον των ποδων μου. Ποιον οικον οικοδομησετε μοι; λεγει Κυριος· η τις τοπος της καταπαυσεως μου; Ουχι ἡ χειρ μου εποιησε ταυτα παντα; Conf. cap. xvii. 24. Matt. v. 34, 35.

Esa. lxvi. 1, 2.

Ὁ ουρανος μου θρονος, και ἡ γη ὑποποδιον των ποδων μου. Ποιον οικον οικοδομησετε μοι; και ποιος τοπος της καταπαυσεως μου; Παντα γαρ ταυτα εποιησεν ἡ χειρ μου. Conf. 2 Par. vi. 18.

126. viii. 32, 33.

Ὡς προβατον επι σφαγην ηχθη, και ὡς αμνος εναντιον του κειροντος αυτον αφωνος, οὑτως ουκ ανοιγει το στομα αὑτου. Εν τῃ ταπεινωσει αυτου ἡ κρισις αυτου ηρθη· την δε γενεαν αυτου τις διηγησεται; ὁτι αιρεται απο της γης ἡ ζωη αυτου.

Esa. liii. 7, 8.

Ὡς προβατον επι σφαγην ηχθη, και ὡς αμνος εναντιον του κειροντος αφωνος, οὑτως ουκ ανοιγει το στομα. Εν τῃ ταπεινωσει ἡ κρισις αυτου ηρθη· την γενεαν αυτου τις διηγησεται; ὁτι αιρεται απο της γης ἡ ζωη αυτου.

127. xiii. 22.

Εὑρον Δαυϊδ τον του Ιεσσαι, ανδρα κατα την καρδιαν μου, ὁς ποιησει παντα τα θεληματα μου.

Ps. lxxxviii. 20. 1 Reg. xiii. 14.

Εὑρον Δαυιδ τον δουλον μου— Και ζητησει Κυριος ἑαυτῳ ανθρωπον κατα την καρδιαν αυτου.

128. xiii. 33.

Υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε. Conf. Heb. i. 5. v. 5.

Ps. ii. 7.

Υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε.

129. xiii. 34.

Δωσω ὑμιν τα ὁσια Δαυϊδ τα πιστα.

Esa. lv. 3.

Διαθησομαι ὑμιν διαθηκην αιωνιον, τα ὁσια Δαυιδ τα πιστα.

130. Act. xiii. 35.

Ου δωσεις τον Ὁσιον σου ιδειν διαφθοραν. *Conf. Act. ii.* 27.

Ps. xv. 10.

Ουδε δωσεις τον Ὁσιον σου ιδειν διαφθοραν.

131. xiii. 41.

Ιδετε οἱ καταφρονηται, [και επιβλεψατε. *alii.*] και θαυμασατε, και αφανισθητε. ὁτι εργον εγω εργαζομαι εν ταις ἡμεραις ὑμων, εργον, ὁ [ᾡ, *alii.*] ου μη πιστευσητε, εαν τις εκδιηγηται ὑμιν.

Hab. i. 5.

Ιδετε οἱ καταφρονηται, και επιβλεψατε, και θαυμασατε θαυμασια, και αφανισθητε· διοτι εργον εγω εργαζομαι εν ταις ἡμεραις ὑμων, ὁ ου μη πιστευσητε, εαν τις εκδιηγηται.

132. xiii. 47.

Τεθεικα σε εις φως εθνων, του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης.

Esa. xlix. 6.

Δεδωκα σε εις διαθηκην γενους, εις φως εθνων, του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης. *Vat.* τεθεικα σε εις φως εθνων. κ. τ. λ. *Alex.* και οἱ λοιπ.

133. xiv. 15.

Ὁς εποιησε τον ουρανον, και την γην, και την θαλασσαν, και παντα τα εν αυτοις.

Ps. cxlv. 6.

Τον ποιησαντα τον ουρανον, και την γην, την θαλασσαν, και παντα τα εν αυτοις.

134. xv. 16, 17.

Μετα ταυτα αναστρεψω, και ανοικοδομησω την σκηνην Δαυϊδ την πεπτωκυιαν, και κατεσκαμμενα αυτης ανοικοδομησω, και ανορθωσω αυτην· ὁπως αν εκζητησωσιν οἱ καταλοιποι των ανθρωπων τον Κυριον, και παντα τα εθνη, εφ᾽ οὑς επικεκληται το ονομα μου επ᾽ αυτους, λεγει Κυριος ὁ ποιων ταυτα παντα.

Amos. ix. 11, 12.

Εν τῃ ἡμερᾳ εκεινῃ αναστησω την σκηνην Δαυιδ την πεπτωκυιαν, και ανοικοδομησω τα πεπτωκοτα αυτης, και τα κατεσκαμμενα [κατεστραμμενα. *Alex.*] αυτης αναστησω, και ανοικοδομησω αυτην, καθως αἱ ἡμεραι του αιωνος. Ὁπως εκζητησωσιν οἱ καταλοιποι των ανθρωπων, και παντα τα εθνη, εφ᾽ οὑς επικεκληται το ονομα μου επ᾽ αυτους, λεγει Κυριος ὁ ποιων παντα ταυτα.

135. xxiii. 5.

Αρχοντα του λαου σου ουκ ερεις κακως.

Exod. xxii. 28.

Αρχοντα του λαου σου ου κακως ερεις.

136. xxviii. 26, 27.

Πορευθητι προς τον λαον του-

Esa. vi. 9-11.

Πορευθητι, και ειπον τῳ λαῳ

τον, και ειπον· Ακοῃ ακουσετε, και ου μη συνητε, και βλεποντες βλεψετε, και ου μη ιδητε. Επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσι βαρεως ηκουσαν, και τους οφθαλμους αὑτων εκαμμυσαν· μηποτε ιδωσι τοις οφθαλμοις, και τοις ωσιν ακουσωσι, και τῃ καρδιᾳ συνωσι, και επιστρεψωσι, και ιασωμαι αυτους. *Conf. Matt.* xiii. 14. *Marc.* iv. 12. *Luc.* viii. 10. *Joan.* xii. 40. *Rom.* xi. 8.

τουτῳ· Ακοῃ ακουσετε, και ου μη συνητε, και βλεποντες βλεψετε, και ου μη ιδητε. Επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσιν αυτων βαρεως ηκουσαν, και τους οφθαλμους εκαμμυσαν, μηποτε ιδωσι τοις οφθαλμοις, και τοις ωσιν ακουσωσι, και τῃ καρδιᾳ συνωσι και επισστρεψωσι, και ιασομαι αυτους.

137. Rom. i. 17.

Ὁ δε δικαιος εκ πιστεως [μου *Codex. Ephrem.*] ζησεται. *Conf. Heb.* x. 38. *Gal.* iii. 11.

Hab. ii. 4.

Ὁ δε δικαιος εκ πιστεως μου ζησεται.

138. ii. 24.

Το γαρ ονομα του Θεου δι' ὑμας βλασφημειται εν τοις εθνεσι.

Esa. lii. 5.

Δι' ὑμας διαπαντος το ονομα μου βλασφημειται εν τοις εθνεσι.

139. iii. 4.

Πας δε ανθρωπος ψευστης.

Ps. cxv. 2.

Πας ανθρωπος ψευστης.

140. iii. 4.

Ὁπως αν δικαιωθῃς εν τοις λογοις σου, και νικησῃς εν τῳ κρινεσθαι σε.

Ps. l. 4.

Ὁπως αν δικαιωθῃς εν τοις λογοις σου, και νικησῃς εν τῳ κρινεσθαι σε.

141. iii. 10-18.

Ουκ εστι δικαιος, ουδε εἱς· ουκ εστιν ὁ συνιων, ουκ εστιν ὁ εκζητων τον Θεον. Παντες εξεκλιναν, ἁμα ηχρειωθησαν· ουκ εστι ποιων χρηστοτητα, ουκ εστιν ἑως ἑνος. Ταφος ανεῳγμενος ὁ λαρυγξ αυτων· ταις γλωσσαις αὑτων εδολιουσαν· ιος ασπιδων ὑπο τα χειλη αυτων· ὡν το στομα αρας και πικριας γεμει. Οξεις οἱ ποδες αυτων εκχεαι αἱμα, συντριμμα και ταλαιπωρια εν τοις ὁδοις αυτων, και ὁδον ειρηνης ουκ εγνω-

Ps. xiii. 1-3.

Ουκ εστι ποιων χρηστοτητα, ουκ εστιν ἑως ἑνος. Κυριος εκ του ουρανου διεκυψεν επι τους υἱους των ανθρωπων, του ιδειν ει εστι συνιων η εκζητων τον Θεον. Παντες εξεκλιναν, ἁμα ηχρειωθησαν· ουκ εστι ποιων χρηστοτητα, ουκ εστιν ἑως ἑνος. Ταφος ανεῳγμενος ὁ λαρυγξ αυτων, ταις γλωσσαις αυτων εδολιουσαν· ιος ασπιδων ὑπο τα χειλη αυτων· ὡν το στομα αρας και πικριας γεμει· Οξεις οἱ ποδες αυτων εκχεαι αἱμα· συν-

σαν. Ουκ εστι φοβος Θεου απεναντι των οφθαλμων αυτων.

τριμμα και ταλαιπωρια εν ταις ὁδοις αυτων, και ὁδον ειρηνης ουκ εγνωσαν. Ουκ εστι φοβος Θεου απεναντι των οφθαλμων αυτων. [*Omnia hæc, disjecta tamen, invenies apud Ps.* v. 9. *ix.* 7. *xxxv.* 1. *cxxxix.* 3. *Esa. lix.* 7, 8.]

142. Rom. iv. 3.

Επιστευσε δε Αβρααμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. *Conf. Jac. ii.* 23.

Gen. xv. 6.

Επιστευσεν Αβρααμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην.

143. iv. 7, 8.

Μακαριοι ὠν αφεθησαν αἱ ανομιαι, και ὠν επεκαλυφθησαν αἱ ἁμαρτιαι· μακαριος ανηρ, ᾡ ου μη λογισηται Κυριος ἁμαρτιαν.

Ps. xxxi. 1, 2.

Μακαριοι ὠν αφεθησαν αἱ ανομιαι, και ὠν επεκαλυφθησαν αἱ ἁμαρτιαι· μακαριος ανηρ, ᾡ ου μη λογισηται Κυριος ἁμαρτιαν.

144. iv. 17.

Πατερα πολλων εθνων τεθεικα σε.

Gen. xvii. 5.

Πατερα πολλων εθνων τεθεικα σε.

145. iv. 18.

Οὑτως εσται το σπερμα σου.

Gen. xv. 5.

Οὑτως εσται το σπερμα σου.

146. vii. 7. xiii. 9.

Ουκ επιθυμησεις.

Exod. xx. 17. Deut. v. 21.

Ουκ επιθυμησεις.

147. viii. 36.

Ὁτι ἑνεκα σου θανατουμεθα ὁλην την ἡμεραν· ελογισθημεν ὡς προβατα σφαγης.

Ps. xliii. 22.

Ὁτι ἑνεκα σου θανατουμεθα ὁλην την ἡμεραν· ελογισθημεν ὡς προβατα σφαγης.

148. ix. 7.

Εν Ισαακ κληθησεται σοι σπερμα. *Conf. Heb. xi.* 18.

Gen. xxi. 12.

Εν Ισαακ κληθησεται σοι σπερμα.

149. ix. 9.

Κατα τον καιρον τουτον ελευσομαι, και εσται τῃ Σαῤῥᾳ υἱος.

Gen. xviii. 10.

Επαναστρεφων ἡξω προς σε κατα τον καιρον τουτον εις ὡρας, και ἑξει υἱον Σαῤῥα ἡ γυνη σου.

150. ix. 12.

Ὁ μειζων δουλευσει τῳ ελασσονι.

Gen. xxv. 23.

Ὁ μειζων δουλευσει τῳ ελασσονι.

151. ix. 13.

Τον Ιακωβ ηγαπησα, τον δε Ησαυ εμισησα.

Mal. i. 2, 3.

Ηγαπησα τον Ιακωβ, τον δε Ησαυ εμισησα.

152. Rom. ix. 15.

Ελεησω ὁν ἀν ελεω, και οικτειρησω ὁν ἀν οικτειρω.

Exod. xxxiii. 19.

Ελεησω ὁν αν ελεω, και οικτειρησω ὁν αν οικτειρω.

153. ix. 17.

Εις αυτο τουτο εξηγειρα σε, ὁπως ενδειξωμαι εν σοι την δυναμιν μου, και ὁπως διαγγελη το ονομα μου εν παση τη γη.

Exod. ix. 16.

Ἑνεκεν τουτου διετηρηθης, ἱνα ενδειξωμαι εν σοι την ισχυν μου, [δυναμιν μου. *alii.*] και ὁπως διαγγελη το ονομα μου εν παση τη γη.

154. ix. 20.

Μη ερει το πλασμα τῳ πλασαντι, Τι με εποιησας οὑτως;

Esa. xlv. 9. xxix. 16.

Μη ερει ὁ πηλος τῳ κεραμει, Τι ποιεις ὁτι ουκ εργαζη, ουδε εχεις χειρας; μη αποκριθησεται το πλασμα προς τον πλασαντα αυτο;

155. ix. 25.

Καλεσω τον ου λαον μου, λαον μου· και την ουκ ηγαπημενην, ηγαπημενην.

Ose. ii. 1. 23.

Ειπατε τῳ αδελφῳ ὑμων, Λαος μου, και τη αδελφη ὑμων, Ηλεημενη—και αγαπησω την ουκ ηγαπημενην, και ερω τῳ ου λαῳ μου, Λαος μου ει συ.

156. ix. 26.

Και εσται, εν τῳ τοπῳ οὑ ερρηθη αυτοις, Ου λαος μου ὑμεις, εκει κληθησονται υἱοι Θεου ζωντος.

Ose. i. 10.

Και εσται, εν τῳ τοπῳ οὑ ερρηθη αυτοις, Ου λαος μου ὑμεις, κληθησονται και αυτοι [εκει. *Alex.*] υἱοι Θεου ζωντος.

157. ix. 27, 28.

Εαν η ὁ αριθμος των υἱων Ισραηλ ὡς ἡ αμμος της θαλασσης, το καταλειμμα σωθησεται. Λογον γαρ συντελων και συντεμνων εν δικαιοσυνη· ὁτι λογον συντετμημενον ποιησει Κυριος επι της γης.

Esa. x. 22, 23.

Και εαν γενηται ὁ λαος Ισραηλ ὡς ἡ αμμος της θαλασσης, το καταλειμμα αυτων σωθησεται. Λογον συντελων και συντεμνων εν δικαιοσυνη· ὁτι λογον συντετμημενον Κυριος ποιησει εν τη οικουμενη ὁλη.

158. ix. 29.

Ει μη Κυριος Σαβαωθ εγκατελιπεν ἡμιν σπερμα, ὡς Σοδομα αν εγενηθημεν, και ὡς Γομορρα αν ὡμοιωθημεν.

Esa. i. 9.

Και ει μη Κυριος Σαβαωθ εγκατελιπεν ἡμιν σπερμα, ὡς Σοδομα αν εγενηθημεν, και ὡς Γομορρα αν ὡμοιωθημεν.

159. Rom. ix. 32, 33.

Προσεκοψαν γαρ τῳ λιθῳ του προσκομματος· καθως γεγραπται, Ιδου τιθημι εν Σιων λιθον προσκομματος, και πετραν σκανδαλου.

Esa. viii. 14.

Και ουχ ὡς λιθου προσκομματι συναντησεσθε, ουδε ὡς πετρας πτωματι. [και εις λιθον προσκομματος. *Theod.* και εις στερεον σκανδαλου. *Aq.* συναντησασθαι αυτῳ. *Alex.* και εις πετραν πτωματος. *Theod.* εις λιθον προσκομματος, και εις πετραν πτωματος. *Sym.*]

160. ix. 33.

Και πας ὁ πιστευων επ' αυτῳ ου καταισχυνθησεται.

Esa. xxviii. 16.

Και ὁ πιστευων ου μη καταισχυνθῃ. *Conf.* 1 *Pet. ii.* 6.

161. x. 5.

Ὁ ποιησας αυτα ανθρωπος ζησεται εν αυτοις. *Conf. Gal. iii.* 12.

Lev. xviii. 12.

Ἁ ποιησας αυτα ανθρωπος ζησεται εν αυτοις.

162. x. 6.

Μη ειπῃς εν τῃ καρδιᾳ σου, Τις αναβησεται εις τον ουρανον; [τουτ' εστι Χριστον καταγαγειν·] Η, Τις καταβησεται εις την αβυσσον; [τουτ' εστι Χριστον εκ νεκρων αναγαγειν]—Εγγυς σοι το ῥημα εστιν, εν τῳ στοματι σου και εν τῃ καρδιᾳ σου.

Deut. xxx. 12-14.

Ουκ εν τῳ ουρανῳ ανω εστι, λεγων, Τις αναβησεται ἡμιν εις τον ουρανον, και ληψεται ἡμιν αυτην, και ακουσαντες αυτην ποιησομεν; Ουδε περαν της θαλασσης εστι, λεγων, Τις διαπερασει ἡμιν εις το περαν της θαλασσης, και λαβῃ ἡμιν αυτην, και ακουστην ἡμιν ποιησῃ αυτην, και ποιησομεν; Εγγυς σου εστι το ῥημα σφοδρα εν τῳ στοματι σου, και εν τῃ καρδιᾳ σου, και εν ταις χερσι σου ποιειν αυτα.

163. x. 13.

Πας γαρ ὁς αν επικαλεσηται το ονομα Κυριου σωθησεται. *Conf. Act. ii.* 21.

Joel ii. 32.

Και εσται, πας ὁς αν επικαλεσηται το ονομα Κυριου σωθησεται.

164. x. 15.

Ὡς ὡραιοι οἱ ποδες των ευαγγελιζομενων ειρηνην, των ευαγγελιζομενων τα αγαθα.

Esa. lii. 7. *Conf. Nah. i.* 15.

Ὡς ὡρα [τι ὡραιωθησαν επι τα ορη. *Aq.* ὡς ὡραιοι *in uno Codice. Nobil. et Edit. Argentor.* ὡς ευπρεπεις. *Sym.*] επι των ορεων, ὡς ποδες ευαγγελιζομενου ακοην

ειρηνης, ὡς ευαγγελιζομενος αγαθα. *Comp.* παρειμι ὡς ὡρα επι των ορεων, ὡς ποδες ευαγγελιζομενου. *Conf. Drusium.*

165. Rom. x. 16.

Κυριε, τις επιστευσε τῃ ακοῃ ἡμων; *Conf. Joan. xii.* 38.

Esa. liii. 1.

Κυριε, τις επιστευσε τῃ ακοῃ ἡμων;

166. x. 18.

Εις πασαν την γην εξηλθεν ὁ φθογγος αυτων, και εις τα περατα της οικουμενης τα ῥηματα αυτων.

Ps. xviii. 4.

Εις πασαν την γην εξηλθεν ὁ φθογγος αυτων, και εις τα περατα της οικουμενης τα ῥηματα αυτων.

167. x. 19.

Εγω παραζηλωσω ὑμας επ' ουκ εθνει, επι εθνει ασυνετῳ παροργιω ὑμας.

Deut. xxxii. 21.

Καγω παραζηλωσω αυτους επ' ουκ εθνει, επι εθνει ασυνετῳ παροργιω αυτους.

168. x. 20, 21.

Εὑρεθην τοις εμε μη ζητουσιν, εμφανης εγενομην τοις εμε μη επερωτωσι.—Ὁλην την ἡμεραν εξεπετασα τας χειρας μου προς λαον απειθουντα και αντιλεγοντα.

Esa. lxv. 1, 2.

Εμφανης εγενηθην τοις εμε μη επερωτωσιν, εὑρεθην τοις εμε μη ζητουσιν—Εξεπετασα τας χειρας μου ὁλην την ἡμεραν προς λαον απειθουντα και αντιλεγοντα.

169. xi. 3.

Κυριε, τους προφητας σου απεκτειναν, και τα θυσιαστηρια σου κατεσκαψαν· καγω ὑπελειφθην μονος, και ζητουσι την ψυχην μου. [λαβειν αυτην. *Codex Ephrem.*]

3 Reg. xix. 10. 14.

Τα θυσιαστηρια σου κατεσκαψαν, και τους προφητας σου απεκτειναν εν ῥομφαιᾳ· και ὑπολελειμμαι εγω μονωτατος, και ζητουσι την ψυχην μου λαβειν αυτην.

170. xi. 4.

Κατελιπον εμαυτῳ επτακισχιλιους ανδρας, οἱτινες ουκ εκαμψαν γονυ τῃ Βααλ.

3 Reg. xix. 18.

Και καταλειψεις εν Ισραηλ ἑπτα χιλιαδας ανδρων, παντα γονατα ἁ ουκ ωκλασαν [εκαμψαν. *Ald. Comp.*] γονυ τῳ Βααλ.

171. xi. 8.

Εδωκεν αυτοις ὁ Θεος πνευμα κατανυξεως, οφθαλμους του μη βλεπειν, και ωτα του μη ακουειν. *Conf. Matt. xiii.* 14. *Marc. iv.* 12.

Esa. xxix. 10.

Ὁτι πεποτικεν ὑμας Κυριος πνευματι κατανυξεως, και καμμυσει τους οφθαλμους αυτων. *Conf. Esa. vi.* 9. *Ezech. xii.* 2.

Luc. viii. 10. *Joan. xii.* 40. *Act. xxviii.* 26.

172. Rom. xi. 9, 10.

Γενηθητω ἡ τραπεζα αυτων εις παγιδα, και εις θηραν, και εις σκανδαλον, και εις ανταποδομα αυτοις· σκοτισθητωσαν οἱ οφθαλμοι αυτων, του μη βλεπειν· και τον νωτον αυτων διαπαντος συγκαμψον.

Ps. lxviii. 22, 23.

Γενηθητω ἡ τραπεζα αυτων ενωπιον αυτων εις παγιδα, και εις ανταποδοσιν, και εις σκανδαλον· σκοτισθητωσαν οἱ οφθαλμοι αυτων του μη βλεπειν, και τον νωτον αυτων διαπαντος συγκαμψον.

173. xi. 26, 27.

Ἡξει εκ Σιων ὁ ῥυομενος, και αποστρεψει ασεβειας απο Ιακωβ. Και αὑτη αυτοις ἡ παρ' εμου διαθηκη, ὁταν αφελωμαι τας ἁμαρτιας αυτων.

Esa. lix. 20, 21.

Ἡξει ἑνεκεν [απο *Comp.*] Σιων ὁ ῥυομενος, και αποστρεψει ασεβειας απο Ιακωβ. Και αὑτη αυτοις ἡ παρ' εμου διαθηκη. *Conf. xxvii.* 9. και τουτο εστιν ἡ ευλογια αυτου, ὁταν αφελωμαι την ἁμαρτιαν αυτου.

174. xi. 34.

Τις γαρ εγνω νουν Κυριου; η τις συμβουλος αυτου εγενετο; *Conf.* 1 *Cor. ii.* 16.

Esa. xl. 13.

Τις εγνω νουν Κυριου; και τις αυτου συμβουλος εγενετο, ὁς συμβιβᾳ αυτον;

175. xii. 16.

Μη γινεσθε φρονιμοι παρ' ἑαυτοις.

Prov. iii. 7.

Μη ισθι φρονιμος παρα σεαυτῳ.

176. xii. 19.

Εμοι εκδικησις· εγω ανταποδωσω, λεγει Κυριος. *Conf. Heb. x.* 30.

Deut. xxxii. 35.

Εν ἡμερᾳ εκδικησεως ανταποδωσω.

177. xii. 20.

Εαν ουν πεινᾳ ὁ εχθρος σου, ψωμιζε αυτον· εαν διψᾳ, ποτιζε αυτον. Τουτο γαρ ποιων, ανθρακας πυρος σωρευσεις επι την κεφαλην αυτου.

Prov. xxv. 21, 22.

Εαν πεινᾳ ὁ εχθρος σου, ψωμιζε αυτον· εαν διψᾳ, ποτιζε αυτον. Τουτο γαρ ποιων, ανθρακας πυρος σωρευσεις επι την κεφαλην αυτου.

178. xiii. 9.

Ου μοιχευσεις· ου φονευσεις. ου κλεψεις· ου ψευδομαρτυρησεις· ουκ επιθυμησεις. *Conf. Matt. v.*

Exod. xx. 13. 17. Deut. v. 17.

Ου μοιχευσεις· ου κλεψεις· ου φονευσεις· ου ψευδομαρτυρησεις—ουκ επιθυμησεις.

27. *xix.* 18. *Marc. x.* 19. *Luc. xviii.* 20.

179. Rom. xiii. 9.

Αγαπησεις τον πλησιον σου ὡς ἑαυτον. *Conf. Matt. xix.* 19. *xxii.* 39. *Luc. x.* 27. *Jac. ii.* 8. *Gal. v.* 14.

180. xiv. 11.

Ζω εγω, λεγει Κυριος, ὁτι εμοι καμψει παν γονυ, και πασα γλωσσα εξομολογησεται τῳ Θεῳ.

181. xv. 3.

Οἱ ονειδισμοι των ονειδιζοντων σε επεπεσον επ' εμε.

182. xv. 9.

Δια τουτο εξομολογησομαι σοι εν εθνεσι, και τῳ ονοματι σου ψαλω.

183. xv. 10.

Ευφρανθητε εθνη μετα του λαου αυτου.

184. xv. 11.

Αινειτε τον Κυριον παντα τα εθνη, και επαινεσατε αυτον παντες οἱ λαοι.

185. xv. 12.

Εσται ἡ ῥιζα του Ιεσσαι, και ὁ αντισταμενος αρχειν εθνων, επ' αυτῳ εθνη ελπιουσι.

186. xv. 21.

Οἱς ουκ ανηγγελη περι αυτου, οψονται· και οἱ ουκ ακηκοασι, συνησουσι.

187. 1 Cor. i. 19.

Απολω την σοφιαν των σοφων,

Lev. xix. 18.

Αγαπησεις τον πλησιον σου ὡς σεαυτον. [*Ald. Comp.* ἑαυτον.]

Esa. xlv. 23, 24.

Κατ' ἐμαυτου ομνυω—ὁτι εμοι καμψει παν γονυ, και ομειται πασα γλωσσα τον Θεον. *Vat.* εξομολογησεται πασα γλωσσα τῳ Θεῳ. *Alex.*

Ps. lxviii. 9.

Οἱ ονειδισμοι των ονειδιζοντων σε επεπεσον επ' εμε.

Ps. xvii. 49.

Δια τουτο εξομολογησομαι σοι εν εθνεσι, Κυριε, και τῳ ονοματι σου ψαλω.

Deut. xxxii. 43.

Ευφρανθητε εθνη μετα του λαου αυτου.

Ps. cxvi. 1.

Αινειτε τον Κυριον παντα τα εθνη, επαινεσατε αυτον παντες οἱ λαοι.

Esa. xi. 10.

Εσται εν τῃ ἡμερᾳ εκεινῃ ἡ ῥιζα του Ιεσσαι, και ὁ ανισταμενος αρχειν εθνων, επ' αυτῳ εθνη ελπιουσι.

Esa. lii. 15.

Οἱς ουκ ανηγγελη περι αυτου, οψονται· και οἱ ουκ ακηκοασι, συνησουσι.

Esa. xxix. 14.

Απολω την σοφιαν των σοφων,

και την συνεσιν των συνετων αθετησω. | και την συνεσιν των συνετων κρυψω.

188. 1 Cor. i. 31.
Ὁ καυχωμενος εν Κυριῳ καυχασθω.

Jer. ix. 24.
Εν τουτῳ καυχασθω ὁ καυχωμενος συνιειν και γινωσκειν, ὁτι εγω ειμι Κυριος.

189. ii. 9.
Ἁ οφθαλμος ουκ ειδε, και ους ουκ ηκουσε, και επι καρδιαν ανθρωπου ουκ ανεβη, ἁ ἡτοιμασεν ὁ Θεος τοις αγαπωσιν αὑτον.

Esa. lxiv. 4.
Απο του αιωνος ουκ ηκουσαμεν, ουδε οἱ οφθαλμοι ἡμων ειδον Θεον πλην σου, και τα εργα σου, ἁ ποιησεις τοις ὑπομενουσιν ελεον.

190. ii. 16.
Τις γαρ εγνω νουν Κυριου, ὁς συμβιβασει αυτον; *Conf. Rom. xi.* 34.

Esa. xl. 13.
Τις εγνω νουν Κυριου; και τις αυτου συμβουλος εγενετο, ὁς συμβιβᾳ *Vat.* συμβιβασει. *Alex. Ald. Comp.* αυτον;

191. iii. 19.
Ὁ δρασσομενος τους σοφους εν τῃ πανουργιᾳ αυτων.

Job. v. 13.
Ὁ καταλαμβανων σοφους εν τῃ φρονησει. [αυτων. *Alex.*]

192. iii. 20.
Κυριος γινωσκει τους διαλογισμους των σοφων [ανθρωπων, *alii.*] ὁτι εισι ματαιοι.

Ps. xciii. 11.
Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων, ὁτι εισι ματαιοι.

193. v. 13.
Και εξαρειτε τον πονηρον εξ ὑμων αυτων.

Deut. xxiv. 7.
Και εξαρεις τον πονηρον εξ ὑμων αυτων.

194. vi. 16.
Εσονται γαρ, φησιν, οἱ δυο εις σαρκα μιαν. *Conf. Matt. xix.* 5, 6. *Marc. x.* 7, 8. *Ephes. v.* 31.

Gen. ii. 24.
Εσονται οἱ δυο εις σαρκα μιαν.

195. ix. 9.
Ου φιμωσεις βουν αλοωντα. *Conf.* 1 *Tim. v.* 18.

Deut. xxv. 4.
Ου φιμωσεις βουν αλοωντα.

196. x. 7.
Εκαθισεν ὁ λαος φαγειν και πιειν, και ανεστησαν παιζειν.

Exod. xxxii. 6.
Εκαθισεν ὁ λαος φαγειν και πιειν, και ανεστησαν παιζειν.

197. x. 20.
Ἁ θυει τα εθνη, δαιμονιοις θυει, και ου Θεῳ.

Deut. xxxii. 17.
Εθυσαν δαιμονιοις, και ου Θεῳ.

198. 1 Cor. x. 26.	Ps. xxiii. 1.
Του γαρ Κυριου ἡ γη και το πληρωμα αυτης.	Του Κυριου ἡ γη και το πληρωμα αυτης.
199. xiv. 21.	Esa. xxviii. 11, 12.
Εν ἑτερογλωσσοις, και εν χειλεσιν ἑτεροις, λαλησω τῳ λαῳ τουτῳ· και ουδ᾽ οὑτως εισακουσονται μου, λεγει Κυριος.	Δια φαυλισμον χειλεων, δια γλωσσης ἑτερας, ὁτι λαλησουσι τῳ λαῳ τουτῳ—και ουκ ηθελησαν ακουειν. [εν ἑτερογλωσσοις, και εν χειλεσιν ἑτεροις λαλησω τῳ λαῳ τουτῳ. *Aq. et alii.*]
200. xv. 25.	Ps. cix. 1.
Αχρις οὑ αν θῃ παντας τους εχθρους ὑπο τους ποδας αὑτου.	Ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.
201. xv. 27.	Ps. viii. 6.
Παντα γαρ ὑπεταξεν ὑπο τους ποδας αυτου. *Conf. Heb. ii.* 6, 7.	Παντα ὑπεταξας ὑποκατω των ποδων αυτου.
202. xv. 32.	Esa. xxii. 13.
Φαγωμεν και πιωμεν· αυριον γαρ αποθνησκομεν.	Φαγωμεν και πιωμεν· αυριον γαρ αποθνησκομεν.
203. xv. 45.	Gen. ii. 7.
Εγενετο ὁ πρωτος ανθρωπος Αδαμ εις ψυχην ζωσαν.	Εγενετο ὁ ανθρωπος εις ψυχην ζωσαν.
204. xv. 54.	Esa. xxv. 8.
Κατεποθη ὁ θανατος εις νικος.	Κατεπιεν ὁ θανατος ισχυσας. *LXX.* κατεποθη ὁ θανατος εις νικος. *Theod.* καταποντισει τον θανατον εις νικος. *Aq.*
205. xv. 55.	Ose. xiii. 14.
Που σου, θανατε, το κεντρον; που σου, ᾁδη, το νικος;	Που ἡ δικη σου, θανατε; που το κεντρον σου, ᾁδη; *Edit. Basil.* ἡ νικη σου; *Ald. et Argentor.* ἡ δικη σου; *Drusius.*
206. 2 Cor. iii. 13.	Exod. xxxiv. 33.
Ετιθει καλυμμα επι το προσωπον ἑαυτου.	Επεθηκεν επι το προσωπον αυτου καλυμμα.
207. iv. 13.	Ps. cxv. 10.
Επιστευσα, διο ελαλησα.	Επιστευσα, διο ελαλησα.
208. vi. 2.	Esa. xlix. 8.
Καιρῳ δεκτῳ επηκουσα σου,	Καιρῳ δεκτῳ επηκουσα σου,

και εν ἡμερᾳ σωτηριας εβοηθησα σοι. | και εν ἡμερᾳ σωτηριας εβοηθησα σοι.

209. 2 Cor. vi. 16.
Ενοικησω εν αυτοις, και εμπεριπατησω· και εσομαι αυτων Θεος, και αυτοι εσονται μοι λαος.

Lev. xxvi. 11, 12.
Θησω την σκηνην μου εν ὑμιν —και εμπεριπατησω εν ὑμιν· και εσομαι ὑμιν Θεος, και ὑμεις εσεσθε μοι λαος.

210. vi. 17.
Διο εξελθετε εκ μεσου αυτων, και αφορισθητε, λεγει Κυριος, και ακαθαρτου μη ἁπτεσθε· και καγω εισδεξομαι ὑμας.

Esa. lii. 11, 12.
Αποστητε, αποστητε, εξελθατε εκειθεν, και ακαθαρτου μη ἁψησθε, εξελθετε εκ μεσου αυτης, αφορισθητε—και ὁ επισυναγων ὑμας Θεος Ισραηλ.

211. vi. 18.
Και εσομαι ὑμιν εις πατερα, και ὑμεις εσεσθε μοι εις υἱους και θυγατερας. *Conf. Heb. i. 5.*

2 Reg. vii. 14.
Εγω εσομαι αυτῳ εις πατερα, και αυτος εσται μοι εις υἱον.

212. viii. 15.
Ὁ το πολυ, ουκ επλεονασε· και ὁ το ολιγον, ουκ ηλαττονησε.

Exod. xvi. 18.
Ουκ επλεονασεν ὁ το πολυ· και ὁ το ελαττον, ουκ ηλαττονησε.

213. viii. 21.
Προνοουμενοι καλα ου μονον ενωπιον Κυριου, αλλα και ενωπιον ανθρωπων.

Prov. iii. 4.
Και προνοου καλα ενωπιον Κυριου και ανθρωπων.

214. ix. 7.
Ἱλαρον γαρ δοτην αγαπᾳ ὁ Θεος.

Prov. xxii. 8.
Ανδρα ἱλαρον και δοτην ευλογει ὁ Θεος.

215. ix. 9.
Εσκορπισεν, εδωκε τοις πενησιν· ἡ δικαιοσυνη αυτου μενει εις τον αιωνα.

Ps. cxi. 9.
Εσκορπισεν, εδωκε τοις πενησιν· ἡ δικαιοσυνη αυτου μενει εις τον αιωνα του αιωνος.

216. ix. 10.
Ὁ δε επιχορηγων σπερμα τῳ σπειροντι, και αρτον εις βρωσιν, χορηγησαι και πληθυναι τον σπορον ὑμων.

Esa. lv. 10, 11.
Και δῳ σπερμα τῳ σπειροντι, και αρτον εις βρωσιν· οὑτως εσται το ῥημα μου.

217. xiii. 1.
Επι στοματος δυο μαρτυρων και τριων σταθησεται παν ῥημα.

Deut. xix. 15.
Επι στοματος δυο μαρτυρων, και επι στοματος τριων μαρτυ-

Conf. Matt. xviii. 16. *Joan. viii.* 17.

ρων, στησεται [σταθησεται, *Alex. O. Ald. Comp.*] παν ῥημα.

218. Gal. ii. 6.

Προσωπον Θεος ανθρωπου ου λαμβανει.

Deut. x. 17.

Ὁ Θεος—ὅστις ου θαυμαζει προσωπον.

219. iii. 6.

Αβρααμ επιστευσε τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. *Conf. Rom. iv.* 3. *Jac. ii.* 23.

Gen. xv. 6.

Και επιστευσεν Ἀβραμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην.

220. iii. 8.

Ενευλογηθησονται εν σοι παντα τα εθνη. *Conf. Act. iii.* 25.

Gen. xii. 3.

Ενευλογηθησονται εν σοι πασαι αἱ φυλαι της γης. ενευλογηθησονται εν αυτῳ παντα τα εθνη της γης. *xviii.* 18.

221. iii. 10.

Επικαταρατος πας ὁς ουκ εμμενει εν πασι τοις γεγραμμενοις εν τῳ βιβλιῳ του νομου του ποιησαι αυτα.

Deut. xxvii. 26.

Επικαταρατος πας ανθρωπος ὁς ουκ εμμενει εν πασι τοις λογοις του νομου τουτου ποιησαι [του ποιησαι. *Alex. Ald. Comp.*] αυτους.

222. iii. 11.

Ὁ δικαιος εκ πιστεως ζησεται. *Conf. Rom. i.* 17. *Heb. x.* 38.

Hab. ii. 4.

Ὁ δε δικαιος εκ πιστεως μου ζησεται.

223. iii. 12.

Ὁ ποιησας αυτα ανθρωπος ζησεται εν αυτοις. *Conf. Rom. x.* 5.

Lev. xviii. 5.

Ἁ ποιησας αυτα ανθρωπος ζησεται εν αυτοις.

224. iii. 13.

Επικαταρατος πας ὁ κρεμαμενος επι ξυλου.

Deut. xxi. 23.

Κεκατηραμενος ὑπο Θεου πας κρεμαμενος επι ξυλου.

225. iii. 16.

Και τῳ σπερματι σου.

Gen. xii. 7.

Τῳ σπερματι σου δωσω την γην ταυτην.

226. iv. 27.

Ευφρανθητι στειρα ἡ ου τικτουσα· ῥηξον και βοησον ἡ ουκ ωδινουσα· ὁτι πολλα τα τεκνα της ερημου, μαλλον η της εχουσης τον ανδρα.

Esa. liv. 1.

Ευφρανθητι στειρα ἡ ου τικτουσα· ῥηξον και βοησον ἡ ουκ ωδινουσα· ὁτι πολλα τα τεκνα της ερημου, μαλλον η της εχουσης τον ανδρα.

227. iv. 30.

Εκβαλε την παιδισκην και τον

Gen. xxi. 10.

Εκβαλε την παιδισκην ταυ-

ὑίον αυτης· ου γαρ μη κληρονομηση ὁ υἱος της παιδισκης μετα του υἱου της ελευθερας.

την, και τον υἱον αυτης· ου γαρ μη κληρονομησει ὁ υἱος της παιδισκης ταυτης μετα του υἱου μου Ισαακ.

228. Gal. v. 14.

Αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Conf. Matt. xix.* 19. *Marc. xii.* 31. *Luc. x.* 27.

Lev. xix. 18.

Αγαπησεις τον πλησιον σου ὡς σεαυτον.

229. Ephes. ii. 17.

Ευηγγελισατο ειρηνην ὑμιν τοις μακραν και τοις εγγυς.

Esa. lvii. 19.

Ειρηνην επ' ειρηνῃ τοις μακραν και τοις εγγυς ουσι.

230. iv. 8.

Αναβας εις ὑψος, ῃχμαλωτευσεν αιχμαλωσιαν, και εδωκε δοματα τοις ανθρωποις.

Ps. lxvii. 18.

Αναβας εις ὑψος, ῃχμαλωτευσας αιχμαλωσιαν· ελαβες δοματα εν ανθρωπῳ.

231. iv. 25.

Λαλειτε αληθειαν ἑκαστος μετα του πλησιον αὑτου.

Zach. viii. 16.

Λαλειτε αληθειαν ἑκαστος προς τον πλησιον αυτου.

232. iv. 26.

Οργιζεσθε, και μη ἁμαρτανετε.

Ps. iv. 4.

Οργιζεσθε, και μη ἁμαρτανετε.

233. v. 14.

Εγειρε ὁ καθευδων, και αναστα εκ των νεκρων, και επιφαυσει σοι ὁ Χριστος.

Esa. lx. 1.

Φωτιζου, φωτιζου, Ἱερουσαλημ, ἡκει γαρ σου το φως, και ἡ δοξα Κυριου επι σε ανατεταλκε.

234. v. 31.

Αντι τουτου καταλειψει ανθρωπος τον πατερα αὑτου και την μητερα, και προσκολληθησεται προς την γυναικα αὑτου· και εσονται οἱ δυο εις σαρκα μιαν. *Conf. Matt. xix.* 5, 6. *Marc. x.* 7, 8. 1 *Cor. vi.* 16.

Gen. ii. 24.

Ἑνεκεν τουτου καταλειψει ανθρωπος τον πατερα αυτου και την μητερα, και προσκολληθησεται προς την γυναικα αυτου· και εσονται οἱ δυο εις σαρκα μιαν.

235. vi. 2, 3.

Τιμα τον πατερα σου και την μητερα—ἱνα ευ σοι γενηται, και εσῃ μακροχρονιος επι της γης. *Conf. Matt. xv.* 4. *Marc. vii.* 10.

Exod. xx. 12. Deut. v. 16.

Τιμα τον πατερα σου και την μητερα σου· ἱνα ευ σοι γενηται, και ἱνα μακροχρονιος γενῃ επι της γης.

236. Col. ii. 22. Κατα τα ενταλματα και διδασκαλιας των ανθρωπων. *Conf. Matt. xv.* 9.	Esa. xxix. 13. Διδασκοντες ενταλματα ανθρωπων και διδασκαλιας.
237. 1 Tim. v. 18. Βουν αλοωντα ου φιμωσεις. *Conf.* 1 *Cor. ix.* 9.	Deut. xxv. 4. Ου φιμωσεις βουν αλοωντα.
238. 2 Tim. ii. 19. Εγνω Κυριος τους οντας αὑτου.	Num. xvi. 5. Εγνω ὁ Θεος τους οντας αυτου.
239. Heb. i. 5. v. 5. Υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε.	Ps. ii. 7. Υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε.
240. i. 5. Εγω εσομαι αυτῳ εις πατερα, και αυτος εσται μοι εις υἱον. *Conf.* 2 *Cor. vi.* 18. *Apoc. xxi.* 7.	2 Reg. vii. 14. Εγω εσομαι αυτῳ εις πατερα, και αυτος εσται μοι εις υἱον.
241. i. 6. Και προσκυνησατωσαν αυτῳ παντες αγγελοι Θεου.	Deut. xxxii. 43. Και προσκυνησατωσαν αυτῳ παντες αγγελοι Θεου. *Ps. xcvi.* 7. Προσκυνήσατε αυτῳ παντες αγγελοι αυτου.
242. i. 7. Ὁ ποιων τους αγγελους αὑτου πνευματα, και τους λειτουργους αὑτου πυρος φλογα.	Ps. ciii. 4. Ὁ ποιων τους αγγελους αυτου πνευματα, και τους λειτουργους αυτου πυρ φλεγον. *Alex.* πυρος φλεγα. *Ald. Comp.* πυρος φλογα.
243. i. 8, 9. Ὁ θρονος σου, ὁ Θεος, εις τον αιωνα του αιωνος· ῥαβδος ευθυτητος ἡ ῥαβδος της βασιλειας σου. Ηγαπησας δικαιοσυνην, και εμισησας ανομιαν· δια τουτο εχρισε σε ὁ Θεος, ὁ Θεος σου, ελαιον αγαλλιασεως παρα τους μετοχους σου.	Ps. xliv. 6, 7. Ὁ θρονος σου, ὁ Θεος, εις αιωνα αιωνος· ῥαβδος ευθυτητος ἡ ῥαβδος της βασιλειας σου. Ηγαπησας δικαιοσυνην, και εμισησας ανομιαν· δια τουτο εχρισε σε ὁ Θεος, ο Θεος σου, ελαιον αγαλλιασεως παρα τους μετοχους σου.
244. i. 10-12. Συ, κατ' αρχας, Κυριε, την γην εθεμελιωσας, και εργα των	Ps. ci. 25-27. Κατ' αρχας την γην, συ Κυριε, εθεμελιωσας, και εργα των

χειρων σου εισιν οἱ ουρανοι. Αυτοι απολουνται, συ δε διαμενεις· και παντες ὡς ἱματιον παλαιωθησονται, και ὡσει περιβολαιον ἑλιξεις [*alii* αλλαξεις] αυτους, και αλλαγησονται· συ δε ὁ αυτος ει, και τα ετη σου ουκ εκλειψουσι.	χειρων σου εισιν οἱ ουρανοι. Αυτοι απολουνται, συ δε διαμενεις· και παντες ὡς ἱματιον παλαιωθησονται, και ὡσει περιβολαιον ἑλιξεις [αλλαξεις. *Alex.*] αυτους, και αλλαγησονται· συ δε ὁ αυτος ει, και τα ετη σου ουκ εκλειψουσι.
245. Heb. i. 13.	Ps. cix. 1.
Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *Conf. Matt. xxii.* 44. *Marc. xii.* 36. *Luc. xx.* 42. *Act. ii.* 34.	Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.
246. ii. 6-8.	Ps. viii. 4-6.
Τι εστιν ανθρωπος, ὁτι μιμνησκῃ αυτου, η υἱος ανθρωπου, ὁτι επισκεπτῃ αυτον; Ηλαττωσας αυτον βραχυ τι παρ' αγγελους. δοξῃ και τιμῃ εστεφανωσας αυτον, και κατεστησας αυτον επι τα εργα των χειρων σου· παντα ὑπεταξας ὑποκατω των ποδων αυτου.	Τι εστιν ανθρωπος, ὁτι μιμνησκῃ αυτου, η υἱος ανθρωπου, ὁτι επισκεπτῃ αυτον; Ηλαττωσας αυτον βραχυ τι παρ' αγγελους. δοξῃ και τιμῃ εστεφανωσας αυτον, και κατεστησας αυτον επι τα εργα των χειρων σου· παντα ὑπεταξας ὑποκατω των ποδων αυτου.
247. ii. 12.	Ps. xxi. 22.
Απαγγελω το ονομα σου τοις αδελφοις μου, εν μεσῳ εκκλησιας ὑμνησω σε.	Διηγησομαι το ονομα σου τοις αδελφοις μου, εν μεσῳ εκκλησιας ὑμνησω σε.
248. ii. 13.	Esa. viii. 17.
Εγω εσομαι πεποιθως επ' αυτῳ.	Πεποιθως εσομαι επ' αυτῳ.
249.	Ib. 18.
Ιδου Εγω, και τα παιδια ἁ μοι εδωκεν ὁ Θεος.	Ιδου Εγω, και τα παιδια ἁ μοι εδωκεν ὁ Θεος.
250. iii. 2.	Num. xii. 7.
Πιστον οντα τῳ ποιησαντι αυτον, ὡς και Μωσης εν ὁλῳ τῳ οικῳ αυτου.	Ὁ θεραπων μου Μωυσης εν ὁλῳ τῳ οικῳ μου πιστος εστι.
251. iii. 7-11.	Ps. xciv. 7-11.
Σημερον εαν της φωνης αυτου ακουσητε, μη σκληρυνητε τας	Σημερον, εαν της φωνης αυτου ακουσητε, μη σκληρυνητε τας

καρδιας ὑμων, ὡς εν τῳ παραπικρασμῳ, κατα την ἡμεραν του πειρασμου εν τῃ ερημῳ, οὑ επειρασαν με οἱ πατερες ὑμων, εδοκιμασαν με, και ειδον τα εργα μου, τεσσαρακοντα ετη. Διο προσωχθισα τῃ γενεᾳ εκεινῃ, και ειπον, Αει πλανωνται τῃ καρδιᾳ· αυτοι δε ουκ εγνωσαν τας ὁδους μου· ὡς ωμοσα εν τῃ οργῃ μου, Ει εισελευσονται εις την καταπαυσιν μου.

καρδιας ὑμων, ὡς εν τῳ παραπικρασμῳ, κατα την ἡμεραν του πειρασμου εν τῃ ερημῳ, οὑ επειρασαν με οἱ πατερες ὑμων, εδοκιμασαν, [εδοκιμασαν με, *Alex. Ald. Comp.*] και ειδον τα εργα μου, τεσσαρακοντα ετη· Προσωχθισα [Διο προσωχθισα. *Aq. Sym.*] τῃ γενεᾳ εκεινῃ, και ειπα, [και ειπον, *Alex.*] Αει πλανωνται τῃ καρδιᾳ, και αυτοι ουκ [αυτοι δε ουκ. *Alex. Ald. Comp.*] εγνωσαν τας ὁδους μου· ὡς ωμοσα εν τῃ οργῃ μου, Ει εισελευσονται εις την καταπαυσιν μου.

252. Heb. iv. 4.

Και κατεπαυσεν ὁ Θεος εν τῃ ἡμερᾳ τῃ ἑβδομῃ απο των εργων αὑτου.

Gen. ii. 3.

Και ευλογησεν ὁ Θεος την ἡμεραν την ἑβδομην, και ἡγιασεν αυτην· ὁτι εν αυτῃ κατεπαυσεν απο παντων των εργων αυτου.

253. v. 6.

Συ ἱερευς εις τον αιωνα κατα την ταξιν Μελχισεδεκ.

Ps. cix. 4.

Συ ἱερευς εις τον αιωνα κατα την ταξιν Μελχισεδεκ.

254. vi. 13, 14.

Ὁ Θεος—ωμοσε καθ' ἑαυτου, λεγων, Η μην ευλογων ευλογησω σε, και πληθυνων πληθυνω σε.

Gen. xxii. 16, 17.

Καθ' εμαυτου ωμοσα, λεγει Κυριος—Η μην ευλογων ευλογησω σε, και πληθυνων πληθυνω το σπερμα σου.

255. vii. 1.

Ὁ Μελχισεδεκ βασιλευς Σαλημ—ὁ συναντησας Αβρααμ ὑποστρεφοντι απο της κοπης των βασιλεων, και ευλογησας αυτον.

Gen. xiv. 17. 19.

Εξηλθε δε βασιλευς Σοδομων εις συναντησιν αυτῳ, μετα το ὑποστρεψαι αυτον απο της κοπης —των βασιλεων—και ευλογησε τον Ἁβραμ.

256. vii. 21.

Ωμοσε Κυριος και ου μεταμεληθησεται, κ. τ. λ. *Conf. Citat.* 253.

Ps. cix. 4.

Ωμοσε Κυριος και ου μεταμεληθησεται, κ. τ. λ.

257. viii. 5.

Ὁρα, ποιησῃς [*alii.* ποιησεις]

Exod. xxv. 40.

Ὁρα, ποιησεις [παντα τα

παντα κατα τον τυπον τον δειχθεντα σοι εν τῳ ορει. Conf. Act. vii. 44.

258. Heb. viii. 8-12.

Ιδου, ἡμεραι ερχονται, λεγει Κυριος, και συντελεσω επι τον οικον Ισραηλ και επι τον οικον Ιουδα διαθηκην καινην· ου κατα την διαθηκην ἡν εποιησα τοις πατρασιν αυτων, εν ἡμερᾳ επιλαβομενου της χειρος αυτων, εξαγαγειν αυτους εκ γης Αιγυπτου· ὁτι αυτοι ουκ ενεμειναν εν τῃ διαθηκῃ μου, καγω ημελησα αυτων, λεγει, Κυριος· Ὁτι αὑτη ἡ διαθηκη ἡν διαθησομαι τῳ οικῳ Ισραηλ μετα τας ἡμερας εκεινας, λεγει Κυριος, διδους νομους μου εις την διανοιαν αυτων, και επι καρδιας αυτων επιγραψω αυτους· και εσομαι αυτοις εις Θεον, και αυτοι εσονται μοι εις λαον. Και ου μη διδαξωσιν ἑκαστος τον πλησιον [πολιτην. Griesbach.] αὑτου, και ἑκαστος τον αδελφον αὑτου, λεγων, Γνωθι τον Κυριον· ὁτι παντες ειδησουσι με απο μικρου αυτων ἑως μεγαλου αυτων. ὁτι ἱλεως εσομαι ταις αδικιαις αυτων, και των ἁμαρτιων αυτων και ανομιων αυτων ου μη μνησθω ετι. Conf. x. 16, 17.

259. ix. 20.

Τουτο το αἱμα της διαθηκης ἡς ενετειλατο [διεθετο. Const. Apost. i.] προς ὑμας ὁ Θεος.

260. x. 5-7.

Θυσιαν και προσφοραν ουκ ηθελησας, σωμα δε κατηρτισω μοι· ὁλοκαυτωματα και περι ἁμαρτιας ουκ ευδοκησας· τοτε

σκευη ταυτα. 39.] κατα τον τυπον τον δεδειγμενον σοι εν τῳ ορει.

Jer. xxxviii. 31-34.

Ιδου ἡμεραι ερχονται, φησι Κυριος, και διαθησομαι τῳ οικῳ Ισραηλ και τῳ οικῳ Ιουδα διαθηκην καινην· ου κατα την διαθηκην ἡν διεθεμην τοις πατρασιν αυτων, εν ἡμερᾳ επιλαβομενου μου της χειρος αυτων, εξαγαγειν αυτους εκ γης Αιγυπτου· ὁτι αυτοι ουκ ενεμειναν εν τῃ διαθηκῃ μου, και εγω ημελησα αυτων, φησι Κυριος. Ὁτι αὑτη ἡ διαθηκη μου, ἡν διαθησομαι τῳ οικῳ Ισραηλ μετα τας ἡμερας εκεινας, φησι Κυριος· διδους δωσω νομους μου εις την διανοιαν αυτων, και επι καρδιας αυτων γραψω αυτους· και εσομαι αυτοις εις Θεον, και αυτοι εσονται μοι εις λαον. Και ου μη διδαξωσιν ἑκαστος τον πολιτην αυτου, και ἑκαστος τον αδελφον αυτου, λεγων, Γνωθι τον Κυριον· ὁτι παντες ειδησουσι με απο μικρου αυτων, ἑως μεγαλου αυτων. ὁτι ἱλεως εσομαι ταις αδικιαις αυτων, και των ἁμαρτιων αυτων ου μη μνησθω ετι.

Exod. xxiv. 8.

Ιδου το αἱμα της διαθηκης ἡς διεθετο Κυριος προς ὑμας.

Ps. xxxix. 6-8.

Θυσιαν και προσφοραν ουκ ηθελησας, σωμα δε κατηρτισω μοι· ὁλοκαυτωματα και περι ἁμαρτιας ουκ ητησας· τοτε ειπον,

ειπον, Ιδου ἡκω, εν κεφαλιδι βιβλιου γεγραπται περι εμου, του ποιησαι ὁ Θεος το θελημα σου.

Ιδου ἡκω, εν κεφαλιδι βιβλιου γεγραπται περι εμου, του ποιησαι το θελημα σου ὁ Θεος μου.

261. Heb. x. 28.

Επι δυσιν η τρισι μαρτυσιν αποθνησκει.

Deut. xvii. 6.

Επι δυσι μαρτυσιν η επι τρισι μαρτυσιν αποθανειται.

262. x. 30.

Εμοι εκδικησις, εγω ανταποδωσω, λεγει Κυριος.

Deut. xxxii. 35.

Εν ἡμερᾳ εκδικησεως ανταποδωσω.

263. x. 30.

Κυριος κρινει τον λαον αὑτου. *Conf. Rom. xii.* 19.

Deut. xxxii. 36.

Κρινει Κυριος τον λαον αυτου.

264. x. 37, 38.

Ὁ Ερχομενος ἡξει και ου χρονιει· Ὁ δε δικαιος εκ πιστεως ζησεται· και εαν ὑποστειληται, ουκ ευδοκει ἡ ψυχη μου εν αυτῳ. *Conf. Rom. i.* 17. *Gal. iii.* 11.

Hab. ii. 3, 4.

Ερχομενος ἡξει και ου μη χρονισῃ. Εαν ὑποστειληται, ουκ ευδοκει ἡ ψυχη μου εν αυτῳ· ὁ δε δικαιος εκ πιστεως μου ζησεται.

265. xi. 5.

Πιστει Ενωχ μετετεθη του μη ιδειν θανατον, και ουχ εὑρισκετο, διοτι μετεθηκεν αυτον ὁ Θεος. προ γαρ της μεταθεσεως αυτου μεμαρτυρηται, ευηρεστηκεναι τῳ Θεῳ.

Gen. v. 24.

Και ευηρεστησεν Ενωχ τῳ Θεῳ, και ουχ εὑρισκετο, ὁτι μετεθηκεν αυτον ὁ Θεος.

266. xi. 12.

Καθως τα αστρα του ουρανου τῳ πληθει, και ὡσει αμμος ἡ παρα το χειλος της θαλασσης ἡ αναριθμητος.

Gen. xxii. 17.

Ὡς τους αστερας του ουρανου, και ὡς την αμμον την παρα το χειλος της θαλασσης. ὡς αμμον της θαλασσης, ἡ ουκ αριθμηθησεται. *xxxii.* 12. αναβλεψον δη εις τον ουρανον, και αριθμησον τους αστερας, κ. τ. λ. *xv.* 5.

267. xi. 13.

Ὁμολογησαντες ὁτι ξενοι και παρεπιδημοι εισιν επι της γης.

Ps. xxxviii. 12.

Παροικος εγω ειμι εν τῃ γῃ και παρεπιδημος. *Conf. cxviii.* 19. *Gen. xxiii.* 4. 1 *Par. xxix.* 15.

268. xi. 18.

Εν Ισαακ κληθησεται σοι σπερμα. *Conf. Rom. ix.* 7.

Gen. xxi. 12.

Εν Ισαακ κληθησεται σοι σπερμα.

269. Heb. xi. 21.

Και προσεκυνησεν επι το ακρον της ῥαβδου αυτου.

Gen. xlvii. 31.

Και προσεκυνησεν Ισραηλ επι το ακρον της ῥαβδου αυτου.

270. xi. 24.

Μωσης μεγας γενομενος.

Exod. ii. 11.

Μεγας γενομενος Μωυσης.

271. xii. 5, 6.

Υἱε μου, μη ολιγωρει παιδειας Κυριου, μηδε εκλυου ὑπ' αυτου ελεγχομενος· ὁν γαρ αγαπᾳ Κυριος παιδευει, μαστιγοι δε παντα υἱον ὁν παραδεχεται. *Apoc. iii.* 19.

Prov. iii. 11, 12.

Υἱε, μη ολιγωρει παιδειας Κυριου, μηδε εκλυου ὑπ' αυτου ελεγχομενος· ὁν γαρ αγαπᾳ Κυριος παιδευει, μαστιγοι δε παντα υἱον ὁν παραδεχεται.

272. xii. 12.

Τας παρειμενας χειρας και τα παραλελυμενα γονατα ανορθωσατε.

Esa. xxxv. 3.

Ισχυσατε χειρες ανειμεναι και γονατα παραλελυμενα.

273. xii. 13.

Τροχιας ορθας ποιησατε τοις ποσιν ὑμων.

Prov. iv. 26.

Ορθας τροχιας ποιει σοις ποσι.

274. xii. 15.

Μη τις ῥιζα πικριας ανω φυουσα ενοχλῃ.

Deut. xxix. 18.

Μη τις εστιν εν ὑμιν ῥιζα ανω φυουσα εν χολῃ και πικριᾳ.

275. xii. 16.

Ησαυ—αντι βρωσεως μιας απεδοτο τα πρωτοτοκια αὑτου.

Gen. xxv. 33.

Απεδοτο δε Ἡσαυ τα πρωτοτοκια.

276. xii. 20.

Κ'αν θηριον θιγῃ του ορους λιθοβοληθησεται, η βολιδι κατατοξευθησεται.

Exod. xix. 12, 13.

Πας ὁ ἁψαμενος του ορους, θανατῳ τελευτησει· ουχ ἁψεται αυτου χειρ· εν γαρ λιθοις θιλοβοληθησεται, η βολιδι κατατοξευθησεται· εαν τε κτηνος, εαν τε ανθρωπος, ου ζησεται.

277. xii. 21.

Εκφοβος ειμι και εντρομος.

Deut. ix. 19.

Εκφοβος ειμι δια τον θυμον και την οργην, ὁτι παρωξυνθη Κυριος.

278. xii. 26.

Ετι ἁπαξ εγω σειω ου μονον την γην, αλλα και τον ουρανον.

Agg. ii. 7.

Ετι ἁπαξ εγω σεισω τον ουρανον και την γην.

279. Heb. xii. 29. Και γαρ ὁ Θεος ἡμων πυρ καταναλισκον.	Deut. iv. 24. Ὁτι Κυριος ὁ Θεος σου πυρ καταναλισκον.
280. xiii. 5. Ου μη σε ανω, ουδ᾽ ου μη σε εγκαταλιπω.	Deut. xxxi. 8. Ουκ ανησει σε, ουδε μη σε εγκαταλιπῃ. *Conf. Jos. i.* 5.
281. xiii. 6. Κυριος εμοι βοηθος, και ου φοβηθησομαι τι ποιησει μοι ανθρωπος.	Ps. cxvii. 6. Κυριος εμοι βοηθος, και ου φοβηθησομαι τι ποιησει μοι ανθρωπος.
282. Jac. ii. 8. Αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Conf. Matt. xix.* 19. *Marc. xii.* 31. *Luc. x.* 27.	Lev. xix. 18. Αγαπησεις τον πλησιον σου ὡς σεαυτον.
283. ii. 11. Μη μοιχευσῃς—μη φονευσῃς. *Conf. Matt. xix.* 18. *Marc. xii.* 31. *Luc. x.* 27.	Exod. xx. 13. 15. Ου μοιχευσεις—ου φονευσεις.
284. ii. 23. Επιστευσε δε Αβρααμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. *Conf. Rom. iv.* 3. *Gal. iii.* 6.	Gen. xv. 6. Επιστευσεν Ἀβραμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην.
285. ii. 23. Και [Αβρααμ] φιλος Θεου εκληθη.	Esa. xli. 8. Σπερμα Ἀβρααμ του φιλου μου. *Sym.* ὁν ηγαπησα. *LXX.*
286. iv. 6. Ὁ Θεος ὑπερηφανοις αντιτασσεται, ταπεινοις δε διδωσι χαριν.	Prov. iii. 34. Κυριος ὑπερηφανοις αντιτασσεται, ταπεινοις δε διδωσι χαριν.
287. 1 Pet. i. 16. Ἁγιοι γενεσθε, [εσεσθε. *alii.*] ὁτι εγω ἁγιος ειμι.	Lev. xi. 44. Και ἁγιοι εσεσθε, ὁτι ἁγιος ειμι εγω.
288. i. 24, 25. Πασα σαρξ ὡς χορτος, και πασα δοξα ανθρωπου ὡς ανθος χορτου. Εξηρανθη ὁ χορτος, και το ανθος αυτου εξεπεσε· το δε ῥημα Κυριου μενει εις τον αιωνα.	Esa. xl. 6-8. Πασα σαρξ χορτος, και πασα δοξα ανθρωπου ὡς ανθος χορτου. Εξηρανθη ὁ χορτος, και το ανθος εξεπεσε· το δε ῥημα του Θεου ἡμων μενει εις τον αιωνα.

289. 1 Pet. ii. 3.
Ειπερ εγευσασθε ὁτι χρηστος ὁ Κυριος.

Ps. xxxiii. 8.
Γευσασθε και ιδετε ὁτι χρηστος ὁ Κυριος.

290. ii. 6.
Ιδου τιθημι εν Σιων λιθον ακρογωνιαιον, εκλεκτον, εντιμον· και ὁ πιστευων επ᾽ αυτῳ ου μη καταισχυνθῃ.

Esa. xxviii. 16.
Ιδου εγω εμβαλλω εις τα θεμελια Σιων λιθον πολυτελη, εκλεκτον, ακρογωνιαιον, εντιμον, εις τα θεμελια αυτης· και ὁ πιστευων [εν αυτῳ, *Alex.* επ᾽ αυτῳ. *B. Ald. C.*] ου μη καταισχυνθῃ.

291. ii. 7.
Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας. *Matt. xxi.* 42.

Ps. cxvii. 22.
Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας.

292. ii. 9.
Ὑμεις δε γενος εκλεκτον, βασιλειον ἱερατευμα, εθνος ἁγιον.

Exod. xix. 6.
Ὑμεις δε εσεσθε μοι βασιλειον ἱερατευμα και εθνος ἁγιον.

293. ii. 10.
Οἱ ποτε ου λαος, νυν δε λαος Θεου· οἱ ουκ ηλεημενοι, νυν δε ελεηθεντες.

Ose. ii. 1.
Ειπατε τῳ αδελφῳ ὑμων, Λαος μου, και τῃ αδελφῃ ὑμων, Ηλεημενη.

294. ii. 22.
Ὁς ἁμαρτιαν ουκ εποιησεν, ουδε εὑρεθη δολος εν τῳ στοματι αυτου.

Esa. liii. 9.
Ανομιαν ουκ εποιησεν, ουδε δολον [ουδε εὑρεθη δολος, *Alex.*] εν τῳ στοματι αυτου.

295. ii. 24.
Ὁς τας ἁμαρτιας ἡμων αυτος ανηνεγκεν—οὑ τῳ μωλωπι αυτου ιαθητε.

Esa. liii. 4.
Οὑτος τας ἁμαρτιας ἡμων φερει. 5. τῳ μωλωπι αυτου ἡμεις ιαθημεν.

296. iii. 6.
Κυριον αυτον καλουσα.

Gen. xviii. 12.
Ὁ δε κυριος μου πρεσβυτερος.

297. iii. 10-12.
Ὁ γαρ θελων ζωην αγαπᾳν, και ιδειν ἡμερας αγαθας, παυσατω την γλωσσαν αὑτου απο κακου, και χειλη αὑτου του μη λαλησαι δολον· εκκλινατω απο κακου, και ποιησατω αγαθον· ζητησατω ειρηνην, και διωξατω

Ps. xxxiii. 12-16.
Τις εστιν ανθρωπος ὁ θελων ζωην, αγαπων ἡμερας ιδειν αγαθας; Παυσον την γλωσσαν σου απο κακου, και χειλη σου του μη λαλησαι δολον. Εκκλινον απο κακου, και ποιησον αγαθον· ζητησον ειρηνην, και διωξον αυτην.

αυτην. ῾Οτι οἱ οφθαλμοι Κυριου επι δικαιους, και ωτα αυτου εις δεησιν αυτων· προσωπον δε Κυριου επι ποιουντας κακα.

Οφθαλμοι Κυριου επι δικαιους, και ωτα αυτου εις δεησιν αυτων· προσωπον δε Κυριου επι ποιουντας κακα.

298. 1 Pet. iii. 14, 15.
Τον δε φοβον αυτων μη φοβηθητε, μηδε ταραχθητε· Κυριον δε τον Θεον ἁγιασατε εν ταις καρδιαις ὑμων.

Esa. viii. 12, 13.
Τον δε φοβον αυτου ου μη φοβηθητε, ουδε μη ταραχθητε· Κυριον αυτον ἁγιασατε.

299. iv. 8.
῾Οτι ἡ αγαπη καλυψει πληθος ἁμαρτιων.

Prov. x. 12.
Παντας δε τους μη φιλονεικουντας καλυπτει φιλια.

300. iv. 18.
Ει ὁ δικαιος μολις σωζεται, ὁ ασεβης και ἁμαρτωλος που φανειται;

Prov. xi. 31.
Ει ὁ μεν δικαιος μολις σωζεται, ὁ ασεβης και ἁμαρτωλος που φανειται;

301. v. 5.
῾Ο Θεος ὑπερηφανοις αντιτασσεται, ταπεινοις δε διδωσι χαριν.

Prov. iii. 34.
Κυριος ὑπερηφανοις αντιτασσεται, ταπεινοις δε διδωσι χαριν.

302. v. 7.
Πασαν την μεριμναν ὑμων επιρριψαντες επ᾽ αυτον, ὁτι αυτῳ μελει περι ὑμων.

Ps. liv. 22.
Επιρριψον επι Κυριον την μεριμναν σου, και αυτος σε διαθρεψει.

303. 2 Pet. ii. 22.
Κυων επιστρεψας επι το ιδιον εξεραμα.

Prov. xxvi. 11.
῾Ωσπερ κυων ὁταν επελθῃ επι την ἑαυτου εμετον.

304. iii. 8.
῾Οτι μια ἡμερα παρα Κυριῳ ὡς χιλια ετη, και χιλια ετη ὡς ἡμερα μια.

Ps. lxxxix. 4.
῾Οτι χιλια ετη εν οφθαλμοις σου ὡς ἡ ἡμερα ἡ εχθες ἡτις διηλθε, και φυλακη εν νυκτι.

305. Juda. 9.
Επιτιμησαι σοι Κυριος.

Zach. iii. 3.
Επιτιμησαι Κυριος εν σοι, διαβολε.

306. Apoc. i. 7.
Ιδου, ερχεται μετα των νεφελων.

Dan. vii. 13.
Και ιδου, μετα των νεφελων του ουρανου, ὡς υἱος ανθρωπου ερχομενος.

307. Apoc. i. 7.
Και οψεται αυτον πας οφθαλμος, και οἱτινες αυτον εξεκεντησαν, και κοψονται επ' αυτον πασαι αἱ φυλαι της γης.

Zach. xii. 10-12.
Και επιβλεψονται προς με, ανθ' ὡν κατωρχησαντο, και κοψονται επ' αυτον κοποπετον, ὡς αγαπητῳ, κ. τ. λ.

308. i. 13.
Ὁμοιον υἱῳ ανθρωπου.

Dan. vii. 13.
Ὡς υἱος ανθρωπου. ὡς ὁμοιωσις υἱου ανθρωπου. *x*. 16.

309. i. 15.
Και ἡ φωνη αυτου ὡς φωνη ὑδατων πολλων.

Ezech. xliii. 2.
Ὡς φωνη διπλασιαζοντων πολλων. *LXX.* παρα δε τῳ Ἑβρ. και τῳ Συρ. εὑρον, ὡς φωνη ὑδατων πολλων. *Theodor.* [*Vide Bos.*]

310. i. 17.
Εγω ειμι ὁ πρωτος και ὁ εσχατος.

Esa. xli. 4.
Εγω Θεος πρωτος, και εις τα επερχομενα εγω ειμι. *Conf. cap. xliv.* 6.

311. ii. 23.
Εγω ειμι ὁ ερευνων νεφρους και καρδιας· και δωσω ὑμιν ἑκαστῳ κατα τα εργα ὑμων.

Jer. xvii. 10.
Εγω Κυριος εταζων καρδιας, και δοκιμαζων νεφρους, του δουναι ἑκαστῳ κατα τας ὁδους αυτου, και κατα τους καρπους των επιτηδευματων αυτου.

312. ii. 27.
Ποιμανει αυτους εν ῥαβδῳ σιδηρᾳ, ὡς τα σκευη τα κεραμικα συντριβεται.

Ps. ii. 9.
Ποιμανεις αυτους εν ῥαβδῳ σιδηρᾳ, ὡς σκευος κεραμεως συντριψεις αυτους.

313. iii. 7.
Ὁ εχων την κλειδα του Δαβιδ· ὁ ανοιγων, και ουδεις κλειει· και κλειει, και ουδεις ανοιγει.

Esa. xxii. 22.
Και δωσω αυτῳ την κλειδα οικου Δαυιδ επι τῳ ωμῳ αυτου· και ανοιξει, και ουκ εσται ὁ αποκλειων· και κλεισει, και ουκ εσται ὁ ανοιγων.

314. iv. 7.
Το ζωον το πρωτον ὁμοιον λεοντι, και το δευτερον ζωον ὁμοιον μοσχῳ, και το τριτον ζωον εχον το προσωπον ὡς ανθρωπος, και το τεταρτον ζωον ὁμοιον αετῳ πετωμενῳ.

Ezech. i. 10.
Ὁμοιωσις των προσωπων αυτων προσωπον ανθρωπου, και προσωπον του λεοντος εκ δεξιων τοις τεσσαρσι, και προσωπον μοσχου εξ αριστερων τοις τεσσαρσι, και προσωπον αετου τοις τεσσαρσι.

315. Apoc. iv. 8.

Και τεσσαρα ζωα, ἑν καθ' ἑαυτο, ειχον ανα πτερυγας ἑξ κυκλοθεν, και εσωθεν γεμοντα οφθαλμων· και αναπαυσιν ουκ εχουσιν ἡμερας και νυκτος, λεγοντα· Ἁγιος, ἁγιος, ἁγιος Κυριος ὁ Θεος ὁ παντοκρατωρ.

Esa. vi. 2, 3.

Και σεραφιμ εἱστηκεισαν κυκλῳ αυτου, ἑξ πτερυγες τῳ ἑνι, και ἑξ πτερυγες τῳ ἑνι· και ταις μεν δυσι κατεκαλυπτον το προσωπον, ταις δε δυσι κατεκαλυπτον τους ποδας, και ταις δυσι επεταντο· και εκεκραγεν ἑτερος προς τον ἑτερον, και ελεγον, Ἁγιος, ἁγιος, ἁγιος Κυριος σαβαωθ.

316. vi. 13, 14.

Και οἱ αστερες του ουρανου επεσαν εις την γην, ὡς συκη βαλλει τους ολυνθους αὑτης—και ουρανος απεχωρισθη ὡς βιβλιον εἱλισσομενον.

Esa. xxxiv. 4.

Και τακησονται πασαι αἱ δυναμεις των ουρανων, και ἑλιγησεται ὁ ουρανος ὡς βιβλιον, και παντα τα αστρα πεσειται ὡς φυλλα εξ αμπελου, και ὡς πιπτει φυλλα απο συκης.

317. vi. 16.

Και λεγουσι τοις ορεσι και ταις πετραις, Πεσετε εφ' ἡμας, και κρυψατε ἡμας.

Ose. x. 8.

Και ερουσι τοις ορεσι, Καλυψατε ἡμας, και τοις βουνοις, Πεσατε εφ' ἡμας.

318. vi. 17.

Ὁτι ηλθεν ἡ ἡμερα ἡ μεγαλη της οργης αυτου, και τις δυναται σταθηναι;

Joel. ii. 11.

Διοτι μεγαλη ἡ ἡμερα Κυριου, επιφανης σφοδρα, και τις εσται ἱκανος αυτῃ; *Conf. Nah. i. 6. Mal. iii. 2.*

319. vii. 16, 17.

Ου πεινασουσιν ετι, ουδε διψησουσιν ετι, ουδε μη πεσῃ επ' αυτους ὁ ἡλιος, ουδε παν καυμα· ὁτι το Αρνιον το ανα μεσον του θρονου ποιμανει αυτους, και ὁδηγησει αυτους επι ζωσας πηγας ὑδατων.

Esa. xlix. 10.

Ου πεινασουσιν, ουδε διψησουσιν, ουδε παταξει αυτους ὁ καυσων, ουδε ὁ ἡλιος, αλλ' ὁ ελεων αυτους παρακαλεσει, και δια πηγων ὑδατων αξει αυτους.

320. vii. 17.

Και εξαλειψει ὁ Θεος παν δακρυον απο των οφθαλμων αυτων.

Esa. xxv. 8.

Και παλιν αφειλε Κυριος ὁ Θεος παν δακρυον απο παντος προσωπου.

321. x. 6.

Και ωμοσεν εν τῳ ζωντι εις τους αιωνας των αιωνων.

Dan. xii. 7.

Και ωμοσεν εν τῳ ζωντι εις τον αιωνα.

322. Apoc. x. 9.

Λαβε και καταφαγε αυτο—και κατεφαγον αυτο, και ην εν τῳ στοματι μου ὡς μελι γλυκυ.

Ezech. ii. 1. iii. 1.

Καταφαγε την κεφαλιδα ταυτην—και εγενετο εν τῳ στοματι μου, ὡς μελι γλυκαζον.

323. xi. 4.

Οὑτοι εισιν αἱ δυο ελαιαι και αἱ δυο λυχνιαι αἱ ενωπιον του Κυριου της γης ἑστωσαι.

Zach. iv. 12-14.

Οἱ δυο κλαδοι των ελαιων κ. τ. λ.—οὑτοι οἱ δυο υἱοι της πιοτητος [Theod. λαμπροτητος] παρεστηκασι Κυριῳ πασης της γης.

324. xi. 11.

Πνευμα ζωης εκ του Θεου εισηλθεν επ' αυτους· και εστησαν επι τους ποδας αὑτων.

Ezech. xxxvii. 10.

Και εισηλθεν εις αυτους το πνευμα, και εζησαν, και εστησαν επι των ποδων αυτων.

325. xi. 15.

Και βασιλευσει εις τους αιωνας των αιωνων.

Ps. ix. 16.

Βασιλευσει Κυριος εις τον αιωνα, και εις τον αιωνα του αιωνος.

326. xiv. 8.

Επεσεν, επεσε Βαβυλων ἡ πολις ἡ μεγαλη. Conf. cap. xviii. 2.

Esa. xxi. 9.

Πεπτωκε, πεπτωκε Βαβυλων.

327. xiv. 11.

Και ὁ καπνος του βασανισμου αυτων αναβαινει εις αιωνας αιωνων. Conf. cap. xix. 3.

Esa. xxxiv. 10.

Νυκτος και ἡμερας, και ου σβεσθησεται εις τον αιωνα χρονον, καὶ αναβησεται ὁ καπνος αυτης ανω.

328. xv. 3, 4.

Ὁ βασιλευς των εθνων—τις ου μη φοβηθῃ σε;

Jer. x. 5.

Τις ου φοβηθησεται σε βασιλευ εθνων; Comp. Theodor.

329. xvii. 14.

Ὁτι Κυριος κυριων εστι, και Βασιλευς βασιλεων.

Dan. ii. 47.

Αυτος εστι Θεος θεων, και Κυριος των κυριων, και Βασιλευς των βασιλεων. Alex. Comp. Conf. Ps. cxxxv. 3. *τῳ Κυριῳ των κυριων.*

330. xviii. 7, 8.

Ὁτι εν τῃ καρδιᾳ αὑτης λεγει, Καθημαι βασιλισσα, και χηρα ουκ ειμι, και πενθος ου μη ιδω· δια τουτο εν μιᾳ ἡμερᾳ ἡξουσιν αἱ πληγαι αυτης, κ. τ. λ.

Esa. xlvii. 7-9.

Και ειπας, Εις τον αιωνα εσομαι αρχουσα—ἡ λεγουσα εν καρδιᾳ αὑτης, Εγω ειμι, και ουκ εστιν ἑτερα, ου καθιω χηρα, ουδε γνωσομαι ορφανιαν. Νυν δε ἡξει επι σε τα δυο ταυτα εξαιφνης εν ἡμερᾳ μιᾳ, κ. τ. λ. Dan. iv. 34.

331. Apoc. xviii. 21.
Και ηρεν εἱς αγγελος ισχυρος λιθον ὡς μυλον μεγαν, και εβαλεν εις την θαλασσαν, λεγων, Οὑτως ὁρμηματι βληθησεται Βαβυλων.

Jer. xxviii. 63, 64.
Και επιδησεις επ' αυτο λιθον, και ῥιψεις αυτο εις μεσον του Ευφρατου, και ερεις, Οὑτως καταδυσεται Βαβυλων.

332. xviii. 22, 23.
Και φωνη μυλου ου μη ακουσθῃ εν σοι ετι, και φως λυχνου ου μη φανῃ εν σοι ετι, και φωνη νυμφιου και νυμφης.

Jer. xxv. 10.
Και απολῶ απ' αυτων—φωνην νυμφιου, και φωνην νυμφης, οσμην μυρου, [φωνην μυλου, *alii.*] και φως λυχνου.

333. xix. 5.
Αινειτε τῳ Θεῳ ἡμων παντες οἱ δουλοι αυτου, και οἱ φοβουμενοι αυτον.

Ps. cxxxiv. 1.
Αινειτε το ονομα Κυριου, αινειτε δουλοι Κυριον. οἱ φοβουμενοι Κυριον, αινεσατε αυτον. *xxi.* 23.

334. xix. 17, 18.
Λεγων πασι τοις ορνεοις τοις πετωμενοις εν μεσουρανηματι, Δευτε και συναγεσθε εις το δειπνον του μεγαλου Θεου· ἱνα φαγητε σαρκας βασιλεων, κ. τ. λ.

Ezech. xxxix. 17, 18.
Ειπον παντι ορνεῳ πετεινῳ,—συναχθητε απο παντων των περικυκλῳ επι την θυσιαν μου—κρεα γιγαντων φαγεσθε, και αἱμα αρχοντων της γης πιεσθε, κ. τ. λ.

335. xx. 12.
Και ειδον τους νεκρους μικρους και μεγαλους ἑστωτας ενωπιον του Θεου, και βιβλια ηνεῳχθησαν —και εκριθησαν οἱ νεκροι κ. τ. λ.

Dan. vii. 9, 10.
Εθεωρουν ἑως ὁτου οἱ θρονοι ετεθησαν—χιλιαι χιλιαδες ελειτουργουν αυτῳ, και μυριαι μυριαδες παρειστηκεισαν αυτῳ. κριτηριον εκαθισε, και βιβλοι ηνεῳχθησαν.

336. xxi. 1.
Και ειδον ουρανον καινον και γην καινην.

Esa. lxv. 17. lxvi. 22.
Εσται γαρ ὁ ουρανος καινος, και ἡ γη καινη.

337. xxi. 3.
Ιδου, ἡ σκηνη του Θεου μετα των ανθρωπων, και σκηνωσει μετ' αυτων, και αυτοι λαος αυτου εσονται, και αυτος ὁ Θεος εσται μετ' αυτων, Θεος αυτων.

Ezech. xxxvii. 27.
Και εσται ἡ κατασκηνωσις μου εν αυτοις, και εσομαι αυτοις Θεος, και αυτοι μου εσονται λαος.

338. xxi. 5.
Ιδου, καινα παντα ποιω.

Esa. xliii. 19.
Ιδου, εγω ποιω καινα.

339. xxi. 6.
Τῳ διψωντι δωσω εκ της πη-

Esa. lv. 1.
Οἱ διψωντες πορευεσθε εφ'

γης του ὑδατος της ζωης δωρεαν. *Conf. cap. xxii.* 17.

340. Apoc. xxi. 7.

Και εσομαι αυτῳ Θεος, και αυτος εσται μοι ὁ υἱος. *Conf. Heb. i.* 5. 2 *Cor. vi.* 18.

341. xxi. 12, 13.

Και επι τοις πυλωσιν αγγελους δωδεκα, και ονοματα επιγεγραμμενα ἁ εστι των δωδεκα φυλων των υἱων Ισραηλ. Απο ανατολων πυλωνες τρεις, απο Βοῤῥα πυλωνες τρεις, κ. τ. λ.

342. xxi. 18 19.

Και ην ἡ ενδομησις του τειχους αυτης ιασπις, και ἡ πολις χρυσιον καθαρον, ὁμοιον ὑαλῳ καθαρῳ, και οἱ θεμελιοι του τειχους της πολεως παντι λιθῳ τιμιῳ κ. τ. λ.

343. xxi. 22.

Και ναον ουκ ειδον εν αυτῃ· ὁ γαρ Κυριος ὁ Θεος ὁ παντοκρατωρ ναος αυτης εστι, και το Αρνιον.

344. xxi. 23.

Και ἡ πολις ου χρειαν εχει του ἡλιου, ουδε της σεληνης, ἱνα φαινωσιν εν αυτῃ· ἡ γαρ δοξα του Θεου εφωτισεν αυτην, και ὁ λυχνος αυτης το Αρνιον.

345. xxi. 24.

Και περιπατησουσι τα εθνη δια του φωτος αυτης—εις αυτην.

346. xxi. 25.

Και οἱ πυλωνες αυτης ου μη κλεισθωσιν ἡμερας, νυξ γαρ ουκ εσται εκει.

ὑδωρ, και ὁσοι μη εχετε αργυριον, κ. τ. λ.

2 Reg. vii. 14.

Εγω εσομαι αυτῳ εις πατερα, και αυτος εσται μοι εις υἱον. *Conf. Ps. ii.* 7.

Ezech. xlviii. 31-33.

Και αἱ πυλαι της πολεως, επ' ονομασι φυλων του Ισραηλ. πυλαι τρεις προς Βοῤῥαν, κ. τ. λ.

Esa. liv. 11, 12.

Ιδου εγω ἑτοιμαζω σοι ανθρακα τον λιθον σου, και τα θεμελια σου σαπφειρον, και θησω τας επαλξεις σου ιασπιν, και τας πυλας σου λιθους κρυσταλλου, και τον περιβολον σου λιθους εκλεκτους.

Ezech. xlviii. 35.

Και το ονομα της πολεως, αφ' ἡς αν ἡμερας γενηται, ΕΣΤΑΙ [Κυριος. *Alex. Ald.* יהוה] το ονομα αυτης. *Conf. Deut. xii.* 5.

Esa. lx. 19.

Και ουκ εσται σοι ετι ὁ ἡλιος εις φως ἡμερας, ουδε ανατολη σεληνης φωτιει σου την νυκτα, αλλ' εσται σοι Κυριος φως αιωνιον, και ὁ Θεος δοξα σου.

Esa. lx. 3.

Και πορευσονται βασιλεις τῳ φωτι σου, και εθνη τῃ λαμπροτητι σου.

Esa. lx. 11.

Και ανοιχθησονται αἱ πυλαι σου διαπαντος, ἡμερας και νυκτος ου κλεισθησονται.

347. Apoc. xxi. 27.

Και ου μη εισελθη εις αυτην παν κοινον, και ποιουν βδελυγμα και ψευδος, ει μη οἱ γεγραμμενοι κ. τ. λ.

Esa. xxxv. 8. lii. 1.

Ου μη παρελθη εκει ακαθαρτος, ουδε εσται εκει ὁδος ακαθαρτος· οἱ δε διεσπαρμενοι πορευσονται επ᾽ αυτης, κ. τ. λ.

348. xxii. 3.

Και παν καταθεμα [καταναθεμα. *alii.*] ουκ εσται ετι.

Zach. xiv. 11.

Και αναθεμα ουκ εσται ετι.

349. xxii. 12.

Ιδου ερχομαι ταχυ, και ὁ μισθος μου μετ᾽ εμου, αποδουναι ἑκαστῳ ὡς το εργον αυτου εσται.

Esa. xl. 10.

Ιδου Κυριος, Κυριος μετα ισχυος ερχεται, και ὁ βραχιων μετα κυριας· Ιδου ὁ μισθος αυτου μετ᾽ αυτου, και το εργον εναντιον αυτου.

350. xxii. 19.

Εαν τις αφελῃ απο των λογων βιβλου της προφητειας ταυτης, αφελει ὁ Θεος το μερος αυτου απο του βιβλου [του ξυλου. *alii.*] της ζωης.

Exod. xxxii. 33.

Ει τις ἡμαρτηκεν ενωπιον μου, εξαλειψω αυτους εκ της βιβλου μου. το ξυλον της ζωης. *Gen. ii.* 9. *Conf. Ezech. xxxi.* 8, 9.

Joan. xii. 34.

Ὁ Χριστος μενει εις τον αιωνα.

Ps. ix. 7.

Ὁ Κυριος εις τον αιωνα μενει.

Apoc. ii. 17.

Και δωσω αυτῳ—ονομα καινον γεγραμμενον, ὁ ουδεις εγνω ει μη ὁ λαμβανων.

Esa. lxii. 2.

Και καλεσει σε το ονομα το καινον, ὁ ὁ Κυριος ονομασει αυτο.

iii. 19.

Εγω, ὁσους εαν φιλω, ελεγχω και παιδευω. *Conf. Heb. xii.* 5, 6.

Prov. iii. 12.

Ὁν γαρ αγαπᾳ Κυριος, ελεγχει.

ΤΕΛΟΣ.

ERRATA.

Matt. xxiii. 39. [*CITAT.* 38. *lege CITAT.* 33.]
Marc. xv. 34. *lege CITAT.* 67.
Luc. xiv. 33. *Jos. Ant. xi.* 6. 1. *lege xi.* 8. 6.
xxii. 37. *lege CITAT.* 87.
xxiii. 46. *Ps. xxxi.* 5. *lege xxx.* 5.
xxiv. 35. εγνωθη *lege* εγνωσθη.
Act. xix. 37. *lege CITAT.* 104.
xxiii. 1. πολιτευεσθαι κατα τα επι των προγονων ηθη. 3 *Mac. iii.* 3. *lege* σεβομενοι δε τον Θεον, και τῳ τουτου νομῳ πολιτευομενοι. 3 *Mac. iii.* 4.
Rom. i. 17. *Col. iii.* 11. *lege Gal. iii.* 11.
31. ασυνθετοι *lege* ασυνετοι.
x. 2. ξηλωσαντες *lege* ζηλωσαντες.
xi. 8. *CITAT.* 170. *lege* 171.
10. *lege CITAT.* 172.
2 *Cor. ix.* 9. εις αιωνα *lege* εις τον αιωνα.
Ephes. iv. 32. ελεησει *lege* ελεησαι.

